ταστέλλειν πειρᾶται τὴν ψυχήν. Ἀπὸ γὰρ θυμοῦ ἡ ἀθυμία ἐκείνη ἦν· διὸ καί φησι πρὸς αὐτόν· «Ἡσύχασον». Ταῦτα δὲ ἔλεγεν, εἰδὼς μὲν οἷ προβήσεται κακοῦ, βουλόμενος δὲ πᾶσαν τοῖς ἀγνωμονοῦσιν ἐκκόψαι πρόφασιν. Εἰ γὰρ ἐκολάσθη παρὰ τὴν ἀρχήν, πολλὰ ἂν εἶπον τοιαῦτα πολλοί· 'οὐ γὰρ ἐνῆν παρακαλέσαι λόγῳ καὶ νουθετῆσαι καὶ ἐπιπλῆξαι πρότερον καὶ τότε τοῖς αὐτοῖς ἐπιμένοντα μετελθεῖν; Πολλῆς ὠμότητος καὶ ἀπηνείας αὕτη ἡ κόλασις'.

Διὰ τοῦτο μακροθυμεῖ ταῖς εἰς αὐτὸν ὕβρεσιν ὁ Θεός, ἅμα μὲν ἐπιστομίζων ἐκείνους, ἅμα δὲ καὶ δεικνὺς ὅτι καὶ τὸν πατέρα τοῦ Κάϊν δι' ἀγαθότητα ἐπαίδευσε, πρὸς δὲ καὶ εἰς μετάνοιαν ἄγων τοὺς μετὰ ταῦτα διὰ τῆς τοιαύτης χρηστότητος αὐτοῦ. Ἐπειδὴ δὲ κατὰ τὴν σκληρότητα αὐτοῦ, καὶ ἀμεανόητον καρδίαν ἐθησαύρισεν ἑαυτῷ τὴν ὀργήν, τὸ τηνικαῦτα ἐπεξέρχεται· εἰ δὲ καὶ μετὰ τὸν φόνον ἔμεινεν ἀτιμώρητος, καὶ ἐφ' ἕτερον ἂν προῆλθε μεῖζον κακόν. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν ὅτι παρὰ ἄγνοιαν ἐπλημμέλησεν· ὃ γὰρ ὁ νεώτερος συνῆκε, πῶς ἂν οὗτος ἠγνόησε; Πλὴν ἀλλ', εἰ βούλει, κείσθω καὶ ἀγνοίας εἶναι τὸ πρότερον· μετὰ τὸ ἀκοῦσαι τό, «Ἡσύχασον», μετὰ τὸ συγγνώμης τυχεῖν, ἀπὸ ποίας ἀγνοίας ἐπὶ τὸν φόνον ἤρχετο καὶ τὴν γῆν ἐμόλυνε καὶ τοὺς τῆς φύσεως νόμους ἀνέτρεψεν; Ὁρᾷς ὡς οὐδὲ τὰ πρότερα τοῦ ἀγνοεῖν ἦν, ἀλλὰ κακίας καὶ πονηρίας καὶ μιαρίας τῆς ἐσχάτης;

Τίς οὖν ἡ τούτων τιμωρία; «Στένων ἔσῃ», καὶ τρέμων ἐπὶ τῆς γῆς». Δοκεῖ μὲν οὖν ἡ κόλασις εἶναι πικρά· ἀλλ'

---

18. Γεν. 4, 7.
19. Γέν. 4, 12.

πραΰνῃ τὴν καταταραγμένην ψυχήν του. Διότι ἡ λύπη του ἐκείνη ἦτο ἀποτέλεσμα τοῦ θυμοῦ του, καὶ διὰ τοῦτο τοῦ λέγει· «Ἡσύχασε»[18]. Καὶ αὐτὰ τὰ ἔλεγε, μολονότι ἐγνώριζεν ἕως ποῦ θὰ ἔφθανε τὸ κακόν, ἐπειδὴ ἤθελε ν' ἀφαιρέσῃ ὁποιανδήποτε πρόφασιν ἀπὸ τοὺς ἀγνώμονας. Διότι ἐὰν ἐτιμωρεῖτο εὐθὺς ἐξ ἀρχῆς, πολλοὶ θὰ ἠμποροῦσαν νὰ εἰποῦν πολλὰ ὡσὰν καὶ αὐτά· Δὲν ἦτο δυνατὸν δηλαδὴ νὰ τὸν συμβουλεύσῃ μὲ λόγια, νὰ τὸν νουθετήσῃ καὶ νὰ τὸν ἐπιπλήξῃ εἰς τὴν ἀρχὴν καὶ ἐν συνεχείᾳ, ἐφ' ὅσον θὰ ἐπέμενε, νὰ μεταχειρισθῇ αὐτὰ τὰ μέτρα τιμωρίας; Εἶναι πάρα πολὺ ἀπάνθρωπος καὶ σκληρὰ αὐτὴ ἡ τιμωρία'.

Δι' αὐτὸν τὸν λόγον ὁ Θεὸς ἐπιδεικνύει μακροθυμίαν διὰ τὰς ἐναντίον του ὕβρεις, ἀφ' ἑνὸς μὲν διὰ νὰ κλείνῃ τὰ στόματα ἐκείνων, ἀφ' ἑτέρου δὲ διὰ νὰ καταστήσῃ φανερὸν ὅτι καὶ τὸν πατέρα τοῦ Κάϊν κινούμενος ἀπὸ ἀγαθότητα τοῦ ἐπέβαλεν αὐτὰς τὰς δοκιμασίας, καὶ ἐπὶ πλέον δὲ νὰ ὁδηγήσῃ εἰς μετάνοιαν τὰς ἐπομένας γενεὰς τῶν ἀνθρώπων μὲ τὴν ἀγαθότητά του αὐτήν. Ἐπειδὴ ὅμως ἐξ αἰτίας τῆς σκληρότητός του καὶ τῆς ἀμετανοήτου καρδίας του, ἔγινεν αἰτία νὰ συσσωρευθῇ ἡ ὀργὴ τοῦ Θεοῦ, τότε πλέον ἐπροχώρησεν εἰς τὴν τιμωρίαν του. Ἐὰν ὅμως καὶ μετὰ τὸν φόνον δὲν ἐτιμωρεῖτο, θὰ ἦτο δυνατὸν νὰ προχωρήσῃ εἰς τὴν συνέχειαν καὶ εἰς μεγαλύτερον κακόν. Οὔτε φυσικὰ ἠμπορεῖ κανεὶς νὰ εἰπῇ ὅτι διέπραξε τὸ πλημμέλημα ἐκεῖνο ἀπὸ ἄγνοιαν· διότι πῶς ἦτο δυνατὸν νὰ τὸ ἀγνοοῦσεν αὐτός, καθ' ἣν στιγμὴν τὸ ἐγνώριζεν ὁ νεώτερος; Ἂς θεωρήσωμεν ὅμως, ἐὰν θέλῃς, ὅτι ἡ πρώτη ἐκείνη ἐνέργειά του προήρχετο ἀπὸ ἄγνοιαν. Ὅταν ὅμως ἤκουσε τὸ «Ἡσύχασε», καὶ ἐδέχθη τὴν ἐκ μέρους τοῦ Θεοῦ συγχώρησιν, τότε πλέον ἐξ αἰτίας ποίας ἀγνοίας διέπραξε τὸν φόνον, ἐμόλυνε τὴν γῆν καὶ ἀνέτρεψε τοὺς νόμους τῆς φύσεως; Βλέπεις ὅτι οὔτε τὰ προηγούμενα ἁμαρτήματά του προήρχοντο ἀπὸ ἄγνοιαν, ἀλλ' ὅτι ἦσαν ἀποτέλεσμα κακίας, πονηρίας καὶ τῆς πιὸ μεγάλης βδελυγμίας;

Ποία λοιπὸν ἦτο ἡ τιμωρία του δι' αὐτά; «Θὰ ζῇς», λέγει, «μὲ στεναγμοὺς καὶ τρόμον ἐπάνω εἰς τὴν γῆν»[19]. Φαί-

οὐκ ἐὰν τὸ ἁμάρτημα λογισώμεθα, καὶ αὐτὴν δὲ τὴν τιμωρίαν διασκεψώμεθα καλῶς. Ὅτε γὰρ προσήνεγκε κακῶς, ἤλγησεν, ὅτι ὑβρίσας οὐκ ἐτιμήθη παρὰ τοῦ ὑβρισθέντος Θεοῦ, νουθετοῦντα αὐτὸν διέπτυσε, φόνον ἐτόλμησε πρῶτος, μᾶλλον δὲ καὶ φόνου πολλῷ μίασμα ἐναγέστερον, ἐλύπησε τοὺς γεγεννηκότας, ἐψεύσατο τῷ Θεῷ. «Μὴ γὰρ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου;» φησί· καὶ ἀντὶ τούτων ἁπάντων φόβῳ κολάζεται μόνον καὶ τρόμῳ.

Ἀλλ' ὅμως καὶ τὴν χρηστότητα τοῦ Θεοῦ οὐκ ἀπὸ τοῦ πραοτέραν εἶναι μόνον τῆς ἁμαρτίας τὴν τιμωρίαν εἴποιμι ἂν φαίνεσθαι, ἀλλὰ καὶ ἀπὸ τοῦ κέρδος αὐτὴν ἔχειν οὐ τὸ τυχόν. Τὸ δὲ κέρδος ἦν σωφρονίζεσθαι τοὺς ἑξῆς ἅπαντας, καὶ γίνεσθαι βελτίους διὰ τῆς εἰς ἐκεῖνον ἐπιτιμήσεως. Διὰ τοῦτο οὐκ ἀνεῖλεν αὐτόν· οὐδὲ γὰρ ἦν ἴσον ἀκούειν ὅτι Κάϊν τις ἀνελὼν ἀδελφὸν ἀπέθανε, καὶ ὁρᾶν τὸν ἀνελόντα δίκην τίνοντα. Τότε μὲν γὰρ κἂν ἠπιστήθη τοῦτο λεγόμενον διὰ τὴν τοῦ μύσους ὑπερβολήν· νυνὶ δὲ φαινόμενος καὶ παρών, καὶ πολλοὺς καὶ ἐπὶ πολὺν χρόνον μάρτυρας τῆς τιμωρίας ποιούμενος, κατάδηλον καὶ πιστὸν καὶ τοῖς τότε καὶ τοῖς ἐφεξῆς κατέστησε τὸ γεγονός.

Τί οὖν τοῦτο πρὸς ἐκεῖνον φησί; Μάλιστα μέν, καὶ τῆς αὐτοῦ προενόησε σωτηρίας, ὅτε προανέστελλεν αὐτοῦ τὴν λύσσαν τό γε αὐτοῦ μέρος διὰ τῆς τῶν λόγων παραινέσεως. Εἰ δὲ καὶ τὴν τιμωρίαν αὐτήν τις ἐξετάσειε, καὶ ἐκ ταύτης πολλὴν ὄψεται τὴν ὠφέλειαν οὖσαν. Εἰ μὲν γὰρ αὐτὸν ἀπέ-

20. Γεν. 4, 3-7.
21. Γεν. 4, 9.

νεται λοιπὸν ὅτι ἡ τιμωρία εἶναι σκληρά. Ἀλλ' ὅμως δὲν εἶναι σκληρά, ἐὰν σκεφθοῦμεν καλὰ τὸ διαπραχθὲν ἁμάρτημα καὶ ἐξετάσωμεν βαθύτερα τὴν ἰδίαν τὴν τιμωρίαν. Διότι ὅταν προσέφερε τὴν θυσίαν του εἰς τὸν Θεὸν κατὰ τρόπον ἀπρεπῆ[20], ἐλυπήθη ἐπειδή, μολονότι ἐπρόσβαλε τὸν Θεόν, δὲν ἐτιμήθη ἀπὸ τὸν προσβληθέντα Θεόν, καὶ ἐνῷ ὁ Θεὸς τὸν ἐνουθετοῦσε, τὸν ἐπεριφρόνησε, καὶ πρῶτος ἐτόλμησε νὰ διαπράξῃ φόνον, καὶ μάλιστα μίασμα ποὺ ἦτο πολὺ πιὸ βδελυρὸν ἀπὸ τὸν φόνον, ἐλύπησεν αὐτοὺς ποὺ τὸν ἐγέννησαν καὶ εἶπε ψέματα εἰς τὸν Θεόν. Διότι λέγει· «Μήπως ἐγὼ εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου;»[21], καὶ δι' ὅλας αὐτὰς τὰς ἐνεργείας του τιμωρεῖται μόνον μὲ φόβον καὶ τρόμον.

Ἀλλ' ὅμως ἠμπορῶ νὰ εἰπῶ ὅτι καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ γίνεται φανερὴ ὄχι μόνον ἀπὸ τὸ ὅτι ἡ τιμωρία ἦτο περισσότερον ἐπιεικὴς ἀπὸ ὅ,τι ἡ ἁμαρτία, ἀλλὰ καὶ ἀπὸ τὴν ὠφέλειαν ποὺ ἐπήγασεν ἐξ αὐτῆς καὶ ἡ ὁποία δὲν ἦτο τυχαία. Ἡ ὠφέλεια δὲ αὐτὴ ἦτο ὅτι σωφρονίζονται ὅλοι οἱ μεταγενέστεροι ἄνθρωποι καὶ γίνονται καλύτεροι ἐξ αἰτίας τῆς τιμωρίας ἐκείνου. Δι' αὐτὸν τὸν λόγον δὲν τὸν κατέστρεψεν αὐτόν· ἐξ ἄλλου δὲν θὰ ἦτο τὸ ἴδιο πρᾶγμα τὸ νὰ ἀκούουν οἱ ἄνθρωποι ὅτι κάποιος Κάϊν ποὺ ἐφόνευσε τὸν ἀδελφόν του, ἀπέθανε, καὶ τὸ νὰ βλέπουν τὸν φονέα νὰ τιμωρῆται διὰ τὴν πρᾶξιν του αὐτήν. Διότι τότε ἐνδεχομένως καὶ νὰ μὴ ἐγίνετο πιστευτόν, ἐὰν ἐλέγετο, λόγῳ τῆς ὑπερβολικὰ βδελυρᾶς πράξεως, τώρα ὅμως ποὺ εἶναι παρὼν καὶ τὸν βλέπουν καὶ ἔτσι γίνονται πολλοὶ καὶ ἐπὶ πολὺν χρόνον μάρτυρες τῆς τιμωρίας του, γίνεται ἔτσι ἡ πρᾶξίς του ἀποδεκτὴ καὶ πιστευτὴ καὶ εἰς τοὺς συγχρόνους του καὶ εἰς τοὺς μεταγενεστέρους.

Μά, θὰ εἰπῇ κάποιος, τί σημασίαν ἔχει αὐτὸ δι' ἐκεῖνον; Ἔχει σημασίαν καὶ μάλιστα πολὺ μεγάλην, διότι ὁ Θεὸς ἐφρόντισε καὶ διὰ τὴν ἰδικήν του σωτηρίαν, ὅταν δὲν ἄφηνε νὰ θέσῃ εἰς ἐφαρμογὴν τὴν λύσσαν του μὲ τοὺς παραινετικοὺς λόγους του. Ἐὰν δὲ κανεὶς ἤθελεν ἐξετάσει καὶ αὐτὴν τὴν τιμωρίαν, θὰ διαπιστώσῃ ὅτι εἶναι μεγά-

κτεινεν εὐθέως ὁ Θεός, οὐκ ἄν τινα προθεσμίαν αὐτῷ μετανοίας καὶ βελτιώσεως ἔδωκε· τότε δὲ τρόμῳ καὶ δέει συζῶν, εἰ μὴ λίαν ἀναίσθητος ἦν, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπος, πολλὰ ἂν ἀπὸ ταύτης ἐκέρδανε τῆς ζωῆς. Χωρὶς δὲ τούτων ἐλάττονα αὐτῷ τὴν μέλλουσαν κόλασιν διὰ ταύτης τῆς τιμωρίας εἰργάζετο. Τὰ μὲν γὰρ ἐν τῷ παρόντι βίῳ ἐπαγόμενα ἡμῖν παρὰ τοῦ Θεοῦ λυπηρὰ ἢ κολαστήρια τῶν ἐκεῖ βασάνων ὑποτέμνεται μέρος οὐ μικρόν. Καὶ τούτου τὰς μαρτυρίας ἀπὸ τῶν θείων τις ἂν ἀγάγοι Γραφῶν. Ὁ μὲν γὰρ Χριστὸς τοῖς μαθηταῖς διαλεγόμενος, καὶ τὰ κατὰ τὸν Λάζαρον διηγούμενος, φησὶ τὸν Ἀβραὰμ ἱκετευόμενον παρὰ τοῦ πλουσίου ἄκρῳ τῷ δακτύλῳ μικρὸν ἐπιστάξαι φλεγομένῃ τῇ γλώσσῃ εἰπεῖν πρὸς αὐτόν· «Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθὰ ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακά· νῦν δὲ οὗτος ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι». Ὁ δὲ Παῦλος (Παῦλον δὲ ὅταν εἴπω, τὰ τοῦ Χριστοῦ λέγω πάλιν προστάγματα· αὐτὸς γὰρ τὴν μακαρίαν ἐκείνην ἐκίνει ψυχὴν) τοῖς Κορινθίοις ἐπιστέλλων ποτὲ περὶ τοῦ πεπορνευκότος, κελεύει «τὸν τοιοῦτον παραδοθῆναι τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ τοῖς αὐτοῖς πάλιν ὑπὲρ τῶν ἀναξίως τοῖς μυστηρίοις κοινωνούντων διαλεγόμενος, «Διὰ τοῦτο», φησί, «πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Εἶδες φιλανθρωπίαν ἄφατον καὶ πλοῦτον χρηστότητος ἀπει-

---

22. Λουκᾶ 16, 25.
23. Α΄ Κορ. 5, 5.
24. Α΄ Κορ. 11, 30 - 32.

λη ἡ ὠφέλεια ποὺ πηγάζει ἀπὸ αὐτήν. Διότι ἐὰν ὁ Θεὸς τὸν ἐφόνευεν ἀμέσως, δὲν θὰ τοῦ ἔδιδε κάποιαν προθεσμίαν διὰ μετάνοιαν καὶ βελτίωσιν, ἐνῷ τότε ποὺ τὸν ἐτιμώρησε νὰ ζῇ μὲ τρόμον καὶ φόβον, ἐὰν δὲν ἦτο πάρα πολὺ ἀναίσθητος καὶ θηρίον μᾶλλον παρὰ ἄνθρωπος, θὰ ἠμποροῦσε νὰ ἔχῃ πολλὰ ὀφέλη ἀπὸ αὐτὴν τὴν ζωήν. Ἐπὶ πλέον δὲ κατέστησε μὲ τὴν τιμωρίαν αὐτὴν ἐλαφροτέραν τὴν μέλλουσαν τιμωρίαν του. Διότι τὰ δυσάρεστα πράγματα καὶ τὰς τιμωρίας ποὺ μᾶς στέλλει ὁ Θεὸς εἰς τὸν παρόντα κόσμον μειώνουν καὶ μάλιστα κατὰ πολὺ μεγάλον βαθμὸν τὰ βάσανα τῆς μετὰ θάνατον ζωῆς. Περὶ αὐτοῦ ἠμπορεῖ κανεὶς νὰ λάβῃ διαβεβαιώσεις ἀπὸ τὰς θείας Γραφάς. Διότι ὁ μὲν Χριστὸς κατὰ τὴν συζήτησίν του μὲ τοὺς μαθητάς του καὶ διηγούμενος τὰ σχετικὰ μὲ τὸν Λάζαρον τὸν πτωχόν, λέγει ὅτι ὁ Ἀβραὰμ εἶπε πρὸς τὸν πλούσιον ὅταν τὸν παρεκάλει νὰ στάξῃ ὀλίγο νερὸ μὲ τὸ ἄκρον τοῦ δακτύλου του εἰς τὴν κατακαιομένην γλῶσσαν του˙ «Τέκνον, ἐνθυμήσου ὅτι σὺ ἀπήλαυσες τὰ ἀγαθὰ κατὰ τὴν ἐπίγειον ζωήν σου καὶ ὁ Λάζαρος τὰ κακά˙ τώρα ὅμως αὐτὸς παρηγορεῖται ἐδῶ καὶ σὺ ὑποφέρεις»[22]. Ὁ Παῦλος πάλιν (ὅταν ἀναφέρω τὸν Παῦλον, πάλιν εἶναι ὡς νὰ ἀναφέρω τὰ προστάγματα τοῦ Χριστοῦ˙ διότι αὐτὸς ἦτο ἐκεῖνος ποὺ ἐκινοῦσεν ἐκείνην τὴν μακαρίαν ψυχήν) γράφων κάποτε πρὸς τοὺς Κορινθίους σχετικὰ μὲ ἐκεῖνον ποὺ εἶχε διαπράξει πορνείαν, συνιστᾷ «τὸν ἄνθρωπον αὐτοῦ τοῦ εἴδους νὰ τὸν παραδώσουν εἰς τὸν σατανᾶν πρὸς καταστροφὴν τῆς σαρκός, διὰ νὰ σωθῇ τὸ πνεῦμα του κατὰ τὴν ἡμέραν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[23]. Καὶ πρὸς τοὺς ἰδίους πάλιν γράφων σχετικὰ μὲ ἐκείνους ποὺ κοινωνοῦν ἀνάξια τὰ ἅγια μυστήρια, λέγει˙ «Διὰ τοῦτο ἀνάμεσά μας ὑπάρχουν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ ἀρκετοὶ ἀπέθαναν. Ἐὰν ὅμως ἐκρίναμεν τοὺς ἑαυτούς μας, δὲν θὰ ἦτο δυνατὸν νὰ κριθοῦμεν. Ὅταν ὅμως κρινώμεθα ἀπὸ τὸν Κύριον, παιδαγωγούμεθα, ὥστε νὰ μὴ κατακριθοῦμεν μαζὶ μὲ τὸν κόσμον»[24]. Εἶδες φιλανθρωπίαν ἀπερίγραπτον καὶ ἄπειρον πλοῦτον ἀγαθότητος; Εἶδες πῶς ὁ Θεὸς κάνει τὰ

ρον; εἶδες πῶς ἅπαντα πράττει καὶ πραγματεύεται ὁ Θεός, ἵνα καὶ ἁμαρτάνοντες δυνηθῶμεν πρᾳοτέραν τῆς ὀφειλομένης ὑποστῆναι τὴν κόλασιν, ἢ καὶ ἀπαλλαγῆναι τέλεον;

Εἰ δὲ λέγοι τις, τίνος οὖν ἕνεκεν οὐ τὸν ἐξ ἀρχῆς ἀπατήσαντα ἠφάνισε; καὶ τοῦτο σφόδρα κηδόμενος ἡμῶν. Εἰ μὲν γὰρ πρὸς βίαν ὁ μιαρὸς ἐκεῖνος ἐκράτει, εἶχεν ἄν τινα λόγον τὸ ζητούμενον· εἰ δὲ ταύτης μὲν ἀφῄρηται τῆς δυνάμεως, πείθων δὲ μόνον (τὸ μὴ πεισθῆναι δὲ ἐφ' ἡμῖν), τίνος ἕνεκεν τῆς εὐδοκιμήσεως τὴν πρόφασιν περιαιρεῖς, καὶ τὴν τῶν στεφάνων ἐκκόπτεις ὑπόθεσιν; Πρὸς δὲ τούτοις εἰ μὲν εἰδὼς αὐτὸν ἀκαταγώνιστον ὄντα καὶ πάντων μέλλοντα κρατεῖν, εἶτα ἀφῆκεν, ἦν μὲν οὐδὲ οὕτως ἄξιον ὑπὲρ τούτων ἀπορεῖν· καὶ γὰρ καὶ τότε παρ' ἡμᾶς ἐγίνετο τὸ κρατεῖν ἐκεῖνον καὶ νικᾶν τοὺς οὐ βιαζομένους, ἀλλ' ἑκόντας ὑποκλινομένους αὐτῷ· πλὴν ἀλλ' ὅμως οὐδὲ τοῦτο ἤρκεσεν ἂν τοῖς βουλομένοις ἀγνωμονεῖν. Εἰ δὲ πολλοὶ μέν εἰσιν οἱ περιγενόμενοι τῆς ἐκείνου δυνάμεως ἤδη πολλοὶ δὲ οἱ περιεσόμενοι πάλιν, τί τοὺς μέλλοντας εὐδοκιμεῖν καὶ λαμπρὰν ἐπιδείκνυσθαι νίκην, τοσαύτης ἀποστερεῖς τιμῆς; Διὰ τοῦτο γὰρ εἴασεν, ἵνα αὐτὸν καταβάλωσιν οἱ πρότερον ἡττηθέντες ὑπ' αὐτοῦ· ὃ πάσης αὐτῷ κολάσεως μεῖζον, καὶ πρὸς ἐσχάτην κατάκρισιν ἀγαγεῖν ἱκανόν.

Ἀλλ' οὐ πάντες αὐτοῦ περιέσονται, φησί. Καὶ τί τοῦτο πρὸς τὸ λεγόμενον; Πολλῷ γὰρ δικαιότερον τοὺς μὲν γενναίους λαμβάνειν ἀφορμάς, ἐν αἷς τὴν προαίρεσιν ἐπιδείξονται

πάντα καὶ φροντίζει δι᾽ ὅλα, ὥστε καὶ ὅταν ἁμαρτάνωμεν νὰ ὑπάρχῃ ἡδυνατότης νὰ εἶναι ἐπιεικεστέρα ἡ τιμωρία μας ἢ καὶ ἀκόμη ν᾽ ἀπαλλαγοῦμεν τελείως ἀπὸ τὴν τιμωρίαν;

Ἐὰν ὅμως κάποιος ἤθελεν εἰπεῖ· διὰ ποῖον λόγον λοιπὸν ὁ Θεὸς δὲν ἐξηφάνισεν εὐθὺς ἐξ ἀρχῆς αὐτὸν ποὺ ἐξηπάτησε τὸν ἄνθρωπον; Καὶ αὐτὸ συνέβη ἐξ αἰτίας τοῦ μεγάλου ἐνδιαφέροντός του δι᾽ ἡμᾶς. Διότι ἐὰν μὲν ὁ μιαρὸς ἐκεῖνος ἐπικρατοῦσε μὲ τὴν βίαν, θὰ ἠμποροῦσε νὰ ἔχῃ κάποιαν βάσιν τὸ ὑπὸ ἐξέτασιν· ἐὰν ὅμως ἡ μὲν δύναμίς του αὐτὴ τοῦ εἶχεν ἀφαιρεθῆ, τοῦ εἶχε μείνει δὲ μόνον ἡ ἱκανότης νὰ πείθῃ, (τὸ νὰ μὴ πεισθοῦμεν δὲ αὐτὸ ἐξαρτᾶται ἀπὸ ἡμᾶς τοὺς ἰδίους), διὰ ποῖον λόγον λοιπὸν ἀπορρίπτεις τὴν εὐκαιρίαν τῆς εὐδοκιμήσεως καὶ καταστρέφεις τὴν ὑπόθεσιν τῶν στεφάνων; Ἀκόμη δέ, ἐὰν μὲν ἐγνώριζεν ὅτι αὐτὸς ἦτο ἀκατανίκητος καὶ ἐπρόκειτο ὅλους νὰ τοὺς καταβάλῃ, καὶ παρὰ ταῦτα τὸν ἄφηνε, καὶ πάλιν δὲν θὰ ἦτο αὐτὸ ἄξιον νὰ σὲ κάνῃ ν᾽ ἀπορῇς· καθόσον καὶ τότε ἀπὸ ἡμᾶς θὰ ἐξηρτᾶτο νὰ ἐπικρατῇ ὁ διάβολος καὶ νὰ νικᾷ ἐκείνους ποὺ δὲν ἐκβιάζονται ἐκ μέρους του, ἀλλ᾽ ὑποτάσσονται εἰς αὐτὸν μὲ τὴν θέλησίν των. Παρὰ ταῦτα ὅμως οὔτε αὐτὸ θὰ ἦτο ἀρκετὸν δι᾽ αὐτοὺς ποὺ θέλουν νὰ εἶναι ἀγνώμονες. Ἐὰν ὅμως ὑπάρχουν ἤδη πολλοὶ ποὺ κατενίκησαν τὴν δύναμιν ἐκείνου, καὶ πολλοὶ πάλιν ποὺ θὰ τὸν νικήσουν εἰς τὸ μέλλον, διατί αὐτοὺς ποὺ πρόκειται νὰ προκόψουν εἰς τὴν ἀρετὴν καὶ νὰ παρουσιάσουν μίαν λαμπρὰν νίκην τοὺς ἀποστερεῖς ἀπὸ μίαν τόσον μεγάλην τιμήν; Διότι διὰ τὸν λόγον αὐτὸν τὸν ἄφησε, διὰ νὰ τὸν κατασυντρίψουν αὐτοὶ ποὺ εἶχαν νικηθῆ ἀπὸ αὐτόν, πρᾶγμα ποὺ ἀποτελεῖ δι᾽ αὐτὸν τὴν μεγαλυτέραν ἀπὸ ὁποιανδήποτε ἄλλην τιμωρίαν καὶ ἱκανὸν νὰ τοῦ ἐπιφέρῃ τὴν βαρυτέραν καταδίκην.

Ἀλλά, θὰ εἰπῇ κάποιος, δὲν θὰ ἠμπορέσουν ὅλοι νὰ τὸν νικήσουν. Καὶ ποίαν σχέσιν ἔχει αὐτὸ πρὸς τὸ ὑπὸ ἐξέτασιν; Διότι εἶναι πολὺ πιὸ δίκαιον οἱ μὲν γενναῖοι νὰ λαμβάνουν ἀφορμάς, μέσῳ τῶν ὁποίων θὰ ἐπιδεικνύουν τὸν

τὴν αὐτῶν, τοὺς δὲ οὐ τοιούτους ἀπὸ τῆς οἰκείας κολάζεσθαι ῥαθυμίας, ἢ διὰ τούτους ἐκείνους ἐπηρεάζεσθαι. Νῦν μὲν γὰρ ὁ φαῦλος κἂν ἡδικῆται, οὐ παρὰ τὸν ἀνταγωνιστήν, ἀλλὰ παρὰ τὴν αὐτοῦ νωθρείαν κρατούμενος· καὶ τοῦτο δηλοῖ τὸ πλῆθος τῶν νικώντων αὐτόν· τότε δὲ ἂν οἱ σπουδαῖοι διὰ τοὺς φαύλους ἐπηρεάσθησαν, οὐκ ἔχοντες ὅπου τῇ ἀνδρείᾳ χρήσονται δι' ἐκείνους· καὶ ἐγένετο παρόμοιον, ὥσπερ ἂν εἴ τις ἀγωνοθέτης ἀθλητὰς ἔχων δύο, τὸν μὲν καὶ συμπλακῆναι ἕτοιμον τῷ ἀνταγωνιστῇ, καὶ καρτερίαν ἐπιδείξασθαι πολλήν, καὶ στέφανον ἀναδήσασθαι, τὸν δὲ τῆς ταλαιπωρίας ἐκείνης ἀργίαν προτιμῶντα καὶ τρυφήν, λαβὼν ἐκ μέσου τὸν ἀνταγωνιστήν, ἀμφοτέρους ἀπράκτους ἐκπέμψειε παρ' αὐτοῦ. Οὕτω μὲν γὰρ ὁ σπουδαῖος διὰ τὸν φαῦλον ἐπηρεάσθη, ἐκεῖνος δὲ οὐκέτι διὰ τὸν γενναῖον κακός, ἀλλὰ διὰ τὴν κακίαν τὴν αὐτοῦ. Καὶ νῦν μὲν δοκεῖ τὸ ζητούμενον αὐτοῖς εἶναι περὶ τοῦ διαβόλου· κατὰ δὲ τὴν ἀκολουθίαν ὁ λόγος οὗτος προϊὼν τὴν αὐτοῦ πολλοῖς ἐγκαλέσει καὶ μέμψεται τὴν πρόνοιαν καὶ τὴν δημιουργίαν ἅπασαν διαβαλεῖ τοῦ Θεοῦ. Καὶ γὰρ τῆς τοῦ στόματος καὶ τῆς τῶν ὀφθαλμῶν κατηγορήσει διαπλάσεως· διὰ τούτων μὲν γὰρ ἐπιθυμοῦσιν ὧν οὐ δεῖ καὶ εἰς μοιχείαν ἐμπίπτουσιν οἱ πολλοί· δι' ἐκείνου δὲ βλασφημοῦσι καὶ τὰ ὀλέθρια τῶν δογμάτων προφέρουσιν ἕτεροι. Ἆρ' οὖν διὰ τοῦτο χωρὶς γλώττης καὶ ὀφθαλμῶν γενέσθαι τοὺς ἀνθρώπους ἐχρῆν; Οὐκοῦν καὶ τοὺς πόδας ἐκκόψομεν καὶ τὰς χεῖρας ἀποτεμοῦμεν, ἐπειδὴ αὗται μὲν αἱμάτων πλή-

χαρακτῆρα των, ἐνῷ αὐτοὶ ποὺ δὲν εἶναι γενναῖοι νὰ τιμωροῦνται ἀπὸ τὴν ἰδικήν των ὀκνηρίαν καὶ ὄχι νὰ ἐπηρεάζωνται οἱ γενναῖοι ἀπὸ αὐτούς. Διότι τώρα μὲν ὁ φαῦλος, καὶ ἂν ἀκόμη ἀδικῆται, δὲν κατανικᾶται ἀπὸ τὸν ἀνταγωνιστήν του, ἀλλὰ ἀπὸ τὴν ἰδικήν του ὀκνηρίαν. Καὶ αὐτὸ τὸ φανερώνει τὸ πλῆθος τῶν ἀνθρώπων ποὺ τὸν κατενίκησαν. Μόνον τότε θὰ ἦτο δυνατὸν νὰ ἐπηρεασθοῦν οἱ γενναῖοι ἄνθρωποι ἀπὸ τοὺς φαύλους, ἐὰν δὲν εἶχαν, ἐξ αἰτίας αὐτῶν, ποὺ νὰ παρουσιάσουν τὴν ἀνδρείαν των. Καὶ θὰ συνέβαινεν ὅ,τι συμβαίνει εἰς τὴν περίπτωσιν ἐκείνην ποὺ ἐὰν ἕνας ἀγωνοθέτης ἔχων δύο ἀθλητάς, ἀπὸ τοὺς ὁποίους ὁ μὲν ἕνας εἶναι ἕτοιμος νὰ συμπλακῇ μὲ τὸν ἀνταγωνιστήν του καὶ νὰ ἐπιδείξῃ πολλὴν ὑπομονὴν καὶ νὰ πάρῃ τὸν στέφανον τῆς νίκης, ὁ δὲ ἄλλος προτιμᾷ, ἀντὶ τῆς ταλαιπωρίας ἐκείνης, τὴν φυγοπονίαν καὶ τὴν τρυφηλὴν ζωήν, ἀφοῦ ἤθελεν ἀποσύρει τὸν ἀνταγωνιστήν, ἀπομακρύνει καὶ τοὺς δύο χωρὶς νὰ ἔχουν ἀγωνισθῆ. Ἔτσι λοιπὸν ὁ μὲν σπουδαῖος ἐπηρεάσθη ἐξ αἰτίας τοῦ φαύλου, ἐκεῖνος πάλιν δὲν ἔγινεν ἐξ αἰτίας τοῦ γενναίου ἄνανδρος, ἀλλ᾽ ἐξ αἰτίας τῆς ἰδικῆς του κακίας. Εἰς τὴν περίπτωσιν δὲ αὐτὴν φαίνεται τὸ παραπάνω ἀναφερθὲν νὰ εὑρίσκῃ πλήρη ἐφαρμογὴν καὶ εἰς τὴν περίπτωσιν τοῦ διαβόλου. Αὐτὸς λοιπὸν ὁ τρόπος συλλογισμοῦ ἐὰν προχωρήσῃ ἀκόμη περισσότερον θὰ γίνῃ αἰτία νὰ κατηγορηθῇ καὶ νὰ κατακριθῇ ἡ πρόνοια τοῦ Θεοῦ καὶ νὰ συκοφαντηθῇ ὁλόκληρον τὸ δημιουργικὸν ἔργον τοῦ Θεοῦ. Διότι θὰ τὸν κατηγορήσῃ κανεὶς διὰ τὴν κατασκευὴν τοῦ στόματος καὶ τῶν ὀφθαλμῶν, ἀφοῦ μὲ αὐτοὺς οἱ ἄνθρωποι ἐπιθυμοῦν αὐτὰ ποὺ δὲν πρέπει καὶ διαπράττουν οἱ πολλοὶ τὴν μοιχείαν, ἐνῷ μὲ τὸ στόμα βλασφημοῦν καὶ ἄλλοι πάλιν προφέρουν τὰς καταστρεπτικὰς ἐκείνας διδασκαλίας. Μήπως λοιπὸν ἔπρεπεν ἐξ αἰτίας αὐτοῦ νὰ πλασθοῦν οἱ ἄνθρωποι χωρὶς γλῶσσαν καὶ ὀφθαλμούς; Βάσει λοιπὸν αὐτοῦ τοῦ συλλογισμοῦ θὰ ἀποκόψωμεν καὶ τὰ πόδια καὶ τὰ χέρια θ᾽ ἀπορρίψωμεν, ἐπειδὴ τὰ μὲν χέρια εἶναι γεμᾶτα ἀπὸ αἵματα, ἐνῷ τὰ πόδια τρέχουν διὰ νὰ διαπράξουν τὸ κακόν. Ἀλλ᾽ ὅμως οὔτε

ρεις εἰσίν, ἐκεῖνοι δὲ εἰς κακίαν τρέχουσι. Ἀλλ᾽ οὐδὲ τὰ ὦτα τὴν ἀπήνειαν τοῦ λόγου τούτου δυνήσεται ἐκφυγεῖν· καὶ γὰρ ἀκοὴν ματαίαν παραδέχεται καὶ τὴν τῶν δογμάτων φθορὰν παραπέμπει τῇ ψυχῇ· ὥστε καὶ ταῦτα ἀφαιρήσομεν. Εἰ δὲ τοῦτο, καὶ σῖτα καὶ ποτὰ καὶ οὐρανὸν καὶ γῆν καὶ θάλατταν καὶ ἥλιον καὶ φῶς, καὶ σελήνην καὶ τὸν τῶν ἄστρων χορὸν καὶ πάντα τῶν ἀλόγων τὰ γένη· ποῦ γὰρ ἔσται χρήσιμα ταῦτα, τοῦ δι᾽ ὃν ἐγένετο πάντα κατακοπέντος οὕτως ἐλεεινῶς;

Ὁρᾷς τὸν γέλωτα καὶ τὴν ἀτοπίαν εἰς ἣν ὁ λόγος καταστρέφειν ἀναγκάζεται; Ὁ γὰρ διάβολος ἑαυτῷ κακῶς, οὐχ ἡμῖν· ἡμεῖς γὰρ εἰ βουλοίμεθα καὶ πολλὰ καρπωσόμεθα δι᾽ αὐτοῦ καλά, ἄκοντος μὲν καὶ μὴ βουλομένου· τὸ δὲ θαῦμα καὶ ἐν τούτῳ μεῖζον, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἡ ὑπερβολή. Τὸ γὰρ βελτίους γίνεσθαι τοὺς ἀνθρώπους δάκνει μὲν αὐτὸν καὶ αὐτὸ καθ᾽ ἑαυτὸ καὶ λυπεῖ· ὅταν δὲ καὶ δι᾽ αὐτοῦ τοῦτο προξενῆται ἡμῖν, οὐδ᾽ ἐνεγκεῖν δυνήσεται τὴν ἐπήρειαν.

Πῶς οὖν προξενεῖται δι᾽ αὐτοῦ; Δεδοικότες αὐτοῦ τὴν ὠμότητα καὶ τὰς συνεχεῖς ἐπιβουλάς, καὶ τὰς ἐπαλλήλους μηχανάς, τὸν πολὺν ὕπνον ἀποκρουόμεθα, νήφομεν, μεμνήμεθα τοῦ Κυρίου διαπαντός. Καὶ ὅτι οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ τοῦ μακαρίου Παύλου, ἄκουσον πῶς διὰ τῶν αὐτῶν σχεδὸν ῥημάτων διεγείρει τοὺς καθεύδοντας τῶν πιστῶν. Τοῖς γὰρ Ἐφεσίοις ἐπιστέλλων οὕτω πώς φησιν· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». Ταῦτα δὲ ἔλεγεν, οὐ καταβαλεῖν αὐτούς, ἀλλὰ διαναστῆναι βουλό-

25. Ἐφ. 6, 21.

τὰ αὐτιὰ θὰ διαφύγουν τὴν σκληρότητα αὐτοῦ τοῦ συλλογισμοῦ˙ καθόσον αὐτὰ ἀποδέχονται ἀνωφελῆ ἀκούσματα καὶ εἰσάγουν εἰς τὴν ψυχὴν τὰς καταστρεπτικὰς διδασκαλίας καὶ κατὰ συνέπειαν θὰ πρέπει καὶ αὐτὰ νὰ τὰ ἀφαιρέσωμεν. Ἐὰν δὲ συμβῇ αὐτό, τότε θὰ πρέπει ν' ἀπορρίψωμεν καὶ τὰς τροφὰς καὶ τὰ ποτὰ καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὸν ἥλιον καὶ τὸ φῶς καὶ τὴν σελήνην καὶ τὸ σύνολον τῶν ἄστρων καὶ ὅλα τὰ εἴδη τῶν ἀλόγων ζώων˙ διότι εἰς τί θὰ χρησιμεύσουν αὐτὰ πλέον, ὅταν ὁ ἄνθρωπος, διὰ τὸν ὁποῖον ἔγιναν ὅλα αὐτά, ἀκρωτηριασθῇ κατὰ τρόπον τόσον ἐλεεινόν;

Βλέπεις ὅτι ὁ συλλογισμὸς αὐτὸς τῆς καταστροφῆς ὅτι ὁδηγεῖ κατ' ἀνάγκην εἰς ἕνα γελοῖον καὶ παράλογον ἀποτέλεσμα; Διότι ὁ διάβολος εἶναι κακὸς διὰ τὸν ἑαυτόν του καὶ ὄχι δι' ἡμᾶς. Ἐνῷ ἡμεῖς, ἐὰν θελήσωμεν, ἠμποροῦμεν νὰ ἔχωμεν ἐξ αἰτίας του πάρα πολλὰ κακά, ἐν ἀγνοίᾳ του φυσικὰ καὶ χωρὶς νὰ τὸ θέλῃ. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ καθιστᾷ τὸ θαῦμα πολὺ μεγάλο καὶ ἀποδεικνύει τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Διότι ὅταν οἱ ἄνθρωποι γίνωνται καλύτεροι αὐτὸ τὸ πρᾶγμα τὸν καταξεσχίζει καὶ τοῦ προξενεῖ μεγάλην λύπην, ὅταν ὅμως αὐτὸ συμβῇ νὰ γίνῃ ἐξ αἰτίας του, δὲν θὰ ἠμπορέσῃ νὰ ὑποφέρῃ αὐτὴν τὴν καταστρεπτικὴν δι' αὐτὸν ἐνέργειαν.

Πῶς λοιπὸν αὐτὸ γίνεται ἐξ αἰτίας αὐτοῦ; Φοβούμενοι τὴν σκληρότητα αὐτοῦ καὶ τὰς συνεχεῖς ἐπιβουλὰς καθὼς καὶ τὰς ἀλλεπαλλήλους μηχανορραφίας του, καταργοῦμεν τὸν πολὺν ὕπνον, προσέχομεν, ἐνθυμούμεθα διαρκῶς τὸν Κύριον. Καὶ ὅτι τὰ λόγια αὐτὰ δὲν εἶναι ἰδικά μου, ἀλλὰ τοῦ μακαρίου Παύλου, ἄκουσε πῶς μὲ τὰ ἴδια σχεδὸν λόγια διεγείρει ἀπὸ τοὺς πιστοὺς ἐκείνους ποὺ κοιμῶνται. Διότι γράφων πρὸς τοὺς Ἐφεσίους λέγει τὰ ἑξῆς˙ «Δὲν διεξάγομεν πάλην μὲ αἷμα καὶ σάρκα, ἀλλὰ πάλην ποὺ ἀντίπαλοί μας εἶναι αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι, οἱ κοσμοκράτορες τοῦ σκότους αὐτοῦ τοῦ αἰῶνος, τὰ πονηρὰ πνεύματα ποὺ εὑρίσκονται εἰς τὸν οὐρανόν»[25]. Αὐτὰ δὲ τὰ ἔλεγεν ὄχι διὰ νὰ τοὺς ἀπογοητεύσῃ, ἀλλ' ἐπειδὴ ἤθελε νὰ ἐξυ-

μενος. Καὶ ὁ Πέτρος δέ, «Νήψατε», φησί, «γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει». Τοῦτο δὲ εἶπε σφοδροτέρους ἐργάσασθαι θέλων, καὶ πεῖσαι πλείονα πρὸς τὸν Θεὸν τὴν οἰκειότητα ἔχειν. Ὁ γὰρ ἐφεστῶτα τὸν ἐχθρὸν ὁρῶν, μᾶλλον προστρέχει καὶ συμπλέκεται τῷ δυναμένῳ βοηθεῖν. Οὕτω που καὶ τὰ παιδία τὰ μικρά, ὅταν μὲν ἴδῃ τι τῶν φοβερῶν, εἰς τὸν τῆς μητρὸς καταφεύγοντα κόλπον καὶ ἐκκρεμασθέντα τῶν ἱματίων ἐκείνης, ἔχεται αὐτῶν ἀσφαλῶς, καὶ πολλῶν ἀνθελκόντων πολλάκις, οὐκ ἀφίσταται· ὅταν δὲ μηδὲν ᾖ τὸ θορυβοῦν, οὐδὲ καλούσης ἐκείνης καὶ ἐφελκομένης ἀνέχεται, ἀλλὰ καὶ καλοῦσαν διαπτύει, καὶ πολλὰ πρὸς τὸ ἐπισπάσασθαι μηχανωμένην ἀποστρέφεται, καὶ τραπέζης κειμένης καταφρονεῖ. Διὰ τοῦτο πολλαὶ τῶν μητέρων ἐπειδὰν μηδὲν ἰσχύσωσι παρακαλοῦσαι, μορμολύκεια καὶ φόβητρα κατασκευάζουσαι, οὕτως αὐτῶν σοφίζονται τὴν ἐπάνοδον, καὶ πείθουσι προσδραμεῖν πάλιν αὐταῖς. Τοῦτο δὲ οὐκ ἐπὶ τῶν παιδίων γίνεται μόνον, ἀλλὰ καὶ ἐφ᾽ ἡμῶν. Ὅταν γὰρ ἡμᾶς ὁ πονηρὸς φοβῇ καὶ ταράττῃ, τότε σωφρονιζόμεθα, τότε ἑαυτοὺς ἐπιγινώσκομεν, τότε μετὰ πολλῆς τῆς σπουδῆς τῷ Θεῷ προστρέχομεν· εἰ δὲ ἠφανίσθη παρὰ τὴν ἀρχὴν οὗτος καὶ γέγονεν ἐκποδών, τάχα οὐδὲ ὑπὲρ τῶν παρελθόντων ἂν ἐπίστευσαν οἱ πολλοί· οἷον ὅτι τὸν ἄνθρωπον ἠπάτησε, καὶ τῶν πολλῶν ἐκείνων ἐξέβαλεν ἀγαθῶν· ἀλλὰ τὸν Θεὸν φθόνῳ καὶ βασκανίᾳ τοῦτο πεποιηκέναι εἶπον

26. Α΄ Πέτρ. 5, 8.

ψώση τὸ φρόνημά των. Καὶ ὁ Πέτρος δὲ λέγει τὰ ἑξῆς· «Γίνατε ἐγκρατεῖς, ἐπαγρυπνῆτε, διότι ὁ ἀντίδικός σας διάβολος περιτριγυρίζει ὡσὰν λέων ποὺ οὐρλιάζει καὶ ψάχνει νὰ εὕρῃ ποῖον νὰ καταβροχθίσῃ· ἀντισταθῆτε λοιπὸν εἰς αὐτόν, ἔχοντες ἀκλόνητον τὴν πίστιν σας»[26]. Αὐτὸ δὲ τὸ εἶπε ἐπειδὴ ἤθελε νὰ τοὺς κάνῃ νὰ εἶναι περισσότερον ἰσχυροὶ καὶ νὰ τοὺς πείσῃ νὰ ἔχουν μεγαλυτέραν οἰκειότητα μὲ τὸν Θεόν. Διότι ἐκεῖνος ποὺ βλέπει τὸν ἐχθρὸν νὰ στέκεται μπροστά του, τρέχει μὲ περισσοτέραν προθυμίαν καὶ ἑνώνεται μὲ ἐκεῖνον ποὺ εἶναι εἰς θέσιν νὰ τὸν βοηθήσῃ. Καθ᾽ ὅμοιον τρόπον λοιπὸν καὶ τὰ παιδιά, ὅταν ἰδοῦν κάτι ἀπὸ τὰ φοβερά, τρέχουν εἰς τὴν ἀγκαλιὰν τῆς μητέρας των καὶ ἀφοῦ κρεμασθοῦν ἀπὸ τὰ ροῦχα της κρατοῦνται ἀπὸ αὐτὰ νοιώθοντα ἀσφάλειαν, καὶ μολονότι πολλοὶ τὰ τραβοῦν πολλὲς φορὲς διὰ νὰ τὰ πάρουν, αὐτὰ δὲν ἀποχωρίζονται ἀπὸ αὐτά. Ὅταν ὅμως δὲν ὑπάρχῃ τίποτε ποὺ νὰ τὰ δημιουργῇ φόβον, τότε δὲν τὴν ἀνέχονται οὔτε καὶ ἂν τὰ φωνάζῃ καὶ ἂν τὰ τραβᾷ, ἀλλὰ καὶ τὴν κοροϊδεύουν ὅταν τὰ φωνάζῃ, τὴν ἀποφεύγουν ὅταν μηχανεύεται διαφόρους τρόπους διὰ νὰ τὰ προσελκύσῃ καὶ ἀκόμη περιφρονοῦν καὶ τὸ στρωμένον τραπέζι. Διὰ τὸν λόγον αὐτὸν πολλαὶ ἀπὸ τὰς μητέρας ὅταν δὲν κατορθώσουν νὰ ἐπιτύχουν τίποτε μὲ τὰς παρακλήσεις των, κατασκευάζουν διαφόρους προσωπίδας ἐκφοβισμοῦ καὶ φόβητρα, καὶ ἐπινοοῦν κατ᾽ αὐτὸν τὸν τρόπον ὅλα αὐτὰ διὰ νὰ τὰ κάνουν νὰ ἐπιστρέψουν καὶ τὰ πείθουν ὥστε νὰ ἐπιστρέψουν καὶ πάλιν κοντά των. Καὶ αὐτὸ δὲν συμβαίνει μόνον μὲ τὰ παιδιά, ἀλλὰ καὶ μὲ ἡμᾶς τοὺς ἰδίους. Διότι ὅταν ὁ πονηρὸς διάβολος μᾶς ἐκφοβίζῃ καὶ μᾶς τρομάζῃ, τότε σωφρονιζόμεθα, τότε φθάνομεν εἰς τὸ σημεῖον νὰ γνωρίσωμεν τὸν ἑαυτόν μας, τότε προστρέχομεν μὲ πολλὴν προθυμίαν πρὸς τὸν Θεόν. Ἐὰν ὅμως εὐθὺς ἐξ ἀρχῆς ἐξηφανίζετο ὁ διάβολος καὶ εἶχε τεθῆ ἐκτός, ἐνδεχομένως οἱ πολλοὶ ἄνθρωποι νὰ μὴ ἐπίστευαν οὔτε καὶ τὰ παλαιὰ γεγονότα, ὅπως ἐπὶ παραδείγματι ὅτι ἐξηπάτησε τὸν ἄνθρωπον καὶ τοῦ ἐστέρησε τὰ πολλὰ ἐκεῖνα ἀγαθά, καὶ θὰ ἔλεγαν ὅτι ὁ Θεὸς ἀπὸ φθόνον

ἄν. Ὅπου γὰρ καὶ νῦν εἰσιν οἱ ταῦτα τολμῶντες μετὰ τὴν τοσαύτην ἀπόδειξιν τῆς ἀπάτης αὐτοῦ, εἰ μηδὲ ὅλως πεῖραν ἔλαβον τῆς κακουργίας ἐκείνου, τί οὐκ ἂν εἶπον, τί οὐκ ἂν ἐφθέγξαντο; Ὅλως δὲ εἰ χρὴ μετὰ ἀκριβείας τοῖς γενομένοις προσέχειν, οὐδὲ εἰς ἅπαντα ἡμᾶς ὁ διάβολος ὠθεῖ, ἀλλὰ πολλὰ μὲν καὶ αὐτὸς ἐργάζεται κακά, πολλὰ δὲ καὶ ἡμεῖς ἑαυτοῖς ῥᾳθυμίᾳ καὶ καταφρονήσει μόνον. Ποῦ γάρ, ἵνα πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανέλθωμεν, προσεπέλασεν ὁ διάβολος τῷ Κάϊν, καὶ τὸν φόνον πρᾶξαι παρῄνεσε; Τῇ μὲν γὰρ τούτου μητρὶ φαίνεται διαλεγόμενος καὶ τὴν ἀπάτην κατασκευάζων· ἐνταῦθα δὲ οὐκέτι, πλὴν εἴ τις αὐτὸν τοὺς πονηροὺς λογισμοὺς ὑποβεβληκέναι φαίη, καὶ τοῦτο δὲ παρὰ τὸν καταδεξάμενον καὶ πεισθέντα καὶ τὴν ἀρχὴν αὐτῷ παρεσχηκότα τῆς ἐφόδου. Ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὸν εἴασεν ὁ Θεός, ἀλλ' ἐπέμενε παιδεύων καὶ νουθετῶν, δι' ὧν ἐδόκει κολάζειν αὐτόν.

Καὶ τί λέγω τοῦ Κάϊν τὴν τιμωρίαν, ἀνδρὸς ἑνός, ὅπου γε καὶ ὁ κατακλυσμός, ἔνθα τοσούτων ἀνδρῶν ἀπώλεια δύναιτ' ἂν ἡμῖν ἐμφῆναι τὴν κηδεμονίαν τοῦ Θεοῦ; Πρῶτον μὲν γὰρ οὐχ ἁπλῶς οὐδὲ ἀπροσδοκήτως ἐπήγαγεν ἐκεῖνα τὰ δεινά, ἀλλὰ καὶ προεῖπε, καὶ οὐ πρὸ χρόνου βραχέος, ἀλλὰ καὶ πρὸ εἴκοσι ἐτῶν καὶ ἑκατόν. Ἔπειτα, ἵνα μὴ διὰ τὸ μῆκος τῆς προρρήσεως εἰς λήθην ἐμπέσωσι καὶ ῥᾳθυμίαν, παρεσκεύασε τὴν κιβωτὸν τεκταίνεσθαι κατ' ὀφθαλμοὺς ἐκείνων αὐτῶν, πάσης φωνῆς λαμπρότερον βοῶσαν τοῦ Θεοῦ τὴν ἀπειλήν. Ὁ μὲν γὰρ Κάϊν ἐξέπεσεν ἤδη τῆς τῶν ἀνθρώ-

καὶ μῖσος ἔπραξεν αὐτό. Ἀφοῦ λοιπὸν καὶ σήμερα ὑπάρχουν ὡρισμένοι ποὺ τολμοῦν καὶ λέγουν ὅλα αὐτά, ὕστερα μάλιστα ἀπὸ τὴν τρανωτάτην ἀπόδειξιν τῆς ἀπάτης τοῦ διαβόλου, τί δὲν θὰ ἦτο δυνατὸν νὰ εἰποῦν καὶ τί δὲν θὰ ἦτο δυνατὸν νὰ διαλαλήσουν, ἐὰν δὲν εἶχαν καμμίαν διαβεβαίωσιν περὶ τῆς κακουργίας ἐκείνου; Ὁπωσδήποτε ὅμως ἐὰν ἐξετάσωμεν μὲ ἀκρίβειαν τὰ ὅσα συνέβησαν, θὰ διαπιστώσωμεν ὅτι ὁ διάβολος δὲν μᾶς παρωθεῖ εἰς ὅλα γενικὰ τὰ ἀτοπήματα, ἀλλὰ ὅτι πολλὰ μὲν κακὰ τὰ προξενεῖ ὁ διάβολος, πολλὰ δὲ τὰ προξενοῦμεν ἡμεῖς οἱ ἴδιοι εἰς τοὺς ἑαυτούς μας ἐξ αἰτίας τῆς ὀκνηρίας καὶ τῆς περιφρονήσεως μόνον ποὺ μᾶς διακατέχει. Διότι, διὰ νὰ ἐπανέλθωμεν πάλιν εἰς τὴν ἀρχήν, ποῦ ἐπλησίασεν ὁ διάβολος τὸν Κάϊν καὶ τὸν προέτρεψε νὰ διαπράξῃ τὸν φόνον; Κατ' ἀρχὴν βέβαια παρουσιάσθη εἰς τὴν μητέρα του καὶ κατὰ τὴν συζήτησίν του μὲ αὐτὴν προετοίμασε τὴν ἀπάτην, εἰς τὸν ἴδιον ὅμως δὲν συνέβη αὐτό, ἐκτὸς ἐὰν κάποιος ἤθελεν ἰσχυρισθῇ, ὅτι ὁ διάβολος ἐνέσπειρεν εἰς τὸ μυαλόν του τὰς πονηρὰς σκέψεις, ἀλλὰ καὶ αὐτὸ συνέβη ἐπειδὴ ὁ ἴδιος τὸν ἐδέχθη καὶ ἐπείσθη καὶ τὸν ἐπέτρεψεν ὁ ἴδιος ἀπὸ τὴν ἀρχὴν νὰ κάνῃ τὴν ἔφοδόν του. Παρὰ ταῦτα ὅμως οὔτε καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ τὸν ἄφησεν ὁ Θεὸς ἀβοήθητον, ἀλλ' ἐπέμενε νὰ τὸν παιδεύῃ καὶ νὰ τὸν συμβουλεύῃ μὲ ὅλα ἐκεῖνα μὲ τὰ ὁποῖα ἐφαίνετο ὅτι τὸν τιμωρεῖ.

Μά, διατί ἀναφέρω τὴν τιμωρίαν ἑνὸς ἀνθρώπου, τοῦ Κάϊν, καθ' ἣν στιγμὴν καὶ ὁ κατακλυσμός, κατὰ τὸν ὁποῖον τόσοι πολλοὶ ἄνθρωποι ἀπέθαναν, εἶναι δυνατὸν νὰ ἀποδείξῃ τὴν μεγάλην φροντίδα τοῦ Θεοῦ διὰ τὸν ἄνθρωπον; Διότι, κατ' ἀρχήν, δὲν ἀπέστειλεν ὅλα ἐκεῖνα τὰ κακὰ ἔτσι ἁπλῶς καὶ χωρὶς καμμίαν προειδοποίησιν, ἀλλὰ καὶ τοὺς τὰ προεῖπε, καὶ αὐτὸ συνέβη ὄχι πρὶν ἀπὸ ὀλίγον χρόνον, ἀλλὰ πρὸ ἑκατὸν εἴκοσιν ἐτῶν. Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ συμβῇ καὶ λησμονηθοῦν τὰ λόγια του καὶ ἀδιαφορήσουν λόγῳ τοῦ πολλοῦ χρόνου ποὺ ἐμεσολάβησεν, ἔδωσεν ἐντολὴν νὰ κατασκευάζεται ἡ κιβωτὸς παρουσίᾳ ὅλων ἐκείνων τῶν ἰδίων, πρᾶγμα ποὺ διεκήρυττε τρανώτερα ἀπὸ ὁποιαν-

πων διανοίας, ἐκείνη δὲ πρὸ τῶν ὄψεων αὐτῶν κειμένη, συνεχῶς τῶν ἀπειληθέντων τὴν μνήμην διήγειρεν. Ἀλλ᾽ οὐδὲ οὕτως ἐσωφρονίσθησαν, ἀλλ᾽ ἐπέμενον προκαλούμενοι καὶ ἕλκοντες καθ᾽ ἑαυτῶν τὰ κακά. Ὁ γὰρ Θεὸς οὔτε ἀπειλῆσαι κατακλυσμὸν οὔτε ἐπαγαγεῖν ἠθέλησεν, ὥσπερ οὐδὲ τὴν γέενναν αὐτήν, ἀλλὰ πάντων ἡμεῖς αἴτιοι τούτων· ὅπερ καὶ σοφώτατός τις συνιδὼν ἔλεγεν, ὅτι «Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων». Καὶ αὐτὸς δὲ διὰ τοῦ προφήτου οὕτω φησί· «Μὴ γὰρ θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Ὅταν δὲ μὴ ἐπιστραφῶμεν, τὴν ἀπώλειαν καὶ τὸν θάνατον ἡμεῖς καθ᾽ ἑαυτῶν ἐπάγομεν, οὐχ ὁ μὴ βουλόμενος ἡμᾶς ἀπολέσθαι Θεός, καὶ τὴν τοῦ διαβόλου φυγεῖν ὁδὸν ὑποδεικνύς.

Ἆρ᾽ οὖν τοῦτο μόνον ἔχομεν εἰπεῖν ὑπὲρ τοῦ κατακλυσμοῦ, κέρδος δὲ οὐδὲν εὑρήσομεν ἐξ αὐτοῦ γεγονός; Ἀλλ᾽ οὐδὲ ἔστιν εἰπεῖν ὅσον καὶ τοῖς τετελευτηκόσιν αὐτοῖς καὶ τοῖς μετ᾽ ἐκείνους γεγενημένοις ὑπῆρξεν. Ἐκεῖνοι μὲν γὰρ περαιτέρω προελθεῖν τῆς κακίας ἐκωλύθησαν, οἱ δὲ μετ᾽ ἐκείνους ἐκείνων μειζόνως ἐκέρδανον, τῆς ζύμης, ὡς ἄν τις εἴποι, καὶ τῆς ὑποθέσεως τῶν κακῶν ἀφανισθείσης ἐκ μέσου μετὰ τῶν τολμησάντων αὐτῶν. Εἰ γὰρ καὶ χωρὶς παραδείγματος εὐκόλως δύναιντ᾽ ἂν εὑρεῖν οἱ ἄνθρωποι τὰ κακά, τί οὐκ ἂν ἔπραξαν πολλῶν ὄντων τῶν παρακαλούντων αὐτοὺς ἐπὶ τὰς πράξεις τὰς πονηράς; Ὅπερ ἵνα μὴ γένηται, μηδὲ

---

27. Σοφ. Σολομ. 1, 13.
28. Ἰεζ. 18, 23.

δήποτε ἄλλην φωνὴν τὴν ἀπειλὴν τοῦ Θεοῦ. Διότι ὁ μὲν Κάϊν ἐλησμονήθη ἤδη ἀπὸ τοὺς ἀνθρώπους, ἐνῷ ἡ κιβωτός, εὑρισκομένη διαρκῶς ἐμπρὸς εἰς τὰ μάτια των, τοὺς ὑπενθύμιζε συνεχῶς τὰς ἀπειλὰς τοῦ Θεοῦ. Ἀλλ' ὅμως οὔτε καὶ ἔτσι ἐσωφρονίσθησαν, ἀλλ' ἐπέμειναν νὰ τὸν προκαλοῦν καὶ νὰ ἐπισύρουν ἐπάνω τους τὰ κακά. Διότι ὁ Θεὸς δὲν ἠθέλησεν οὔτε νὰ τοὺς ἀπειλήσῃ μὲ κατακλυσμόν, ἀλλ' οὔτε καὶ νὰ τοὺς καταστρέψῃ μὲ κατακλυσμόν, ὅπως ἀκριβῶς οὔτε καὶ αὐτὴν τὴν αἰώνιον κόλασιν, ἀλλ' ἡμεῖς οἱ ἴδιοι εἴμεθα αἴτιοι ὅλων αὐτῶν, πρᾶγμα ποὺ κάποιος πάρα πολὺ σοφὸς τὸ κατενόησε καὶ εἶπεν, ὅτι «Ὁ Θεὸς δὲν ἔκανε τὸν θάνατον, οὔτε καὶ εὐχαριστεῖται μὲ τὴν ἀπώλειαν τῶν ἀνθρώπων»[27]. Καὶ ὁ ἴδιος ὁ Θεὸς διὰ μέσου τοῦ προφήτου λέγει τὰ ἑξῆς· «Δὲν θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ θέλω νὰ ἐπιστρέψῃ καὶ νὰ ζήσῃ»[28]. Ὅταν ὅμως δὲν ἐπιστρέφωμεν, ἡμεῖς οἱ ἴδιοι τότε ἐπισύρομεν κατὰ τοῦ ἑαυτοῦ μας τὴν ἀπώλειαν καὶ τὸν θάνατον, καὶ ὄχι ὁ Θεὸς ὁ ὁποῖος δὲν θέλει νὰ μᾶς καταστρέψῃ καὶ ὁ ὁποῖος μᾶς ὑποδεικνύει ν' ἀποφύγωμεν τὴν ὁδὸν τοῦ διαβόλου.

Μήπως λοιπὸν αὐτὸ μόνον ἔχομεν νὰ εἰποῦμεν περὶ τοῦ κατακλυσμοῦ; δὲν ὑπάρχει καμμία ὠφέλεια ποὺ νὰ προέκυψεν ἀπὸ αὐτό; Τόσον μεγάλη εἶναι ἡ ὠφέλεια ποὺ προῆλθεν ἀπ' αὐτὸν καὶ δι' ἐκείνους ποὺ ἀπέθαναν καὶ διὰ τοὺς μεταγενεστέρους, ὥστε νὰ μὴ εἶναι δυνατὸν νὰ περιγραφῇ. Διότι ἐκεῖνοι μὲν ἠμποδίσθησαν νὰ προχωρήσουν εἰς μεγαλύτερα κακά, ἐνῷ οἱ μεταγενέστεροι ὠφελήθησαν πολὺ περισσότερον ἀπὸ ἐκείνους, ἀφοῦ, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ἐξηφανίσθησαν, μαζὶ μὲ αὐτοὺς ποὺ ἐτόλμησαν νὰ πράξουν ὅλα αὐτά, ἡ ζύμη καὶ ἡ αἰτία τῶν κακῶν. Διότι ἐὰν οἱ ἄνθρωποι καὶ χωρὶς νὰ ὑπάρχουν παραδείγματα εὔκολα ἠμποροῦν νὰ διαπράξουν τὰ κακά, τί δὲν θὰ ἦτο δυνατὸν νὰ πράξουν ἐὰν ὑπῆρχαν πολλαὶ ἀφορμαὶ καὶ παραδείγματα ποὺ θὰ τοὺς ἐπαρακινοῦσαν νὰ διαπράξουν τὰς πονηρὰς πράξεις; Ὥστε διὰ νὰ μὴ συμβῇ αὐτό, οὔτε νὰ ἔχουν οἱ μεταγενέστεροι ἄνθρωποι τό-

τοσούτους διδασκάλους οἵ μετὰ ταῦτα φαυλότητος ἔχωσι, πάντας αὐτοὺς ἄρδην ἀπώλεσεν.

Ἀλλὰ τίς ὁ σοφὸς λόγος, μᾶλλον δὲ ὁ ἀνόητος, τῶν πράττειν μὲν οὐδὲν βουλομένων ἀγαθόν, πάντα δὲ ζητούντων καὶ λεγόντων, ἵνα τῶν οἰκείων ἁμαρτημάτων τὴν αἰτίαν ἐπὶ τὸν Θεὸν ἀγάγωσιν; Εἰ μὴ συνεχώρησε, φησίν, ὁ Θεός, οὐδ' ἂν προσῆλθεν ὁ διάβολος, οὐδ' ἂν ἠπάτησε τὴν ἀρχήν. Ἀλλ' οὐδ' ἂν ἔμαθεν ὁ Ἀδὰμ ὅσον εἶχεν ἀγαθόν, οὐδ' ἂν ἐκ τῆς ἀπονοίας ἐκείνης κατέβη ποτέ. Ὁ γὰρ τοσούτου ἑαυτὸν καταξιῶν, ὡς καὶ θεὸς γενέσθαι προσδοκᾶν, τί οὐκ ἂν ἐτόλμησεν οὗτος, μὴ σωφρονισθείς; Θῶμεν δὲ μήτε συμβεβουλευκέναι τι τὸν διάβολον, μήτε ὅλως διειλέχθαι τῇ Εὔᾳ περὶ τοῦ ξύλου· ἆρα ἂν ἄπταιστοι διετέλεσαν μὴ γενομένου τούτου; Οὐκ ἔστιν εἰπεῖν. Ὁ γὰρ ὑπὸ τῆς γυναικὸς οὕτως εὐκόλως ἀναπεισθείς, οὗτος καὶ διαβόλου οὐκ ὄντος ταχέως ἂν ἀφ' ἑαυτοῦ πρὸς τὴν ἁμαρτίαν κατέπεσεν· ὃ καὶ μείζω ἂν αὐτῷ τὴν τιμωρίαν ἐποίησε. Χωρὶς δὲ τούτων οὐδὲ νῦν τῆς τοῦ διαβόλου μόνον ἀπάτης τὸ πᾶν ἐστιν, ἀλλὰ καὶ ὑπὸ τῆς οἰκείας ἐπιθυμίας ἁλοῦσα κατέπεσεν ἡ γυνή. Καὶ τοῦτο ἡ Γραφὴ παρεδήλωσεν εἰποῦσα· «Καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖον τοῦ κατανοῆσαι· καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν». Καὶ οὐ τὸν διάβολον ἀπαλλάττων τῶν τῆς ἐπιβουλῆς ἐγκλημάτων ταῦτα λέγω νῦν, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι εἰ μὴ ἑκόντες κατέπεσον, οὐδεὶς ἂν αὐτοὺς κατέβαλεν. Ὁ γὰρ τὴν

29. Γέν. 3, 6.

σους πολλοὺς δασκάλους κακῶν πράξεων, τοὺς ἐξηφάνισεν ὁ Θεὸς ὅλους διὰ μιᾶς.

Ἀλλ' ὅμως ποία εἶναι ἡ σοφὴ αἰτία, ἢ μᾶλλον ἡ ἀνόητος, ἐκείνων ποὺ δὲν θέλουν μὲν νὰ πράξουν κανένα ἀγαθόν, ἀλλ' ἐπιθυμοῦν ν' ἀποκτήσουν τὰ πάντα καὶ ὅλα τὰ ἐξετάζουν, ὥστε ν' ἀποδώσουν τὴν αἰτίαν τῶν ἰδικῶν των ἁμαρτημάτων εἰς τὸν Θεόν; Λέγουν, ὅτι ἐὰν ὁ Θεὸς δὲν τὸ ἐπέτρεπε δὲν θὰ ἦτο δυνατὸν ὁ διάβολος νὰ πλησιάσῃ τὸν πρῶτον ἄνθρωπον καὶ δὲν θὰ ἠμποροῦσε νὰ τὸν ἐξαπατήσῃ. Ἀλλ' οὔτε θὰ ἠμποροῦσεν ὁ Ἀδὰμ ν' ἀντιληφθῇ τὸ πόσον μεγάλο ἀγαθὸν ἦτο αὐτὸ ποὺ κατεῖχε, καὶ δὲν θὰ ἦτο δυνατὸν οὔτε καὶ ἀπὸ ἐκείνην τὴν ἀνόητον ἐνέργειαν ν' ἀπαλλαγῇ. Διότι ἐκεῖνος ποὺ θὰ ἐθεώρει τὸν ἑαυτόν του ἄξιον μιᾶς τόσον μεγάλης τιμῆς, ὥστε ν' ἀναμένῃ νὰ γίνῃ καὶ θεός, τί δὲν θὰ ἦτο δυνατὸν νὰ ἐπιχειρήσῃ νὰ πράξῃ, ἐὰν δὲν ἐσωφρονίζετο μὲ τὴν τιμωρίαν; Ἂς ὑποθέσωμεν ὅτι ὁ διάβολος οὔτε τὸν εἶχε συμβουλεύσει κάτι παρόμοιον, ἀλλὰ καὶ οὔτε κἂν συνωμίλησε μὲ τὴν Εὔαν διὰ τὸ ξύλον τῆς Ζωῆς· ἆρά γε θὰ ἦτο δυνατὸν ἐὰν δὲν συνέβαινεν αὐτὸ νὰ παραμείνουν ἀναμάρτητοι; Δὲν ἠμποροῦμεν νὰ τὸ ὑποστηρίξωμεν αὐτό. Διότι αὐτὸς ποὺ μὲ τόσην εὐκολίαν ἐπίστευσεν εἰς τὰ λόγια τῆς γυναικός, αὐτὸς καὶ ἀκόμη καὶ διάβολος νὰ μὴ ὑπῆρχε, πάρα πολὺ γρήγορα θὰ ἦτο δυνατὸν μὲ τὴν ἰδικήν του θέλησιν νὰ διαπράξῃ τὴν ἁμαρτίαν, πρᾶγμα ποὺ θὰ ἐγίνετο αἰτία νὰ τοῦ ἐπιβληθῇ ἀκόμη πιὸ μεγάλη τιμωρία. Ἀλλὰ καὶ ἐκτὸς ἀπὸ ὅλα αὐτὰ οὔτε καὶ τώρα τὸ πᾶν ὀφείλεται μόνον εἰς τὴν ἀπάτην τοῦ διαβόλου, ἀλλ' ἡ γυναῖκα διέπραξε τὴν ἁμαρτίαν ἐπειδὴ κατεκυριεύθη καὶ ἀπὸ τὴν ἰδικήν της ἐπιθυμίαν. Καὶ αὐτὸ τὸ κατέστησε φανερὸν ἡ Γραφὴ μὲ τὰ λόγια· «Καὶ εἶδεν ἡ γυναῖκα, ὅτι τὸ ξύλον ἦτο καλὸν διὰ νὰ τὸ φάγῃ καὶ ὅτι ἦτο εὐχάριστον εἰς τοὺς ὀφθαλμοὺς καὶ ὡραῖον νὰ τὴν ὁδηγήσῃ εἰς τὴν γνῶσιν· καὶ ἀφοῦ ἔλαβε τὸν καρπὸν αὐτοῦ τὸν ἔφαγε»[29]. Καὶ δὲν τὰ λέγω αὐτὰ τώρα διὰ ν' ἀπαλλάξω τὸν διάβολον ἀπὸ τὰ ἐγκλήματα τῆς ἀπάτης του, ἀλλ' ἐπειδὴ θέλω νὰ δείξω, ὅτι ἐὰν δὲν ἐξέπιπταν

παρ' ἑτέρου δεξάμενος ἀπάτην οὕτως εὐκόλως, οὗτος καὶ πρὸ τῆς ἀπάτης ῥαθύμως καὶ χαύνως διέκειτο· οὐδὲ γὰρ ἂν ἴσχυσε τοσοῦτον ἐκεῖνος, εἰ νηφούσῃ καὶ ἐγρηγορυίᾳ διελέγετο ψυχῇ.

Ἀλλ' εἰσί τινες οἵ, ἐπειδὰν κατὰ τοῦτο διελεγχθῶσι τὸ μέρος, τὸν διάβολον ἀφέντες ἐπὶ τὴν ἐντολὴν μεταβαίνουσι, καὶ τοῦ μὲν ἡμαρτηκότος ἀπέχονται, ἐγκαλοῦσι δὲ τῷ Θεῷ λέγοντες, 'τί γὰρ ἐδίδου πρόσταγμα, ἁμαρτήσοντας αὐτοὺς εἰδώς;'. Καὶ ταῦτα δέ ἐστι διαβόλου τὰ ῥήματα καὶ ἀσεβοῦς ἐννοίας εὑρήματα. Ὅτι γὰρ καὶ τὸ δοῦναι τὴν ἐντολὴν μείζονος κηδεμονίας ἐστίν, ἢ τὸ μὴ δοῦναι, δῆλον ἐκεῖθεν. Ἔστω γὰρ ὁ Ἀδὰμ τὴν μὲν προαίρεσιν ἔχων οὕτω ῥάθυμον, ὡς τὸ τέλος ἀπέδειξε, δεχέσθω δὲ μηδεμίαν ἐντολήν, ἀλλὰ μενέτω τρυφῶν· ἆρα ἡ ἀσθένεια καὶ ἡ ῥαθυμία ἀπὸ τῆς ἀνέσεως ταύτης ἐπὶ τὸ χεῖρον ἢ ἐπὶ τὸ κρεῖττον ἐπέδωκεν ἄν; Ἀλλὰ παντί που δῆλον, ὅτι πρὸς ἐσχάτην ἂν κατέπεσε κακίαν, ἄφροντις ὤν. Ὁ γὰρ μηδέπω θαρρεῖν ὑπὲρ τῆς ἀθανασίας ἔχων, ἀλλ' ἔτι μετέωρον τὴν ἐλπίδα ταύτην οὖσαν εἰδώς, καὶ πρὸς τοσοῦτον ἀλαζονείας καὶ ἀνοίας ἀρθείς, ὡς καὶ ἐλπίσαι γενέσθαι θεός, καὶ ταῦτα οὐδαμόθεν τὸν ταῦτα ἐπαγγειλάμενον πιστὸν ὁρῶν, εἰς βεβαίαν ἔσχε τὴν ἀθανα-

μὲ τὴν θέλησίν των, δὲν θὰ ἠμποροῦσε κανεὶς νὰ τοὺς καταβάλῃ. Διότι αὐτὸς ποὺ μὲ τόσην εὐκολίαν ἀπεδέχθη τὴν ἀπάτην ἀπὸ ἄλλον, αὐτὸς καὶ πρὶν ἀπὸ τὴν ἀπάτην ἐπερνοῦσε τὴν ζωήν του μὲ ραθυμίαν καὶ χαυνότητα· οὔτε βέβαια θὰ ἠμποροῦσε νὰ ἔχῃ τέτοια ἀποτελέσματα, ἐὰν ὁ διάλογος ἐγίνετο μὲ μίαν ψυχὴν ποὺ διετήρει τὴν πνευματικήν της διαύγειαν καὶ τὴν ἐπαγρύπνησιν.

Ἀλλ' ὑπάρχουν ὡρισμένοι, οἱ ὁποῖοι, ὅταν αὐτὸς ὁ ἰσχυρισμός των ἀποδειχθῇ ἀνίσχυρος, ἀφήνοντες τὸν διάβολον μεταφέρουν τὴν συζήτησιν εἰς τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ τὸν μὲν ἁμαρτήσαντα δὲν τοῦ ἐπιρρίπτουν εὐθύνην, κατηγοροῦν ὅμως τὸν Θεὸν λέγοντες· 'Διατί λοιπὸν τοὺς ἔδωσε τὴν ἐντολήν, ἀφοῦ ἐγνώριζεν ἐκ τῶν προτέρων ὅτι θ' ἁμαρτήσουν;' Ἀλλὰ καὶ αὐτὰ τὰ λόγια εἶναι λόγια τοῦ διαβόλου καὶ ἐπινοήματα ἀσεβοῦς διανοίας. Διότι τὸ ὅτι τοὺς ἔδωσε τὴν ἐντολὴν ἀποτελεῖ ἔνδειξιν τοῦ μεγάλου ἐνδιαφέροντος αὐτοῦ, ἀπὸ τὸ ὅτι ἐὰν δὲν τοὺς ἔδιδε γίνεται φανερὸν ἀπὸ τὴν ὅλην ἐξέλιξιν τοῦ γεγονότος. Ἂς ὑποθέσωμεν λοιπὸν ὅτι ὁ Ἀδὰμ ἔχοντας μίαν τόσον ὀκνηρὰν προαίρεσιν, ὅπως τουλάχιστον τὸ ἀπέδειξε τὸ ἀποτέλεσμα, δὲν ἐδέχετο μὲν καμμίαν ἐντολήν, ἀλλ' ἐξηκολούθει νὰ κάνῃ τρυφηλὴν ζωήν· ἆρά γε αὐτὴ ἡ ἀσθένεια καὶ ἡ ὀκνηρία του, ἐξ αἰτίας τῆς ἀνέτου ζωῆς του, θὰ συντελοῦσε νὰ χειροτερεύσῃ ἢ νὰ καλυτερεύσῃ; Ἀλλ' εἶναι ὁλοφάνερον βέβαια εἰς ὅλους, ὅτι θὰ ὡδηγεῖτο εἰς τὴν μεγαλυτέραν κακίαν, ἐπειδὴ δὲν θὰ κατέβαλε καμμίαν φροντίδα. Διότι αὐτὸς πού, ὅταν ἀκόμη δὲν εἶχε σίγουρον τὴν ἀθανασίαν, ἀλλ' ἐγνώριζεν ὅτι ἡ ἐλπὶς αὐτὴ εἶναι ἀκόμη ἀβέβαιος, ἔφθασεν εἰς τέτοιον βαθμὸν ἀλαζονείας καὶ μωρίας, ὥστε νὰ φθάσῃ εἰς τὸ σημεῖον νὰ ἐλπίσῃ νὰ γίνῃ καὶ θεός, καὶ ὅλα αὐτὰ καθ' ἣν στιγμὴν δὲν εἶχε καμμίαν διαβεβαίωσιν ἀπὸ πουθενὰ περὶ τῆς ἀξιοπιστίας αὐτοῦ ποὺ τοῦ ὑπέσχετο ὅλα αὐτά, ἐὰν ἦτο σίγουρος διὰ τὴν ἀθανασίαν, εἰς ποῖον βαθμὸν παραφρόνου ἐνεργείας δὲν θὰ ἦτο δυνατὸν νὰ φθάσῃ; ποία ἁμαρτία εἶναι ἐκείνη ποὺ δὲν θὰ τὴν

σίαν ποῦ οὐκ ἂν ἔφθασεν ἀπονοίας; τί δὲ οὐκ ἂν ἐξήμαρτε; πότε δὲ ἂν ὑπήκουσε τοῦ Θεοῦ;

Σὺ δὲ παρόμοιον ποιεῖς ἐγκαλῶν, ὥσπερ ἂν εἴ τις καὶ τὸν πορνεύειν ἀπαγορεύοντα μέμφοιτο, ἐπειδὴ οἱ ταῦτα ἀκουσόμενοι πορνεύειν ἔμελλον. Καὶ πῶς οὐκ ἐσχάτης ταῦτα μανίας τὰ ῥήματα; Εἰ γὰρ μὴ δεξαμένῳ τὴν ἐντολὴν προσελθὼν ὁ διάβολος ἀποστῆναι τοῦ Θεοῦ συνεβούλευσε, καὶ τοῦτο εὐκόλως ἂν ἔπεισεν· ὁ γὰρ μετὰ τὴν τοῦ προστάγματος δόσιν καταφρονήσας τοῦ δεδωκότος αὐτό, εἰ μηδὲν ὅλως ἠκηκόει παρ' αὐτοῦ, ταχέως ἂν ὅτι καὶ ὑπὸ δεσπότην ἐστὶν ἠγνόησε. Διὰ τοῦτο προλαβὼν ὁ Θεὸς δι' ὧν προσέταξεν, ἐδίδαξεν ὅτι καὶ κύριον ἔχει καὶ πάντα ὑπακούειν αὐτοῦ δεῖ.

Καὶ τί πλέον ἀπὸ τούτου γέγονε; φησί. Μάλιστα μέν, εἰ καὶ μηδὲν ἐγεγόνει, οὐδὲν τοῦτο παρὰ τὸν διδάξαντα Θεόν, ἀλλὰ παρὰ τὸν μὴ δεξάμενον τὴν καλλίστην ταύτην παίδευσιν· νῦν δὲ οὐδὲ οὕτως ἀνόνητος γέγονε καὶ μετὰ τὴν παράβασιν ἡ δόσις τῆς ἐντολῆς. Καὶ γὰρ τὸ κρυβῆναι καὶ τὸ τὴν ἁμαρτίαν ὁμολογῆσαι, καὶ τὸ σπουδάζειν τὸν μὲν ἄνδρα ἐπὶ τὴν γυναῖκα, ἐκείνην δὲ ἐπὶ τὸν ὄφιν τὴν αἰτίαν τῶν γεγενημένων μεταγαγεῖν, δεδοικότων ἐστὶ καὶ τρεμόντων καὶ τὸ κῦρος ἐπεγνωκότων τοῦ Θεοῦ. Ὅσον δὲ κέρδος ἦν ἀπὸ τῆς σατανικῆς ἐκείνης προσδοκίας εἰς τοσοῦτον μετατεθῆναι φόβον, οὐδεὶς ἀγνοεῖ. Ὁ γὰρ ἰσοθεΐαν φαντασθείς, αὐτὸς οὕτως ἐταπεινοῦτο καὶ συνεστέλλετο, ὡς ὑπὲρ τιμωρίας καὶ κολάσεως τρέμειν, καὶ τὴν ἁμαρτίαν ἐξαγγέλλειν τὴν αὐτοῦ. Τὸ δὲ μὴ ἁμαρτάνειν ἀνεπαισθήτως, ἀλλ' ἐπιγινώσκειν τα-

διέπραττε; πότε θὰ ἦτο δυνατὸν νὰ ὑπακούσῃ εἰς τὸν Θεόν;

Σὺ ὅμως κατηγορῶντας τὸν Θεὸν ἐνεργεῖς κατὰ παρόμοιον τρόπον μὲ ἐκεῖνον ποὺ κατηγορεῖ αὐτὸν ποὺ ἀπαγορεύει τὴν πορνείαν, ἐπειδὴ ἐπρόκειτο αὐτοὶ ποὺ θὰ ἀκούσουν αὐτὰ νὰ πορνεύσουν. Καὶ πῶς αὐτὰ τὰ λόγια δὲν εἶναι λόγια τῆς πιὸ φοβερᾶς μανίας; Διότι ἐὰν ὁ ἄνθρωπος δὲν ἔπαιρνε τὴν ἐντολὴν ἀπὸ τὸν Θεὸν καὶ ἐρχόμενος ὁ διάβολος τὸν ἐσυμβούλευε ν' ἀποστατήσῃ ἀπὸ τὸν Θεόν, θὰ ἦτο δυνατὸν νὰ τὸν κάνῃ νὰ πιστεύσῃ πάρα πολὺ εὔκολα˙ καθόσον αὐτὸς ποὺ ἐπεριφρόνησε τὸν Θεὸν μετὰ ἀπὸ τὴν παράδοσιν τῆς ἐντολῆς, θὰ ἦτο δυνατὸν πάρα πολὺ γρήγορα νὰ λησμονήσῃ ὅτι εὑρίσκεται ὑπὸ ἐξουσίαν κυρίου, ἐὰν δὲν εἶχεν ἀκούσει τίποτε ἀπὸ αὐτόν. Προλαμβάνοντας λοιπὸν ὁ Θεὸς παρόμοιον ἐνδεχόμενον μὲ τὴν ἐντολὴν ποὺ τοῦ ἔδωσε, τὸν ἐδίδαξεν ὅτι καὶ κύριον ἔχει καὶ ὅτι πρέπει πάντοτε νὰ ὑπακούῃ εἰς αὐτόν.

Μὰ θὰ ἐρωτήσῃ κάποιος˙ ποία ἦτο ἡ ὠφέλεια ἀπὸ αὐτὸ τὸ πρᾶγμα; Προέκυψεν ὠφέλεια καὶ μάλιστα πολὺ μεγάλη˙ ἀλλὰ καὶ ἂν ἀκόμη δὲν προέκυπτε καμμία ὠφέλεια, δὲν θὰ εἶχε καμμίαν εὐθύνην ὁ Θεὸς ποὺ ἔδωσε τὴν ἐντολήν, ἀλλ' ἡ εὐθύνη θὰ ἐβάρυνεν αὐτὸν ποὺ δὲν ἐδέχθη αὐτὴν τὴν ἐντολὴν ποὺ ἦτο ἡ ἀρίστη˙ τώρα ὅμως οὔτε καὶ ἔτσι ἀπέβη ἀνώφελος ἡ ἐντολὴ ποὺ ἐδόθη, ἀκόμη καὶ μετὰ τὴν παράβασίν της. Καθόσον τὸ ὅτι ἐκρύβη καὶ ὡμολόγησε τὴν ἁμαρτίαν του, καὶ ἠθέλησαν ὁ μὲν ἄνδρας νὰ ἐπιρρίψῃ τὴν εὐθύνην τῶν ὅσων συνέβησαν εἰς τὴν γυναῖκα, ἡ δὲ γυναῖκα εἰς τὸν ὄφιν, ἀποτελεῖ ἀπόδειξιν ἀνθρώπων ποὺ φοβοῦνται καὶ τρέμουν καὶ ποὺ ἔχουν γνωρίσει τὴν ἐξουσίαν τοῦ Θεοῦ. Καὶ κανεὶς δὲν ἀγνοεῖ πόσον μεγάλη ὑπῆρξεν ἡ ὠφέλεια ἀπὸ τὴν μεταστροφήν των ἀπὸ τὴν σατανικὴν ἐκείνην προσδοκίαν εἰς τὸν φόβον ποὺ τοὺς κατέλαβε. Διότι αὐτὸς ποὺ ἐφαντάσθη νὰ γίνῃ ἴσος μὲ τὸν Θεόν, αὐτὸς ἐταπεινοῦτο καὶ ἐξευτελίζετο κατὰ τοιοῦτον τρόπον, ὥστε νὰ τρέμῃ διὰ τὴν τιμωρίαν καὶ τὴν κόλασιν καὶ νὰ ὁμολογῇ τὴν ἁμαρτίαν ποὺ διέπραξε. Τὸ νὰ μὴ ἁμαρτάνω-

χέως καὶ συνορᾶν τὸ πλημμεληθέν, οὐκ ἔστι μικρόν, ἀλλ' ὁδός τις καὶ ἀρχὴ πρὸς διόρθωσιν ἄγουσαν καὶ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. Πᾶσαν μὲν οὖν τοῦ Κυρίου τὴν εἰς ἡμᾶς ἀγαθότητα οὔτε μαθεῖν οὔτε διηγήσασθαι δυνατόν· ὧν δὲ ἴσμεν τὸ κεφάλαιον ἐρῶ.

Μετὰ γὰρ τὴν τοσαύτην παρακοήν, μετὰ τοσαῦτα ἁμαρτήματα, ὅτε πᾶσαν κατέσχε τὴν οἰκουμένην ἡ τῆς ἁμαρτίας τυραννίς, ὅτε τὴν ἐσχάτην ἔδει δοῦναι δίκην λοιπὸν καὶ ἀπολέσθαι παντελῶς, καὶ ἀνώνυμον τὸ τῶν ἀνθρώπων γενέσθαι γένος, τότε τὴν μεγίστην περὶ ἡμᾶς εὐεργεσίαν ἐπεδείξατο, ὑπὲρ τῶν ἐχθρῶν καὶ ἀπηλλοτριωμένων καὶ μισούντων αὐτὸν καὶ ἀποστρεφομένων τὸν Μονογενῆ κατασφάξας τὸν ἑαυτοῦ καὶ διὰ τούτου τὴν πρὸς αὐτὸν καταλλαγὴν ἐργασάμενος ἡμῖν, καὶ βασιλείαν οὐρανῶν, καὶ ζωὴν αἰώνιον, καὶ τὰ μυρία ἐπαγγειλάμενος δώσειν ἀγαθά, ἅ τε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Τί ταύτης ἂν γένοιτο τῆς κηδεμονίας ἴσον, τῆς φιλανθρωπίας, τῆς ἀγαθότητος; Διὰ ταῦτα καὶ αὐτός φησι· «Καθὼς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματά μου ἀπὸ τῆς διανοίας ὑμῶν». Καὶ ὁ πραότατος δὲ Δαυῒδ περὶ τῆς φιλανθρωπίας αὐτοῦ διαλεγόμενός φησι· «Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν· καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν· καθὼς οἰκτείρει πατὴρ υἱούς, ὠ-

30. Ἡσ. 55, 9.

μεν ὅμως χωρὶς νὰ ἔχωμεν συναίσθησιν, ἀλλὰ νὰ συναισθανώμεθα ἀμέσως καὶ νὰ κατανοοῦμεν τὸ παράπτωμα ποὺ διεπράξαμεν, δὲν εἶναι μικρὸν πρᾶγμα, ἀλλ' εἶναι ὁδὸς καὶ ἀρχὴ ποὺ ὁδηγεῖ εἰς τὴν διόρθωσιν καὶ τὴν μεταβολὴν πρὸς τὸ καλύτερον. Βέβαια ὅλην τὴν ἀγαθότητα τοῦ Θεοῦ πρὸς ἡμᾶς δὲν εἶναι δυνατὸν οὔτε νὰ τὴν ἀντιληφθοῦμεν οὔτε καὶ νὰ τὴν διηγηθοῦμεν· θ' ἀναφέρω ὅμως ἐν περιλήψει αὐτὰ ποὺ γνωρίζομεν.

Ὕστερα λοιπὸν ἀπὸ τὴν τόσον μεγάλην παρακοήν, μετὰ ἀπὸ τὰ τόσον μεγάλα ἁμαρτήματα, ὅταν πλέον ὁλόκληρον τὴν οἰκουμένην τὴν κατεκυρίευσεν ἡ τυραννὶς τῆς ἁμαρτίας, ὅταν πλέον ἐπρόκειτο νὰ ὑποστοῦμεν τὴν ἐσχάτην τιμωρίαν τοῦ θανάτου καὶ νὰ χαθῶμεν ἐξ ὁλοκλήρου καὶ νὰ γίνῃ ἄγνωστον τὸ γένος τῶν ἀνθρώπων, τότε ἐφανέρωσε πρὸς ἡμᾶς τὴν πιὸ μεγάλην εὐεργεσίαν του, θυσιάζοντας, πρὸς χάριν τῶν ἐχθρῶν του καὶ πρὸς χάριν αὐτῶν ποὺ ἦσαν ἀπομακρυσμένοι ἀπὸ αὐτὸν καὶ τὸν ἐμισοῦσαν καὶ τὸν ἀπεστρέφοντο, τὸν Μονογενῆ Υἱόν του, καὶ μὲ τὸν τρόπον αὐτὸν ἐσυμφιλίωσε τὸν ἄνθρωπον μὲ τὸν ἑαυτόν του καὶ ὑπεσχέθη νὰ μᾶς χαρίσῃ καὶ τὴν οὐράνιον βασιλείαν καὶ τὴν αἰώνιον ζωὴν καὶ ἀμέτρητα ἄλλα ἀγαθά, τὰ ὁποῖα οὔτε ὀφθαλμὸς ἀνθρώπου τὰ εἶδεν, οὔτε αὐτὶ τὰ ἤκουσεν, οὔτε ἀνέβησαν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου. Ποῖο πρᾶγμα θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ μὲ αὐτὴν τὴν φροντίδα τοῦ Θεοῦ, τὴν φιλανθρωπίαν καὶ τὴν ἀγαθότητα; Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν λέγει ὁ ἴδιος· «Ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴν γῆν, τόσον ἀπέχει ἡ ὁδός μου ἀπὸ τὰς ἰδικάς σας ὁδούς, καὶ αἱ σκέψεις μου ἀπὸ τὰς ἰδικάς σας σκέψεις»[30]. Καὶ ὁ πραότατος Δαυῒδ κάνοντας λόγον διὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ λέγει· «Ὅσον εἶναι τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τὴν γῆν, τόσον ἰσχυρὸν κατέστησεν ὁ Κύριος τὸ ἔλεός του πρὸς αὐτὸν ποὺ τὸν φοβοῦνται· καὶ ὅσον ἀπέχει ἡ ἀνατολὴ ἀπὸ τὴν δύσιν, τόσον ἀπεμάκρυνε τὰς ἀνομίας μας ἀπὸ ἡμᾶς· ὅπως ὁ πατέρας εὐσπλαγχνίζεται τὰ παιδιά του, εὐσπλαγχνίσθη καὶ ὁ Κύριος αὐ-

κτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν». Οὐχ ὅτι τοσοῦτον μόνον, ἀλλ' ὅτι παράδειγμα τῆς ἄκρας φιλοστοργίας ἕτερον μεῖζον οὐκ ἴσμεν. Ἐπεὶ ὅτι καὶ τούτου πλεῖον ὁ Ἡσαΐας ἐδίδαξε· τὴν γὰρ μητέρα εἰς τὸ ὑπόδειγμα παραλαβὼν τὴν πολὺ τοῦ πατρὸς συμπαθεστέραν πρὸς τὰ ἔκγονα οὖσαν, οὑτωσὶ λέγει· «Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος», δεικνὺς ὅτι καὶ τῆς φυσικῆς φιλοστοργίας ἀνώτερός ἐστιν ὁ ἔλεος τοῦ Θεοῦ. Καὶ ταῦτα μὲν οἱ προφῆται, τοῖς δὲ Ἰουδαίοις αὐτὸς διαλεγόμενος ἔλεγεν ὁ Χριστός· «Εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;»· οὐδὲν ἄλλο ἐμφαίνων διὰ τούτων, ἀλλ' ἢ ὅτι ὅσον τῶν ἀγαθῶν καὶ τῶν πονηρῶν τὸ μέσον ἐστι, τοσοῦτον τῆς τοῦ Θεοῦ κηδεμονίας πρὸς τὴν πατρικὴν τὸ διάφορον. Καὶ μηδὲ μέχρι τούτου πάλιν στῇς, ἀλλὰ τῷ νῷ καὶ περαιτέρω πρόϊθι· καὶ γὰρ καὶ τοῦτο, ὅσον ἀκοῦσαί σε δυνατόν, εἴρηται· οὗ γὰρ ἡ σύνεσις ἄπειρος καὶ ἡ ἀγαθότης, δηλονότι καὶ ἡ φιλανθρωπία. Εἰ δὲ μὴ καθ' ἕκαστον τῶν γινομένων αὐτὴν ὑποπτεύομεν, καὶ τοῦτο τῆς ἀπειρίας αὐτῆς σημεῖον. Πολλὰ γὰρ καὶ μεγάλα καθ' ἑκάστην ἡμέραν ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας οἰκονομεῖται, ἃ αὐτῷ μόνῳ ἐστὶ φανερά. Ἐπειδὴ γὰρ δι' ἀγαθότητα τὸ ἡμέτερον γένος εὐεργετεῖ, οὔτε δὲ τῆς παρ' ἡμῶν δόξης δεόμενος, οὔτε ἀμοιβῆς χρήζων τινὸς ἑτέρας, τὰ πλείονα ἀφίησι λανθάνειν ἡμᾶς· εἰ

---

31. Ψαλμ. 102, 11 - 13.
32. Ἡσ. 49, 15.
33. Ματθ. 7, 11.

τοὺς ποὺ τὸν φοβοῦνται»[31]. Καὶ ὄχι μόνον τόσον, ἀλλ' ἐπειδὴ ἄλλο μεγαλύτερον παράδειγμα τῆς ἀπείρου φιλοστοργίας του δὲν γνωρίζομεν. Καὶ ὅμως ὁ Ἠσαΐας μᾶς περιγράφει καὶ ἀκόμη μεγαλύτερον παράδειγμα ἀπὸ αὐτό. Διότι παίρνοντας ὡς παράδειγμα τὴν μητέρα, ἡ ὁποία ἀγαπᾷ τὰ παιδιά της πολὺ περισσότερον ἀπὸ ὅ,τι ὁ πατέρας, λέγει τὰ ἑξῆς· «Μήπως εἶναι δυνατὸν ἡ γυναῖκα νὰ λησμονήσῃ τὰ παιδιά της ἢ νὰ μὴ περιβάλῃ μὲ ἀγάπην καὶ στοργὴν τοὺς καρποὺς τῆς κοιλίας της; Ἀλλὰ καὶ ἂν ἀκόμη ἡ γυναῖκα λησμονήσῃ τὰ παιδιά της, ἐγὼ ὅμως δὲν θὰ σὲ λησμονήσω, λέγει ὁ Κύριος»[32], δείχνοντας μὲ αὐτὰ ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ εἶναι ἀνωτέρα καὶ ἀπὸ τὴν φυσικὴν φιλοστοργίαν. Καὶ αὐτὰ μὲν λέγουν οἱ προφῆται, ὁ ἴδιος ὁ Χριστὸς ὅμως συζητῶντας μὲ τοὺς Ἰουδαίους ἔλεγεν· «Ἐὰν δὲ σεῖς, ἐνῷ εἶσθε πονηροί, γνωρίζετε νὰ δίδετε ὠφέλιμα πράγματα εἰς τὰ παιδιά σας, δὲν θὰ δώσῃ πολὺ περισσότερον ὁ Πατήρ σας ὁ οὐράνιος ἀγαθὰ πράγματα εἰς αὐτοὺς ποὺ τοῦ ζητοῦν;»[33]. Μὲ τὰ λόγια αὐτὰ δὲν θέλει νὰ δείξῃ τίποτε ἄλλο, παρὰ ὅτι ὅση ἀπόστασις ὑπάρχει μεταξὺ τῶν ἀγαθῶν καὶ τῶν πονηρῶν, τόσον μεγάλη εἶναι ἡ διαφορὰ τῆς φροντίδος τοῦ Θεοῦ ἀπὸ τὴν πατρικὴν φροντίδα. Καὶ πάλιν ὅμως μὴ σταματήσῃς εἰς αὐτὸ τὸ σημεῖον, ἀλλὰ μὲ τὸν νοῦν σου προχώρησε ἀκόμη περισσότερον· καθόσον καὶ αὐτὸ ἔχει λεχθῆ τόσον μόνον ὅσον ἠμπορεῖς μὲ τὸν νοῦν σου νὰ τὸ ἀντιληφθῇς. Διότι ἐκείνου ποὺ ἡ σοφία καὶ ἡ ἀγαθότης εἶναι ἄπειρος, φανερὸν εἶναι ὅτι εἶναι ἄπειρος καὶ ἡ φιλανθρωπία. Ἐὰν συμβαίνῃ ὅμως καὶ δὲν τὴν διαπιστώνομεν εἰς τὸ κάθε τι ποὺ συμβαίνει, καὶ αὐτὸ ἀποτελεῖ ἀπόδειξιν ὅτι εἶναι αὐτὴ ἄπειρος. Διότι καθημερινῶς πράττει χάριν τῆς ἰδικῆς μας σωτηρίας πολλὰ καὶ μεγάλα, ποὺ εἶναι φανερὰ μόνον εἰς αὐτόν. Διότι, ἐπειδὴ εὐεργετεῖ τὸ γένος τὸ ἀνθρώπινον ἀπὸ ἀγαθότητα, μὴ ἔχοντας ἀνάγκην ἀπὸ τὴν ἰδικήν μας δόξαν, οὔτε ἔχοντας ἀνάγκην ἀπὸ κάποιαν ἄλλην ἀμοιβήν, ἀφήνει τὰ περισσότερα νὰ διαφεύγουν τῆς προσοχῆς μας· ἐὰν ὅμως κάποτε ἤθελε μᾶς τὸ ἀποκαλύψει, καὶ αὐτὸ τὸ κάνει πρὸς χάριν

δέ ποτε καὶ ἀποκαλύψειε, καὶ τοῦτο ἡμῶν ἕνεκεν ποιεῖ, ἵνα εὐχαρίστως διατεθέντες πλείονα ἐπισπασώμεθα τὴν βοήθειαν.

Μὴ τοίνυν ὑπὲρ τούτων μόνον ὧν ἴσμεν, ἀλλὰ καὶ ὑπὲρ ὧν οὐκ ἴσμεν εὐχαριστῶμεν αὐτῷ· οὐ γὰρ ἑκόντας μόνον, ἀλλὰ καὶ ἄκοντας οἶδεν εὖ ποιεῖν. Ὅπερ οὖν ὁ Παῦλος εἰδὼς πάντοτε καὶ ἐν πᾶσιν εὐχαριστεῖν παρῄνει. Ὅτι δὲ οὐ κοινῇ πάντων μόνον, ἀλλὰ καὶ ἰδίᾳ ἑκάστου κήδεται, καὶ τοῦτο αὐτοῦ πάλιν ἀκούειν λέγοντος ἔστιν· «Οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων», περὶ τῶν πιστευόντων εἰς αὐτὸν λέγων. Βούλεται μὲν γὰρ καὶ τοὺς μὴ πιστεύοντας αὐτῷ σωθῆναι μεταβαλλομένους καὶ πιστεῦσαι πάντας, καθὼς καὶ ὁ Παῦλός φησιν· «Ὃς θέλει πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν». Καὶ αὐτὸς δὲ τοῖς Ἰουδαίοις ἔλεγεν· «Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν». Καί, πάλιν διὰ τοῦ προφήτου· «Ἔλεον θέλω καὶ οὐ θυσίαν». Ὅταν δὲ μηδὲ τοσαύτης ἐπιμελείας ἀπολαύσαντες ἐθελήσωσι γενέσθαι βελτίους καὶ ἐπιγνῶναι τὴν ἀλήθειαν, οὐδὲ οὕτως αὐτοὺς ἀφίησιν· ἀλλ' ἐπειδὴ τῆς οὐρανίου ζωῆς ἑαυτοὺς ἑκόντες ἀπεστέρησαν, τὰ γοῦν εἰς τὸν παρόντα βίον αὐτοῖς ἅπαντα χορηγεῖ, τὸν ἥλιον ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ τὰ ἄλλα ἅπαντα τὰ πρὸς τὴν σύστασιν τῆς παρούσης παρέχων ζωῆς. Εἰ δὲ ἐχθρῶν τοσαύτην ποιεῖται πρόνοιαν, τοὺς πιστεύοντας αὐτῷ καὶ θεραπεύοντας αὐτὸν κατὰ δύναμιν τὴν αὐτῶν πῶς περιόψεται ποτέ; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἀλλ'

---

34. Ματθ. 18, 14.
35. Α' Τιμ. 2, 4.
36. Ματθ. 9, 13.
37. Ὠσ. 6, 6.

μας, ὥστε, ἐκφράζοντες τὴν εὐγνωμοσύνην μας πρὸς αὐτόν, νὰ ἐπιτύχωμεν ἐκ μέρους του μεγαλυτέραν βοήθειαν.

Ἐπομένως ἂς μὴ τὸν εὐχαριστοῦμεν μόνον δι' αὐτὰ ποὺ γνωρίζομεν, ἀλλὰ νὰ τὸν εὐχαριστοῦμεν καὶ δι' αὐτὰ ποὺ δὲν γνωρίζομεν· διότι γνωρίζει νὰ εὐεργετῇ ὄχι μόνον ἐκείνους ποὺ θέλουν, ἀλλὰ καὶ ἐκείνους ποὺ δὲν θέλουν. Αὐτὸ λοιπὸν γνωρίζοντάς το ὁ Παῦλος ἐσυμβούλευεν εἰς κάθε περίπτωσιν καὶ δι' ὅλα νὰ εὐχαριστοῦμεν τὸν Θεόν. Τὸ ὅτι δὲ δὲν ἐνδιαφέρεται μόνον δι' ὅλους μαζί, ἀλλὰ καὶ διὰ τὸν καθένα ξεχωριστά, καὶ αὐτὸ ἠμποροῦμεν νὰ τὸ ἀκούσωμεν πάλιν ἀπὸ τὸν ἴδιον ποὺ μᾶς λέγει· «Δὲν εἶναι θέλημα τοῦ οὐρανίου Πατρός μου, νὰ χαθῇ ἕνας ἀπὸ αὐτοὺς τοὺς μικρούς»[34], ἐννοῶντας μὲ τὰ λόγια αὐτὰ αὐτοὺς ποὺ πιστεύουν εἰς αὐτόν. Διότι θέλει καὶ αὐτοὶ ποὺ δὲν πιστεύουν εἰς αὐτὸν νὰ σωθοῦν, ἀφοῦ μετανοήσουν καὶ ἀλλάξουν ζωήν, καὶ νὰ πιστεύσουν ὅλοι οἱ ἄνθρωποι, ὅπως λέγει καὶ ὁ Παῦλος· «Ὁ Θεὸς θέλει ὅλοι οἱ ἄνθρωποι νὰ σωθοῦν καὶ νὰ γνωρίσουν τὴν ἀλήθειαν»[35]. Καὶ ὁ ἴδιος δὲ ὁ Κύριος ἔλεγεν εἰς τοὺς Ἰουδαίους· «Δὲν ἦλθα διὰ νὰ καλέσω τοὺς δικαίους νὰ μετανοήσουν, ἀλλὰ τοὺς ἁμαρτωλούς»[36]. Καὶ ἀλλοῦ πάλιν διὰ τοῦ προφήτου λέγει· «Ἀγάπην θέλω καὶ ὄχι θυσίαν»[37]. Ὅταν ὅμως καὶ μετὰ ἀπὸ τόσην φροντίδα ποὺ ἔδειξε δι' αὐτοὺς δὲν θελήσουν νὰ γίνουν καλύτεροι καὶ νὰ γνωρίσουν τὴν ἀλήθειαν, οὔτε καὶ τότε πάλιν τοὺς ἐγκαταλείπει· ἀλλ' ἐπειδὴ μὲ τὴν θέλησίν τους ἐστέρησαν τοὺς ἑαυτούς τους ἀπὸ τὴν οὐράνιον ζωήν, καὶ πάλιν χορηγεῖ εἰς αὐτοὺς ὅλα τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς, ἀνατέλλει δηλαδὴ τὸν ἥλιον διὰ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθούς, βρέχει καὶ διὰ τοὺς δικαίους καὶ διὰ τοὺς ἀδίκους καὶ παρέχει καὶ ὅλα τὰ ἄλλα ποὺ εἶναι ἀναγκαῖα διὰ τὴν διατήρησιν τῆς παρούσης ζωῆς. Ἐὰν λοιπὸν διὰ τοὺς ἐχθρούς του ἐπιδεικνύῃ τόσην μεγάλην πρόνοιαν, πῶς εἶναι δυνατὸν ποτὲ ν' ἀδιαφορήσῃ δι' αὐτοὺς ποὺ πιστεύουν εἰς αὐτὸν καὶ τὸν λατρεύουν μὲ ὅλην τὴν δύναμίν τους; Μὲ κανένα τρόπον δὲν εἶναι δυνατὸν νὰ συμβῇ αὐτό, ἀλλὰ τοὺς περιβάλλει ὅλους αὐτοὺς μὲ

ἐν πλείονι πάντων τούτους ἔχει σπουδῇ· «Ὑμῶν γάρ», φησί, «καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν».

Ὥστε ὅταν ἐννοήσῃς ὅτι πατέρα καὶ οἰκίαν καὶ φίλους καὶ συγγενεῖς καὶ πλοῦτον ἄφατον καὶ δόξαν πολλὴν ῥίψας ἀπὸ τῶν χειρῶν διὰ τὸν Χριστόν, εἶτα τοσαύτην θλῖψιν ὑπομένεις νῦν, μὴ καταβάλλῃς σαυτόν· ἐξ ὧν γὰρ ἡ ἀπορία τίκτεται λογισμῶν, ἐκ τῶν αὐτῶν καὶ ἡ τῆς ἀπορίας ἡμῖν ἔσται λύσις. Πῶς; Ἀδύνατον ψεύσασθαι τὸν Θεόν· ἐπηγγείλατο δὲ τοῖς ταῦτα καταλιποῦσι ζωὴν αἰώνιον. Κατέλιπες δὲ σὺ πάντα καὶ διέπτυσας· τί οὖν ἐστι λοιπὸν τὸ κωλύον σε θαρρεῖν ὑπὲρ τῆς ὑποσχέσεως; ὁ κατέχων σε πειρασμὸς νῦν; Καὶ τί τοῦτο πρὸς τὴν ὑπόσχεσιν; Οὐ γὰρ ἐνταῦθα τὴν αἰώνιον ἡμῖν ἐπηγγείλατο ζωήν· εἰ δὲ καὶ ἐνταῦθα τὰ τῆς ἐπαγγελίας πληροῦσθαι ἔμελλεν, οὐδὲ οὕτως ἀσχάλλειν ἐχρῆν· τὸν γὰρ εὐλαβῆ καὶ πιστὸν ἄνδρα οὕτω βεβαίως διακεῖσθαι χρὴ πρὸς τὰς ἐπαγγελίας τοῦ Θεοῦ, ὥστε κἂν ἐναντία αὐταῖς φαίνηται τὰ γινόμενα, μηδὲ οὕτω ταράττεσθαι, μηδὲ ἀπογινώσκειν τὴν ἔκβασιν.

Ὅρα γοῦν· ὁ πιστὸς Ἀβραὰμ τίνα μὲν ὑπόσχεσιν ἐδέξατο, τίνα δὲ πράττειν ἠνεγκάζετο; Ἡ μὲν ὑπόσχεσις ἦν ἀπὸ τοῦ Ἰσαὰκ πᾶσαν ἐμπλήσειν τὴν οἰκουμένην, τὸ δὲ πρόσταγμα, αὐτὸν τοῦτον καταθῦσαι τὸν Ἰσαάκ, ἐξ οὗ ἔμελλε πᾶσα πληροῦσθαι ἡ γῆ. Τί οὖν; ἐθορύβει τοῦτο τὸν δίκαιον; Οὐδαμῶς· ἀλλὰ καὶ τοσαύτης διαφωνίας οὔσης καὶ μάχης τῇ κελεύσει πρὸς τὴν ἐπαγγελίαν, οὐκ ἐταράχθη, οὐδὲ ἰλιγγίασεν, οὐδὲ εἶπέ τι τοιοῦτον ἐκεῖνος· «Ἕτερα ἐπηγγείλατο, καὶ ἕτερά με

---

38. Λουκᾶ 12, 7.

πολὺ μεγαλυτέραν φροντίδα. Διότι, λέγει, «Καὶ αἱ τρίχες τῆς κεφαλῆς σας εἶναι ὅλαι ἀριθμημέναι»[38].

Ὥστε ὅταν σκεφθῇς ὅτι ἐγκατέλειψες ἐξ αἰτίας τοῦ Χριστοῦ καὶ πατέρα καὶ οἰκίαν καὶ φίλους καὶ συγγενεῖς καὶ πλοῦτον ἀμέτρητον καὶ δόξαν μεγάλην καὶ ὅτι τώρα ὑπομένεις τόσον μεγάλην θλῖψιν, μὴ θελήσῃς νὰ βλάψῃς τὸν ἑαυτόν σου˙ διότι ἡ λύσις εἰς αὐτὴν τὴν ἀπορίαν σου θὰ δοθῇ ἀπὸ τὰς ἰδίας σκέψεις ἀπὸ τὰς ὁποίας ἔχει προέλθει ἡ ἀπορία. Πῶς; Εἶναι ἀδύνατον ὁ Θεὸς νὰ εἰπῇ ψέματα. Ὑπεσχέθη δὲ ζωὴν αἰώνιον εἰς αὐτοὺς ποὺ ἀπαρνοῦνται ὅλα αὐτά. Σὺ λοιπὸν τὰ ἐγκατέλειψες ὅλα καὶ τὰ περιεφρόνησες˙ ἑπομένως τί εἶναι αὐτὸ ποὺ σὲ ἐμποδίζει νὰ ἐλπίζῃς εἰς τὴν ὑπόσχεσίν του αὐτήν; ὁ πειρασμὸς ποὺ σὲ ἔχει κατακυριεύσει τώρα; Καὶ ποίαν σχέσιν ἔχει αὐτὸ μὲ τὴν ὑπόσχεσιν; Διότι δὲν μᾶς ὑπεσχέθη ὅτι θὰ ἀποκτήσωμεν τὴν αἰώνιον ζωὴν εἰς αὐτὸν ἐδῶ τὸν κόσμον. Ἀλλὰ καὶ ἂν ἐπρόκειτο τὰ ὅσα ὑπεσχέθη νὰ ἐκπληρωθοῦν εἰς τὴν ἐδῶ ζωήν, οὔτε καὶ τότε ἔπρεπε νὰ στενοχωρῆσαι. Διότι ὁ εὐλαβὴς καὶ πιστὸς ἄνθρωπος πρέπει νὰ ἔχῃ τόσον ἀκλόνητον πίστιν εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ, ὥστε καὶ ἂν ἀκόμη αὐτὰ ποὺ συμβαίνουν φαίνωνται ὅτι εἶναι ἀντίθετα πρὸς τὰς ὑποσχέσεις του, οὔτε καὶ τότε νὰ ταράσσεται καὶ οὔτε νὰ χάνῃ τὴν ἐλπίδα του πρὸς τὸ τελικὸν ἀποτέλεσμα.

Πρόσεξε λοιπόν. Ὁ πιστὸς Ἀβραὰμ ποίαν ὑπόσχεσιν ἔλαβε καὶ τί ἠναγκάζετο νὰ πράξῃ; Ἡ μὲν ὑπόσχεσις ποὺ τοῦ ἐδόθη ἦτο ὅτι ἀπὸ τὸν Ἰσαὰκ θὰ γεμίσῃ ὁλόκληρον τὴν οἰκουμένην μὲ τοὺς ἀπογόνους του, ἡ δὲ ἐντολὴ ποὺ ἔλαβεν ἀπὸ τὸν Θεὸν ἦτο νὰ θυσιάσῃ αὐτὸν τὸν ἴδιον τὸν Ἰσαάκ, ἀπὸ τὸν ὁποῖον ἐπρόκειτο νὰ γεμίσῃ ἀπὸ ἀνθρώπους ὅλη ἡ γῆ. Τί λοιπόν; Ἐνέβαλεν αὐτὸ τὸ πρᾶγμα ἀνησυχίαν εἰς τὸν δίκαιον; Ἀσφαλῶς ὄχι. Καὶ μολονότι ὑπῆρχε τόση διαφωνία καὶ τόση διαμάχη μεταξὺ τῆς ἐντολῆς καὶ τῆς ὑποσχέσεως, παρὰ ταῦτα δὲν ἐταράχθη, οὔτε ἔμεινε κατάπληκτος, οὔτε εἶπεν ἐκεῖνος κάτι παρόμοιον '"Αλλα μοῦ ὑπεσχέθη ὁ Θεὸς καὶ ἄλλα μὲ ἀναγκάζει τώρα νὰ

πράττειν ἀναγκάζει νῦν ὁ Θεός· ἀπὸ τοῦ παιδὸς τούτου τὸ πολύ μοι τῶν ἐκγόνων ὑπέσχετο πλῆθος· καὶ τοῦτον κατασφάξαι κελεύει νῦν· πῶς οὖν τοῦτο ἔσται, τῆς ῥίζης ἐκκεκομμένης; Ἠπάτησέ με ἄρα, καὶ διέπαιξεν. Οὐδὲν τούτων εἶπεν, ἀλλ' οὐδὲ ἐνενόησε· καὶ μάλα γε εἰκότως. Ὅταν γὰρ Θεὸς ὁ ὑπισχνούμενος ᾖ, κἂν μυρία δοκῇ τὴν ἐπαγγελίαν ἀναιρεῖν, οὐ χρὴ θορυβεῖσθαι περὶ τοῦ τέλους οὐδὲ ἀμφισβητεῖν. Τοῦτο γὰρ αὐτὸ μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστί, πόρον ἐκ τῶν ἀπόρων εὑρεῖν, καθάπερ ὁ μακάριος ἐκεῖνος τότε ἐλογίζετο. Διόπερ αὐτοῦ κατεπλάγη τὴν πίστιν ὁ Παῦλος, οὕτως εἰπών· «Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος», καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος· αὐτὰ δὴ ταῦτα ἐμφαίνων καὶ αἰνιττόμενος, ἅπερ εἶπον ἐγὼ νῦν.

Οὐκ ἐκεῖνος δὲ μόνος, ἀλλὰ καὶ ὁ τούτου πάλιν ἀπόγονος Ἰωσὴφ διὰ μακροῦ χρόνου καὶ πολλῶν πραγμάτων κινδυνεύουσαν ὁρῶν τὴν ἐπαγγελίαν, ἔμενεν ἀκλινής· πρὸς γὰρ τὸν ἐπαγγειλάμενον ἑώρα μόνον· εἰ δὲ εἰς ἀνθρωπίνους κατέπεσε λογισμούς, καὶ ἀπέγνω τοῦ τέλους. Ἡ μὲν γὰρ δειχθεῖσα ὄψις αὐτῷ καὶ τῶν ἀδελφῶν καὶ τῶν γεννησαμένων τὴν προσκύνησιν προὔλεγε· τὰ δὲ γινόμενα οὐ τοιαῦτα ἦν, ἀλλὰ πολλῷ τούτων ἀπέχοντα. Πρῶτον μὲν γὰρ αὐτοὶ οἱ προσκυνεῖν μέλλοντες εἰς λάκκον αὐτὸν ἐμβάλλουσι καὶ ἀνδράσιν ἀποδόμενοι βαρβάροις εἰς ἀλλοτρίαν καὶ πόρρω κειμένην πέμπουσι γῆν· καὶ οὕτως ἐναντία τοῖς δειχθεῖσιν ἐδόκει τὰ

πράξω. Μοῦ ὑπεσχέθη ὅτι ἀπὸ αὐτὸ τὸ παιδί μου θὰ προέλθῃ τὸ μεγάλο πλῆθος τῶν ἀπογόνων μου, τώρα ὅμως μὲ προστάσσει νὰ τὸ θυσιάσω· πῶς λοιπὸν θὰ συμβῇ αὐτὸ ἐὰν ἤθελεν ἀποκοπῇ ἡ ρίζα; Ἑπομένως μὲ ἐξηπάτησε καὶ μὲ ἐκορόϊδευσεν'. Ὅμως τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν εἶπεν, ἀλλὰ καὶ οὔτε ἐσκέφθη· καὶ κατὰ πολὺν φυσικὸν λόγον. Διότι ὅταν ὁ Θεὸς εἶναι ἐκεῖνος ποὺ δίδει τὴν ὑπόσχεσιν, καὶ ἂν ἀκόμη εἶναι ἀμέτρητα ἐκεῖνα ποὺ φαίνονται ὅτι ἀναιροῦν τὴν ὑπόσχεσιν, δὲν πρέπει ν' ἀνησυχῇ κανεὶς διὰ τὸ τελικὸν ἀποτέλεσμα οὔτε καὶ ν' ἀμφιβάλλῃ. Διότι αὐτὸ ἀκριβῶς κατ' ἐξοχὴν ἀποτελεῖ ἀσυναγώνιστον ἀπόδειξιν τῆς δυνάμεως τοῦ Θεοῦ, τὸ νὰ εὑρίσκῃ λύσιν ἐκεῖ ὅπου δὲν ὑπάρχει, ὅπως ἀκριβῶς ἐσκέπτετο τότε ὁ μακάριος ἐκεῖνος Ἀβραάμ. Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν ἐκπλαγεὶς ὁ Παῦλος ἀπὸ τὴν πίστιν αὐτοῦ, εἶπε τὰ ἑξῆς· «Ὅταν ὁ Ἀβραὰμ ἐδοκιμάζετο, λόγῳ τῆς πίστεώς του προσέφερε τὸν Ἰσαὰκ εἰς τὸν Θεόν», καὶ προσέφερε τὸν μονογενῆ υἱόν του αὐτὸς ποὺ ἔλαβε τὰς ὑποσχέσεις. Καὶ ἀκριβῶς αὐτὰ ποὺ τώρα ἐγὼ εἶπα, αὐτὰ λοιπὸν αὐτὸς ἐννοοῦσε καὶ ὑπαινίσσετο.

Καὶ ὄχι μόνον ἐκεῖνος, ἀλλὰ καὶ ὁ ἀπόγονος πάλιν αὐτοῦ ὁ Ἰωσήφ, ἂν καὶ ἐπὶ πολὺν χρόνον καὶ μὲ ἕνα μεγάλο πλῆθος γεγονότων ἔβλεπε τὴν ὑπόσχεσιν νὰ διακινδυνεύῃ, παρὰ ταῦτα ὅμως ἔμεινεν ἀκλόνητος εἰς τὴν πίστιν του· διότι τὸ βλέμμα του τὸ εἶχεν ἐστραμμένον μόνον πρὸς τὸν Θεὸν ποὺ εἶχε δώσει τὰς ὑποσχέσεις· ἐὰν ὅμως ἄφηνε τὸν ἑαυτόν του νὰ παρασυρθῇ ἀπὸ ἀνθρωπίνας σκέψεις θὰ ἀπελπίζετο ὁπωσδήποτε διὰ τὸ τελικὸν ἀποτέλεσμα. Διότι τὸ μὲν ὅραμα ποὺ τοῦ ἔδειξεν ὁ Θεός, προέλεγεν ὅτι θὰ τὸν προσκυνήσουν καὶ τὰ ἀδέλφια του καὶ οἱ γονεῖς του, τὰ ὅσα ὅμως συνέβησαν δὲν ἐπεβεβαίωναν ὅλα αὐτά, ἀλλὰ καὶ ἀπεῖχαν πάρα πολὺ ἀπὸ αὐτά. Κατὰ πρῶτον λοιπὸν αὐτοὶ ποὺ ἐπρόκειτο νὰ τὸν προσκυνήσουν τὸν ρίπτουν εἰς τὸν λάκκον, καὶ πωλῶντας τον εἰς βαρβάρους ἀνθρώπους τὸν στέλλουν εἰς γῆν ξένην καὶ πάρα πολὺ μακρυὰ εὑρισκομένην. Ἔτσι λοιπὸν ἐφαίνοντο τὰ

γινόμενα εἶναι, ὡς καὶ αὐτοὺς τοὺς ἀθλίους ἐκείνους διαχλευάζειν αὐτὸν καὶ λέγειν· «Ἰδοὺ γάρ», φησίν, «ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται· νῦν οὖν δεῦτε, ἀποκτείνωμεν αὐτὸν καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ ἐροῦμεν· Θηρίον πονηρὸν κατέφαγεν αὐτόν· καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ». Μετὰ δὲ ταῦτα οἱ πριάμενοι οὐδὲ ἐλευθέρῳ τινί, ἀλλὰ δούλῳ πάλιν αὐτὸν ἀποδίδονται βασιλικῷ. Καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινά· ἀλλὰ συκοφαντίᾳ δεσποίνης περιπεσὼν καὶ κατακριθεὶς ᾤκει τὸ δεσμωτήριον ἔτη πολλά, καὶ διαφυγόντων ἑτέρων, αὐτὸς πλείονα χρόνον μένει ἐκεῖ. Καὶ τοσούτων ὄντων τῶν δυναμένων τὴν ἐκείνου θορυβῆσαι ψυχήν, ἔμενε τούτοις ἅπασιν ἀπερίτρεπτος.

Τοιαῦτα δὲ καὶ τὰ ἡμέτερα, μᾶλλον δὲ καὶ πολλῷ τούτων ἀπορώτερα. Ἃ μὲν γὰρ ἐπηγγείλατο, βασιλεία οὐρανῶν καὶ αἰώνιος ζωὴ καὶ ἀφθαρσία καὶ τὰ μυρία ἀγαθά, τὰ δὲ γινόμενα τέως καὶ συμβαίνοντα πολὺ τούτων ἀφέστηκε· θάνατος γάρ ἐστι καὶ φθορὰ καὶ τιμωρία καὶ κόλασις καὶ θλίψεις διάφοροι καὶ συνεχεῖς. Τίνος οὖν ἕνεκεν ὁ Θεὸς τοῦτο ποιεῖ, καὶ τὰ ἐναντία ταῖς ἐπαγγελίαις ἐκβῆναι συγχωρεῖ; Δύο τὰ μέγιστα κατορθῶν, ἓν μέν, τῆς αὐτοῦ δυνάμεως τεκμήριον ἀναμφισβήτητον παρέχων ἡμῖν, ὅτι καὶ ἐξ ἀπεγνωσμένων δύναιτ' ἂν εἰς πέρας τὰς ὑποσχέσεις ἀγαγεῖν· ἕτερον δέ, τὴν ἡμετέραν παιδεύων ψυχὴν πάντα πιστεύειν αὐτῷ, κἂν ἐναντία τοῖς εἰρημένοις τὰ γινόμενα φαίνηται. Τοιαύτη γὰρ ἡ τῆς ἐλπίδος ἰσχύς· οὐ καταισχύνει τὸν ἀντεχόμενον αὐτῆς εἰλικρινῶς.

---

39. Γέν. 37, 19 - 20.

ὅσα συνέβαιναν ὅτι ἦσαν ἀντίθετα μὲ αὐτὰ ποὺ τοῦ ἐδείχθησαν μὲ τὸ ὅραμα, ὥστε καὶ αὐτοὶ ἀκόμη οἱ ἴδιοι οἱ ἄθλιοι ἀδελφοί του νὰ τὸν χλευάζουν καὶ νὰ λέγουν· «Νὰ λοιπὸν ἔρχεται, λέγουν, ἐκεῖνος ὁ ὁποῖος εἶδε τὸ ὅραμα· ἐλᾶτε λοιπὸν τώρα νὰ τὸν φονεύσωμεν καὶ νὰ τὸν ρίψωμεν εἰς ἕνα λάκκον καὶ θὰ εἰποῦμεν, ὅτι τὸν ἔφαγεν ἄγριον θηρίον, καὶ θὰ ἰδοῦμεν ποῖο εἶναι τὸ νόημα τῶν ὁραμάτων του»[39]. Ἐν συνεχείᾳ δὲ αὐτοὶ ποὺ τὸν ἠγόρασαν τὸν πωλοῦν ὄχι εἰς κάποιον ἐλεύθερον, ἀλλὰ τὸν πωλοῦν ὡς δοῦλον εἰς κάποιον πάλιν δοῦλον βασιλέως. Καὶ αἱ συμφοραί του δὲν ἐσταμάτησαν μέχρις ἐδῶ, ἀλλά, συκοφαντηθεὶς ἀπὸ τὴν κυρίαν του καὶ καταδικασθείς, ἔζη φυλακισμένος ἐπὶ πολλὰ ἔτη, καὶ μολονότι ἄλλοι εἶχαν δραπετεύσει, αὐτὸς ἐξηκολούθει νὰ ζῇ ἐκεῖ ἐπὶ πολὺν ἀκόμη χρόνον. Καὶ ἂν καὶ ἦσαν τόσα πολλὰ τὰ περιστατικὰ ποὺ ἠμποροῦσαν νὰ δημιουργήσουν ἀνησυχίαν εἰς τὴν ψυχήν του, παρὰ ταῦτα ἐκεῖνος ἔμενεν ἀμετάβλητος ἀπὸ ὅλα αὐτά.

Ἀκριβῶς ἡ ἰδία εἶναι καὶ ἡ ἰδική μας περίπτωσις, μᾶλλον δὲ καὶ ἀκόμη πιὸ δύσκολος. Διότι αὐτὰ μὲν ποὺ μᾶς ὑπεσχέθη εἶναι ἡ οὐράνιος βασιλεία, ἡ αἰώνιος ζωή, ἡ ἀφθαρσία καὶ ἄπειρα ἄλλα ἀγαθά, ἐνῷ αὐτὰ ποὺ συνέβησαν παλαιότερα καὶ συμβαίνουν καὶ τώρα ἀπέχουν πάρα πολὺ ἀπὸ αὐτά. Διότι τὰ συμβαίνοντα εἶναι θάνατος, φθορά, τιμωρία, κόλασις καὶ διάφοροι συνεχεῖς θλίψεις. Μὲ ποῖον λοιπὸν σκοπὸν ὁ Θεὸς κάνει ὅλα αὐτὰ καὶ ἐπιτρέπει νὰ συμβαίνουν ἀντίθετα πράγματα ἀπὸ ὅ,τι ὑπεσχέθη; Μὲ αὐτὸ ἐπιτυγχάνει δύο πάρα πολὺ σπουδαῖα πράγματα. Τὸ πρῶτον εἶναι ὅτι μᾶς παρέχει ἀναμφισβήτητον ἀπόδειξιν τῆς δυνάμεώς του, ὅτι δηλαδὴ καὶ μέσῳ ἀπεγνωσμένων ἀνθρώπων ἠμπορεῖ νὰ ἐκπληρώσῃ αἰσίως τὰς ὑποσχέσεις του. Τὸ δεύτερον εἶναι, ὅτι θέλει νὰ παιδαγωγήσῃ τὴν ψυχήν μας ὥστε νὰ πιστεύῃ πάντοτε εἰς αὐτόν, ἔστω καὶ ἂν ἀκόμη φαίνωνται νὰ εἶναι ἀντίθετα τὰ ὅσα συμβαίνουν πρὸς τὰς ὑπ᾽ αὐτοῦ δοθείσας ὑποσχέσεις. Διότι αὐτὴ εἶναι ἡ δύναμις τῆς ἐλπίδος. Δὲν ἐντροπιάζει αὐτὸν ποὺ εἰλικρινὰ στηρίζεται εἰς αὐτήν.

Εἰ γὰρ οἱ τὰς ὑποσχέσεις ἐνταῦθα λαβόντες οὕτω διετέθησαν, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν χρή, τοὺς οὐ κατὰ τὸν παρόντα βίον, ἀλλ' εἰς ἑτέρους αἰῶνας προσδοκῶντας τὴν ἔκβασιν τῶν χρηστῶν. Ἃ γὰρ ἐνταῦθα προεῖπε, θλῖψίς ἐστι καὶ στενοχωρία. Τί οὖν ἐστί σε τὸ θορυβοῦν; πόθεν τὴν ὑπόσχεσιν ὑποπτεύεις τοῦ Θεοῦ; Τὸ γὰρ καταφρονῆσαι μὲν δι' αὐτὸν τοῦ κόσμου παντός, λέγειν δὲ πάλιν ἠμελῆσθαι παρ' αὐτοῦ, οὐδὲν ἕτερόν ἐστιν ἢ ἀπιστοῦντος καὶ ὑποπτεύοντος, καὶ ἀπάτην τὴν ἐπαγγελίαν ἐκείνην εἶναι νομίζοντος· ὅπερ ἀληθῶς ἐστι δαιμονᾶν, καὶ τὸ τῆς γεέννης προκαλεῖσθαι πῦρ.

Ἀλλ' εἰσί τινες οἳ βιωτικοῖς ἐντρεφόμενοι πράγμασι, ἐν ἀνέσει διάγουσι· καὶ γὰρ καὶ τοῦτο προεῖπεν ὁ Χριστός. «Ἀμὴν γάρ, ἀμὴν λέγω ὑμῖν», φησίν, «ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται». Καὶ ἐπὶ τῶν προτέρων δὲ γενεῶν Βαβυλώνιοι μὲν οἱ μηδὲ τὸν Θεὸν εἰδότες, ἐν πλούτῳ καὶ δυναστείᾳ ἦσαν καὶ τιμῇ, Ἰουδαῖοι δὲ ἐν αἰχμαλωσίᾳ καὶ δουλείᾳ καὶ τοῖς ἐσχάτοις κακοῖς. Καὶ Λάζαρος μὲν ὁ τῶν οὐρανῶν ἄξιος καὶ βασιλείας τῆς ἐκεῖ, εἱλκωμένος ταῖς τῶν κυνῶν προέκειτο γλώτταις, λιμῷ μαχόμενος διηνεκεῖ· ὁ δὲ πλούσιος ἐν τιμῇ καὶ δορυφορίᾳ καὶ ἀνέσει καὶ τρυφῇ· ἀλλ' ὅμως οὐδὲν οὔτε οὗτος ἐν τῇ γεέννῃ τούτων ἀπώνατο, οὔτε Λάζαρος ἀπὸ τοῦ λιμοῦ καὶ τῶν τραυμάτων εἰς τὴν ἀκρίβειαν τοῦ παρόντος παρεβλάβη βίου· ἀλλ' ὥσπερ τις γενναῖος ἀθλητής, ἐν αὐχμῷ καὶ πνίγει βαρυ-

---

40. Ἰω. 16, 20.

Ἐὰν λοιπὸν αὐτοὶ ποὺ ἔλαβαν ἐδῶ εἰς τὴν γῆν ὑποσχέσεις ἐπέδειξαν τέτοιαν συμπεριφοράν, πολὺ περισσότερον αὐτὸ πρέπει ἡμεῖς νὰ τὸ κάνωμεν, οἱ ὁποῖοι δὲν ἀναμένωμεν τὴν πραγματοποίησιν τῶν ἀγαθῶν ἐδῶ εἰς τὴν παροῦσαν ζωήν, ἀλλὰ εἰς ἄλλην ζωήν. Διότι αὐτὰ ποὺ προεῖπε διὰ τὴν ἐδῶ ζωὴν εἶναι θλῖψις καὶ στενοχώρια. Ποῖο λοιπὸν εἶναι αὐτὸ ποὺ σὲ κάνει ν' ἀνησυχῇς; Ἀπὸ ποῦ ὁρμώμενος ἀμφισβητεῖς τὴν ὑπόσχεσιν ποὺ σοῦ ἔδωσεν ὁ Θεός; Διότι τὸ νὰ περιφρονήσῃς μὲν χάριν τοῦ Θεοῦ ὅλον τὸν κόσμον, ἀλλὰ νὰ λέγῃς καὶ πάλιν ὅτι ἔχεις παραμεληθῆ ἀπὸ αὐτόν, ἀποτελεῖ γνώρισμα ἀνθρώπου ἀπίστου καὶ ἀμφιβάλλοντος, ὁ ὁποῖος θεωρεῖ τὴν ὑπόσχεσιν ἐκείνην ἀπάτην, πρᾶγμα ποὺ δείχνει πράγματι ὅτι ὁ ἄνθρωπος αὐτὸς εἶναι δαιμονισμένος καὶ αὐτὸ εἶναι εἰς θέσιν νὰ τὸν ὁδηγήσῃ εἰς τὴν γέενναν τοῦ πυρός.

Ἀλλ' ὅμως ὑπάρχουν ὡρισμένοι ποὺ μολονότι κάνουν κοσμικὴν ζωήν, ἐν τούτοις ζοῦν μὲ πολλὴν ἄνεσιν· καθόσον καὶ αὐτὸ τὸ προεῖπεν ὁ Χριστός. «Ἀλήθεια, ἀλήθεια σᾶς λέγω», λέγει, «ὅτι σεῖς μὲν θὰ κλαύσετε καὶ θὰ θρηνήσετε, ἐνῷ ὁ κόσμος θὰ χαρῇ»[40]. Καὶ κατὰ τοὺς χρόνους δὲ τῶν παλαιοτέρων γενεῶν οἱ μὲν Βαβυλώνιοι, οἱ ὁποῖοι δὲν εἶχαν καμμίαν γνῶσιν περὶ τοῦ Θεοῦ, ἐζοῦσαν μέσα εἰς τὸν πλοῦτον, τὴν δύναμιν καὶ τὴν τιμήν, ἐνῷ οἱ Ἰουδαῖοι ἐζοῦσαν αἰχμάλωτοι καὶ δοῦλοι, ὑποφέροντες τὰ πιὸ φοβερὰ βάσανα. Ἐπίσης ὁ μὲν Λάζαρος ποὺ ἦτο ἄξιος τῶν οὐρανῶν καὶ τῆς ἐκεῖ βασιλείας ἐζοῦσε γλυφόμενος ἀπὸ τὰς γλώσσας τῶν σκυλιῶν, καταπιεζόμενος ἀπὸ συνεχῆ πεῖναν, ἐνῷ ὁ πλούσιος ἐζοῦσε μέσα εἰς τὰς τιμὰς καὶ τοὺς πολλοὺς ὑπηρέτας του, κάνοντας ἄνετον καὶ τρυφηλὴν ζωήν. Ἀλλ' ὅμως οὔτε ὁ πλούσιος ἐδοκίμασε καμμίαν χαρὰν ἀπὸ αὐτὰ μέσα εἰς τὸ πῦρ τῆς γεέννης, οὔτε ὁ Λάζαρος ἐζημιώθη εἰς τίποτε ἀπὸ τὴν πεῖναν καὶ τὰ τραύματα, ὥστε νὰ μὴ εἶναι ἀπόλυτα εὐσεβὴς ἡ παροῦσα ζωή του. Ἀλλά, ὅπως ἀκριβῶς ἕνας γενναῖος ἀθλητὴς παλαίοντας μέσα εἰς δυσκόλους καιρικὰς συνθήκας καὶ ὑπερβολικὸν καύσωνα, καὶ ἐνίκησε καὶ ἔλαβε τὸν στέφανον τῆς νίκης.

τάτῳ παλαίων, καὶ ἐνίκησε καὶ ἐστεφανώθη. Διὰ τοῦτο καί τις σοφός φησι· «Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς». Καὶ μετ' ὀλίγα φησίν, ὅτι «Ἐν πυρὶ δοκιμάζεται χρυσός, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως». Καὶ πάλιν ἀλλαχοῦ λέγει· «Τέκνον, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος». Ὁ γὰρ τὸ χρυσίον εἰς τὴν κάμινον ἐμβάλλων οἶδε καὶ μέχρι τίνος αὐτὸ πυρωθῆναι δεῖ, καὶ πότε ἀνασπασθῆναι. Διὰ τοῦτο οὗτος μέν φησι· «Μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς». Ὁ δὲ Σολομὼν αὐτὸ τοῦτο διδάσκων ἔλεγε· «Μὴ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος». Μέγα γὰρ ἡ θλῖψις, μέγα πρὸς τὸ δόκιμον ἐργάσασθαι ἄνδρα, καὶ παιδεῦσαι τῆς ὑπομονῆς τὴν ἀρετήν.

Τί οὖν, φησίν, ἂν περιτρέψῃ καὶ καταβάλῃ διὰ τῆς ὑπερβολῆς; Πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. Εἰ γὰρ ἐξ ἀγάπης μὲν ἡ παιδεία, ἡ δὲ ἐγκατάλειψις ἀπὸ μίσους, οὐκ ἔστι τοῦ αὐτοῦ φιλεῖν ὁμοῦ καὶ μισεῖν τὸν αὐτόν, οὐδὲ παιδεύειν ὁμοῦ καὶ ἐγκαταλιμπάνειν.

Πῶς οὖν πολλοὶ κατέπεσον; φησίν. Ἑαυτοὺς ἀποστερήσαντες τοῦ Θεοῦ, οὐ καταλειφθέντες ὑπ' αὐτοῦ. «Ἰδοὺ γὰρ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται». Μακρύνουσι δὲ

41. Σοφ. Σειρὰχ 2, 1 - 2.
42. Σοφ. Σειρὰχ 2, 5.
43. Παρμ. 3, 11.
44. Α΄ Κορ. 10, 13.

Διὰ τὸν λόγον αὐτὸν καὶ κάποιος σοφὸς λέγει· «Παιδί μου, ἐὰν προσέρχεσαι διὰ νὰ δουλεύσῃς εἰς τὸν Κύριον, προετοίμασε τὴν ψυχήν σου διὰ νὰ ὑπομείνῃς δοκιμασίας. Νὰ ἔχῃς εὐθεῖαν τὴν καρδίαν σου καὶ νὰ δείχνῃς ὑπομονὴν καὶ μὴ ἐπιχειρήσῃς νὰ φύγῃς ἀπὸ κοντά του ὅταν θὰ ἔλθουν αἱ δοκιμασίαι»[41]. Καὶ μετὰ ἀπὸ ὀλίγον προσθέτει, ὅτι «Μὲ τὴν φωτιὰν δοκιμάζεται ὁ χρυσὸς καὶ οἱ ἄνθρωποι γίνονται δεκτοὶ ἀπὸ τὸν Θεὸν ὅταν περάσουν ἀπὸ τὸ καμίνι τῆς ταπεινώσεως»[42]. Καὶ εἰς ἄλλο σημεῖον πάλιν λέγει· «Παιδί μου, μὴ παραμελῇς τὴν δοκιμασίαν ἐκ μέρους τοῦ Κυρίου, οὔτε καὶ νὰ ἀπελπίζεσαι ὅταν δέχεσαι τὰς δοκιμασίας του»[43]. Διότι αὐτὸς ποὺ θέτει τὸν χρυσὸν εἰς τὴν κάμινον γνωρίζει καὶ μέχρι ποίου βαθμοῦ χρειάζεται αὐτὸς νὰ θερμανθῇ καὶ πότε πρέπει νὰ τὸν βγάλῃ ἀπὸ τὴν φωτιάν. Καὶ διὰ τὸν λόγον αὐτὸν αὐτὸς μὲν λέγει· «Μὴ ἐπιχειρήσῃς νὰ φύγῃς ἀπὸ κοντά του ὅταν θὰ ἔλθουν αἱ δοκιμασίαι», ὁ δὲ Σολομῶν διδάσκοντας τὸ ἴδιο πρᾶγμα, ἔλεγε· «Οὔτε νὰ ἀπελπίζεσαι ὅταν δέχεσαι τὰς δοκιμασίας» Διότι ἡ θλῖψις εἶναι σπουδαῖον πρᾶγμα διὰ νὰ ἀποδείξῃ τὴν γνησιότητα τοῦ ἀνθρώπου καὶ νὰ τὸν ἀσκήσῃ εἰς τὴν ἀρετὴν τῆς ὑπομονῆς.

Τί λοιπόν; θὰ ἐρωτήσῃ κάποιος· ἐὰν ὁ ἄνθρωπος μεταβληθῇ καὶ καμφθῇ ἐξ αἰτίας τῆς ὑπερβολικῆς δοκιμασίας; «Ὁ Θεὸς εἶναι ἀξιόπιστος, καὶ δὲν θὰ μᾶς ἀφήσῃ νὰ δοκιμασθοῦμεν περισσότερον ἀπὸ ὅ,τι ἠμποροῦμεν νὰ ἀνθέξωμεν, ἀλλὰ μαζὶ μὲ τὸν πειρασμὸν θὰ φροντίσῃ καὶ διὰ τὸ τελικὸν ἀποτέλεσμα, ὥστε νὰ ἠμποροῦμεν νὰ ὑποφέρωμεν αὐτόν»[44]. Διότι ἐὰν μὲν ἡ παιδία γίνεται ἀπὸ ἀγάπην, ἡ δὲ ἐγκατάλειψις ἀπὸ μῖσος, δὲν εἶναι δυνατὸν ὁ ἴδιος νὰ ἀγαπᾷ καὶ νὰ μισῇ τὸν ἴδιον ἄνθρωπον, οὔτε νὰ παιδεύῃ κάποιον ἀπὸ τὸ ἕνα μέρος καὶ ἀπὸ τὸ ἄλλο νὰ τὸν ἐγκαταλείπῃ

Μὰ πῶς τότε, θὰ εἰπῇ κάποιος, πάρα πολλοὶ κατεβλήθησαν καὶ ὑπέκυψαν; Οἱ ἴδιοι ἀπεμάκρυναν τοὺς ἑαυτούς τους ἀπὸ τὸν Θεόν, δὲν τοὺς ἐγκατέλειψεν ὁ Θεός. «Νά, αὐτοὶ ποὺ ἀπομακρύνουν τοὺς ἑαυτούς τους ἀπὸ σένα θὰ

μὴ φέροντες τὰς τοῦ Θεοῦ παιδείας, ἀλλ' ὀργιζόμενοι καὶ δυσανασχετοῦντες· καὶ καθάπερ οἱ μοχθηροὶ τῶν παίδων, τῶν πατέρων αὐτοὺς πρὸς διδασκάλους πεμπόντων, ἂν τοὺς ἐκεῖ πόνους καὶ τὰς ὀλίγας φυγόντες πληγὰς τῆς τῶν γονέων ἀποπηδῶσιν ὄψεως, ἐκέρδανόν τε οὐδέν, καὶ χείροσιν ἑαυτοὺς περιέπειραν κακοῖς, ἐν ἀλλοτρίᾳ λιμώττειν καὶ ἀλᾶσθαι καὶ νοσεῖν καὶ ἀτιμάζεσθαι καὶ δουλεύειν ἀναγκαζόμενοι· οὕτω καὶ οἱ τὴν τοῦ Θεοῦ παιδείαν εὐχαρίστως μὴ φέροντες, ἀλλὰ δυσανασχετοῦντες, πρὸς τῷ μηδὲν ἐξ αὐτῆς καρπώσασθαι καὶ ταῖς ἐσχάταις ἑαυτοὺς περιβάλλουσι συμφοραῖς. Διὰ τοῦτο καρτερεῖν παρηγγέλμεθα, καὶ τὴν καρδίαν εὐθύνειν τὴν ἑαυτῶν.

Ἀλλὰ πολλῷ χαλεπώτερα πέπονθας. Οὐδὲ γὰρ οἱ παιδοτρίβαι πάντας ὁμοίως καὶ ἑνὶ τρόπῳ γυμνάζουσιν, ἀλλὰ τοῖς μὲν ἀσθενεστέροις ἀσθενεῖς, τοῖς δὲ γενναίοις τοιούτους παρέχουσιν ἀνταγωνιστάς· ὁ γὰρ ἐλάττω τῆς οἰκείας δυνάμεως λαβὼν τὸν ἀνταγωνιστήν, κἂν δι' ὅλης αὐτῷ συμπλέκηται τῆς ἡμέρας, ἐκεῖνος ἀγύμναστος ἔμεινε.

Πῶς οὖν, φησί, τοὺς τὸν αὐτὸν ἐπανῃρημένους βίον, οὐ τοῖς αὐτοῖς ἀθλεῖν ἐποίησε πόνοις; Ὅτι οὐ μία παρὰ Θεῷ γυμνασίας ἰδέα, οὐδὲ τῶν αὐτῶν ἅπαντες δέονται, κἂν ἐν τοῖς αὐτοῖς ὦσι· καὶ γὰρ νοσοῦντες πολλοὶ ταῖς αὐταῖς νόσοις οὐ τῶν αὐτῶν ἐδεήθησαν φαρμάκων, ἀλλ' ἑτέρων μὲν οὗτοι, ἑτέρων δὲ ἐκεῖνοι. Διὰ τοῦτο ποικίλοι καὶ διάφοροι τῶν μαστίγων οἱ τρόποι, καὶ ὁ μὲν νόσῳ δοκιμάζεται μακρᾷ, ὁ

45. Ψαλμ. 72, 27.

καταστραφοῦν»[45]. Τούς ἀπομακρύνουν δὲ ἐπειδὴ δὲν ὑποφέρουν τὰς δοκιμασίας τοῦ Θεοῦ, ἀλλ᾽ ὀργίζονται καὶ δυσανασχετοῦν· καὶ ὅπως ἀκριβῶς τὰ ὀκνηρὰ ἀπὸ τὰ παιδιά, ὅταν οἱ πατέρες των τὰ στέλλουν εἰς τοὺς διδασκάλους, διὰ νὰ ἀποφύγουν τοὺς κόπους τῶν γραμμάτων καὶ τὰ ὀλίγα κτυπήματα, φεύγουν μακρυὰ ἀπὸ τοὺς γονεῖς των, δὲν κερδίζουν τίποτε, ἀλλὰ καὶ προξενοῦν εἰς τοὺς ἑαυτούς των χειρότερα κακά, διότι ἀναγκάζονται εἰς τὴν ξενιτειὰν καὶ νὰ πεινοῦν καὶ νὰ περιφέρωνται ἐδῶ καὶ ἐκεῖ καὶ νὰ ἀρρωσταίνουν καὶ νὰ κατεντροπιάζωνται καὶ νὰ γίνωνται δοῦλοι, ἔτσι καὶ αὐτοὶ ποὺ δὲν ὑπομένουν μὲ εὐχαρίστησιν τὰς ἐκ μέρους τοῦ Θεοῦ δοκιμασίας, ἀλλὰ δυσανασχετοῦν, μαζὶ μὲ τὸ ὅτι δὲν ἀποκομίζουν καμμίαν ὠφέλειαν ἀπὸ αὐτὴν τὴν ἐνέργειάν των, προκαλοῦν εἰς τοὺς ἑαυτούς των καὶ τὰς πλέον βαρυτέρας συμφοράς. Διὰ τοῦτο ἐλάβαμεν ἐντολὴν ἀπὸ τὸν Θεὸν νὰ ἐπιδεικνύωμεν ὑπομονὴν καὶ νὰ κατευθύνωμεν ὀρθῶς τὴν καρδίαν μας.

Λέγεις ὅμως ὅτι ἔχεις πάθει πάρα πολὺ φοβερὰ πράγματα, περισσότερον ἀπὸ ὅ,τι πρέπει. Μὰ οὔτε καὶ οἱ γυμνασταὶ γυμνάζουν ὅλους μὲ τὸν ἴδιον τρόπον, ἀλλὰ τοὺς μὲν μικρᾶς ἱκανότητος τοὺς βάζουν ἀδυνάτους ἀντιπάλους, ἐνῷ εἰς τοὺς γενναίους παρέχουν γενναίους ἀνταγωνιστάς. Διότι ἐκεῖνος ποὺ ἀντιμετωπίζει ἀντίπαλον ποὺ εἶναι κατώτερος τῆς ἰδικῆς του δυνάμεως, καὶ ἂν ἀκόμη συμπλέκεται καθ᾽ ὅλην τὴν διάρκειαν τῆς ἡμέρας μὲ αὐτόν, παραμένει εἰς τὸ τέλος ἀγύμναστος.

Μὰ θὰ εἰπῇ κάποιος· Πῶς λοιπὸν ὁ Θεὸς δὲν ἔδωσε τοὺς ἰδίους μόχθους εἰς ἐκείνους ποὺ ἐδιάλεξαν τὸν αὐτὸν τρόπον ζωῆς; Διότι ὁ Θεὸς δὲν ἐφαρμόζει ἕνα μόνον τρόπον ἀσκήσεως, ἀλλ᾽ οὔτε καὶ οἱ ἄνθρωποι ὅλοι ἔχουν ἀνάγκην ἀπὸ τὰς ἰδίας δοκιμασίας, καὶ ἂν ἀκόμη ἀκολουθοῦν τὸν αὐτὸν τρόπον ζωῆς· καθόσον καὶ πολλοὶ ἄρρωστοι ποὺ πάσχουν ἀπὸ τὴν ἰδίαν ἀσθένειαν, δὲν ἐχρειάσθησαν τὰ ἴδια φάρμακα, ἀλλὰ ἄλλα μὲν αὐτοὶ καὶ ἄλλα οἱ ἄλλοι. Διὰ τοῦτο καὶ οἱ τρόποι τῶν δοκιμασιῶν εἶναι ποικί-

δὲ βαρυτάτῃ πενίᾳ, τῷ βιάζεσθαι καὶ ἀδικεῖσθαι ἕτερος, ἄλλος τῷ συνεχεῖς καὶ ἐπαλλήλους θανάτους καὶ παίδων καὶ τῶν αὐτῷ προσηκόντων ἰδεῖν· καὶ οὗτος μὲν τῷ παρὰ πάντων ἀπορρίπτεσθαι καὶ μηδ' ἑνὸς ἀξιοῦσθαι λόγου, ἐκεῖνος δὲ τῷ διαβάλλεσθαι ἐφ' οἷς οὐδὲν ἑαυτῷ σύνοιδε, καὶ πονηρᾶς δόξης ἀνέχεσθαι βάρος, καὶ ἄλλος ἄλλως· οὐδὲ γὰρ δυνατὸν ἅπαντα μετὰ ἀκριβείας ἐξαριθμήσασθαι νῦν.

Τούτων δὲ ἕκαστον δοκεῖ μέν, ὅσον πρὸς τὴν τῶν σῶν παράθεσιν συμφορῶν, κοῦφον εἶναι καὶ οὐδέν· εἰ δὲ ἐν πείρᾳ κατέστης αὐτῶν, ἔμαθες ἂν ὅτι τοῦτο ἐφ' ᾧ σὺ νῦν ἀλύεις, ἐκείνων πολλῷ φορητότερον. Εἰ δὲ καὶ εἰσί τινες ἔλαττον ἡμῶν παιδευόμενοι, μὴ σκανδαλιζώμεθα ἐπὶ τούτῳ· ἡ γὰρ τῶν πόνων ἐπίτασις μισθῶν ἐπίτασίς ἐστι καὶ ἔρεισμα ἀσφαλὲς πρὸς τὸ μηκέτι ἑκόντας ἢ ἄκοντας ἐκπεσεῖν· καὶ γὰρ τῦφον καταστέλλει καὶ ῥαθυμίαν ἀποστρέφει καὶ φρονιμωτέρους ποιεῖ καὶ εὐλαβεστέρους ἐργάζεται. Καὶ ὅλως εἰ βούλοιτό τις ἐξαριθμεῖν ἅπαντα, πολλὰ ἂν εὕροι τὰ κέρδη τῶν πειρασμῶν, καὶ οὐκ ἔστιν οὐδεὶς ὢν πολὺς παρὰ τῷ Θεῷ λόγος θλίψεως ἐκτός, κἂν ἡμῖν μὴ οὕτω φαίνηται.

Εἰ γὰρ ὁ μακάριος Παῦλος πολὺ τὸ πρᾶγμα ὑπέμεινεν (οὐδεὶς δὲ ἐκείνου μείζων ἀλλ' οὐδὲ ἴσος ἐστί), πῶς ἔνι μὴ δεηθῆναι τῆς βοηθείας ταύτης αὐτούς; Εἰ δέ τινες οὐδὲ ταῖς θλίψεσι ταύταις ἐσωφρονίσθησαν, οὐκέτι τοῦτο παρὰ τὴν αἰτίαν τοῦ τὴν παιδείαν ἐπαγαγόντος, ἀλλὰ παρὰ τὴν ὀλιγωρίαν ἐκείνων. Εἰ δὲ μὴ ἐπετέθη τὸ φάρμακον, παρὰ

λοι καὶ διάφοροι, καὶ ἄλλος μὲν ὑποφέρει ἀπὸ μακροχρόνιον ἀσθένειαν, ἄλλος ἀπὸ πολὺ φοβερὰν πεῖναν, ἄλλος βιάζεται καὶ ἀδικεῖται καὶ ἄλλος μὲ τὸ ὅτι βλέπει συνεχεῖς καὶ ἀλλεπαλλήλους θανάτους καὶ τῶν παιδιῶν του καὶ τῶν συγγενῶν του. Καὶ αὐτὸς μὲν δοκιμάζεται μὲ τὸ ὅτι περιφρονεῖται ἀπὸ ὅλους καὶ δὲν ἀπολαμβάνει καμμίαν τιμήν, ἐνῷ ὁ ἄλλος μὲ τὸ ὅτι συκοφαντεῖται διὰ πράγματα ποὺ οὔτε κἂν ἔχει ἰδέα, καὶ ὑποφέρει ἔτσι τὸ βάρος τῆς κακῆς φήμης, καὶ ἄλλος πάλιν μὲ ἄλλον τρόπον· διότι δὲν εἶναι δυνατὸν τώρα νὰ τὰ ἀπαριθμήσωμεν ὅλα μὲ ἀκρίβειαν.

Τὸ καθένα λοιπὸν ἀπὸ αὐτά, ἐφ' ὅσον ἤθελε συγκριθῆ μὲ τὰς ἰδικάς σου συμφοράς, φαίνεται μὲν πολὺ ἐλαφρὸν καὶ τελείως ἀσήμαντον· ἐὰν ὅμως ἐλάμβανες πεῖραν αὐτῶν, θὰ ἦτο δυνατὸν νὰ ἀντιληφθῇς ὅτι ἡ ἰδική σου τωρινὴ συμφορὰ εἶναι πολὺ πιὸ ὑποφερτὴ ἀπὸ ἐκείνας. Ἀλλ' ἐὰν ὑπάρχουν ὡρισμένοι ποὺ ὑφίστανται μικροτέρας δοκιμασίας ἀπὸ τὰς ἰδικάς μας, δὲν πρέπει νὰ σκανδαλιζώμεθα ἀπὸ αὐτό. Διότι ἡ αὔξησις τῶν πόνων σημαίνει αὔξησιν τῶν μισθῶν καὶ ἀποτελεῖ ἀκλόνητον στήριγμα ὥστε οὐδέποτε πλέον νὰ ἐκπέσωμεν μὲ τὴν θέλησίν μας ἢ χωρὶς τὴν θέλησίν μας· καθόσον ἐμποδίζει τὴν ἀλαζονείαν, καταργεῖ τὴν ὀκνηρίαν, μᾶς κάνει περισσότερον φρονίμους καὶ μᾶς βοηθεῖ νὰ γίνωμεν εὐλαβέστεροι. Καὶ γενικά, ἐὰν κανεὶς ἤθελεν ἀπαριθμήσει ὅλα γενικῶς, θὰ ἠμποροῦσε νὰ διαπιστώσῃ ὅτι εἶναι πολλαὶ αἱ ὠφέλειαι ἀπὸ τοὺς πειρασμούς, καὶ δὲν ὑπάρχει κανεὶς ἀπὸ αὐτοὺς ποὺ εἶναι ἀρεστοὶ εἰς τὸν Θεὸν ποὺ νὰ μὴ ἐδοκίμασε θλῖψιν, ἔστω καὶ ἂν αὐτὸ δὲν γίνεται ἀντιληπτὸν εἰς ἡμᾶς.

Διότι ἐὰν ὁ μακάριος Παῦλος ἐδοκιμάσθη ἀπὸ τόσους πειρασμοὺς (κανεὶς δὲ δὲν εἶναι μεγαλύτερος ἀπὸ ἐκεῖνον, ἀλλ' ἀκόμη καὶ οὔτε κἂν ἴσος), πῶς εἶναι δυνατὸν αὐτοὶ νὰ μὴ ἔχουν ἀνάγκην ἀπὸ αὐτὴν τὴν βοήθειαν; Ἐὰν δὲ ὡρισμένοι δὲν ἐσωφρονίσθησαν οὔτε καὶ μὲ τὰς θλίψεις αὐτάς, αὐτὸ δὲν ὀφείλεται εἰς ἐκεῖνον ποὺ ἔστειλε τὰς δοκιμασίας, ἀλλὰ ὀφείλεται εἰς τὴν ἀδιαφορίαν ἐκείνων. Ἐὰν δὲ δὲν ἐδίδετο τὸ φάρμακον τῆς θεραπείας θὰ

τὸ μὴ ἠμελῆσθαι ἔδοξαν ἂν ἀπολωλέναι· νῦν δὲ οὐ μικρὸν ἤνυσται τὸ μηδὲν αἰτιᾶσθαι τὸν ἰατρόν, ἀλλὰ τοὺς κάμνοντας καὶ τὴν ἀπροσεξίαν αὐτῶν. Εἰ δέ τινες πρὸ τῶν πειρασμῶν ὀρθὰ βαδίζοντες μετὰ τὴν τούτων ἐπαγωγὴν κατέπεσον, καὶ πάλιν ἕτεροι πᾶσαν ἐπερχόμενοι κακίαν, οὐδεμιᾶς θλίψεως ἐπειράθησαν, ἄλλοι δὲ ἐκ πρώτης ἡλικίας εἰς ἐσχάτας ἀναπνοὰς μυρίαις τρυχόμενοι συμφοραῖς διετέλεσαν, μηδενὶ τούτων θορυβώμεθα μηδὲ καταπίπτωμεν. Εἰ μὲν γὰρ ἅπασαν δυνάμενοι καὶ ὀφείλοντες τῆς προνοίας αὐτοῦ τὴν οἰκονομίαν εἰδέναι, ταῦτα ἠγνοοῦμεν, ἐχρῆν ἀθυμεῖν καὶ ταράττεσθαι· εἰ δὲ καὶ ὁ τοσούτων ἀπορρήτων κοινωνήσας, καὶ εἰς τρίτον ἀνελθὼν οὐρανόν, ἰλιγγίασε πρὸς ταύτην τὴν ἄβυσσον, καὶ διακύψας πρὸς τὸ βάθος τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ Θεοῦ κατεπλάγη μόνον, καὶ εὐθὺς ἀνεχώρησε, τί μάτην κόπτομεν ἑαυτοὺς πολυπραγμονοῦντες τὰ ἀνεξερεύνητα καὶ ζητοῦντες τὰ ἀνεξιχνίαστα; Καὶ ἰατρῷ μὲν τοῖς φαινομένοις ἡμῖν συμφέρουσι πολλάκις ἐναντία προστάττοντι, καὶ τὸ καταψυχθὲν μέλος ὑποθεῖναι κελεύοντι κρουνῷ, καὶ ἄλλα πολλὰ τοιαῦτα ἐργαζομένῳ παράδοξα οὐκ ἀντιλέξομεν, ἀλλ' ἐπειδὴ φθάσαντες ἐπείσαμεν ἑαυτοὺς ὅτι τῷ τῆς τέχνης λόγῳ τοῦτο ποιεῖ, μετὰ προθυμίας εἴξομεν, καίτοι γε διαμαρτόντι πολλάκις· τὸν δὲ Θεὸν τὸν τοσοῦτον ἡμῶν ἀφεστηκότα ἐν ἅπασι, τὸν αὐτοσοφίαν ὄντα, τὸν οὐδέποτε διαμαρτάνοντα, πολυπραγμονήσομεν; Καὶ ὃν μὲν ἔδει λογισμοὺς ἀπαιτεῖν, τούτῳ πιστεύσομεν ἁπλῶς, ᾧ δὲ ἔδει μόνῳ πιστεύ-

ἐφαίνοντο ὅτι ἐχάθησαν ἀπὸ ἀδιαφορίαν. Τώρα ὅμως δὲν εἶναι μικρὸν τὸ ἐνδιαφέρον ποὺ ἐπεδείχθη, ὥστε νὰ μὴ ἠμπορῇ κανεὶς νὰ κατηγορήσῃ τὸν ἰατρὸν ὡς πρὸς τίποτε, ἀλλὰ τοὺς πάσχοντας καὶ τὴν ἀπροσεξίαν των. Ἐὰν ὅμως ὡρισμένοι πρὶν ἀπὸ τοὺς πειρασμοὺς ἐβάδιζαν τὴν ὀρθὴν ὁδόν, ἀλλὰ κατέπεσαν μετὰ τὴν ἐμφάνισιν αὐτῶν, ἐνῷ πάλιν ἄλλοι, μολονότι διέπρατταν ὁποιανδήποτε κακίαν, δὲν ἐδέχθησαν καμμίαν δοκιμασίαν θλίψεως, καὶ ἄλλοι δὲ ἀπὸ τὴν ἀρχὴν τῆς ζωῆς των καὶ μέχρι τὸν θάνατόν των ἐπέρασαν τὴν ζωήν των βασανιζόμενοι ἀπὸ ἀμετρήτους συμφοράς, δὲν πρέπει τίποτε ἀπὸ αὐτὰ νὰ μᾶς ἀνησυχῇ καὶ οὔτε νὰ χάνωμεν τὸ θάρρος μας. Διότι ἐὰν μὲν αὐτὰ δὲν τὰ ἐγνωρίζαμεν, μολονότι ἠμπορούσαμεν ἀλλὰ καὶ ὠφείλαμεν νὰ γνωρίζωμεν ὁλόκληρον τὸ σχέδιον τῆς προνοίας τοῦ Θεοῦ, ἔπρεπε τότε νὰ λυπῆται κανεὶς καὶ νὰ ἀνησυχῇ· ἐφόσον ὅμως καὶ αὐτός, ποὺ ἔγινε μέτοχος τόσων ἀπορρήτων ἀγαθῶν καὶ ἀνέβη καὶ εἰς τὸν τρίτον οὐρανόν, ἔμεινε κατάπληκτος μπροστὰ εἰς αὐτὴν τὴν ἄβυσσον καὶ ὑποκύψας ἐμπρὸς εἰς τὸ βάθος τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ Θεοῦ ἐδοκίμασεν ἁπλῶς καὶ μόνον ἔκπληξιν καὶ ἀμέσως ἀνεχώρησε, διατί ἄδικα καταπονοῦμεν τοὺς ἑαυτούς μας ἐρευνῶντες τὰ ἀνεξερεύνητα καὶ ἐξετάζοντες τὰ ἀνεξιχνίαστα; Καὶ εἰς μὲν τὸν ἰατρόν, ὁ ὁποῖος προστάζει πολλὲς φορὲς πράγματι ἀντίθετα ἀπὸ αὐτὰ ποὺ φαίνονται εἰς ἡμᾶς συμφέροντα, ποὺ παραγγέλλει ἐπὶ παραδείγματι νὰ τοποθετήσωμεν τὸ μέλος ἐκεῖνο τοῦ σώματός μας ποὺ ἔπαθε ψῦξιν κάτω ἀπὸ τὸν κρουνὸν καὶ ποὺ πράττει ἐπίσης πολλὰ ἄλλα παρόμοια, δὲν φέρομεν καμμίαν ἀντίρρησιν, ἀλλά, μολονότι βέβαια πολλὲς φορὲς ὑποπίπτει εἰς σφάλματα, ἐκτελοῦμεν μὲ προθυμίαν τὰς συμβουλάς του ἐπειδὴ ἐφθάσαμεν εἰς τὸ σημεῖον νὰ πείσωμεν τὸν ἑαυτόν μας ὅτι αὐτὸ τὸ κάνει μὲ τὴν ὑπευθυνότητα τῆς τέχνης του· ὅμως τὸν Θεὸν ὁ ὁποῖος τόσον πολὺ διαφέρει ἀπὸ ἡμᾶς ὡς πρὸς ὅλα, ὁ ὁποῖος εἶναι ὁ ἴδιος ἡ σοφία καὶ ποὺ ποτὲ δὲν ἁμαρτάνει, θὰ ἐξετάσωμεν τὰς ἐνεργείας του μὲ τόσην περιέργειαν; Καὶ

ειν, τοῦτον εὐθύνας καὶ λόγους τῶν πραττομένων ἀπαιτήσομεν, καὶ δυσχερανοῦμεν τὴν ἄγνοιαν; Καὶ ποῦ ταῦτα ψυχῆς εὐσεβοῦς; Μή, δέομαι καὶ ἀντιβολῶ, μὴ πρὸς τοσοῦτον μανίας ἔλθωμεν, ἀλλ' ἐν ἅπασιν οἷς ἂν ἀπορῶμεν, ἐκεῖνο ἐπιλέγωμεν· «Τὰ κλίματά σου ἄβυσσος πολλή». Καὶ γὰρ καὶ τοῦτο αὐτὸ τῆς τοῦ Θεοῦ σοφίας ἐστὶ τὸ μὴ πάντα ἡμᾶς εἰδέναι σαφῶς. Εἰ μὲν γὰρ ἐπιστάμενοι τὰς αἰτίας τῶν γινομένων οὕτως ἐπειθόμεθα τῷ Θεῷ, οὐκ ἦν ἡμῖν πολὺς ὁ μισθός, οὐδὲ πίστεως τὸ πρᾶγμα ὑπῆρξεν ἐπίδειξις· ὅταν δὲ μηδὲν τούτων εἰδότες καὶ οὕτω στέργωμεν εἴκειν ἅπασιν αὐτοῦ τοῖς προστάγμασι, καὶ εἰς ὑπακοὴν γνησίαν καὶ εἰς πίστιν εἰλικρινῆ, μέγιστα τὰς ἡμετέρας ὠφελοῦμεν ψυχάς. Καὶ γὰρ ἓν μόνον πεπεῖσθαι χρή, ὅτι συμφερόντως ἡμῖν ἅπαντα ἐπάγεται παρὰ τοῦ Θεοῦ· τὸν δὲ τρόπον μηκέτι ζητεῖν, μηδὲ ἀγνοοῦντας ἀσχάλλειν ἢ ἀθυμεῖν. Οὔτε γὰρ δυνατὸν ταῦτα εἰδέναι, οὔτε συμφέρον, τὸ μὲν διὰ τὸ θνητοὺς εἶναι, τὸ δὲ διὰ τὸ ταχέως εἰς ἀπόνοιαν αἴρεσθαι.

Πολλὰ ἡμεῖς πράττομεν τῶν τοῖς παισὶ τοῖς ἡμετέροις δοκούντων μὲν εἶναι βλαβερῶν, συμφερόντων δὲ ὅμως· καὶ οὔτε ἐκεῖνοι τὴν αἰτίαν ἀξιοῦσι μαθεῖν, οὔτε ἡμεῖς πρότερον ἑαυτοὺς πείσαντες ὅτι συμφέρει τὸ γινόμενον, οὕτως ἐπὶ τὸ πράττειν ἐρχόμεθα, ἀλλ' εἰς τοῦτο μόνον αὐτοὺς παιδαγωγοῦμεν εἴκειν οἷς ἂν ἐπιτάξωσιν οἱ πατέρες, καὶ μηδὲν

46. Ψαλμ. 35, 7.

αὐτὸν μέν, ἀπὸ τὸν ὁποῖον ἔπρεπε νὰ ζητοῦμεν ἐξηγήσεις, θὰ τὸν πιστεύσωμεν χωρὶς κανένα δισταγμόν, ἐνῷ αὐτὸν εἰς τὸν ὁποῖον μόνον ἔπρεπε νὰ πιστεύωμεν, ἀπὸ αὐτὸν θὰ ζητήσωμεν εὐθύνας καὶ ἐξηγήσεις διὰ τὰς ἐνεργείας του καὶ θὰ δυσανασχετήσωμεν δι' αὐτὴν τὴν ἄγνοιαν; Καὶ πῶς αὐτὰ εἶναι δείγματα εὐσεβοῦς ψυχῆς; Σᾶς παρακαλῶ λοιπὸν καὶ σᾶς ἱκετεύω, ἂς μὴ φθάσωμεν εἰς τόσον μεγάλον βαθμὸν μανίας, ἀλλὰ εἰς ὅλα ἐκεῖνα, διὰ τὰ ὁποῖα θὰ δοκιμάζωμεν ἐνδεχομένως κατάπληξιν, ἂς λέγωμεν εἰς τὸ τέλος τὰ λόγια αὐτά· «Αἱ ἀνεξερεύνηται βουλαί σου εἶναι ἄβυσσος μεγάλη»[46]. Καθόσον καὶ αὐτὸ τὸ γεγονός, τὸ ὅτι δὲν γνωρίζομεν ἡμεῖς ὅλα μὲ σαφήνειαν, ἀποτελεῖ δεῖγμα τῆς σοφίας τοῦ Θεοῦ. Διότι ἐὰν μὲν γνωρίζοντες τὰς αἰτίας αὐτῶν ποὺ συμβαίνουν καὶ ἐξ αἰτίας αὐτοῦ ἐπιστεύαμεν εἰς τὸν Θεόν, δὲν θὰ ἦτο πολὺ μεγάλος ὁ μισθός μας καὶ δὲν θὰ ἦτο τὸ πρᾶγμα αὐτὸ δεῖγμα τῆς πίστεώς μας. Ὅταν ὅμως, χωρὶς νὰ γνωρίζωμεν τίποτε δι' ὅλα αὐτά, δεχώμεθα νὰ ἐκτελοῦμεν ὅλα τὰ προστάγματά του καὶ νὰ ὑπακούωμεν ἀληθινὰ καὶ νὰ πιστεύωμεν εἰλικρινά, τότε ὠφελοῦμεν τὰς ψυχάς μας εἰς πάρα πολὺ μεγάλον βαθμόν. Πρέπει λοιπὸν δι' ἕνα μόνον πρᾶγμα νὰ εἴμεθα ἀπόλυτα πεπεισμένοι· ὅτι δηλαδὴ ὁ Θεὸς ὅλα μᾶς τὰ στέλλει πρὸς ὄφελος ἰδικόν μας· τὸν δὲ τρόπον μὲ τὸν ὁποῖον μᾶς τὰ στέλλει δὲν πρέπει νὰ ζητοῦμεν νὰ τὸν μάθωμεν, οὔτε δὲ ἐπειδὴ δὲν θὰ τὸν γνωρίζωμεν νὰ στενοχωρούμεθα ἢ νὰ λυπούμεθα. Διότι οὔτε εἶναι δυνατὸν αὐτὰ νὰ τὰ γνωρίζωμεν, ἀλλὰ καὶ δὲν ἔχομεν κανένα συμφέρον νὰ τὰ γνωρίζωμεν, ἀφ' ἑνὸς μὲν ἐπειδὴ εἴμεθα θνητοί, ἀφ' ἑτέρου δὲ ἐπειδὴ ἀμέσως γινόμεθα ἀλαζόνες.

Ἡμεῖς οἱ ἴδιοι πράττομεν πάρα πολλὰ διὰ τὰ παιδιά μας ποὺ φαίνονται ὅτι εἶναι ἐπιζήμια δι' αὐτά, ἀλλ' ὅμως εἶναι πράγματι συμφέροντα. Καὶ οὔτε ἐκεῖνα ζητοῦν νὰ μάθουν τὴν αἰτίαν, οὔτε τὰ πράττομεν αὐτὰ ἀφοῦ προηγουμένως τὰ πείσωμεν ὅτι εἶναι συμφέροντα πράγματα, ἀλλὰ τὰ διδάσκομεν αὐτὸ καὶ μόνον, νὰ πράττουν δηλαδὴ αὐτὰ ποὺ τοὺς προστάσσουν οἱ πατέρες των καὶ νὰ μὴ ζητοῦν

περαιτέρω ζητεῖν. Εἶτα πρὸς μὲν τοὺς γονεῖς καὶ τῆς αὐτῆς φύσεως ἡμῖν ὄντας οὕτω διακεισόμεθα καὶ οὐκ ἀγανακτήσομεν, πρὸς δὲ τὸν Θεόν, οὗ τὸ μέσον τοσοῦτόν ἐστιν, ὅσον Θεοῦ πρὸς ἀνθρώπους, δυσχεραινοῦμεν, ὅτι μὴ πάντα ἴσμεν; Καὶ τί ταύτης τῆς ἀσεβείας ἴσον; Πρὸς γὰρ τοὺς τοιούτους ὁ μακάριος Παῦλος ἀγανακτῶν ἔλεγε· «Μενοῦν γε, ὦ ἄνθρωπε, σύ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως;». Καὶ ἐγὼ μὲν τὸ τῶν παίδων ὑπόδειγμα, ἐκεῖνος δὲ τούτου πολλῷ μεῖζον ἔθηκε τὸ τοῦ κεραμέως, καὶ τοῦ παρ' αὐτοῦ πλαττομένου πηλοῦ. Καθάπερ γὰρ ὁ πηλός, ἧπερ ἂν ἄγωσιν αἱ χεῖρες τοῦ διατυποῦντος αὐτόν, ἕπεται, οὕτω καὶ τὸν ἄνθρωπον, ἧπερ ἂν ὁ Θεὸς κελεύῃ, ταύτῃ ἕπεσθαι, καὶ ἅπερ ἂν ἐπάγῃ, ταῦτα μετ' εὐχαριστίας δέχεσθαι χρή, οὐδὲν ἀντιλέγοντα, οὐδὲ περιεργαζόμενον ὑπὲρ τοῦ μαθεῖν. Οὐδὲ γὰρ ἡμῖν ταῦτα μόνοις ἐστὶν ἄπορα, ἀλλὰ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἀνδράσιν ἐκείνοις καὶ θαυμαστοῖς. Ὁ μὲν γὰρ Ἰὼβ ἔλεγε· «Διὰ τί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ πλούτῳ», καὶ τὰ ἑξῆς. Ὁ δὲ μακάριος Δαυΐδ· «Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν· ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν· ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται». Καὶ μετὰ τοῦτον δὲ ὁ Ἱερεμίας ἔλεγε· «Δίκαιος εἶ, Κύριε, πλὴν κρίματα λαλήσω πρὸς σέ. Τί ὅτι ὁδὸς ἀσεβῶν εὐθηνεῖται;». Ἠπόρουν μὲν

---

47. Ρωμ. 9, 20.
48. Ἰὼβ 21, 7.
49. Ψαλμ. 72, 2-5.
50. Ἱερ. 12, 1.

τίποτε παραπάνω. Ἄρα λοιπὸν πρὸς μὲν τοὺς γονεῖς, ποὺ εἶναι τῆς ἰδίας φύσεως μὲ ἡμᾶς, θὰ συμπεριφερώμεθα κατ' αὐτὸν τὸν τρόπον καὶ δὲν θὰ ἀγανακτοῦμεν, πρὸς τὸν Θεὸν ὅμως, τοῦ ὁποίου τόσον πολὺ διαφέρουν τὰ μέσα ποὺ μεταχειρίζεται, ὅσον διαφέρει ὁ Θεὸς ἀπὸ τοὺς ἀνθρώπους, θὰ δυσανασχετήσωμεν, ἐπειδὴ δὲν γνωρίζομεν ὅλας τὰς ἐνεργείας του; Ποῖον πρᾶγμα θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ μὲ αὐτὴν τὴν ἀσέβειαν; Πρὸς αὐτοὺς λοιπὸν ὁ μακάριος Παῦλος ἔλεγε μὲ ἀγανάκτησιν· «Μὰ ποῖος λοιπόν, ἄνθρωπέ μου, εἶσαι σὺ ποὺ ἀντιλέγεις εἰς τὸν Θεόν; Μήπως ἠμπορεῖ τὸ πλάσμα νὰ εἴπῃ εἰς αὐτὸν ποὺ τὸ ἔπλασε, διατί μὲ ἔπλασες κατ' αὐτὸν τὸν τρόπον;»[47]. Καὶ ἐγὼ μὲν ἀνέφερα ὡς παράδειγμα τὰ παιδιά, ἐνῷ ἐκεῖνος ἀνέφερε, κατὰ τρόπον περισσότερον ἐμφανῆ ἀπὸ αὐτό, τὸ παράδειγμα τοῦ κεραμέως καὶ τοῦ πηλοῦ ποὺ πλάσσεται ἀπὸ αὐτόν. Ὅπως λοιπὸν ὁ πηλὸς συμμορφώνεται μὲ τὴν μορφὴν ποὺ τοῦ δίδουν τὰ χέρια ἐκείνου ποὺ τὸν πλάθουν, ἔτσι καὶ ὁ ἄνθρωπος πρέπει ν' ἀκολουθῇ τὰ προστάγματα ποὺ τοῦ δίδει ὁ Θεός, καὶ αὐτὰ ποὺ τοῦ στέλλει, αὐτὰ πρέπει νὰ τὰ δέχεται μὲ εὐχαρίστησιν, χωρὶς καμμίαν ἀντιλογίαν καὶ χωρὶς νὰ ζητῇ μὲ περιέργειαν νὰ μάθῃ διὰ ποῖον σκοπὸν τοῦ στέλλονται. Διότι αὐτὰ δὲν εἶναι ἄγνωστα μόνον εἰς ἡμᾶς, ἀλλὰ ἦσαν ἄγνωστα καὶ εἰς τοὺς ἁγίους ἐκείνους καὶ θαυμαστοὺς ἄνδρας ποὺ ἔζησαν πρὶν ἀπὸ ἡμᾶς. Καὶ ὁ μὲν Ἰὼβ ἔλεγε· «Διατί ζοῦν οἱ ἀσεβεῖς καὶ γηράσκουν μέσα εἰς τὸν πλοῦτον;»[48], καθὼς καὶ ὅλα τὰ ἐν συνεχείᾳ ποὺ ἀναφέρει. Ὁ δὲ μακάριος Δαυΐδ· «Τὰ βήματά μου ὀλίγον ἔλειψε νὰ ξεφύγουν ἀπὸ τὴν ὁδὸν τοῦ Κυρίου, ἐπειδὴ ὠργίσθην ἐναντίον τῶν ἀνόμων, καθὼς ἔβλεπα οἱ ἁμαρτωλοὶ νὰ εὐτυχοῦν, καὶ ὅτι ὁ θάνατος ὅταν ἔρχεται δὲν τοὺς καταστρέφει ἀφοῦ πρῶτα τοὺς βασανίσῃ μὲ μακροχρόνιον ἀρρώστιαν. Δὲν ταλαιπωροῦνται, ὅπως ὅλοι οἱ ἄνθρωποι, καὶ δὲν τιμωροῦνται, ὅπως οἱ ἄλλοι ἄνθρωποι»[49]. Καὶ μετὰ ἀπὸ αὐτὸν ἔλεγεν ὁ Ἱερεμίας· «Εἶσαι δίκαιος, Κύριε· πλὴν ὅμως θὰ σοῦ εἰπῶ ὡρισμένας κρίσεις μου. Διατί οἱ ἀσεβεῖς εὐτυχοῦν εἰς τὴν ζωήν των;»[50]. Βέ-

οὖν καὶ οὗτοι καὶ ἐζήτουν, ἀλλ' οὐκ ἐξ ἴσης τοῖς ἀσεβέσιν, οὐδὲ ἐγκαλοῦντες τῷ Θεῷ, οὐδὲ καταγινώσκοντες ἀδικίαν ἐκ τῶν γινομένων αὐτοῦ. Ὁ μὲν γὰρ ἔλεγεν· «Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ· τὰ κρίματά σου ἄβυσσος πολλή». Ὁ δὲ τοσαῦτα παθών, φησίν, «οὐδὲ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ»· καὶ μεταξὺ τοῦ βιβλίου ἔλεγε, τὸ ἀκατάληπτον αὐτοῦ τῆς σοφίας καὶ οἰκονομίας ἐξηγούμενος, ἐπειδὴ περὶ τῆς δημιουργίας διελέχθη· «Ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ, καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ». Ὁ δὲ Ἱερεμίας αὐτὸ τοῦτο προορώμενος, μή τις ὑποπτεύσῃ ποτέ, προτίθησι τῆς ἐρωτήσεως τὴν ἑαυτοῦ κρίσιν εἰπών· «Δίκαιος εἶ, Κύριε»· τοῦτ' ἔστιν, οἶδα μὲν ὅτι δικαίως ἅπαντα γίνεται παρὰ σοῦ, τὸν δὲ τρόπον οὐκ ἐπίσταμαι καθ' ὃν γίνεται.

Τί οὖν, ἔμαθόν τι πλέον ἐκεῖνοι; Ἀλλ' οὐδὲ ἀποκρίσεως μὲν οὖν ὑπὲρ τούτων ἔτυχον· ὃ καὶ δηλῶν ὁ μακάριος Δαυῒδ ἔλεγε· «Καὶ ὑπέλαβον τοῦ γνῶναι, ὅτι τοῦτο κόπος ἐστὶν ἐναντίον μου». Οὐκ ἔτυχον δὲ ἀποκρίσεως, ἵνα τοὺς μετὰ ταῦτα παιδεύσωσι μηδὲ ἐρωτᾶν. Καὶ ἐκεῖνοι μὲν ἓν μόνον ἐζήτουν, διὰ τί οἱ ἀσεβεῖς ἐν εὐθηνίᾳ καὶ πλούτῳ, καὶ οὐδὲ οὕτως ἐμάνθανον· οἱ δὲ νῦν πολλῷ πλείονα ἐκείνων πολυπραγμονοῦσι· ταῦτα γὰρ τὰ νῦν προτιθέμενα πολλῷ πλείονα ἐκείνων ἐστίν. Ὁ μὲν οὖν σαφὴς λόγος τούτων ἐπιτετράφθω τῷ πάντα εἰδότι πρὶν γενέσεως αὐτῶν.

8. Εἰ δὲ χρὴ καὶ αὐτοὺς ἐκ τῶν ἤδη γεγενημένων γνωρίμων ἡμῖν ἐπινοῆσαι λύσιν καὶ παραμυθίαν τοῖς ζητουμένοις τινὰ διὰ τοὺς σφόδρα ταῦτα περιεργαζομένους, ἐκεῖνό φημι

---

51. Ψαλμ. 35, 7.
52. Ἰὼβ 1, 22.
53. Ἰὼβ 26, 14.
54. Ψαλμ. 72, 16.

βαια εἶχαν καὶ αὐτοὶ ἀπορίας καὶ ἐζητοῦσαν νὰ μάθουν, ἀλλὰ ὄχι ὅπως οἱ ἀσεβεῖς, οὔτε ἐκατηγοροῦσαν τὸν Θεόν, καὶ οὔτε ἀπέδιδαν ἀδικίαν εἰς τὰς ἐνεργείας τοῦ Θεοῦ. Διότι ὁ μὲν Δαυῒδ ἔλεγεν· «Ἡ δικαιοσύνη σου εἶναι ὅπως τὰ ὄρη τοῦ Θεοῦ καὶ αἱ κρίσεις σου ὡσὰν μία μεγάλη ἄβυσσος»[51]. Ὁ δὲ Ἰώβ, λέγει, ποὺ ἔπαθε τόσα πολλὰ «δὲν ἀπέδωσεν ἀφροσύνην εἰς τὸν Θεόν»[52]. Καὶ εἰς τὸ βιβλίον, εἰς τὸ ὁποῖον ἐξηγεῖ τὸ ἀκατάληπτον τῆς σοφίας καὶ τῆς οἰκονομίας τοῦ Θεοῦ, ἐπειδὴ ὡμίλησε διὰ τὸ ἔργον τῆς δημιουργίας, ἔλεγε· «Νά, αὐτὰ ἀποτελοῦν μέρος τῶν ἔργων του, γλυκὺν δὲ λόγον θ' ἀκούσωμεν ἡμεῖς ἀπὸ αὐτόν»[53]. Ὁ δὲ Ἱερεμίας προλέγοντας τὸ ἴδιο πρᾶγμα, διὰ νὰ μὴ συμβῇ ποτὲ κανεὶς νὰ διατυπώσῃ ἀμφιβολίας, θέτει πρὶν ἀπὸ τὴν ἐρώτησίν του τὴν πίστιν του καὶ λέγει· «Δίκαιος εἶσαι, Κύριε»· δηλαδή· γνωρίζω μὲν ὅτι ὅλα γίνονται ἀπὸ σένα μὲ δικαιοσύνην, δὲν γνωρίζω ὅμως τὸν τρόπον μὲ τὸν ὁποῖον γίνονται.

Τί λοιπόν; Ἐγνώρισαν ἐκεῖνοι τίποτε τὸ ἐπὶ πλέον; Ὄχι μόνον δὲν ἐγνώρισαν, ἀλλὰ οὔτε κἂν ἔλαβαν ἀπάντησιν δι' αὐτά· πρᾶγμα τὸ ὁποῖον διὰ νὰ τὸ φανερώσῃ ὁ Δαυῒδ ἔλεγε· «Καὶ ἀντελήφθην, ὅσον ἀφορᾷ τὸ νὰ γνωρίσω τὴν αἰτίαν τῶν ἐνεργειῶν σου, ὅτι αὐτὸ ἀποτελεῖ δι' ἐμένα ἁπλῶς καὶ μόνον κόπον»[54]. Δὲν ἔλαβαν δὲ ἀπάντησιν διὰ νὰ διδάξουν τοὺς μεταγενεστέρους ἀνθρώπους νὰ μὴ ἐρωτοῦν διὰ νὰ μάθουν. Καὶ ἐκεῖνοι μὲν ἕνα μόνον ἐζητοῦσαν νὰ μάθουν, διατί δηλαδὴ οἱ ἀσεβεῖς ζοῦν μέσα εἰς τόσην ἀφθονίαν καὶ πλοῦτον, καὶ παρὰ ταῦτα δὲν ἠμποροῦσαν νὰ μάθουν, ἐνῷ οἱ σημερινοὶ ἄνθρωποι ἀσχολοῦνται μὲ πολὺ περισσότερα ἀπὸ ὅ,τι ἐκεῖνοι. Διότι αὐτὰ ποὺ σήμερα προβάλλουν μπροστά μας εἶναι πολὺ περισσότερα ἀπὸ ἐκεῖνα. Τὴν ἀκριβῆ λοιπὸν αἰτίαν ὅλων αὐτῶν ἂς τὴν ἀφήσωμεν εἰς αὐτὸν ποὺ γνωρίζει τὰ πάντα πρὶν ἀκόμη νὰ συμβοῦν.

8. Ἐὰν ὅμως πρέπει καὶ ἡμεῖς μὲ βάσιν ὅλων ἐκείνων τῶν γεγονότων ποὺ μᾶς εἶναι ἤδη γνωστά, νὰ εὕρωμεν μίαν λύσιν καὶ νὰ παρηγορήσωμεν ἐκείνους ποὺ τὰ ἐρευνοῦν καὶ μάλιστα μὲ τόσον μεγάλην ἐπιμονήν, θὰ εἰπῶ τὸ ἑξῆς,

ὅτι τὸ μὲν τοὺς δικαίους ἐν θλίψεσιν εἶναι, ἐν ἀνέσει δὲ τοὺς πονηρούς, οὐδὲ ζητήσεως ἄξιον λοιπόν, τῆς βασιλείας ἀποκαλυφθείσης, καὶ τῆς κατὰ τὸν μέλλοντα αἰῶνα ἀντιδόσεως δειχθείσης ἡμῖν. Τοῦ γὰρ κατ' ἀξίαν ἐκεῖ μένοντος ἕκαστον, τί χρὴ ταράττεσθαι τοῖς γενομένοις ἐνθάδε καλοῖς ἢ κακοῖς; Τοὺς μὲν γὰρ αὐτῷ προσέχοντας ὁ Θεός, ἅτε γενναίους ἀθλητάς, τούτοις γυμνάζει τοῖς πόνοις, τοὺς δὲ ἀσθενεστέρους καὶ βραδυτέρους καὶ μηδὲν τῶν βαρυτέρων δυναμένους ἐνεγκεῖν πρότερον εἰς τὴν τῶν ἀγαθῶν ἔργων ἐνάγει προτροπήν. Εἰ δὲ καὶ τοὐναντίον συμβαίνει πολλάκις, καὶ πολλοὶ μὲν τῶν δικαίων ἐν ἀνέσει διάγουσι καὶ τιμῇ, τῶν δὲ πονηρῶν ἐν ἀτιμίᾳ καὶ τοῖς ἐσχάτοις κακοῖς, τέως μὲν ἡμῖν ἡ προτέρα ἀντίθεσις, ἡ λέγουσα κακοῦσθαι μὲν τοὺς δικαίους, τοὺς δὲ ἀδίκους τρυφᾶν, ἀνατρέπεται τῷ λόγῳ. Εἰ δὲ καὶ ταύτην ἐπιλύσασθαι δεῖ, ἐκεῖνο ἂν εἴποιμι ὅτι οὐχ ἑνὶ τρόπῳ τὰ καθ' ἡμᾶς οἰκονομεῖν ὁ Θεὸς εἴωθεν, ἀλλ' εὔπορος ὢν πολλὰς ἡμῖν τέμνει τὰς πρὸς σωτηρίαν ὁδούς. Ἐπειδὴ γὰρ πολλοὶ τὸν περὶ τῶν μελλόντων καὶ τῆς ἀναστάσεως οὐκ ἀνέχονται δέξασθαι λόγον, διὰ τοῦτο ἐν βραχεῖ τῆς κρίσεως τὴν εἰκόνα ἐνθάδε δείκνυσιν, ὅταν κολάζῃ μὲ τοὺς πονηρούς, εὐεργετῇ δὲ τοὺς χρηστούς. Τοῦτο γὰρ ὁλοσχερῶς μὲν ἐν τῇ κρίσει γίνεται, ἐκ μέρους δὲ καὶ ἐνταῦθα νῦν, ἵνα οἱ πρὸς τὸν μακρὸν ἐκεῖνον ἀναπεπτωκότες χρόνον τοῖς γοῦν ἐν τῷ παρόντι δρωμένοις ἐπιεικέστεροι γένωνται. Εἴτε γὰρ μηδεὶς ὅλως ἐκολάζετο τῶν πονηρῶν, μηδὲ ἐτιμᾶτο τῶν χρηστῶν, πολλοὶ τῶν διαπιστούντων τῷ τῆς ἀναστάσεως λόγῳ

ὅτι τώρα πλέον δὲν ἀξίζει νὰ ἐρευνοῦμεν τὸ διατί οἱ μὲν δίκαιοι δοκιμάζουν τόσας θλίψεις, ἐνῷ οἱ πονηροὶ εὐημεροῦν, διότι μᾶς ἔχει ἀποκαλυφθῆ ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἔχομεν ἀποδείξεις ὅτι θὰ ἀμειφθοῦν κατὰ τὴν μέλλουσαν ζωήν. Διότι ἀφοῦ εἰς τὴν ἐκεῖ ζωὴν ὁ καθένας θὰ λάβῃ τὴν ἀμοιβὴν σύμφωνα μὲ τὴν ἀξίαν του, διατί πρέπει νὰ ἀνησυχοῦμεν διὰ τὰ καλὰ ἢ τὰ κακὰ ποὺ συμβαίνουν εἰς τὴν ἐδῶ ζωήν; Διότι ὁ Θεὸς αὐτοὺς μὲν ποὺ εἶναι ἀφωσιωμένοι εἰς αὐτόν, ἐπειδὴ εἶναι γενναῖοι ἀθληταὶ τοὺς γυμνάζει μὲ αὐτὰ τὰ γυμνάσματα, τοὺς ἀσθενεστέρους ὅμως καὶ βραδυτέρους, οἱ ὁποῖοι δὲν ἠμποροῦν νὰ πράξουν τίποτε ἀπὸ τὰ βαρύτερα ἔργα, τοὺς προτρέπει κατ' ἀρχὴν νὰ πράττουν τὰ ἀγαθὰ ἔργα. Ἐὰν ὅμως πολλὲς φορὲς συμβαίνῃ τὸ ἀντίθετον, καὶ πολλοὶ μὲν ἀπὸ τοὺς δικαίους εὐημεροῦν καὶ ἀπολαμβάνουν τιμάς, ἐνῷ ἀπὸ τοὺς κακοὺς πολλοὶ ζοῦν μὲ περιφρόνησιν καὶ δοκιμάζονται ἀπὸ τὰς βαρυτέρας συμφοράς, κατ' ἀρχὴν μὲν ἀνατρέπεται μὲ αὐτὸ τὸ γεγονὸς τὸ προηγούμενον ἐπιχείρημα σύμφωνα μὲ τὸ ὁποῖον οἱ μὲν δίκαιοι ὑποφέρουν, οἱ δὲ ἄδικοι εὐτυχοῦν. Ἐὰν ὅμως πρέπει νὰ ἐξηγήσωμεν καὶ αὐτὸ τὸ φαινόμενον, θὰ ἠμποροῦσα νὰ εἰπῶ τὸ ἑξῆς, ὅτι δηλαδὴ ὁ Θεὸς συνηθίζει νὰ μᾶς παρέχει τὰ τῆς οἰκονομίας του δῶρα ὄχι μὲ ἕνα μόνον τρόπον, ἀλλὰ μὲ τὴν ἐπινοητικὴν δύναμιν ποὺ διαθέτει μᾶς χαράσσει πολλοὺς δρόμους σωτηρίας. Ἐπειδὴ βέβαια πολλοὶ δὲν ἀνέχονται ν' ἀκούσουν καὶ ν' ἀποδεχθοῦν τὴν διδασκαλίαν περὶ τῆς μελλούσης ζωῆς καὶ ἀναστάσεως, διὰ τὸν λόγον αὐτὸν ἐν συντομίᾳ μᾶς δείχνει ἐδῶ τὴν εἰκόνα τῆς μελλούσης κρίσεως, ὅταν τοὺς μὲν κακοὺς τοὺς τιμωρῇ, τοὺς δὲ ἀγαθοὺς τοὺς εὐεργετῇ. Διότι αὐτὸ τὸ πρᾶγμα ἐξ ὁλοκλήρου μὲν συμβαίνει εἰς τὴν μέλλουσαν κρίσιν, ἐν μέρει ὅμως καὶ εἰς τὴν ἐδῶ ζωήν, ὥστε ἐκεῖνοι πού, ἐξ αἰτίας τοῦ μακροῦ χρόνου ποὺ μεσολαβεῖ ἐδῶ, χάνουν τὸ θάρρος των, νὰ γίνωνται ἐπιεικέστεροι μὲ τὰ ὅσα συμβαίνουν εἰς τὴν ἐδῶ ζωήν. Διότι ἐὰν δὲν ἐτιμωρεῖτο κανεὶς ἀπὸ τοὺς κακοὺς καὶ δὲν ἐτιμᾶτο κανεὶς ἀπὸ τοὺς ἀγαθούς, πολλοὶ ἀπὸ αὐτοὺς ποὺ δὲν πιστεύουν εἰς τὴν δι-

τὴν μὲν ἀρετὴν ὡς κακῶν αἰτίαν ἔφευγον, τὴν δὲ πονηρίαν ὡς ἀγαθῶν πρόξενον ἐδίωκον· εἴτε πάλιν ἐνταῦθα τὸ κατ' ἀξίαν ἅπαντες ἀπελάμβανον, περιττὸν ἂν ἡγήσαντο εἶναι καὶ ψευδῆ τὸν τῆς κρίσεως λόγον.

Ἵν' οὖν μήτε οὗτος διαπιστῆται, μήτε ὁ πολὺς καὶ χυδαῖος λαὸς φαυλότερος γίνηται καταφρονῶν, ἐπεξέρχεται καὶ ἐνταῦθα τῶν ἁμαρτανόντων πολλούς, καὶ ἀμείβεται τῶν κατορθούντων ἐνίους, τῷ μὲν μὴ εἰς πάντας τοῦτο ποιεῖν, τὸν τῆς κρίσεως πιστούμενος λόγον, τῷ δὲ καὶ πρὸ τῆς κρίσεως κολάζειν τινάς, τοὺς πολὺν ὕπνον καθεύδοντας διεγείρων. Ἀπὸ μὲν γὰρ τοῦ τιμωρεῖσθαι τοὺς πονηροὺς διανίστανται πολλοὶ τῷ φόβῳ τοῦ μὴ τὰ αὐτὰ παθεῖν, ἀπὸ δὲ τοῦ μὴ πάντας ἐνταῦθα τὰ κατ' ἀξίαν ἀπολαβεῖν ἀναγκάζονται λογίζεσθαι ὅτι εἰς ἕτερόν τινα τοῦτο τεταμίευται καιρόν. Οὐ γὰρ ἂν δήπου δίκαιος ὢν ὁ Θεὸς περιεῖδε τοσούτους καὶ τῶν κακῶν ἀτιμωρήτους ἀπελθόντας, καὶ τῶν ἀγαθῶν μυρίοις κολασθέντας δεινοῖς, εἰ μὴ ἄλλην τινὰ αἰῶνος ἑκατέροις παρεσκευάκει κατάστασιν. Διὸ οὐ πάντας, ἀλλ' ἐνίους κολάζει καὶ τιμᾷ, ὥσπερ ἐπὶ τοῦ Πέρσου, ὥσπερ ἐπὶ τοῦ Ἐζεκίου, καίτοι πολλοὶ καὶ τῷ Ἀσσυρίῳ γεγόνασιν ἐξ ἴσης ἀσεβεῖς, καὶ κατὰ τὸν Ἐζεκίαν ἐνάρετοι, ἀλλ' οὐκ ἐπὶ πάντων τοῦτο πεποίηκε· τὸ δὲ αἴτιον, ὅπερ ἔφην, ἐστὶ τὸ μηδέπω παρεῖναι τῆς κρίσεως τὸν καιρόν. Καὶ ὅτι οὐκ ἐμὸς οὗτος ὁ λόγος, αὐτοῦ τοῦ κρίνειν ἡμᾶς τότε μέλλοντος ἄκουσον.

Ἐπειδὴ γὰρ προσῆλθον αὐτῷ οἱ τὴν τελευτὴν τῶν ὑπὸ

---

55. Πρβλ. Δ' Βασ. κεφ. 18 - 20.

δασκαλίαν τῆς ἀναστάσεως τὴν μὲν ἀρετὴν ὡς αἰτίαν τῶν κακῶν θὰ τὴν ἀπέφευγαν, τὴν δὲ κακίαν, ἐπειδὴ θὰ τὴν ἐθεωροῦσαν πρόξενον τῶν ἀγαθῶν, θὰ τὴν ἐπεδίωκαν. Ἐὰν πάλιν ὅλοι ἠμείβοντο εἰς τὴν ἐδῶ ζωὴν σύμφωνα μὲ τὴν ἀξίαν των, θὰ ἐθεωροῦσαν ὡς περιττὴν καὶ ψευδῆ τὴν διδασκαλίαν περὶ τῆς μελλούσης κρίσεως.

Ὥστε λοιπὸν διὰ νὰ μὴ ἀπιστῇ κανεὶς εἰς τὴν διδασκαλίαν περὶ τῆς μελλούσης κρίσεως ἀφ' ἑνός, καὶ ἀφ' ἑτέρου διὰ νὰ μὴ γίνεται χειρότερος ὁ πολὺς καὶ ἀπαίδευτος λαὸς ἐξ αἰτίας τῆς περιφρονήσεως, καὶ τιμωρεῖ εἰς τὴν ἐδῶ ζωὴν πολλοὺς ἀπὸ τοὺς ἁμαρτωλούς, καὶ ἀμείβει ὡρισμένους ἀπὸ τοὺς ἐναρέτους καὶ μὲ τὸ ὅτι δὲν τὸ κάνει αὐτὸ πρὸς ὅλους ἐπιβεβαιώνει τὴν διδασκαλίαν περὶ τῆς μελλούσης κρίσεως, μὲ τὸ ὅτι δὲ καὶ τιμωρεῖ ὡρισμένους πρὶν ἀπὸ τὴν τελικὴν κρίσιν, διεγείρει αὐτοὺς ποὺ εἶναι βυθισμένοι εἰς ὕπνον βαθύν. Διότι ἐξ αἰτίας μὲν τῆς τιμωρίας τῶν πονηρῶν διορθώνονται πολλοὶ φοβούμενοι μήπως πάθουν τὰ ἴδια καὶ αὐτοί, ἐξ αἰτίας δὲ τοῦ ὅτι δὲν ἀμείβονται κατ' ἀξίαν εἰς τὴν ἐδῶ ζωὴν ὅλοι οἱ ἄνθρωποι, ἀναγκάζονται νὰ σκέπτωνται, ὅτι ἡ ἀμοιβὴ αὐτὴ ἐπιφυλάσσεται διὰ κάποιον ἄλλον χρόνον. Διότι ὁ Θεός, ὡσὰν δίκαιος ποὺ εἶναι, δὲν θὰ ἦτο δυνατὸν νὰ παραβλέψῃ τόσοι πολλοὶ ἀπὸ τοὺς κακοὺς νὰ φεύγουν ἀτιμώρητοι διὰ τὴν ἄλλην ζωὴν καὶ ἀπὸ τοὺς ἀγαθοὺς πάλιν νὰ φεύγουν ἀφοῦ ὑπέφεραν ἀπὸ ἀμέτρητα δεινά, ἐὰν δὲν εἶχε προετοιμάσει καὶ διὰ τοὺς δύο κάποιαν ἄλλην μελλοντικὴν κατάστασιν. Διὰ τὸν λόγον αὐτὸν δὲν τιμωρεῖ ὅλους καὶ δὲν τοὺς τιμᾷ, ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν Περσῶν καὶ ἐπίσης εἰς τὴν περίπτωσιν τοῦ Ἐζεκίου, μολονότι βέβαια πολλοὶ καὶ ἔγιναν ἐξ ἴσου ἀσεβεῖς μὲ τὸν Ἀσσύριον καὶ ἄλλοι πάλιν ἐξ ἴσου ἐνάρετοι μὲ τὸν Ἐζεκίαν[55], ἀλλ' ὅμως δὲν τὸ ἐφήρμοσε τὸ ἴδιο μέτρον δι' ὅλους. Ἡ δὲ αἰτία, ὅπως εἶπα, εἶναι, ὅτι δὲν ἦλθεν ἀκόμη ὁ καιρὸς τῆς μελλούσης κρίσεως. Καὶ ὅτι δὲν εἶναι ἰδική μου αὐτὴ ἡ διδασκαλία, ἀλλὰ αὐτοῦ, ὁ ὁποῖος πρόκειται νὰ μᾶς κρίνῃ τότε, ἄκουσε τὰ ἑξῆς.

Ὅταν λοιπὸν ἦλθαν καὶ τοῦ ἀνέφεραν οἱ ἄνδρες τὸν

τοῦ πύργου καταχωσθέντων καὶ τὴν τοῦ Πιλάτου μανίαν ἀπαγγέλλοντες, ἣν εἰς τοὺς τετελευτηκότας ἐπεδείξατο, ταῖς θυσίαις αὐτῶν ἀναμίξας τὸ αἷμα, τί φησί; «Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; Οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε. Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτώ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι αὐτοὶ ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς κατοικοῦντας Ἰερουσαλήμ; Οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοήσητε, πάντες ὡσαύτως ἀπολεῖσθε». Αὕτη τῆς ἀναβολῆς ἡ αἰτία. Διὰ τοῦτο τοὺς τῶν αὐτῶν ἀξίους οὐχ ὁμοῦ πάντας κολάζειν εἴωθεν, ἵνα οἱ λειπόμενοι βελτίους ταῖς ἐκείνων γένωνται συμφοραῖς. Καὶ ταῦτα μὲν ἡμῖν οὕτως ἐπιλελύσθω.

Σὺ δὲ ἴσως καὶ τὰ νῦν προτιθέμενα ζητεῖς, ἃ πολλῷ τούτων ἐστὶν ἀπορώτερα. Πλὴν ἀλλὰ τούτων ἡμῖν κατὰ δύναμιν γενομένων φανερῶν, καὶ τῆς ἐκείνων λύσεως οἶμαί τινα προκαταβεβλῆσθαι διὰ τούτων ἀρχήν. Τί οὖν ἐστιν ὅπερ ἀπορεῖς; Ὅτι πολλοὶ μέχρι τελευτῆς ἐκ πρώτης ἡλικίας πολλαῖς προσεπάλαισον συμφοραῖς. Ἐγὼ δὲ καὶ περὶ τούτων εἴποιμι ἂν καὶ περὶ τῶν προτέρων, ὅτι προηγουμένως μὲν διὰ τὴν οἰκείαν αὐτοὺς κολάζει πονηρίαν· ἔπειτα δὲ ἵνα καὶ ἕτεροι κερδάνωσιν ἐκ τῶν τούτοις συμβαινόντων κακῶν. Εἰ δὲ μὴ ἐπὶ πάντων τοῦτο γίνεται, οὔπω τῆς κρίσεως ὁ καιρός.

Τί οὖν, φησίν, ὅταν πρὶν ἐλθεῖν εἰς τὴν ἡλικίαν τὴν διαγνωστικὴν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων, ὡς μεγάλα ἠδικηκότες τινὲς κολάζονται; Τούτου μὲν οὐ μία τίς

---

56. Λουκᾶ 13, 2-5.

θάνατον ἐκείνων ποὺ κατεπλακώθησαν ἀπὸ τὸν πύργον καθὼς ἐπίσης καὶ τὴν μανίαν τοῦ Πιλάτου ποὺ ἐπέδειξε πρὸς αὐτοὺς ποὺ εἶχαν ἀποθάνει, ἀφοῦ ἀνέμιξε τὸ αἷμα των μὲ τὰς θυσίας, τί τοὺς εἶπε; «Νομίζετε ὅτι αὐτοὶ οἱ Γαλιλαῖοι, ἐπειδὴ ἔπαθαν ὅλα αὐτά, ἦσαν περισσότερον ἁμαρτωλοὶ ἀπὸ ὅλους τοὺς ἄλλους Γαλιλαίους; Ὄχι, σᾶς λέγω, ἀλλ' ἐὰν δὲν μετανοήσετε θὰ ἀπολεσθῆτε κατὰ τὸν ἴδιον τρόπον. Ἢ νομίζετε, ὅτι ἐκεῖνοι οἱ δέκα ὀκτὼ ποὺ ἔπεσεν ὁ Πύργος τοῦ Σιλωὰμ καὶ τοὺς ἐφόνευσεν, ὅτι ἦσαν ὀφειλέται ἀπέναντι τοῦ Θεοῦ περισσότερον ἀπὸ ὅλους ἐκείνους ποὺ κατοικοῦν εἰς τὴν Ἱερουσαλήμ; Ὄχι, σᾶς λέγω, ἀλλ' ἐὰν δὲν μετανοήσετε, θὰ καταστραφῆτε ὅλοι κατὰ τὸν ἴδιον τρόπον»[56]. Αὐτὴ λοιπὸν εἶναι ἡ αἰτία ποὺ ἀναβάλλει ὁ Θεός. Διὰ τοῦτο δὲ δὲν συνηθίζει νὰ τιμωρῇ ὅλους μαζὶ ἐκείνους ποὺ εἶναι ἄξιοι τῆς ἰδίας τιμωρίας, διὰ νὰ γίνωνται οἱ ὑπόλοιποι καλύτεροι μὲ τὰς συμφορὰς ἐκείνων. Καὶ αὐτὰ μὲν ἂς θεωρήσωμεν ὅτι ἔχουν αὐτὴν τὴν ἐξήγησιν.

Σὺ ὅμως ἐνδεχομένως νὰ ζητῇς τὴν ἐξήγησιν καὶ τῶν ὅσων προανεφέραμεν, τὰ ὁποῖα εἶναι πολὺ πιὸ δύσκολα ἀπὸ αὐτά. Ἀφοῦ ὅμως αὐτὰ ἔγιναν ἀντιληπτὰ ὅσον μᾶς ἐπιτρέπουν αἱ δυνάμεις μας, νομίζω καὶ διὰ τὴν λύσιν ἐκείνων ὅτι ἔχει ἤδη γίνει μία κάποια ἀρχή. Ποία λοιπὸν εἶναι ἡ ἀπορία σου; Ὅτι πολλοὶ ἀπὸ τὴν ἀρχὴν τῆς ζωῆς των καὶ μέχρι τὸν θάνατόν των ἐδοκίμασαν πολλὰς συμφοράς. Ἐγὼ ὅμως θὰ ἠμποροῦσα νὰ σοῦ εἰπῶ καὶ δι' αὐτοὺς καὶ διὰ τοὺς προηγουμένους, ὅτι ὁ Θεὸς κατ' ἀρχὴν τοὺς τιμωρεῖ ἐξ αἰτίας τῆς ἰδικῆς των πονηρίας καὶ ἐν συνεχείᾳ διὰ νὰ ἀποκομίσουν καὶ ἄλλοι ὠφέλειαν ἀπὸ τὰς συμφορὰς ἐκείνων. Ἐὰν ὅμως αὐτὸ δὲν συμβαίνῃ εἰς ὅλους, αὐτὸ ὀφείλεται εἰς τὸ ὅτι δὲν ἦλθεν ἀκόμη ὁ καιρὸς τῆς μελλούσης κρίσεως.

Μὰ θὰ εἰπῇ κάποιος' Διατί λοιπὸν ὡρισμένοι τιμωροῦνται ὡσὰν νὰ διέπραξαν μεγάλα ἁμαρτήματα πρὶν ἀκόμη φθάσουν εἰς τὴν ἡλικίαν ἐκείνην ποὺ ἠμποροῦν νὰ ξεχωρίζουν τὰ καλὰ ἀπὸ τὰ κακά; Ἡ αἰτία ποὺ συμβαίνει αὐτὸ

ἐστιν αἰτία, ἀλλὰ πολλαὶ καὶ διάφοροι. Καὶ γὰρ παρὰ τὴν τῶν γεννησαμένων ἀκρασίαν καὶ παρὰ τὴν τῶν θρεψάντων ῥᾳθυμίαν καὶ παρὰ τὴν τῶν ἀέρων ἀνωμαλίαν καὶ παρὰ πολλὰ ἕτερα τοιαῦτα συμπτώματα τοῦτο γένοιτ' ἄν. Πρὸς δὲ τούτοις πολλοὺς αὐτῶν οἶδεν ὁ Θεὸς ἐσομένους πονηρούς· εἶτα ὥσπερ τισὶ πέδαις προκατέχει ταῖς τιμωρίαις ταύταις αὐτούς. Ἢ οὐχ ὁρᾷς καὶ τῶν ἐπαιτῶν πολλοὺς καὶ ἐν αὐτῇ τῇ θλίψει μυρία ἐργαζομένους δεινά, οὐ διὰ τὴν θλῖψιν, οὐδὲ διὰ τὸν λιμόν, ἀλλὰ διὰ τὴν οἰκείαν πονηρίαν μόνον; Ἐγὼ γὰρ ἤκουσά τινων λεγόντων ποτέ, ὅτι γυναῖκα ἐλευθέραν καὶ κοσμίαν ἀπολαβόντες ἐπ' ἐρημίας ἐνύβρισαν. Καίτοι ποίας τοῦτο ἀνάγκης, ποίας θλίψεως ἔργον; Τί δὲ οὐκ ἂν ἔπραξαν οὗτοι δεινόν, εἰ μὴ τοσούτῳ κατείχοντο δεσμῷ; Τῶν δὲ τὸ δεσμωτήριον οἰκούντων τὴν μανίαν καὶ τὴν λύτταν τίς ἂν ἐνέγκοι ῥᾳδίως; Καὶ οἱ δαιμονῶντες δὲ οὐκ ἐλάττονα τούτων ἐργάζονται. Οὐ λέγω ταῦτα, ἅπερ κατὰ τὸν καιρὸν τῆς τοῦ δαίμονος πράττουσι κατοχῆς, ἀλλὰ τὰ μετὰ ταῦτα τῆς βακχείας παυσαμένης ἐκείνης. Καὶ γὰρ ἀδηφαγοῦσι καὶ κλέπτουσι καὶ μεθύουσι καὶ πολλῷ τούτων αἰσχρότερα πράττουσι. Καθάπερ οὖν ἐπὶ τῶν κακούργων τοὺς μὲν πολλοὺς ἀφίησιν ἐπιπολὺ τὸ δεσμωτήριον οἰκεῖν ὁ κριτής, ὡς καὶ ἐκεῖ καταλῦσαι τὸν βίον πολλάκις, ὅταν δέ τινας τῶν πολλῶν νουθετῆσαι βούληται, ἕνα που καὶ δεύτερον ἐξ ἐκείνων λαβὼν καὶ ἐφ' ὑψηλοῦ καθίσας τοῦ βήματος, περιεστώτων ἁπάντων, οὕτως αὐτὸν κελεύει τὴν ἐπὶ θάνατον ἄγεσθαι,

δὲν εἶναι μία, ἀλλὰ πολλαὶ καὶ διάφοροι. Καθόσον αὐτὸ θὰ ἠμποροῦσε νὰ συμβῇ καὶ ἐξ αἰτίας τοῦ κακοῦ χαρακτῆρος τῶν γονέων των, καὶ ἐξ αἰτίας τῆς ἀδιαφορίας αὐτῶν πού τὸν ἀνέθρεψαν, καὶ ἐξ αἰτίας τοῦ κακοῦ περιβάλλοντος μέσα εἰς τὸ ὁποῖον ἐμεγάλωσαν, καὶ ἐξ αἰτίας πολλῶν ἄλλων περιπτώσεων. Ἐκτὸς δὲ ἀπὸ αὐτὰ συμβαίνει αὐτὸ ἐπειδὴ ὁ Θεὸς γνωρίζει ὅτι πολλοὶ ἀπὸ αὐτοὺς θὰ γίνουν κακοί, καὶ ἔτσι μὲ τὰς τιμωρίας αὐτάς, πού εἶναι κατὰ κάποιον τρόπον ὡσὰν χειροπέδαι, τοὺς συγκρατεῖ. Ἢ δὲν βλέπεις ὅτι πολλοὶ καὶ ἀπὸ τοὺς Ζητιάνους ὅτι διαπράττουν καὶ μέσα εἰς αὐτὴν ἀκόμη τὴν θλῖψιν των πολλὰ κακά, ὄχι ἐξ αἰτίας τῆς θλίψεώς των, οὔτε ἐξ αἰτίας τῆς πείνης των, ἀλλὰ ἐξ αἰτίας τῆς κακίας των καὶ μόνον; Διότι ἐγὼ ἤκουσα ὡρισμένους πού ἔλεγαν κάποτε, ὅτι ἀτίμασαν κάποιαν γυναῖκα ἐλευθέραν καὶ σεμνὴν ἀφοῦ τὴν ὡδήγησαν χωρὶς νὰ τὸ θέλῃ εἰς ἔρημον μέρος. Καὶ ὅμως ἡ πρᾶξις των αὐτὴ ἀπὸ ποίαν ἀνάγκην ἢ ἀπὸ ποίαν θλῖψιν ἔγινε; Τί δὲ τὸ φοβερὸν δὲν θὰ ἦτο δυνατὸν νὰ πράξουν αὐτοί, ἐὰν δὲν τοὺς συγκρατοῦσαν τόσον ἰσχυρὰ δεσμά; Αὐτῶν πάλιν πού διαμένουν εἰς τὴν φυλακὴν τὴν μανίαν καὶ τὴν λύσσαν ποῖος θὰ ἠμποροῦσε νὰ τὴν ὑπομείνῃ μὲ εὐκολίαν; Καὶ οἱ δαιμονιζόμενοι δὲ δὲν διαπράττουν μικρότερα ἀπὸ αὐτὰ πού διαπράττουν αὐτοί. Δὲν ἐννοῶ αὐτὰ τὰ ὁποῖα διαπράττουν κατὰ τὴν διάρκειαν πού διατελοῦν ὑπὸ τὴν ἐπίδρασιν τοῦ δαίμονος, ἀλλὰ ἐκεῖνα πού διαπράττουν ἐν συνεχείᾳ, ὅταν σταματᾷ ἐκείνη ἡ βακχικὴ των μανία. Καθόσον τρώγουν μὲ λαιμαργίαν, κλέπτουν, μεθοῦν καὶ πράττουν πολλὰ ἄλλα πολὺ πιὸ αἰσχρὰ ἀπὸ αὐτά. Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὴν περίπτωσιν τῶν κακούργων τοὺς μὲν περισσοτέρους ὁ δικαστὴς τοὺς ἀφήνει νὰ διαμείνουν εἰς τὴν φυλακὴν ἐπὶ πολὺν χρόνον, ὥστε πολλὲς φορὲς καὶ νὰ περάσουν ἐκεῖ ὅλην τὴν ζωήν των, ὅταν ὅμως θέλῃ νὰ νουθετήσῃ ὡρισμένους ἀπὸ τοὺς πολλούς, ἀφοῦ πάρῃ ἕνα ἀπὸ αὐτοὺς ἢ καὶ δεύτερον καὶ καθίσῃ ἐπάνω εἰς ὑψηλὸν βῆμα καὶ περιστιχιζόμενος ἀπὸ ὅλους τοὺς ὑπολοίπους, ἀπαγγέλλει τὴν καταδίκην των εἰς θάνατον κατ'

καὶ οὐ πάντων αὐτῷ πρὸς τὸν τῶν λοιπῶν φόβον χρεία τῶν πονηρῶν· οὕτω καὶ τῷ Θεῷ οὐ πάντων τῶν μοχθηρῶν, ὅταν ἡμᾶς σωφρονίσαι βούληται, δεῖ, ἀλλ' ἐνίους ἐξ αὐτῶν ἀπολαβών, οὓς οἶδεν ἀδιορθώτως ἔχοντας, ἐνδείκνυται τὴν δύναμιν καὶ τὴν ὀργήν, πολλὰ ἐκ τούτου κατορθῶν. Τούς τε γὰρ πονηροὺς οὕτως ἐπὶ τὴν μεταβολὴν τῆς πονηρίας, εἰ βούλοιντο, παρακαλεῖ, τούς τε ἀγαθοὺς προσεκτικωτέρους ἐργάζεται, τὴν δὲ μακροθυμίαν ἐπιδείκνυται τὴν αὐτοῦ, καὶ τὸν περὶ τῆς ἀναστάσεως λόγον, ὅπερ ἔφθην εἰπών, ἅπασι καθίστησι φανερόν.

Τί οὖν ταῦτα, φησί, πρὸς τοὺς ἐν συμφοραῖς ἅπασαν τὴν πρώτην τραφέντας ἡλικίαν, καὶ πρὶν ἐλθεῖν ἐπὶ τὸ διαγινώσκειν ἀγαθὸν ἢ κακόν, ἀποπνεύσαντας; Καὶ τί πάσχουσιν οὗτοι δεινόν, εἰπέ μοι, οὔπω τὴν αἴσθησιν ὧν πάσχουσιν ἔχοντες, οὐδὲ τὸ λυπεῖσθαι καὶ χαίρειν μεμαθηκότες; Ἐγὼ δὲ οὐ τούτῳ μόνον τὸν λόγον ἐπιλύομαι τοῦτον, ἀλλ' ὅτι καὶ γονεῖς καὶ ἀδελφοὶ καὶ συγγενεῖς ἐκ τῶν τοιούτων ἐσωφρονίσθησαν συμφορῶν· τοῦτο δὲ κέρδος οὐ μικρόν, ἐξ ὧν ἕτερος ἠδίκηται οὐδέν, ὠφελεῖσθαι τὰ μέγιστα ἕτερον. Εἰκός δε καὶ ἄλλην αἰτίαν τινὰ ἄρρητον εἶναι, μόνῳ τῷ ποιήσαντι ἡμᾶς φανεράν.

Εἷς ἔτι λείπεται λόγος, τί δήποτε οἱ τὰ ὀρθὰ βαδίζοντες πρὸ τῶν πειρασμῶν μετὰ τοὺς πειρασμοὺς κατέπεσον. Τίς οὖν ὁ καλῶς τοὺς τὰ ὀρθὰ βαδίζοντας ἐπιστάμενος, πλὴν τοῦ πλάσαντος καταμόνας τὰς καρδίας ἡμῶν, καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν; Πολλοὶ γὰρ πολλάκις τῶν δοκούν-

αὐτὸν τὸν τρόπον, χωρὶς νὰ εἶναι ἀναγκασμένος νὰ καταδικάσῃ ὅλους εἰς θάνατον, καὶ αὐτὸ τὸ κάνει διὰ νὰ φοβηθοῦν οἱ ὑπόλοιποι κακοί. Κατὰ τὸν ἴδιον τρόπον ἐνεργεῖ καὶ ὁ Θεός· δὲν εἶναι δηλαδὴ ἀνάγκη νὰ τιμωρήσῃ ὅλους τοὺς μοχθηρούς, ὅταν θέλῃ νὰ μᾶς σωφρονίσῃ, ἀλλὰ ἀφοῦ λάβῃ ὡρισμένους ἀπὸ αὐτούς, αὐτοὺς ποὺ γνωρίζει ὅτι εἶναι ἀδιόρθωτοι, ἐπιδεικνύει τὴν δύναμίν του καὶ τὴν ὀργήν του, ἐπιτυγχάνοντας σπουδαῖα ἀποτελέσματα μ' αὐτὸν τὸν τρόπον. Διότι καὶ τοὺς πονηροὺς τοὺς παροτρύνει, ἐὰν θέλουν, νὰ ἀφήσουν τὴν πονηρίαν των καὶ νὰ γίνουν καλοί, καὶ τοὺς ἀγαθοὺς τοὺς κάνει προσεκτικωτέρους καὶ ἀκόμη ἐπιδεικνύει τὴν μακροθυμίαν του καὶ εἰς ὅλους καθιστᾷ φανερὰν τὴν διδασκαλίαν περὶ τῆς ἀναστάσεως, πρᾶγμα διὰ τὸ ὁποῖον ὡμίλησα προηγουμένως.

Ἀλλά, θὰ εἰπῇ κάποιος, ποίαν σχέσιν ἔχουν αὐτὰ μὲ ἐκείνους ποὺ ἐπέρασαν ὅλην τὴν πρώτην ἡλικίαν των μέσα εἰς συμφορὰς καὶ ἀπέθαναν πρὶν νὰ ἔλθουν εἰς τὴν ἡλικίαν ἐκείνην ποὺ ἠμπορεῖ κανεὶς νὰ διακρίνῃ τὸ καλὸν ἀπὸ τὸ κακόν; Ἀλλὰ εἰπέ μου, τί τὸ φοβερὸν παθαίνουν αὐτοί, καθ' ἣν στιγμὴν δὲν ἔχουν ἀκόμη αἴσθησιν τῶν παθημάτων των καὶ οὔτε ἔχουν μάθει ἀκόμη νὰ λυποῦνται καὶ νὰ χαίρωνται; Ἐγὼ ὅμως δὲν περιορίζω μόνον εἰς αὐτὰ αὐτὴν τὴν ἐξήγησιν, ἀλλ' ἐπὶ πλέον λέγω ὅτι καὶ γονεῖς καὶ ἀδελφοὶ καὶ συγγενεῖς ἐσωφρονίσθησαν ἀπὸ αὐτὰς τὰς συμφοράς. Αὐτὸ δὲ δὲν εἶναι μικρὸν κέρδος, ἀπὸ αὐτὰ δηλαδὴ ποὺ δὲν ἔχει ζημιωθῆ κάποιος εἰς τίποτε, νὰ ὠφελῆται κάποιος ἄλλος εἰς πολὺ μεγάλον βαθμόν. Φυσικὸν εἶναι νὰ ὑπάρχῃ καὶ κάποια ἄλλη αἰτία δι' ὅλα αὐτὰ ποὺ συμβαίνουν, ποὺ εἶναι ἄγνωστος εἰς ἡμᾶς καὶ εἶναι γνωστὴ μόνον εἰς αὐτὸν ποὺ μᾶς ἔπλασεν.

Ὑπολείπεται ἀκόμη μία λύσις· Διατί τέλος πάντων αὐτοὶ ποὺ βαδίζουν τὴν ὀρθὴν ὁδὸν πρὶν ἀπὸ τοὺς πειρασμούς, ἡμάρτησεν μετὰ τοὺς πειρασμούς; Ποῖος ἄλλος βέβαια γνωρίζει πάρα πολὺ καλὰ αὐτοὺς ποὺ βαδίζουν τὴν ὀρθὴν ὁδόν, ἐκτὸς ἀπὸ ἐκεῖνον ποὺ ἔπλασε μίαν - μίαν τὰς καρδίας μας καὶ προγνωρίζει ὅλας τὰς πράξεις μας;

των εἶναι χρηστῶν, πάντων εἰσὶ πονηρότεροι. Καὶ τοῦτο ἀπεδείχθη μὲν ἤδη καὶ ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἐπ' ἐνίων, περιστάσεώς τινος γινομένης καὶ ἀνάγκης. Ὅταν δὲ ὁ δοκιμάζων τὰς καρδίας καὶ τοὺς νεφρούς, ὁ ζῶν καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, ὁ διικνούμενος μέχρι μερισμοῦ ψυχῆς καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν, ὁ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν, καθέζηται δικάζων ἡμῖν, τότε δή, τότε οὐκ ὀλίγους τινὰς ἐκ πολλῶν, ἀλλὰ πάντας ἐκκαλυπτομένους ὄψει τοὺς τοιούτους· καὶ οὔτε δορὰ προβάτου τὸν λύκον δύναιτ' ἄν, οὔτε κονίασις τάφου τὸν ἔνδον ἀποκρύψαι μολυσμόν. Οὐκ ἔστι γὰρ κτίσις ἀφανὴς ἐνώπιον τοῦ τότε κρίνοντος, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ· ὅπερ καὶ ὁ Παῦλος δηλῶν Κορινθίοις ἔλεγεν· «Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν».

Ἵνα δὲ καὶ τοὺς ὑποκριτὰς ἀφέντες ἐπὶ τοὺς ὀρθῶς βιοῦντας ἔλθωμεν τῷ λόγῳ, πόθεν δῆλον, εἰ τὰ μὲν ἄλλα αὐτοῖς κατώρθωται, τὸ δὲ κεφάλαιον ἠμέληται τῶν ἀγαθῶν ἡ ταπεινοφροσύνη; Καὶ διὰ τοῦτο αὐτοὺς ἀφῆκεν ὁ Θεός, ἵνα μάθωσιν ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει κατώρθουν ἐκεῖνα, ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ. Εἰ δὲ λέγοι τις βέλτιον εἶναι κατορθοῦντας ἐπαίρεσθαι ἢ ταπεινωθῆναι πεσόντας, πολὺ καὶ τῆς ἀλαζονείας ἀγνοεῖ τὴν ζημίαν καὶ τῆς ταπεινοφροσύνης τὸ κέρδος. Εὖ γὰρ ἴσθι

57. Ἀποκ. 2, 23.
58. Α' Κορ. 4, 5.

Διότι πολλοὶ πολλὲς φορὲς ἀπὸ αὐτοὺς ποὺ φαίνονται ὅτι εἶναι ἐνάρετοι, εἶναι οἱ πιὸ κακοὶ ἀπὸ ὅλους. Καὶ αὐτὸ ἀπεδείχθη μὲν ἤδη εἰς τὴν παροῦσαν ζωήν, ἀλλὰ δι' ὡρισμένους ἀποδεικνύεται ὅταν τὸ ἀπαιτήσῃ κάποια περίστασις καὶ κάποια ἀνάγκη. Ὅταν ὅμως ὁ Κύριος, ποὺ δοκιμάζει τὰς καρδίας καὶ τοὺς νεφρούς[57], ὁ ὁποῖος ζῇ καὶ ἐνεργεῖ καὶ εἶναι κοπτερὸς περισσότερον ἀπὸ κάθε μάχαιραν δίκοπον, ὁ ὁποῖος εἰσχωρεῖ μέχρι τὸ τελευταῖον μέρος τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ εἰς τὰς ἀρθρώσεις καὶ εἰς τὸν μυελόν, αὐτὸς ποὺ κρίνει καὶ δικάζει τὰς σκέψεις μας καὶ τοὺς σκοπούς μας, αὐτὸς λοιπὸν ὅταν καθίσῃ νὰ μᾶς δικάσῃ, τότε λοιπόν, τότε θὰ ἰδῇς αὐτοὺς νὰ φανερώνωνται ποῖοι εἶναι, ὄχι μόνον οἱ ὀλίγοι ἀπὸ τοὺς πολλούς, ἀλλὰ ὅλοι γενικῶς. Καὶ οὔτε δέρμα προβάτου θὰ ἠμπορέσῃ νὰ ἀποκρύψῃ τὸν λύκον, οὔτε τὸ ἀσβέστωμα τοῦ τάφου τὴν βρωμιὰν ποὺ ὑπάρχει μέσα. Διότι δὲν ὑπάρχει κανένα πλάσμα ποὺ νὰ μὴ τὸ βλέπῃ αὐτὸς ποὺ θὰ κρίνῃ τότε, ἀλλ' ὅλα θὰ εἶναι γυμνὰ καὶ ὁλοφάνερα εἰς τοὺς ὀφθαλμούς του. Καὶ αὐτὸ ἀκριβῶς θέλοντας ὁ Παῦλος νὰ δηλώσῃ ἔλεγεν εἰς τοὺς Κορινθίους· «Ὥστε μὴ κρίνετε κάτι πρὶν ἔλθῃ ἡ ὥρα του, μέχρις ὅτου ἔλθῃ ὁ Κύριος, ὁ ὁποῖος καὶ θὰ φέρῃ εἰς φῶς αὐτὰ ποὺ εἶναι κρυμμένα μέσα εἰς τὸ σκότος καὶ θὰ φανερώσῃ τὰς σκέψεις τῶν καρδιῶν»[58].

Καὶ διὰ νὰ φέρωμεν τὴν συζήτησιν εἰς αὐτοὺς ποὺ ζοῦν ὀρθῶς, ἀφήνοντες τοὺς ὑποκριτάς, ἀπὸ ποῦ ἀποδεικνύεται, ὅτι αὐτοὶ ἔπραξαν μὲν ὅλας τὰς ἄλλας ἀρετάς, ἀλλ' ὅμως ἠδιαφόρησαν διὰ τὸ σπουδαιότερον ἀπὸ ὅλα τὰ ἀγαθά, τὴν ταπεινοφροσύνην; Ἀκριβῶς δι' αὐτὸν τὸν λόγον τοὺς ἄφησεν ὁ Θεός, διὰ ν' ἀντιληφθοῦν ὅτι δὲν τὰ ἐπέτυχαν ἐκεῖνα μὲ τὴν ἰδικήν των δύναμιν, ἀλλὰ μὲ τὴν χάριν τοῦ Θεοῦ. Ἐὰν ὅμως κάποιος ὑποστηρίζῃ ὅτι εἶναι προτιμότερον νὰ ὑπερηφανευώμεθα ζῶντες ἐνάρετον ζωήν, παρὰ νὰ πίπτωμεν καὶ νὰ ταπεινωνώμεθα, αὐτὸς δὲν γνωρίζει εἰς μεγάλον βαθμὸν καὶ τὴν ζημίαν τῆς ἀλαζονείας καὶ τὸ κέρδος τῆς ταπεινοφροσύνης. Διότι πρέπει νὰ

σαφῶς ὅτι ἄνθρωπος μετὰ ἀπονοίας κατορθῶν (εἴ γε ὅλως τοῦτο ἔστι κατορθοῦν), ταχέως ἐμπεσεῖται εἰς τὴν ἐσχάτην ἀπώλειαν. Καὶ ὁ μὲν ὀλισθῆσαι συγχωρηθείς, καὶ μετριάζειν μαθὼν ἀπὸ τοῦ πτώματος, καὶ ἀναστήσεται, καὶ ἀνακτήσεται ἑαυτὸν θᾶττον, εἴ γε βούλοιτο· ὁ δὲ δοκῶν μὲν εὖ πράττειν μετὰ ἀλαζονείας, μηδὲν δὲ πάσχων δεινόν, οὔτε αἴσθησιν τῆς οἰκείας λήψεται παρανομίας ποτέ, ἀλλὰ καὶ αὐξήσει τὸ δεινόν, καὶ λήσεται κενὸς ἐνθένδε ἀπελθών· καθάπερ ἐκεῖνος ὁ Φαρισαῖος, ὃς ἀνῆλθε μὲν δοκῶν τοῖς ἀγαθοῖς ἅπασι πλουτεῖν, κατῆλθε δὲ μαθὼν ὅτι καὶ τοῦ τελώνου πενέστερος ἦν.

Ἔστι δὲ καὶ ἕτερον εἶδος πολλὴν ἔχον ἰσχὺν πρὸς τὸ κενῶσαι τὰ μετὰ πολλῶν ἱδρώτων καὶ πόνων συναχθέντα καλά, ὁ τῆς κενοδοξίας ἄνεμος. Καθάπερ γὰρ ἄνεμος ἀληθῶς εἰσελθὼν ἐκφυσᾷ ἅπαντας τοὺς τῆς ἀρετῆς θησαυρούς. Ἰδοὺ οὖν καὶ δευτέρα πρόφασις ἡμῖν ἀνεφάνη τῶν τὰ ὀρθὰ βαδιζόντων ὡς ἔφης. Πολλοὶ γὰρ παρ' ἡμῖν δοκοῦντες ὑπὲρ τῆς ἀρετῆς πολλοὺς ὑπομεμενηκέναι πόνους, καὶ ὑπομένοντες δέ, ἐπειδὴ πρὸς τὴν παρὰ ἀνθρώπων ὁρῶντες τιμήν, καὶ οὐ πρὸς τὸν Θεὸν ἅπαντα ἔπραττον, ἀφείθησαν πειρασμῷ περιπεσεῖν, ἵνα τῆς παρὰ τῶν πολλῶν ἀποστερηθέντες δόξης δι' ἣν ἅπαντα ἐζημιώθησαν, καὶ μαθόντες τὴν φύσιν αὐτῆς ὡς οὐδὲν ἄμεινον ἄνθους χόρτου διάκειται, τῷ Θεῷ μόνῳ προσέχωσι τοῦ λοιποῦ, καὶ δι' αὐτὸν ἅπαντα πράττωσι. Καὶ ἕτεροι

γνωρίζωμεν πάρα πολὺ καλὰ ὅτι ὁ ἄνθρωπος ποὺ ἀσκεῖ τὴν ἀρετὴν μὲ ἀλαζονείαν (ἐὰν πράγματι αὐτὸ ἠμπορῇ νὰ θεωρηθῇ πραγματικὴ ἀρετή), πάρα πολὺ γρήγορα θὰ ὁδηγηθῇ εἰς τὴν πιὸ φοβερὰν ἀπώλειαν. Καὶ αὐτὸς μὲν ποὺ ἀφέθη νὰ γλυστρίσῃ πρὸς τὸ κακὸν καὶ θὰ γίνῃ μετριόφρων ἐξ αἰτίας τῆς πτώσεώς του καὶ θὰ σηκωθῇ καὶ πάλιν καὶ θὰ ἐπανεύρῃ τὰς δυνάμεις του τὸ ταχύτερον, ἐὰν φυσικὰ τὸ θελήσῃ. Αὐτὸς ὅμως ποὺ νομίζει ὅτι εἶναι ἐνάρετος καὶ εἶναι ἀλαζών, χωρὶς ὅμως νὰ ὑποφέρῃ ἀπὸ κανένα κακόν, δὲν θὰ συναισθανθῇ ποτὲ τὴν ἰδικήν του παρανομίαν, ἀλλ' ἀντιθέτως καὶ θὰ αὐξήσῃ τὸ κακόν, καὶ θὰ φύγῃ, χωρὶς νὰ τὸ πάρῃ εἴδησιν, ἀπὸ τὸν ἐδῶ κόσμον τελείως ἄδειος. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος ὁ Φαρισαῖος, ὁ ὁποῖος ἀνέβη εἰς τὸν ναόν, νομίζοντας ὅτι φέρει μαζί του ὅλον τὸν πλοῦτον τῶν ἀγαθῶν, ἀλλ' ὅμως κατέβη ἀφοῦ ἐπληροφορήθη ὅτι ἦτο πτωχότερος καὶ ἀπὸ τὸν τελώνην.

Ὑπάρχει δὲ καὶ ἕνα ἄλλο εἶδος κακοῦ ποὺ ἔχει πολλὴν δύναμιν, ὥστε νὰ ἠμπορῇ νὰ καταστρέψῃ ὅλα τὰ καλά, τὰ ὁποῖα ἐσυγκεντρώθησαν μὲ πολλοὺς ἱδρῶτας καὶ κόπους, ὁ ἄνεμος τῆς κενοδοξίας. Διότι ὅπως ἀκριβῶς ὁ ἄνεμος, ἀφοῦ μᾶς κατακυριεύσῃ πραγματικά, διασκορπίζει ὅλους τοὺς θησαυροὺς τῆς ἀρετῆς. Νὰ λοιπὸν ποὺ μᾶς ἐπαρουσιάσθη καὶ δευτέρα αἰτία πτώσεως αὐτῶν ποὺ βαδίζουν τὴν ἐνάρετον ὁδόν, ὅπως λέγεις. Διότι πολλοὶ ποὺ μᾶς φαίνονται ὅτι ἔχουν ὑπομείνει πολλὰ βάσανα ἐξ αἰτίας τῆς ἀρετῆς καὶ μολονότι τὰ ὑπέμειναν, ἐπειδὴ ὅμως ἀπέβλεπαν, ποὺ τὰ ἔπρατταν ὅλα αὐτά, εἰς τὴν τιμὴν ἐκ μέρους τῶν ἀνθρώπων καὶ δὲν τὰ ἔπρατταν χάριν τοῦ Θεοῦ, ἀφέθησαν νὰ περιπέσουν εἰς πειρασμόν, ὥστε ἀποστερούμενοι τῆς δόξης ἐκ μέρους τῶν πολλῶν ἀνθρώπων, ἐξ αἰτίας τῆς ὁποίας ὑπέστησαν ὅλας τὰς ζημίας, καὶ μαθόντες τὴν φύσιν αὐτῆς, ὅτι δηλαδὴ δὲν εἶναι τίποτε περισσότερον ἀπὸ ὅ,τι εἶναι ἕνα ἄνθος τοῦ χόρτου, εἰς τὸ ἑξῆς νὰ ἔχουν τὴν προσοχήν των ἐστραμμένην μόνον πρὸς τὸν Θεὸν καὶ ὅλα νὰ τὰ πράττουν χάριν αὐτοῦ. Ἀλλὰ ὑπάρχουν ἐκτὸς

δὲ πρὸς τούτοις εἰσὶ λόγοι τούτων πολλῷ πλείους, ἡμῖν μὲν ἀφανεῖς, ὡς ἔφην, γνώριμοι δὲ τῷ πεποιηκότι αὐτοὺς Θεῷ. Μὴ τοίνυν ἀσχάλλωμεν ἐπὶ τοῖς γινομένοις, ἀλλ' εὐχαριστῶμεν· τοῦτο γὰρ οἰκετῶν εὐγνωμόνων ἐστί.

Σὺ δὲ θαυμάζων ὅτι μὴ πρότερον, ἡνίκα ἐτρύφας καὶ τὴν κοσμικὴν περιέκεισο φαντασίαν, ἀλλὰ νῦν, ὅτε πάντα ἐκεῖνα ἔρριψας, καὶ σαυτὸν ὅλον ἀνέθηκας τῷ Θεῷ, τότε ἐπεπήδησεν οὗτος ὁ μιαρός, παραπλήσιον ποιεῖς ὥσπερ ἂν εἰ ἐθαύμαζες, τί δήποτε τοῖς μὲν θεαταῖς οὐδεὶς ἐνοχλεῖ, τῷ δὲ ἀπογραψαμένῳ πρὸς τὸ πυκτεύειν, καὶ γυμνασθέντι, καὶ εἰς τὸν ἀγῶνα καθέντι, τούτῳ μόνῳ πάντων ἔπεισιν ὁ ἀνταγωνιστής, πατάσσων τὴν κεφαλήν, καὶ κόπτων τὸ πρόσωπον. Οὐ δὴ τοῦτο ἔστι θαυμαστὸν οὐδὲ ἀθυμίας ἄξιον, εἰ πυκτεύειν ἡμῖν ἑλομένοις, ἐκεῖνος θλίβει καὶ ἀνιᾷ καὶ βαρύνει· οὗτος γὰρ τῶν πυκτευόντων ὁ νόμος· ἀλλ' εἰ περιτρέπει καὶ καταβάλλει καὶ τὸ βραβεῖον ἀφαιρεῖται, τοῦτο ἔστι τὸ δεινόν. Ἕως δ' ἂν τοῦτο μὴ δύνηται, οὐ μόνον οὐδὲν ἔβλαψεν, ἀλλὰ καὶ τὰ μέγιστα ὤνησε, τῇ σφοδρᾷ συμπλοκῇ σεμνοτέρους ἡμᾶς ποιήσας. Καὶ γὰρ ἐν τοῖς στρατοπέδοις ἐκεῖνός ἐστιν ὁ πάντων ἀμείνων, ὁ πλείονα τραύματα ἐπιδεῖξαι ἔχων, καὶ τὰ μονομάχια πρὸς τοὺς εὐτονωτέρους τῶν πολεμίων ἀναδεξάμενος· καὶ τῶν ἀθλητῶν δὲ τοὺς τοῖς ἀκαθαιρέτοις συμπλεκομένους (οὕτω γὰρ τοὺς φιλονεικοτέρους καλοῦσι τῶν ἀνταγωνιστῶν) θαυμάζομεν· καὶ κυνηγέτης οὗτος μάλιστά ἐστιν ὁ κρατούμενος, ὁ τὰ δυσάλωτα τῶν θηρίων καταδεχόμενος. Ἀναιδής ἐστι καὶ ἀκατάπληκτος οὗτος ὁ δαίμων; διὰ τοῦτό σε ἐκπληττόμενος καὶ θαυμάζων οὐ παύομαι, ὅτι πρὸς τοι-

ἀπὸ αὐτοὺς καὶ ἄλλοι πολὺ περισσότεροι λόγοι ἀπὸ αὐτούς, ποὺ εἶναι μέν, καθὼς εἶπα, ἄγνωστοι εἰς ἡμᾶς, γνωστοὶ ὅμως εἰς τὸν Θεὸν ποὺ τοὺς ἔχει δημιουργήσει. Ἐπομένως ἂς μὴ δυσανασχετοῦμεν μὲ αὐτὰ ποὺ συμφαίνουν, ἀλλ' ἂς εὐχαριστοῦμεν τὸν Θεόν· διότι αὐτὸ εἶναι διακριτικὸν γνώρισμα τῶν εὐγνωμόνων δούλων.

Σὺ ὅμως θαυμάζων, διατί αὐτὸς ὁ μιαρὸς δαίμων δὲν εἰσῆλθε μέσα σου προηγουμένως, ὅταν ἔκανες τρυφηλὴν ζωὴν καὶ ἤσουν περιβεβλημένος μὲ τὴν κοσμικὴν ὑπερηφάνειαν, ἀλλ' εἰσῆλθε τώρα ποὺ τὰ ἀπέβαλες ὅλα ἐκεῖνα καὶ ἀφωσιώθης ἐξ ὁλοκλήρου εἰς τὸν Θεόν, διαπράττεις κάτι παρόμοιον μὲ τὸ ἐὰν ἐθαύμαζες, διατί τέλος πάντων τοὺς μὲν θεατὰς δὲν τοὺς ἐνοχλεῖ κανείς, ἀλλὰ ὁ ἀντίπαλος ἐπιτίθεται ἀπὸ ὅλους μόνον εἰς ἐκεῖνον, ὁ ὁποῖος ἐξελέγη διὰ τὴν πυγμαχίαν καὶ ἐγυμνάσθη καὶ κατέβη εἰς τὸν ἀγῶνα, καὶ ἐπὶ τοῦ ὁποίου φέρει θανατηφόρα κτυπήματα εἰς τὴν κεφαλὴν καὶ τὸ πρόσωπον. Δὲν εἶναι λοιπὸν αὐτὸ ἄξιον θαυμασμοῦ καὶ λύπης, ἐφόσον ἐπροτιμήσαμεν νὰ ἀγωνισθῶμεν, ἐὰν ἐκεῖνος μᾶς καταπιέζῃ καὶ μᾶς λυπῇ καὶ μᾶς κάνῃ νὰ βαρυθοῦμεν· διότι αὐτὸς εἶναι ὁ νόμος τῆς πυγμαχίας. Τὸ φοβερὸν ὅμως εἶναι τὸ ἐὰν μᾶς ἀνατρέπῃ, μᾶς καταβάλλῃ καὶ μᾶς ἀφαιρῇ τὸ βραβεῖον τῆς νίκης. Ἐπὶ ὅσον χρόνον δὲν ἠμπόρησε νὰ τὸ πράξῃ αὐτό, ὄχι μόνον δὲν μᾶς ἔβλαψεν, ἀλλὰ καὶ μᾶς ὠφέλησεν εἰς πάρα πολὺν μεγάλον βαθμόν, διότι μᾶς ἔκανε πιρσσότερον σπουδαίους μὲ τὴν μεγάλην αὐτὴν συμπλοκήν. Καθόσον καὶ εἰς τοὺς στρατοὺς ὁ πιὸ γενναῖος ἀπὸ ὅλους εἶναι ἐκεῖνος ποὺ ἔχει νὰ ἐπιδείξῃ τὰ περισσότερα τραύματα καὶ ἐδέχθη νὰ μονομαχήσῃ μὲ τοὺς πιὸ ρωμαλέους. Καὶ ἀπὸ τοὺς ἀθλητὰς δὲ θαυμάζομεν ἐκείνους ποὺ εἶναι ἀκατανίκητοι (διότι ἔτσι ὀνομάζουν τοὺς ἀκαταμαχήτους ἀπὸ τοὺς ἀνταγωνιστάς). Καὶ ἀπὸ τοὺς κυνηγοὺς τὰ πρωτεῖα κατέχει αὐτὸς ποὺ δέχεται νὰ κυνηγήσῃ τὰ πιὸ ἄγρια θηρία. Εἶναι αὐτὸς ὁ δαίμων θρασὺς καὶ ἀτρόμητος; Μά, διὰ τὸν λόγον αὐτὸν καὶ ἐγὼ δὲν παύω νὰ ἐκπλήττωμαι καὶ νὰ σὲ θαυμάζω, διότι, μολονότι ἐκληρώθης ν' ἀγωνισθῇς μὲ τέ-

οὗτον κληρωθεὶς ἀνταγωνιστήν, οὐ κατέπεσες, οὐδὲ ἐξέδωκας σεαυτόν, ἀλλ' ἔμεινας ἀκλινὴς μηδαμόθεν περιτρεπόμενος.

Καὶ ὅτι σε οὐ κολακεύων ταῦτα λέγω νῦν, ἀλλὰ ἀληθῶς τὰ μέγιστα ἀπὸ τῆς θλίψεως ταύτης ἐκαρπώσω, ἀνάσχου μετὰ παρρησίας λεγόντων ἡμῶν· οὐδὲ γὰρ ἂν ἄλλως δυναίμην τούτου παρασχεῖν τὴν ἀπόδειξιν. Οἶσθά που καὶ μέμνησαι τὴν προτέραν σου διαγωγήν, τὴν πρὸ τούτου λέγω τοῦ πειρασμοῦ· οὐκοῦν ἐξέτασον ἐκείνην καλῶς, καὶ ἀντίθες τῇ παρούσῃ τῇ μετὰ τὸν πειρασμόν, καὶ τότε ὄψει τὸ κέρδος ὅσον ἀπὸ ταύτης σοι γέγονε τῆς συμπλοκῆς. Νῦν μὲν γὰρ καὶ ἐν νηστείαις καὶ παννυχίσι, καὶ τῇ περὶ τὴν ἀνάγνωσιν σπουδῇ καὶ τῇ περὶ τὰς εὐχὰς καρτερίᾳ, πολλὴ γέγονεν ἡ ἐπίτασις, καὶ τὸ ἀδιάχυτον δὲ καὶ ταπεινὸν μεθ' ὑπερβολῆς σοι κατώρθωται· πρότερον δέ σοι βιβλίων λόγος ἦν οὐδείς, πᾶσα δέ σοι φροντὶς καὶ πόνος εἰς τὴν ἐπιμέλειαν ἀνηλίσκετο τῶν ἐν τῷ παραδείσῳ φυτῶν. Πολλῶν δέ σε καὶ εἰς ἀπόνοιαν σκωπτόντων ἤκουον τότε, καὶ ταύτῃ τὴν τοῦ γένους αἰτιωμένων λαμπρότητα, καὶ τὴν τοῦ πατρὸς δόξαν, καὶ τὸ ἐν πλούτῳ τετράφθαι πολλῷ· τὴν δὲ ἐν ταῖς παννυχίσι ῥᾳθυμίαν καὶ αὐτὸς οἶδας σαφῶς. Πολλάκις γὰρ ἄλλων μετὰ τὴν βαθεῖαν ἑσπέραν ἀνισταμένων εὐθέως, αὐτὸς ἔμενες ὕπνῳ κατεχόμενος βαθεῖ, καὶ πρὸς τοὺς διεγείροντας ἐδυσχέραινες. Ἀλλὰ νῦν πάντα λέλυται ἐκεῖνα, καὶ πρὸς τὸ βέλτιον μεταβέβληται, ἐξ οὗ τὴν μάχην καὶ τὸν πόλεμον ἀνεδέξω τοῦτον. Εἰ δὲ ἔροιό με τί δήποτέ σοι τρυφῶντι καὶ πρὸς τὰ τοῦ κόσμου πράγματα ἐπτοημένῳ οὐ συνεχώρησεν ἀντιστῆναι τὸν δαίμονα τοῦτον ὁ Θεός, ἐκεῖνο ἂν ἀποκρινοίμην ἐγώ, ὅτι καὶ

,τοιον ἀντίπαλον, δὲν κατεβλήθης, οὔτε καὶ παρεδόθης, ἀλλὰ παρέμεινες ἀκλόνητος, καὶ δὲν ἐξέκλινες ἀπὸ τὴν εὐθεῖαν ὁδὸν μὲ κανένα τρόπον.

Καὶ τὸ ὅτι δὲν τὰ λέγω τώρα αὐτὰ διὰ νὰ σὲ κολακεύσω, ἀλλὰ τὰ λέγω ἐπειδὴ πράγματι εἶχες πολὺ μεγάλην ὠφέλειαν ἀπὸ αὐτὴν τὴν θλῖψιν, δεῖξε ὑπομονὴν καὶ ἄκουσε αὐτὰ ποὺ θὰ σοῦ εἰπῶ μὲ παρρησίαν· ἄλλωστε καὶ δὲν θὰ ἠμποροῦσα αὐτὸ νὰ σοῦ τὸ ἀποδείξω κατ' ἄλλον τρόπον. Γνωρίζεις βέβαια καὶ ἐνθυμεῖσαι τὸν προηγούμενον τρόπον τῆς ζωῆς σου, τὸν πρὸ τῶν πειρασμῶν δηλαδή. Ἐξέτασε λοιπὸν ἐκείνην τὴν ζωήν σου καλῶς καὶ ἀντιπαράβαλέ την μὲ τὴν σημερινὴν ζωήν σου μετὰ ἀπὸ τοὺς πειρασμούς, καὶ τότε θὰ ἀντιληφθῇς πόσον ἦτο τὸ κέρδος ποὺ ἀπεκόμισες ἀπὸ τὴν συμπλοκὴν αὐτήν. Διότι τώρα ἀπέκτησες πολὺ μεγάλην δύναμιν καὶ μὲ τὰς νηστείας καὶ μὲ τὰς ἀγρυπνίας καὶ μὲ τὸ ἐνδιαφέρον σου διὰ τὴν ἀνάγνωσιν καὶ μὲ τὴν ὑπομονὴν κατὰ τὰς ὥρας τῆς προσευχῆς, καὶ ἐπέτυχες εἰς πολὺ μεγάλον βαθμὸν σκληραγωγίαν καὶ ταπεινοφροσύνην. Παλαιότερα δὲ οὔτε κἂν ἀνέφερες διὰ βιβλία, ἀλλ' ὅλον τὸ ἐνδιαφέρον σου καὶ ὁ μόχθος σου ἐδαπανῶντο εἰς τὴν φροντίδα τῶν φυτῶν τοῦ κήπου. Τότε δὲ ἤκουα πολλοὺς νὰ σὲ κοροϊδεύουν δι' ἀλαζονείαν καὶ κατ' αὐτὸν τὸν τρόπον νὰ κατηγοροῦν τὴν λαμπρὰν καταγωγήν σου καὶ τὴν φήμην τοῦ πατέρα σου καὶ τὸ ὅτι ἀνετράφης μέσα εἰς ἀφθονίαν πλούτου, τὴν δὲ ἀδιαφορίαν σου διὰ τὰς ἀγρυπνίας τὴν γνωρίζεις καὶ σὺ ὁ ἴδιος πάρα πολὺ καλά. Διότι πολλὲς φορὲς ἐνῷ οἱ ἄλλοι ἐσηκώνοντο ἀμέσως ἀπὸ τὰ μεσάνυχτα, σὺ ἐξηκολούθεις νὰ παραμένῃς βυθισμένος εἰς ὕπνον βαθὺν καὶ ἐδυσαρεστοῦσες ἐναντίον ἐκείνων ποὺ ἐσηκώνοντο. Τώρα ὅμως ἔπαυσαν ὅλα ἐκεῖνα καὶ ἔχεις μεταβληθῇ πρὸς τὸ καλύτερον, ἀπὸ τότε ποὺ ἀνέλαβες αὐτὴν τὴν μάχην καὶ τὸν πόλεμον. Ἐὰν δὲ μὲ ἤθελες ἐρωτήσει διατί τέλος πάντων ὁ Θεὸς δὲν ἐπέτρεψε τὸν δαίμονα αὐτὸν νὰ παρουσιασθῇ τότε ποὺ ἐζοῦσες μέσα εἰς τὴν τρυφηλὴν ζωὴν καὶ ἦσουν ἀπορροφημένος ἀπὸ τὰ κοσμικὰ πράγματα, θὰ ἠμποροῦσα νὰ

τοῦτο τῆς αὐτοῦ κηδεμονίας ἦν· ᾔδει γὰρ ὅτι σε τότε εὐκαταγώνιστον εὑρὼν ταχέως ἀπολεῖ. Διὰ τοῦτο οὐδὲ εὐθέως ἐπὶ τὸν τῶν μοναχῶν ἐλθόντα βίον πρὸς τὴν πάλην ταύτην ἐκάλεσεν, ἀλλ' ἀφῆκεν ἐγγυμνασθῆναι καὶ χρόνον ἀναμεῖναι μακρόν, εἶθ' ὅτε καρτερικώτατος γέγονας, τηνικαῦτα πρὸς τὸ ἐπίπονον τοῦτο στάδιον εἵλκυσεν.

Ἔτι οὖν τῶν ἐν τῷ κόσμῳ στρεφομένων μεμνήσῃ, καὶ τὸν οἰκέτην ἄξεις εἰς μέσον τὸν σόν· ἐκεῖνον μὲν γάρ σε οἶμαι αἰνίττεσθαι, ὅταν λέγῃς ὅτι πολλοὶ τῶν βιωτικῶν ἀνδρῶν ταύτῃ περιπεσόντες τῇ νόσῳ ταχίστης καὶ τελείας ἔτυχον ἀπαλλαγῆς. Ἀλλ' ὁ οἰκέτης, ὦ φίλτατε, ὁ σὸς καὶ ὅσοι τῶν αὐτῶν ἔτυχον ἐκείνῳ, οὐκ ἐπὶ τοῖς αὐτοῖς αὐτῷ προσεπλάκησαν, οἷσπερ καὶ σὺ νῦν· ἐκείνῳ μὲν γὰρ καὶ τοῖς τοιούτοις ὑπὲρ τοῦ φοβῆσαι μόνον, καὶ τῷ φόβῳ ποιῆσαι βελτίους, τοῦτο ἐπαφῆκε τὸ θηρίον ὁ Θεός· σοὶ δέ, ὥστε ἀγωνίσασθαι γενναίως, καὶ νικῆσαι λαμπρῶς, καὶ τὸν τῆς ὑπομονῆς ἀναδήσασθαι στέφανον. Νίκη δέ ἐστιν, οὐχ ὅταν τις, τοῦ θεάτρου ἔτι συνεστῶτος, παλαίοντα αὐτὸν ἑλκύσας ἀπαγάγῃ τοῦ ἀνταγωνισμοῦ, ἀλλ' ὅταν ἀφῇ συμπλακῆναι διαπαντός, εἶτα παλαίων καὶ διὰ τῆς ἀθυμίας εἰς ἐνθυμήσεις ἀτόπους ἄγων ἰσχύσῃ μηδέν.

Καὶ ὅτι οὕτω ταῦτ' ἔχει, ἐκεῖθεν συλλογιοῦμαι καλῶς. Παντί που δῆλόν ἐστι, κἂν αὐτὸς μετριάζειν ἐθέλῃς, ὅσον τῆς τοῦ οἰκέτου ζωῆς βελτίων ἡ σὴ διενήνοχεν. Οὐκοῦν καὶ λόγος σου τῷ Θεῷ πλείων καὶ φροντίς, ἢ ἐκείνου. Τούτου δὲ

σοῦ δώσω τὴν ἑξῆς ἀπάντησιν, ὅτι δηλαδὴ καὶ αὐτὸ ὠφείλετο εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ· διότι ἐγνώριζεν ὅτι θὰ σὲ κατέβαλε τότε πάρα πολὺ γρήγορα ἐπειδὴ θὰ σὲ εὕρισκεν εὔκολον ἀντίπαλον. Διὰ τὸν λόγον αὐτὸν οὔτε ὅταν προσῆλθες εἰς τὸν μοναχικὸν βίον δὲν σὲ ἐκάλεσεν ἀμέσως εἰς τὴν πάλην αὐτήν, ἀλλὰ σὲ ἄφησε νὰ προγυμνασθῇς καὶ νὰ περιμένῃς ἐπὶ μακρὸν χρόνον, καὶ εἰς τὴν συνέχειαν ὅταν ἡ ὑπομονή σου ἔγινεν ἀκατάβλητος, τότε πλέον σὲ ἐκάλεσεν εἰς αὐτὸ τὸ ἐπίπονον στάδιον τῶν ἀγώνων.

Ἀκόμη σὲ παρακαλῶ νὰ ἐνθυμηθῇς αὐτοὺς ποὺ βασανίζονται μέσα εἰς τὸν κόσμον καὶ νὰ φέρῃς εἰς τὸ μέσον τὸν δοῦλον σου. Διότι νομίζω ὅτι ἐκεῖνον ὑπονοεῖς, ὅταν λέγῃς ὅτι πολλοὶ ἀπὸ τοὺς κοσμικοὺς ἄνδρας, μολονότι κατελήφθησαν ἀπὸ τὴν ἰδίαν ἀσθένειαν, ὅμως ἀπηλλάγησαν ἀπὸ αὐτὴν πολὺ γρήγορα καὶ τελείως. Ἀλλά, πολυαγαπητέ μου, ὁ δοῦλος σου καὶ ὅσοι ἄλλοι εἶχαν τὰς ἰδίας δοκιμασίας μὲ ἐκεῖνον, δὲν συνεπλάκησαν μὲ αὐτὸν διὰ τὴν ἰδίαν αἰτίαν, διὰ τὴν ὁποίαν ἔχεις συμπλακεῖ τώρα σύ. Διότι εἰς ἐκεῖνον καὶ τοὺς παρομοίους μὲ ἐκεῖνον ὁ Θεὸς ἐπέτρεψε τὸ θηρίον ἁπλῶς καὶ μόνον νὰ τοὺς ἐκφοβίσῃ καὶ μὲ τὸν φόβον νὰ τοὺς κάνῃ καλυτέρους, εἰς ἐσένα ὅμως τὸ ἐπέτρεψε διὰ νὰ ἀγωνισθῇς γενναῖα, νὰ ἐπιτύχῃς λαμπρὰν νίκην καὶ νὰ φορέσῃς τὸν στέφανον τῆς ὑπομονῆς. Νίκη δὲ θεωρεῖται ὄχι ὅταν κάποιος, ἐνῷ εἶναι συγκεντρωμένοι οἱ θεαταὶ καὶ γίνεται ἡ πάλη, ἀπομακρυνθῇ ἀπὸ τὸν ἀνταγωνιστήν του, ἀλλὰ ὅταν μείνῃ διὰ ν' ἀγωνισθῇ μέχρι τέλους καὶ δὲν ἐπιτύχῃ τίποτε ὁ ἀντίπαλός του καὶ ἂν ἀκόμη κατὰ τὴν διάρκειαν τῆς πάλης προσπαθήσῃ νὰ τοῦ ἐμβάλῃ ἀνησυχίαν ποὺ πηγάζει ἀπὸ τὴν λυποψυχίαν.

Καὶ ὅτι αὐτὰ συμβαίνουν κατ' αὐτὸν τὸν τρόπον γίνεται φανερὸν ἀπὸ τοὺς ἑξῆς συλλογισμούς. Εἰς τὸν καθένα λοιπὸν εἶναι φανερόν, ἔστω καὶ ἂν ἐσὺ θέλῃς νὰ παρουσιάζεσαι μετριόφρων, πόσον ἡ ἰδική σου ζωὴ διαφέρει ἀπὸ τὴν ζωὴν τοῦ δούλου καὶ ὅτι εἶναι κατὰ πολὺ καλυτέρα. Κατὰ συνέπειαν ὁ Θεὸς πρέπει νὰ φροντίζῃ περισσότερον δι' ἐσένα, παρὰ δι' ἐκεῖνον. Ἐὰν αὐτὸ εἶναι φανερόν, θὰ

ὄντος δήλου, κἀκεῖνο ὁμοίως ἔσται φανερόν, ὅτι εἰ μίσους αὕτη συγχώρησις ἦν, οὐκ ἂν εἰς ὃν μᾶλλον ἠγάπα ταύτην ἐξέτεινε, τὸν ἥττονα πολὺ ὄντα τοῦτον ταχέως τοῦ δαίμονος ἐξαρπάσας. Καὶ οὐκ ἀπὸ τούτου μόνον τοῦτο ἰσχυρισαίμην ἂν ἔγωγε, ἀλλὰ καὶ ἐξ αὐτῶν, ὧν ἐγκαταλελεῖφθαι δοκεῖς, ἐκ τούτων μάλιστα, ὅτι σφόδρα μέλει τῷ Θεῷ τῶν σῶν, ἀποδεῖξαι πειράσομαι. Εἰ μὲν γὰρ μὴ πολλὴν ἐποιήσω σπουδήν, μηδὲ ἀποδημίας ἐστείλω μακράς, ὥστε συγγενέσθαι ἀνδράσιν ἁγίοις καὶ ἱκανοῖς τὰ τοιαῦτα λύειν δεσμά, ἴσως ἄν τις ἠπόρησε τῶν πολλῶν, οὐ σφόδρα τῆς αἰτίας οὔσης ἐναργοῦς, δι᾿ ἣν τοσοῦτον εἴασε χρόνον· ἐπειδὴ δὲ καὶ τόπους μαρτύρων καταλαβών, ἔνθα πολλοὶ καὶ τῶν ἀνθρώπους ἐσθιόντων ἰάθησαν, καὶ τοῖς θαυμαστοῖς καὶ γενναίοις ἐκείνοις καὶ μηδέποτε διημαρτηκόσι πολὺν ὑπὲρ τούτου συνῴκησας χρόνον, καὶ οὐδὲν ὅλως παραλιπὼν τῶν φερόντων εἰς τὴν τοῦ πάθους ἀπαλλαγήν, ἐπανῆλθες πάλιν τὸν πολέμιον ἔχων μετὰ σαυτοῦ, φανερὰν καὶ ἐναργῆ καὶ τοῖς σφόδρα ἀνοήτοις τῆς περὶ σὲ Θεοῦ προνοίας ἐκόμισας τὴν ἀπόδειξιν. Οὐδὲ γὰρ ἂν τοσαύτην χάριν ἐνεπόδισεν, οὐδ᾿ ἂν τοὺς αὐτοῦ δούλους αἰσχυνθῆναι ἠνέσχετο, εἰ μὴ σφόδρα πρὸς τὴν εὐδοκίμησιν καὶ τὴν ὠφέλειαν μᾶλλον ἑώρα τὴν σήν. Ὥσθ᾿ ὅπερ δοκεῖ σημεῖον εἶναι τῆς ἐγκαταλείψεως τοῦ Θεοῦ, τοῦτο τῆς πολλῆς αὐτοῦ περὶ σὲ φιλοστοργίας καὶ σπουδῆς σημεῖόν ἐστι.

εἶναι καθ' ὅμοιον τρόπον καὶ ἐκεῖνο ἀληθές, ὅτι δηλαδὴ ἐὰν αὐτὸν τὸν πειρασμὸν τὸν ἐπέτρεπεν ὁ Θεὸς ἀπὸ μῖσος, δὲν θὰ ἦτο δυνατὸν νὰ τὸν ἔστελλε πρὸς αὐτὸν ποὺ τὸν ἀγαποῦσε περισσότερον, ἀφοῦ αὐτὸν ποὺ ἦτο κατὰ πολὺ κατώτερός του τὸν ἠλευθέρωσε τόσον γρήγορα ἀπὸ τὸν δαίμονα. Καὶ αὐτὸ ἐγὼ τουλάχιστον θὰ ἠμποροῦσα νὰ τὸ ὑποστηρίξω ὄχι μόνον μὲ τὸν προηγούμενον συλλογισμόν, ἀλλὰ θὰ προσπαθήσω νὰ ἀποδείξω, ὅτι ἡ μεγάλη φροντὶς τοῦ Θεοῦ δι' ἐσένα ἐκδηλώνεται κατ' ἐξοχὴν ἀπὸ ἐκεῖ ποὺ νομίζεις ἐσὺ ὅτι ἔχεις ἐγκαταλειφθῆ. Ἐὰν βέβαια δὲν ἔδειχνες τόσον μεγάλο ἐνδιαφέρον καὶ δὲν μετέβαινες τόσον μακρυὰ διὰ νὰ συναντήσῃς ἄνδρας ἁγίους καὶ ἱκανοὺς νὰ λύουν παρόμοια δεσμά, ἐνδεχομένως κάποιος ἀπὸ τοὺς πολλοὺς νὰ ἀποροῦσε, καθόσον ἡ αἰτία δὲν εἶναι πάρα πολὺ φανερά, διὰ ποῖον λόγον σὲ ἄφησε νὰ ὑποφέρῃς τόσον χρόνον. Ἐπειδὴ ὅμως ἐπεσκέφθης καὶ τόπους μαρτύρων, ὅπου ἐθεραπεύθησαν πολλοὶ ποὺ ἔτρωγαν ἀνθρώπους, καὶ συνέζησες ἐπὶ πολὺν χρόνον, πρὸς τὸν σκοπὸν αὐτόν, μὲ τοὺς θαυμαστοὺς ἐκείνους καὶ γενναίους οἱ ὁποῖοι οὐδέποτε διέπραξαν ἁμαρτίαν, καὶ γενικῶς δὲν παρέλειψες κανένα ἀπὸ ἐκείνους ποὺ ἀπαλλάσσουν ἀπὸ ἕνα τέτοιο πάθος, καὶ ἐπέστρεψες πάλιν φέροντας μαζί σου τὸν ἐχθρόν, κατέστησες τὴν ἀπόδειξιν περὶ τῆς προνοίας τοῦ Θεοῦ φανερὰν καὶ ὀφθαλμοφανῆ καὶ εἰς τοὺς πλέον ἀνοήτους. Διότι ὁ Θεὸς οὐδέποτε θὰ ἐστεροῦσε ἀπὸ τοὺς δούλους του τόσην χάριν, οὔτε θὰ ἠμποροῦσε ν' ἀνεχθῇ νὰ ἀτιμάζωνται, ἐὰν δὲν ἀπέβλεπεν εἰς μεγάλον βαθμὸν εἰς τὴν ἰδικήν σου ἐπιτυχίαν καὶ ὠφέλειαν. Ὥστε αὐτὸ ποὺ φαίνεται ὡς σημεῖον τῆς ἐγκαταλείψεώς σου ὑπὸ τοῦ Θεοῦ, αὐτὸ ἀποτελεῖ ἀπόδειξιν τῆς μεγάλης φιλοστοργίας καὶ τοῦ ἐνδιαφέροντος τοῦ Θεοῦ δι' ἐσένα.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΚΑΙ ΟΤΙ Η ΑΘΥΜΙΑ ΧΑΛΕΠΩΤΕΡΑ ΚΑΙ ΔΑΙΜΟΝΟΣ

Ταῦτα μὲν ἡμῖν ὑπὲρ τῆς τοῦ Θεοῦ προνοίας εἰρήσθω, καὶ ὅτι οὐκ ἀποστρεφόμενος οὐδὲ μισῶν, ἀλλὰ καὶ λίαν ἀγαπῶν, τούτῳ γυμνάζει τῷ τρόπῳ. Ἐπειδὴ δὲ καὶ ἑτέρως σφόδρα ἔφης ἀλγεῖν, ὡς καὶ πολλάκις σὲ ἀναπείθειν τὸν δαίμονα εἰς πέλαγος ἢ κατὰ κρημνῶν ἀφανίσαι σαυτόν, ἢ ἄλλῳ τινὶ τοιούτῳ τρόπῳ τὴν παροῦσαν καταλῦσαι ζωήν, καὶ ὑπὲρ τούτων μικρὰ διαλεχθῆναι βούλομαι τῶν λογισμῶν. Οὐ γὰρ ἐκείνου μόνον ἐστὶν αὕτη ἡ συμβουλή, ἀλλὰ καὶ τῆς ἀθυμίας τῆς σῆς, καὶ ταύτης μᾶλλον ἢ ἐκείνου, τάχα δὲ καὶ μόνης ταύτης. Καὶ δῆλον ἐξ ὧν πολλοὶ καὶ τῶν μὴ δαιμονώντων ἀπὸ τοῦ λυπεῖσθαι μόνον τοιαῦτα βουλεύονται. Ταύτην οὖν ἔκβαλε καὶ ἀπέλασον τῆς ψυχῆς, καὶ οὐδεμίαν ἕξει λοιπὸν ἐκεῖνος ἰσχύν, οὐ μόνον πρὸς τὸ πείθειν τὰ τοιαῦτα, ἀλλ' οὐδὲ πρὸς τὸ παραινεῖν τὴν ἀρχήν. Νῦν μὲν γὰρ καθάπερ οἱ τοιχωρύχοι καταλαμβανούσης νυκτός, τὸ φῶς ἀποσβέσαντες, καὶ ὑφελέσθαι τὰ ὄντα καὶ τοὺς τούτων κυρίους μετὰ πολλῆς ἀποσφάξαι τῆς εὐκολίας δύναιντ' ἄν· οὕτω καὶ οὗτος ἀντὶ νυκτὸς καὶ σκότους τὴν ἀθυμίαν κατασκεδάσας, πάντας ὑφελέσθαι πειρᾶται τοὺς πρὸς ἀσφάλειαν λογισμούς, ἵνα ἐρήμην καὶ ἀβοήθητον λαβὼν τὴν ψυχὴν μυρίαις κατατρώ-

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

Η ΛΥΠΟΨΥΧΙΑ ΕΙΝΑΙ ΦΟΒΕΡΩΤΕΡΑ ΤΟΥ ΔΑΙΜΟΝΟΣ

1. Αὐτὰ λοιπὸν τὰ εἴπαμεν διὰ νὰ καταστήσωμεν φανερὰν τὴν πρόνοιαν τοῦ Θεοῦ καὶ ὅτι μᾶς γυμνάζει μὲ αὐτὸν τὸν τρόπον ὄχι ἐπειδὴ μᾶς ἀποστρέφεται οὔτε ἐπειδὴ μᾶς μισεῖ, ἀλλ' ἐξ αἰτίας τῆς μεγάλης ἀγάπης του. Ἐπειδὴ ὅμως εἶπες ὅτι καὶ κατ' ἄλλον τρόπον σὲ κάνει καὶ πονεῖς, ὥστε πολλὲς φορὲς καὶ νὰ σὲ πείθῃ τελείως ὁ δαίμων νὰ καταστρέψῃς τὸν ἑαυτόν σου ρίπτοντάς τον εἰς τὴν θάλασσαν ἢ εἰς τὸν κρημνὸν ἢ νὰ σταματήσῃς τὴν παροῦσαν ζωήν σου μὲ κάποιον ἄλλον παρόμοιον τρόπον, ἐπιθυμῶ νὰ συζητήσωμεν ἐν συντομίᾳ καὶ δι' αὐτὰς τὰς σκέψεις σου. Διότι αὐτὴ δὲν εἶναι συμβουλὴ μόνον τοῦ δαίμονος, ἀλλὰ ὀφείλεται καὶ εἰς τὴν ἰδικήν σου λύπην, καὶ περισσότερον εἰς αὐτὴν παρὰ εἰς τὴν παρότρυνσιν ἐκείνου, ἐνδεχομένως δὲ καὶ μόνον εἰς αὐτήν. Καὶ αὐτὸ καθίσταται φανερὸν ἀπὸ τὸ γεγονὸς ὅτι πολλοὶ ἄνθρωποι, ποὺ δὲν εἶναι δαιμονισμένοι, κάνουν παρομοίας σκέψεις ἐξ αἰτίας τῆς λύπης των μόνον. Τὴν λύπην λοιπὸν αὐτὴν ἐκδίωξέ την καὶ ἀπομάκρυνέ την ἀπὸ τὴν ψυχήν σου καὶ δὲν θὰ ἔχῃ πλέον ἐκεῖνος καμμίαν δύναμιν, ὄχι μόνον διὰ νὰ σὲ πείθῃ νὰ κάνῃς παρόμοια πράγματα, ἀλλ' ἀρχικῶς οὔτε κἂν καὶ νὰ σὲ συμβουλεύῃ. Διότι τώρα μὲν ὅπως ἀκριβῶς οἱ κλέπται, ἀφοῦ τὸ σκοτάδι τῆς νυκτὸς σκεπάσῃ τὰ πάντα καὶ ἀφοῦ σβήσουν τὰ φῶτα, καὶ ἠμποροῦν μὲ μεγάλην εὐκολίαν νὰ κλέψουν τὰ διάφορα πράγματα καὶ τοὺς κυρίους τῶν πραγμάτων αὐτῶν νὰ τοὺς σφάξουν, ἔτσι καὶ αὐτός, ἀντὶ τῆς νυκτὸς καὶ τοῦ σκότους διασκορπίσας παντοῦ τὴν λυποψυχίαν, προσπαθεῖ νὰ ἐξαλείψῃ ὅλας τὰς σκέψεις ποὺ παρέχουν εἰς τὸν ἄνθρωπον τὴν ἀσφάλειαν, ὥστε, ἀφοῦ

σῃ πληγαῖς. Ὅταν δέ τις τῇ πρὸς τὸν Θεὸν ἐλπίδι τοῦτο διασκεδάσας τὸ σκότος καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης καταφυγών, σπεύσῃ τὰς ἀκτῖνας ἐκείνας εἰς τὴν ἑαυτοῦ καταθεῖναι ψυχήν, ἀπὸ τῶν οἰκείων λογισμῶν ἐπὶ τὸν ληστὴν μεταθήσει τὸν θόρυβον· καὶ γὰρ οἱ τὰ τοιαῦτα κακουργοῦντες, ὅταν αὐτοὺς ἐλέγξῃ τις καὶ δείξῃ τὸ φῶς, τρέμουσιν, ἰλιγγιῶσι, ταράττονται.

Καὶ πῶς ἄν τις, φησί, ταύτης ἀπαλλαγείη τῆς ὀδύνης, μὴ πρότερον τοῦ κινοῦντος αὐτὴν δαίμονος ἀπαλλαγείς; Οὐχ ὁ δαίμων ἐστὶν ὁ τὴν ἀθυμίαν κινῶν, ἀλλ' ἐκείνη ἡ ποιοῦσα τὸν δαίμονα ἰσχυρόν, καὶ τοὺς λογισμοὺς ὑποβάλλουσα τοὺς πονηρούς. Καὶ μαρτυρήσειεν ἂν ἡμῖν ἐνταῦθα ὁ μακάριος Παῦλος· οὐ γὰρ δαίμονά τινα, ἀλλὰ τὴν ταύτης ἀμετρίαν δεδοικὼς ἐπέστελλε Κορινθίοις φείσασθαι λοιπὸν τοῦ πεπλημμεληκότος ἐφ' οἷς ἐξήμαρτε, «Μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ», φησίν, «ὁ τοιοῦτος». Εἰ δὲ βούλει, τῷ λόγῳ τέως ὑποθώμεθα τὸν μὲν δαίμονα ἐπικεῖσθαι, τὴν δὲ ἀθυμίαν ἐξηλάσθαι τῆς σῆς ψυχῆς· τίς ἔσται βλάβη λοιπόν· τί καθ' ἑαυτὸν οὗτος ἢ μικρὸν ἢ μέγα δύναιτ' ἂν ἀδικῆσαι ἡμᾶς; Ἐκείνη δὲ καὶ τούτου μὴ παρόντος πολλὰ ἂν ἐργάσαιτο δεινά· καὶ τοὺς πλείονας τῶν βρόχους ἀψάντων, ἢ ξίφει διαφθαρέντων, ἢ ποταμοῖς ἀποπνιγέντων, ἢ καὶ ἑτέρως πως ἀπολεσάντων ἑαυτούς, ἀπὸ τῆς ἀθυμίας ἐπὶ τοὺς βιαίους τούτους θανάτους ὠσθέντας εὑρήσομεν· εἰ δέ τινες καὶ τῶν δαιμονώντων εἶεν ἐν τούτοις, καὶ τούτων τὴν ἀπώλειαν οὐ τῷ δαίμονι λογιστέον, ἀλλὰ τῇ τῆς ἀθυμίας τυραννίδι καὶ βίᾳ.

1. Β΄ Κορ. 2, 7.

εὕρῃ τὴν ψυχὴν ἔρημον καὶ ἀβοήθητον, νὰ τὴν πληγώσῃ μὲ ἀμετρήτους πληγάς. Ὅταν ὅμως κάποιος, ἀφοῦ διασκορπίσῃ αὐτὸ τὸ σκότος μὲ τὴν ἐλπίδα πρὸς τὸν Θεὸν καὶ καταφεύγοντας πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης, σπεύσῃ νὰ ἀποθέσῃ μέσα εἰς τὴν ψυχήν του ἐκείνας τὰς ἀκτῖνας, τότε θὰ μεταβιβάσῃ τὸν θόρυβον καὶ τὴν ἀνησυχίαν ἀπὸ τὰς ἰδικάς του σκέψεις εἰς τὸν ληστήν. Καθόσον αὐτοὶ ποὺ διαπράττουν αὐτὰ τὰ κακουργήματα, ὅταν κάποιος τοὺς ἐλέγξῃ καὶ τοὺς παρουσιάσῃ τὸ φῶς, τρέμουν, ζαλίζονται καὶ καταλαμβάνονται ἀπὸ ταραχήν.

Ἀλλὰ θὰ ἐρωτήσῃ κάποιος· Πῶς θὰ ἠμπορέσῃ κανεὶς ν' ἀπαλλαγῇ ἀπὸ αὐτὴν τὴν ὀδύνην, ἐὰν προηγουμένως δὲν ἀπαλλαγῇ ἀπὸ τὸν δαίμονα ποὺ προκαλεῖ αὐτήν; Δὲν εἶναι ὁ δαίμων ἐκεῖνος ποὺ δημιουργεῖ τὴν λυποψυχίαν, ἀλλ' ἡ ἰδία ἡ λυποψυχία εἶναι ἐκείνη ποὺ κάνει τὸν δαίμονα ἰσχυρὸν καὶ δημιουργεῖ τὰς πονηρὰς σκέψεις. Καὶ αὐτὸ θὰ ἠμποροῦσε νὰ μᾶς τὸ ἐπιβεβαιώσῃ ὁ μακάριος Παῦλος, ὁ ὁποῖος, ὄχι ἐπειδὴ ἐφοβεῖτο τὸν δαίμονα, ἀλλὰ τὴν ὑπερβολὴν αὐτῆς τῆς λυποψυχίας, ἔγραφε πρὸς τοὺς Κορινθίους νὰ δείξουν εὐσπλαγχνίαν πρὸς τὸν ἁμαρτωλὸν διὰ τὰ ἁμαρτήματα ποὺ διέπραξε, «Μὴ τυχόν», λέγει, «καὶ καταστραφῇ ὁ ἄνθρωπος αὐτὸς ἐξ αἰτίας τῆς ὑπερβολικῆς λύπης»[1]. Ἐὰν ὅμως θέλῃς ἂς ὑποθέσωμεν ὅτι ὁ μὲν δαίμων συνεχίζει τὴν δρᾶσιν του, ἡ δὲ λύπη ὅτι ἀπεμακρύνθη ἀπὸ τὴν ψυχήν σου. Ποία θὰ εἶναι εἰς τὸ ἑξῆς ἡ βλάβη σου; ποίαν ἀδικίαν μικρὰν ἢ μεγάλην θὰ ἠμποροῦσε μόνος του νὰ μᾶς προξενήσῃ; Ἡ λυποψυχία ὅμως καὶ χωρὶς αὐτὸς νὰ εἶναι παρὼν θὰ ἠμποροῦσε νὰ προξενήσῃ πολλὰς συμφοράς. Καὶ οἱ περισσότεροι ἀπὸ αὐτοὺς ποὺ ἐκρεμάσθησαν ἢ ηὐτοκτόνησαν μὲ ξίφος ἢ ἐπνίγησαν εἰς τοὺς ποταμοὺς ἢ ἀφῄρησαν τὴν ζωήν των μὲ ἄλλον τρόπον θὰ εὕρωμεν ὅτι ὠθήθησαν εἰς τοὺς βιαίους αὐτοὺς θανάτους ἐξ αἰτίας τῆς λυποψυχίας των. Ἐὰν δὲ μεταξὺ αὐτῶν ὑπῆρξαν καὶ ὡρισμένοι δαιμονισμένοι, καὶ αὐτῶν τὴν ἀπώλειαν θὰ πρέπει νὰ τὴν ἀποδώσωμεν ὄχι εἰς τὸν δαίμονα, ἀλλὰ εἰς τὴν τυραννίαν καὶ τὴν βίαν τῆς λυποψυχίας.

Καὶ πῶς ἔνεστι, φησί, μὴ ἀθυμεῖν; Ἂν τῆς τῶν πολλῶν περὶ τῆς τοῦ πράγματος δόξης ἀποστὰς τὰ ἄνω φρονῇς. Νῦν μὲν γὰρ ἐπειδὴ τοῖς πολλοῖς τὸ πρᾶγμα δεινὸν εἶναι νομίζεται, καὶ σοὶ δοκεῖ· εἰ δὲ θελήσαις αὐτὸ καθ' ἑαυτό, τῆς ματαίας καὶ πεπλανημένης προλήψεως ἀπαλλαγείς, μετὰ ἀκριβείας κατιδεῖν, εὑρήσεις οὐδεμίαν ἔχον ἀθυμίας ἀφορμήν, ὡς καὶ ἤδη πολλάκις ἡμῖν ἀποδέδεικται. Τῶν δὲ ὁμηλίκων ἕνεκεν (καὶ γὰρ τὴν ἐκείνων εὐφροσύνην καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς παρρησίαν ὁρῶντά σε ἡγοῦμαι συγχεῖσθαι καὶ καταπίπτειν) ἐκεῖνο ἂν εἴποιμι, ὅτι, εἰ μὲν τούτων ἐν ἐγκρατείᾳ καὶ κοσμιότητι καὶ τῇ λοιπῇ τοῦ βίου φιλοσοφίᾳ διαγόντων, αὐτὸς ἐν χαμαιτυπείοις καὶ κύβοις καὶ κώμοις τὸν ἅπαντα χρόνον ἀνήλισκες, λόγον ἂν εἶχεν ἡ τῆς ἀθυμίας πρόφασις· εἰ δὲ τὴν αὐτὴν αὐτοῖς ἔτι βαδίζεις ὁδόν, τί ποτέ ἐστί σε τὸ λυποῦν; Ἐγὼ γάρ, εἰ μὲν πρὸς ἕτερόν μοί τινα τῶν εὐκόλως ἐπαιρομένων ὁ λόγος ἦν, κἂν ἀπεσιώπησα ταῦτα, ἃ μέλλω πρὸς σὲ νῦν ἐρεῖν· ἐπειδὴ δὲ σφόδρα θαρρῶ, ὅτι, κἂν μυρία σέ τις ἐπαινῇ καὶ θαυμάζῃ, τοῦ μετριάζειν οὐκ ἀποστήσῃ ποτέ, ἀλλὰ μενεῖς καὶ οὕτως ἐν τοῖς ἐσχάτοις τάττων σαυτόν, οὐδὲν ὑποστειλάμενος ἅπαντα ἐρῶ. Τοσαύτην γὰρ ἀκούω τὴν ἐπίδοσιν τῆς εὐλαβείας γεγενῆσθαι τῆς σῆς, ὡς μηκέτι σοι πρὸς ἐκεῖνα τὰ μειράκια, ἀλλὰ πρὸς τοὺς μεγάλους καὶ θαυμαστοὺς ἄνδρας εἶναι τὴν ἅμιλλαν. Οὐδὲν γὰρ ἐκείνων σε ἀποδέειν λέγουσιν, οὐ κατὰ τὸν τῆς νηστείας λόγον· πῶς γάρ, ὕδατι καὶ ἄρτῳ μόνον, καὶ ταῦτα ἡμέραν παρ' ἡμέραν τρεφόμενον; οὐ κατὰ τὸν τῶν παννυχίδων και-

Καὶ πῶς εἶναι δυνατόν, θὰ εἰπῇς, νὰ μὴ λυποψυχῶ; Ἐὰν ἀποφεύγῃς τὴν γνώμην τῶν πολλῶν διὰ κάποιο ζήτημα καὶ σκέπτεσαι τὰ οὐράνια πράγματα. Διότι τώρα μὲν ἐπειδὴ ἕνα πρᾶγμα θεωρεῖται ἀπὸ τοὺς πολλοὺς φοβερόν, τὸ θεωρεῖς καὶ σὺ φοβερόν· ἐὰν ὅμως θελήσῃς τὸ πρᾶγμα αὐτὸ καθ' ἑαυτὸ νὰ τὸ ἐξετάσῃς μὲ ἀκρίβειαν, ἀφοῦ πρῶτα ἀπαλλαγῇς ἀπὸ τὴν ματαίαν καὶ ἐσφαλμένην προκατάληψιν, θὰ διαπιστώσῃς ὅτι δὲν ἔχει καμμίαν ἀφορμὴν λυποψυχίας, ὅπως πολλὲς φορὲς ἤδη ἔχομεν ἀποδείξει. Σχετικὰ δὲ μὲ τοὺς συνομηλίκους σου (διότι ἔχω τὴν ἐντύπωσιν ὅτι συγχίζεσαι καὶ χάνεις τὸ θάρρος σου ἐπειδὴ βλέπεις τὴν εὐθυμία των καὶ τὴν παρρησίαν των πρὸς τοὺς ἀδελφοὺς) θὰ ἠμποροῦσα νὰ εἰπῶ τὸ ἑξῆς, ὅτι δηλαδὴ ἐὰν μὲν αὐτοὶ ἐπερνοῦσαν τὴν ζωήν των μὲ ἐγκράτειαν, σεμνότητα καὶ μὲ τὴν ὑπόλοιπον εὐσέβειαν τῆς ζωῆς, ἐνῷ σὺ ἐξώδευες ὅλον τὸν χρόνον σου εἰς τὰ πορνεῖα, εἰς τὸ παίξιμον τῶν κύβων καὶ εἰς τὰς διασκεδάσεις, τότε θὰ ἠμποροῦσε νὰ δικαιολογηθῇ ἡ ὕπαρξις τῆς λυποψυχίας· ἐὰν ὅμως ἐξακολουθῇς νὰ βαδίζῃς τὴν ἰδίαν ὁδὸν μὲ αὐτούς, τότε ποῖο τέλος πάντων εἶναι ἐκεῖνο ποὺ σὲ κάνει νὰ λυποψυχῇς; Διότι ἐγώ, ἐὰν μὲν ἡ συζήτησις ἀνεφέρετο εἰς κάποιον ἄλλον, ποὺ εὔκολα ὑπερηφανεύονται, θὰ τὰ ἀποσιωποῦσα αὐτὰ τὰ ὁποῖα πρόκειται τώρα νὰ εἰπῶ πρὸς ἐσένα· ἐπειδὴ ὅμως πιστεύω ἀπόλυτα ὅτι καὶ ἂν ἀκόμη κανεὶς σὲ ἐπαινῇ καὶ σὲ θαυμάζῃ ἀμέτρητα, δὲν θ' ἀπομακρυνθῇς ποτὲ ἀπὸ τὴν μετριοφροσύνην, ἀλλὰ θὰ ἐξακολουθήσῃς νὰ κατατάσσῃς τὸν ἑαυτόν σου εἰς τοὺς πλέον ἀσημάντους, θὰ τὰ εἰπῶ ὅλα χωρὶς ν' ἀποσιωπήσω τίποτε. Διότι ἀκούω ὅτι τόσον μεγάλη εἶναι ἡ πρόοδός σου εἰς τὴν εὐλάβειαν, ὥστε νὰ μὴ συναγωνίζεσαι πλέον ἐκείνους τοὺς νεανίσκους, ἀλλὰ τοὺς μεγάλους καὶ θαυμαστοὺς ἄνδρας. Διότι, λέγουν, δὲν ὑστερεῖς ἐκείνων ὡς πρὸς τίποτε, καὶ οὔτε καὶ εἰς αὐτὴν ἀκόμη τὴν νηστείαν. Διότι πῶς εἶναι δυνατὸν νὰ συμβαίνῃ αὐτό, καθ' ἣν στιγμὴν τρέφεσαι μόνον μὲ νερὸ καὶ ψωμὶ καὶ αὐτὸ ἡμέραν παρ' ἡμέραν; δὲν ὑστερεῖς οὔτε καὶ ὡς πρὸς τὰς ἀγρυπνίας, ἀλ-

ρόν, ἀλλ' ὁμοίως αὐτοῖς ἐφεξῆς πολλὰς νύκτας ἀΰπνους παρέλκειν. Τῇ δὲ μεθ' ἡμέραν διαγωγῇ πολλοὺς αὐτῶν ἤδη καὶ ἀποκρύψαι φασί· καὶ γὰρ τῶν ἐκεῖθεν ἐρχομένων ἀκούω διηγουμένων, ὅτι σοι πᾶς ὁ καιρὸς εἰς εὐχὰς καὶ δάκρυα ἀναλίσκεται· καὶ καθάπερ οἱ σιγὴν ἀσκοῦντες, ἢ καὶ μόνους ἐν οἰκίσκῳ κατακλείσαντες ἑαυτούς, πρὸς οὐδένα οὐδὲν φθέγγονται, οὕτω καὶ σὲ λέγουσιν ἐν πλήθει τοσούτῳ στρεφόμενον διατελεῖν. Τὸν δὲ τῆς καρδίας σου συντριμμόν, καὶ τὸν αὐχμόν, καὶ τὴν ἀλγηδόνα καὶ πεφρίκασι διηγούμενοι, καὶ πολλοὺς ἐνταῦθα τὰ σὰ κατένυξαν ἀπαγγέλλοντες· οὐκ ἀντιβλέπει, φησίν, οὐδενὶ τῶν εἰσιόντων ἐκεῖ, οὐδ' ἀνίησι τῶν συνεχῶν πόνων ἑαυτόν· πολλάκις ἐδείσαμεν μὴ πηρώσῃ τοὺς ὀφθαλμοὺς τοῖς ὀδυρμοῖς, μὴ πλήξῃ τὰς μήνιγγας τῇ σφοδρότητι τῆς ἀγρυπνίας καὶ τῇ ἀνενδότῳ καὶ διηνεκεῖ περὶ τὴν ἀνάγνωσιν σπουδῇ.

Ταῦτα οὖν σε λυπεῖ καὶ θορυβεῖ, ὅτι τοσοῦτον παρήλασας τοὺς ὁμήλικας, ὅτι καὶ σφοδρὸν καὶ ἀναίσχυντον ἔχων τὸν ἀνταγωνιστὴν πολλῷ τῷ μέτρῳ τοὺς μετὰ σοῦ τρέχοντας ὑπερηκόντισας. Ἆρ' οὐκ εἰκότως ἔλεγον ὅτι ἡ ἀθυμία αὕτη προλήψεως μόνον ἐστίν, ἐρευνωμένη δὲ καὶ εὐθυμίας ἡμῖν ὑποθέσεις παρέχει πολλάς. Τί γὰρ ὄφελος, εἰπέ μοι, τοῦ μὴ δαιμονᾶν, ὅταν ὁ βίος ἠμελημένος ᾖ; ποῖον δὲ βλάβος ἀπὸ τοῦ δαιμονᾶν, ὅταν τὰ τῆς πολιτείας ἠκριβωμένα τύχῃ καὶ συγκεκροτημένα καλῶς; Ἀλλ' ἴσως αἰσχύνῃ καὶ ἐρυθριᾷς, ὅταν σε καταβάλῃ παρόντων τινῶν; Ἀλλὰ τοῦτό σοι πάλιν ἀπὸ τῆς ὑποθέσεως συμβαίνει τῆς αὐτῆς, ὅτι τῇ τῶν πολλῶν δόξῃ, λογισμῷ δὲ οὐδέποτε τὸ πρᾶγμα ἐπέτρεψας. Τὸ γὰρ

λὰ ὅπως αὐτοὶ περνᾷς πολλὰς συνεχεῖς νύκτας ἄυπνος. Ὡς πρὸς τὴν καθημερινήν σου δὲ ζωὴν πολλοὶ ἀπὸ αὐτοὺς λέγουν ὅτι ἤδη τοὺς ἐπισκιάζεις· καθόσον ἀκούω ἀπὸ αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐκεῖ νὰ λέγουν, ὅτι ὁλόκληρος ὁ καιρός σου περνᾷ μὲ προσευχὰς καὶ δάκρυα. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἀσκοῦνται εἰς τὴν ἡσυχίαν, ἢ ποὺ ἔχουν κλεισθῆ μόνοι μέσα εἰς ἕνα οἰκίσκον, δὲν λέγουν πρὸς κανένα τίποτε, ἔτσι καὶ δι' ἐσένα λέγουν ὅτι μολονότι ζῇς μέσα εἰς τόσον πλῆθος, ζῇς συγκεντρωμένος εἰς τὸν ἑαυτόν σου. Τὴν δὲ συντριβὴν τῆς καρδίας σου καὶ τὴν φοβερὰν κατάστασίν σου καὶ τὸν πόνον σου καὶ τὰ διηγοῦνται μὲ φρίκην καὶ πολλοὺς ἀπὸ τοὺς ἐδῶ τοὺς κατέπληξαν ὅταν τὰ διηγήθησαν. Δὲν σηκώνει, λέγουν, τὰ μάτια του διὰ νὰ ἰδῇ κανένα ἀπὸ ὅσους μεταβαίνουν ἐκεῖ, οὔτε ἀφήνει τὸν ἑαυτὸν ἐλεύθερον ἐξ αἰτίας τῶν συνεχῶν κόπων. Πολλὲς φορὲς ἐφοβήθημεν μήπως χαλάσῃ τὰ μάτια του ἀπὸ τὰ δάκρυα, μήπως πάθῃ τίποτε τὸ μυαλόν του ἀπὸ τὴν ὑπερβολικὴν ἀγρυπνίαν καὶ τὴν ἐπίμονον καὶ συνεχῆ φροντίδα διὰ τὴν ἀνάγνωσιν.

Αὐτὰ λοιπὸν σὲ στενοχωροῦν καὶ σὲ ἀνησυχοῦν, ἐπειδὴ τόσον πολὺ ὑπερέβαλες τοὺς συνομιλίκους σου, ἐπειδὴ ἄφησες ὀπίσω σου πολλὰ μέτρα αὐτοὺς ποὺ τρέχουν μαζί σου, ἂν καὶ ἔχεις τόσον φοβερὸν καὶ ἀναίσχυντον ἀνταγωνιστήν. Ἄρα δὲν ἦτο σωστὸν ποὺ ἔλεγα ὅτι ἡ λυποψυχία σου αὐτὴ ὀφείλεται εἰς τὴν προκατάληψιν μόνον, διότι ἐὰν ἐξετασθῇ πολὺ καλὰ θὰ διαπιστώσωμεν ὅτι πολλὲς φορὲς εἶναι καὶ ἀποτέλεσμα εὐθυμίας. Διότι, εἰπέ μου, ποῖον εἶναι τὸ κέρδος σου ἀπὸ τὸ νὰ μὴ εἶσαι δαιμονισμένος, ὅταν ζῇς χωρὶς καμμίαν φροντίδα; ποία δὲ ἡ ζημία σου ἀπὸ τὸ νὰ εἶσαι δαιμονισμένος, ὅταν συμβαίνῃ ἡ ζωή σου νὰ εἶναι ἀπόλυτα ὀρθὴ καὶ πνευματικὰ πολὺ καλὰ συγκροτημένη; Μήπως ὅμως ἐντρέπεσαι καὶ κοκκινίζεις ὅταν σὲ καταλαμβάνῃ παρουσίᾳ ὡρισμένων; Ἀλλὰ αὐτὸ καὶ πάλιν σοῦ συμβαίνει ἀπὸ τὴν ἰδίαν αἰτίαν, ἀπὸ τὸ ὅτι δηλαδὴ σὲ ἐνδιαφέρει ἡ γνώμη τῶν πολλῶν, ἐνῷ ποτὲ δὲν ἐξήτασες τὸ πρᾶγμα αὐτὸ μὲ βάσιν τὴν λογικήν. Διότι ἡ

καταπεσεῖν οὐ τοῦτό ἐστιν ὃ σὺ πάσχειν φής, ἀλλὰ τὸ ἁμαρτίᾳ περιπεσεῖν· ἐπὶ ταύτῃ τῇ πτώσει καλὸν αἰσχύνεσθαι καὶ ἀλγεῖν. Νῦν δὲ ἐπὶ μὲν τοῖς οὐδεμίαν ἔχουσιν αἰσχύνην καταδυόμεθα, τὰ δὲ ὄντως αἰσχρὰ καὶ πολλοῦ γέμοντα γέλωτος καὶ κολάσεως ἐσχάτης, ταῦτα δρῶντες οὐδὲν ἡγούμεθα πάσχειν δεινόν· ἀλλὰ τῆς μὲν ψυχῆς καθ' ἑκάστην ἡμέραν ὑπὸ τῆς τῶν ἁμαρτημάτων ἐνεργείας πιπτούσης οὐδεὶς ὁ πενθῶν· εἰ δὲ ποτέ τι τὸ σῶμα τοῦτο πάθοι, δεινὸν καὶ ἀφόρητον εἶναι δοκεῖ. Ἆρα οὐ τοῦτο ἔστι τὸ δαιμονᾶν, τὸ οὕτω διακεῖσθαι τὴν ψυχὴν καὶ περὶ τὴν τῶν πραγμάτων σφάλλεσθαι κρίσιν; Εἰ μὲν γὰρ ὑπὸ μέθης τοῦτο ἔπασχες ἐχρῆν καταδύεσθαι καὶ ἀθυμεῖν, προαιρέσεως γὰρ τὸ ἔγκλημα ἦν· εἰ δὲ τῆς ἑτέρου βίας τὸ πρᾶγμά ἐστιν, οὐ τὸν ἐπηρεαζόμενον, οὐδὲ τὸν ὑπομένοντα τὴν βίαν, ἀλλὰ τὸν δρῶντα αἰσχύνεσθαι δεῖ. Καὶ γὰρ ἐν ἀγορᾷ εἴ ποτε γενομένης μάχης ἕτερος τὸν ἕτερον ὤσας κατέβαλε, τὸν καταβαλόντα, οὐ τὸν πεσόντα ἅπαντες αἰτιώμεθα. Καλὸν τὸ ἐρυθριᾶν, ἀλλ' ὅταν τι πράττωμεν τῶν κόλασιν φερόντων ἡμῖν παρὰ τῷ τότε μέλλοντι κρίνειν ἡμᾶς· ἕως δ' ἂν μηδὲν τοιοῦτον ὦμεν συνειδότες ἑαυτοῖς, τίνος ἕνεκεν ἐγκαλυπτόμεθα; Οὐδὲ γάρ, εἴ τίς σε μόνον ἀπολαβὼν ἔτυπτεν ἁπλῶς καὶ μηδὲν ἔχων ἐγκαλεῖν, ἢ πάλιν κατέρριπτεν εἰς τὴν γῆν, σὺ δὲ πάντα πράως ἐνεγκὼν ἀπηλλάγης, οὐχ αἰσχύνης τὸ πρᾶγμα ἦν, ἀλλὰ φιλοσοφίας καὶ τῶν μεγίστων ἐπαίνων. Εἶτα ἀνθρώπων μὲν ἐπηρεαζόντων, τὸ φέρειν τὴν ἐπήρειαν ἔπαινος· τοῦ δὲ πάντων πονηροτέρου

κατάπτωσις δὲν εἶναι αὐτὸ ποὺ ἰσχυρίζεσαι σὺ ὅτι ἔπαθες, ἀλλὰ τὸ νὰ κατακυριευθῇς ἀπὸ τὴν ἁμαρτίαν. Διὰ μίαν τέτοιαν πτῶσιν καλὸν εἶναι νὰ ἐντρέπεσαι καὶ νὰ πονᾷς. Τώρα ὅμως καταβυθιζόμεθα μέσα εἰς αὐτά, τὰ ὁποῖα δὲν ἔχουν καμμίαν ἐντροπήν, ἐνῷ τὰ πράγματι αἰσχρὰ καὶ αὐτὰ ποὺ εἶναι ἄξια διὰ γέλωτα καὶ διὰ αὐστηρὰν τιμωρίαν, πράττοντες αὐτά, ἔχομεν τὴν ἐντύπωσιν ὅτι δὲν πάσχομεν ἀπὸ κανένα κακόν. Ἀλλὰ ἂν καὶ ἡ ψυχὴ καθημερινῶς πίπτει ἐξ αἰτίας τῶν ἁμαρτωλῶν πράξεων κανεὶς δὲν πενθεῖ, ἐὰν ὅμως κάποτε συμβῇ νὰ πάθῃ κάτι τὸ σῶμα, μᾶς φαίνεται ὅτι εἶναι πολὺ φοβερὸν κακὸν καὶ ἀβάστακτον. Ἆρά γε δὲν εἶναι αὐτὸ δεῖγμα πραγματικοῦ δαιμονισμένου, ὅταν ἡ ψυχὴ εὑρίσκεται εἰς μίαν τέτοιαν κατάστασιν καὶ εἶναι ἐσφαλμέναι αἱ κρίσεις της διὰ τὰ διάφορα πράγματα ποὺ συμβαίνουν; Διότι ἐὰν μὲν αὐτὸ τὸ ἐπάθαινες ἐξ αἰτίας τῆς μέθης τότε ἔπρεπε νὰ κατεθλιβόσουν καὶ νὰ ἐλυποψυχοῦσες, διότι θὰ ἦτο παράπτωμα ποὺ θὰ διεπράττετο μὲ τὴν θέλησίν σου. Ἐπειδὴ ὅμως τὸ πρᾶγμα αὐτὸ συνέβη ἐξ αἰτίας τῆς βίας ἄλλου, δὲν πρέπει νὰ ἐντρέπεται αὐτὸς ποὺ ἐδέχθη τὰς δοκιμασίας, οὔτε αὐτὸς ποὺ ὑπομένει τὴν βίαν, ἀλλὰ αὐτὸς ποὺ προξενεῖ τὴν βίαν. Καθόσον καὶ εἰς τὴν ἀγορὰν ἐὰν κάποτε ἤθελε συμβῇ φιλονεικία μεταξὺ δύο καὶ ὁ ἕνας ἐὰν ἔρριπτε τὸν ἄλλον κάτω σπρώχνοντάς τον, δὲν κατηγοροῦμεν αὐτὸν ποὺ ἔπεσεν, ἀλλὰ αὐτὸν ποὺ τὸν ἔρριψεν. Εἶναι καλὸν τὸ νὰ κοκκινίζωμεν ἀπὸ ἐντροπήν, ἀλλὰ ὅταν πράττωμεν κάτι ἀπὸ αὐτὰ ποὺ εἶναι ἄξια τιμωρίας ἐκ μέρους ἐκείνου ὁ ὁποῖος πρόκειται νὰ μᾶς κρίνῃ εἰς τὴν μέλλουσαν ζωήν. Ἐν ὅσῳ ὅμως δὲν ὑπάρχει κάτι τέτοιο ποὺ νὰ ἐνοχλῇ τὴν συνείδησίν μας, διὰ ποῖον λόγον νὰ ἐντρεπώμεθα; Οὔτε βέβαια ἐὰν κάποιος σὲ εὕρισκε μόνον καὶ σὲ ἐκτυποῦσεν εἰς τὰ καλὰ καθούμενα χωρὶς νὰ ὑπάρχῃ καμμία αἰτία διὰ κατηγορίαν, ἢ πάλιν ἐὰν σὲ ἔρριπτε κάτω εἰς τὴν γῆν καὶ σὺ ἔφευγες ἀνεχόμενος ὅλα αὐτὰ μὲ πολλὴν πραότητα, ἡ πρᾶξις σου αὐτὴ δὲν θὰ ἦτο ἀξία ἐντροπῆς, ἀλλὰ θὰ ἦτο δεῖγμα εὐσεβείας καὶ θὰ ἤξιζε τοὺς μεγαλυτέρους ἐπαίνους. Ἐπομέ-

τὸ αὐτὸ τοῦτο ποιοῦντος, ὁ τὴν ἐκείνου μανίαν γενναίως ἐνεγκὼν καταδύσεται ὡς ἐπίψογον πρᾶγμα ποιῶν; Καὶ τί ταύτης τῆς ἐναντιώσεως ἀλογώτερον γένοιτ' ἄν; Εἰ μὲν γὰρ ἀπὸ τῆς πτώσεως ἀναστὰς ἐκείνης, ἄτοπόν τι πρᾶξαι προήχθης ἢ εἰπεῖν, οὐδὲ αὐτὸς ἂν ἐκώλυσα ὑπὲρ τούτων κατακόπτεσθαι καὶ ἀλγεῖν· εἰ δὲ μετὰ εὐχαριστίας ἅπαντα φέρεις, καὶ εἰς προσευχὰς εὐθέως τρέπεις σαυτόν, τί ποτ' οὖν ἐστι τὸ ποιοῦν τὴν αἰσχύνην;

Ἀλλ' ἴσως ἀλγεινὰ τὰ παρὰ τῶν ἄλλων ὀνείδη. Καὶ τί τούτων ἐπονειδιστότερον γένοιτ' ἄν, οἳ μηδὲ ἅπερ ὀνειδίζειν χρὴ δύναιντ' ἂν εἰδέναι καλῶς; Οὗτοι γὰρ ἀληθῶς εἰσιν οἱ μαινόμενοι καὶ δαιμονῶντες, οἱ τὰ πράγματα ὡς ἔχει φύσεως μὴ μεμαθηκότες ὁρᾶν, ἀλλὰ τὰ μὲν ἐπαίνων ἄξια ψέγοντες, τὰ δὲ ἐπονείδιστα εἰς τὴν τῶν ἐπαινουμένων τάξιν μετατιθέντες. Πολλὰ καὶ οἱ τὴν φρενῖτιν νοσοῦντες λέγουσι τοὺς παρόντας κακά, ἀλλ' οἱ ἀκούοντες οὐχ ἡγοῦνται ὑβρίζεσθαι. Μὴ τοίνυν μηδὲ σὺ τῶν ἐξεστηκότων ἐκείνων ἀκούων, αἰσχύνην καὶ ὕβριν τὸ πρᾶγμα εἶναι νόμιζε, ἵνα μὴ ποτὲ ἀληθῶς ἐπονείδιστον καταστήσῃς σαυτὸν παροξύνων τὸν Θεόν. Ὅταν γὰρ τὰ πρὸς παιδείαν καὶ ὠφέλειαν ἐπαγόμενα παρὰ τοῦ Θεοῦ, ταῦτα ὄνειδος εἶναι νομίσῃς, ὅρα ποῦ τελευτᾷ τὸ κακόν.

Εἰ γὰρ βούλει τοὺς ἀληθῶς αἰσχύνης καὶ ὀνείδους ἀξίους ἰδεῖν, ἐγώ σοι πειράσομαι ἐκ πολλῶν ὀλίγους ὑποδεῖξαι τῷ

νως ὅταν μὲν μᾶς πειράζουν οἱ ἄνθρωποι, εἶναι ἄξιον ἐπαίνου τὸ νὰ ὑπομένωμεν καὶ νὰ ἀνεχώμεθα τὴν ὑβριστικὴν αὐτὴν πρᾶξιν, ὅταν ὅμως αὐτὸ μᾶς τὸ κάνει ὁ πιὸ πονηρὸς ἀπὸ ὅλους, αὐτὸς ποὺ ὑποφέρει μὲ γενναιότητα τὴν μανίαν ἐκείνου τοῦ δαίμονος, θὰ φθάσῃ εἰς τὸ σημεῖον νὰ ἐξαφανίσῃ τὸν ἑαυτόν του νομίζοντας ὅτι ἔπραξε κάτι τὸ πολὺ ἀξιοκατάκριτον; Καὶ τί θὰ ἠμποροῦσε νὰ θεωρηθῇ πιὸ παράλογον ἀπὸ αὐτὸ τὸ τελείως ἀσυμβίβαστον πρᾶγμα; Διότι ἐὰν μέν, ἀφοῦ ἐσηκώνεσο ἀπὸ τὴν πτῶσιν σου ἐκείνην, ἔφθανες εἰς τὸ σημεῖον νὰ διαπράξῃς ἢ νὰ εἰπῇς κάτι τὸ ἀνάρμοστον, οὔτε ἐγὼ ὁ ἴδιος θὰ σὲ ἠμπόδιζα νὰ θρηνῇς καὶ νὰ πονᾷς δι' αὐτάς σου τὰς ἀπρεπείας· ἐπειδὴ ὅμως ὅλα τὰ ὑπομένεις μὲ εὐχαρίστησιν καὶ μὲ πολλὴν προθυμίαν μεταβαίνεις εἰς τὰς προσευχάς, ποῖο τέλος πάντων εἶναι αὐτὸ ποὺ σὲ κάνει νὰ ἐντρέπεσαι;

Ἐνδεχομένως ὅμως νὰ εἰπῇς ὅτι προκαλοῦν πολὺν πόνον αἱ προσβολαὶ ἐκ μέρους τῶν ἄλλων. Καὶ τί ἄλλο θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ποὺ νὰ εἶναι ἄξιον μεγαλυτέρου ὀνειδισμοῦ ἀπὸ αὐτούς, οἱ ὁποῖοι δὲν ἠμποροῦν οὔτε νὰ διακρίνουν καλῶς αὐτὰ τὰ ὁποῖα πρέπει κανεὶς νὰ θεωρῇ ἄξια ὀνειδισμοῦ; Διότι αὐτοὶ πράγματι εἶναι οἱ παράφροντες καὶ δαιμονισμένοι, οἱ ὁποῖοι δὲν ἔμαθαν νὰ βλέπουν τὰ πράγματα ὅπως ἔχουν ἀπὸ τὴν φύσιν των, ἀλλὰ αὐτὰ μὲν ποὺ εἶναι ἄξια ἐπαίνου, τὰ κατηγοροῦν, ἐνῷ τὰ ἄξια ὀνειδισμοῦ τὰ μεταθέτουν εἰς τὴν θέσιν τῶν ἐπαινομένων. Καὶ οἱ φρενοβλαβεῖς λέγουν πολλὰ κακὰ πράγματα ἐναντίον αὐτῶν ποὺ εἶναι παρόντες, ἀλλ' ὅμως αὐτοὶ ποὺ τοὺς ἀκοῦν δὲν τὰ θεωροῦν αὐτὰ ὡς ὕβρεις. Οὔτε σὺ λοιπὸν νὰ θεωρῇς, ὅταν ἀκούῃς ἐκείνους τοὺς παράφρονας, ὅτι ἡ πρᾶξις των αὐτὴ περιέχει ἐντροπὴν καὶ ὕβριν, διὰ νὰ μὴ συμβῇ ποτὲ καὶ καταστήσῃς τὸν ἑαυτόν σου πράγματι ἄξιον ὀνειδισμοῦ, παροργίζοντας τὸν Θεόν. Διότι ὅταν θεωρῇς ὡς ὄνειδος αὐτὰ ποὺ σοῦ στέλλει ὁ Θεὸς πρὸς παιδείαν καὶ ὠφέλειαν, πρόσεχε ποῦ τελειώνει τὸ κακόν.

Ἐὰν πράγματι ἐπιθυμῇς νὰ γνωρίσῃς αὐτοὺς ποὺ εἶναι πράγματι ἄξιοι ἐντροπῆς καὶ ὕβρεως, ἐγὼ θὰ προσπαθήσω

λόγῳ. Θέασαι τοὺς περὶ τὰς εὐμορφίας ἐπτοημένους τῶν γυναικῶν, τοὺς περὶ χρήματα μαινομένους, τοὺς δυναστείας καὶ δόξης ἐρῶντας, καὶ πάντα ὑπὲρ τούτων καὶ πρᾶξαι καὶ παθεῖν αἱρουμένους, τοὺς ὑπὸ βασκανίας τηκομένους, τοὺς ἐπιβουλεύοντας τοῖς ἠδικηκόσιν οὐδέν, τοὺς μελαγχολῶντας ἁπλῶς, τοὺς περὶ τὰ μάταια τοῦ βίου λυττῶντας ἀεί· ταῦτά ἐστι καὶ τὰ τοιαῦτα μανίας ἔργα καὶ κολάσεως ἄξια, ταῦτα ὀνείδους καὶ αἰσχύνης καὶ γέλωτος. Εἰ δέ τις ὑπὸ δαίμονος ἐνοχλούμενος φιλοσοφίαν καὶ οὕτως ἐν τῷ βίῳ πολλὴν ἐπιδεικνύοιτο οὐ μόνον οὐκ ὀνειδίζεσθαι, ἀλλὰ καὶ θαυμάζεσθαι καὶ στεφανοῦσθαι παρὰ πάντων ἂν εἴη δίκαιος, μετὰ τοσούτων δεσμῶν δρόμον οὕτως ἐπίπονον τρέχων, καὶ τὴν ἀνάντη καὶ τραχεῖαν τῆς ἀρετῆς ἀναβαίνων ὁδόν.

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς καὶ ἕτερόν με μικροῦ δεῖν παρελήλυθεν, ᾧ πλεονεκτεῖς τῶν ἀδελφῶν· τοῦτο δέ ἐστι τὸ ῥᾳδίως, εἰ καὶ τί σοι πεπλημμέληται, διὰ τῆς θλίψεως ταύτης καὶ ταῦτα ἀποδύσασθαι τὰ ἁμαρτήματα. Καὶ τοῦτο γέγονε δῆλον ἡμῖν ἐξ ὧν ἔφθην ἤδη διαλεχθείς, ὅτε περὶ τοῦ Λαζάρου καὶ τοῦ παρὰ τοῖς Κορινθίοις πεπορνευκότος ἔλεγον.

Ἀλλ' ὑπὲρ τοῦ πατρὸς δέδοικα, φησί· κἂν γὰρ τὰ ἐμαυτοῦ πράως ἐνεγκεῖν δυνηθῶ, τὰς ἐκείνου συμφορὰς καὶ τὴν μανίαν πῶς οἴσομεν ῥᾳδίως, εἴ ποτε αἴσθοιτό τι τούτων; Τέως μὲν οὐκ ᾔσθετο. Πολλῆς δὲ μικροψυχίας ἐστὶν ὑπὲρ τῶν ὕστερόν ποτε συμβησομένων ἢ μηδὲ ὅλως συμβησομένων τὴν ἀθυμίαν ἤδη καρποῦσθαι καὶ κόπτεσθαι. Πόθεν γάρ,

νὰ σοῦ παρουσιάσω μὲ τὸν λόγον μου ὀλίγους ἀπὸ τοὺς πολλούς. Ρίψε τὸ βλέμμα σου πρὸς αὐτοὺς ποὺ καταγοητεύονται ἀπὸ τὴν ὀμορφιὰν τῶν γυναικῶν, πρὸς αὐτοὺς ποὺ φέρονται ὡσὰν τρελλοὶ διὰ τὰ χρήματα, πρὸς αὐτοὺς ποὺ ἀγαποῦν ὑπερβολικὰ τὴν ἐξουσίαν καὶ τὴν δόξαν καὶ ποὺ προτιμοῦν τὰ πάντα νὰ πράξουν καὶ νὰ πάθουν χάριν αὐτῶν, πρὸς αὐτοὺς ποὺ λειώνουν ἀπὸ φθόνον, πρὸς αὐτοὺς ποὺ ἐπιβουλεύονται ἐκείνους ποὺ δὲν τοὺς ἠδίκησαν εἰς τίποτε, πρὸς ἐκείνους ποὺ εὔκολα καταλαμβάνονται ἀπὸ μελαγχολίαν, πρὸς αὐτοὺς ποὺ συμπεριφέρονται ὡσὰν λυσσασμένοι διὰ τὰ μάταια πράγματα τῆς ζωῆς. Αὐτὰ καὶ τὰ παρόμοιά των εἶναι ἔργα μανίας καὶ ἄξια τιμωρίας, αὐτὰ εἶναι ἔργα προσβλητικὰ καὶ ἄξια ἐντροπῆς καὶ γέλωτος. Ἐὰν ὅμως κάποιος, μολονότι ἐνοχλεῖται ἀπὸ τὸν δαίμονα, παρὰ ταῦτα παρουσιάζῃ εἰς τὴν ζωήν του πολλὴν εὐσέβειαν, ὄχι μόνον δὲν πρέπει νὰ θεωρῆται ἄξιος ὀνειδισμοῦ, ἀλλὰ καὶ νὰ θαυμάζεται πρέπει καὶ νὰ στεφανώνεται ἀπὸ ὅλους ἐὰν εἶναι δίκαιος, διότι φέρων μαζί του τόσον βαρειὰ δεσμὰ τρέχει ἕνα τόσον κοπιαστικὸν δρόμον καὶ ἀνεβαίνει τὸν ἀνηφορικὸν καὶ σκληρὸν δρόμον τῆς ἀρετῆς.

Ἀλλ' ὅμως ὑπάρχει καὶ κάτι ἄλλο ὡς πρὸς τὸ ὁποῖο ὑπερέχεις ἔναντι τῶν ἀδελφῶν, τὸ ὁποῖον δὲν γνωρίζω πῶς συνέβη, ὥστε παρ' ὀλίγον καὶ νὰ τὸ παρέβλεπα. Αὐτὸ εἶναι ὅτι, ἐὰν ἔχῃς διαπράξει κάποιο ἁμάρτημα, λόγῳ αὐτῆς τῆς δοκιμασίας σου μὲ πολλὴν εὐκολίαν θὰ τὰ ἐξαλείψῃς καὶ αὐτὰ τὰ ἁμαρτήματά σου. Καὶ αὐτὸ ἔγινε φανερὸν εἰς ἡμᾶς ἀπὸ ὅσα ἤδη ἔχω εἰπεῖ, ὅταν ὡμίλησα διὰ τὸν Λάζαρον καὶ δι' αὐτὸν ποὺ διέπραξε πορνείαν μεταξὺ τῶν Κορινθίων.

Ἀλλά, θὰ μοῦ εἰπῇς, φοβοῦμαι διὰ τὸν πατέρα μου· διότι καὶ ἂν ἀκόμη ἠμπορέσω νὰ ὑποφέρω τὰ ἴδικά μου δεινὰ μὲ πραότητα, πῶς θὰ ὑποφέρω τόσον εὔκολα τὰς συμφορὰς ἐκείνου καὶ τὴν μανίαν του, ἐὰν ποτὲ ἤθελεν ἀντιληφθῇ κάτι δι' ὅλα αὐτά; Διότι μέχρι σήμερα δὲν ἀντελήφθη τίποτε. Ἀποτελεῖ ἀπόδειξιν μεγάλης μικροψυχίας τὸ νὰ καταλαμβάνεται κανεὶς ἀπὸ τώρα ἀπὸ λυποψυχίαν

ὅτι καὶ αἰσθήσεται, δῆλον ἡμῖν; Μᾶλλον δὲ ἔστω δῆλον, καὶ συγκεχωρείσθω, εἰ βούλει, καὶ αἰσθήσεσθαι αὐτόν, καὶ μεγάλα ἐργάσεσθαι δεινά· ἐπαινῶ μέν σε ἀλγοῦντα ὑπὲρ τῶν ἐκείνου κακῶν, οὐκ ἀξιῶ δὲ μετὰ τῆς σαυτοῦ ζημίας τοῦτο ποιεῖν· τοὺς γὰρ τὰ ἄνω φρονοῦντας καὶ μὴ τὰ ἐπὶ τῆς γῆς, οὐ θυμοῦ μόνον καὶ ἐπιθυμίας καὶ τῶν ἄλλων παθῶν, ἀλλὰ καὶ ἀθυμίας κρατεῖν δεῖ. Καὶ γὰρ καὶ τοῦτο πλείονα ἡμᾶς ἐκείνων ἐργάσεται δεινά, καὶ χρὴ πρὸς αὐτὸ γενναίως ἐνίστασθαι μὴ μέλλοντας ἀπόλλυσθαι παντελῶς. Εἰ μὲν γὰρ αὐτὸς αἴτιος ἔμελλες ἔσεσθαι τῶν τῷ πατρὶ συμβαινόντων ἀνιαρῶν, καλῶς ἂν ἐδεδοίκεις καὶ ἔτρεμες, τοσαύτης ἀπωλείας γενόμενος αἴτιος· εἰ δὲ αὐτὸς ἑαυτὸν περιπείρειν βούλεται τοῖς ἐσχάτοις κακοῖς, οὐδεὶς πρὸς σὲ τούτων λόγος, πλὴν ὅσον πατρὶ συναλγεῖν χρή. Χωρὶς δὲ τούτων οὐδὲ ἴσμεν, ὅπως οἴσει ταύτην τὴν ἀκοήν· πολλὰ γὰρ ἐναντία τοῖς προσδοκηθεῖσιν ἐξέβη πολλάκις· κἀκεῖνο μὲν τῶν παραδόξως καὶ σπανίως συμβαινόντων ἐστί, τοῦτο δὲ καὶ τῶν εἰκότων καὶ τῶν σφόδρα ἐνδεχομένων. Πόθεν δὴ τοῦτο δῆλον; Πολὺν τῶν νόθων ποιεῖται λόγον, καὶ τὸ πρὸς ἐκείνους φίλτρον ἱκανὸν ταύτην αὐτοῦ συσκιάσαι τὴν ἀθυμίαν.

Μὴ δὴ μάτην ὀδύνα σαυτὸν ταῖς φροντίσιν. Εἰ δὲ καὶ ἀλγεῖν ὑπὲρ τοῦ πατρὸς χρή, ἐπὶ ταῖς ἀλόγοις δαπάναις, ἐπὶ τοῖς κώμοις, καὶ ἐπὶ τῷ τύφῳ, καὶ ἐπὶ τῇ τυραννίδι, ἐπὶ τῇ μοιχείᾳ τῇ νῦν. Ἢ μικρὸν οἴει κακὸν τὸ γυναικὸς ἔνδον οὔσης

καὶ νὰ θρηνῇ διὰ πράγματα ποὺ θὰ συμβοῦν ἐνδεχομένως μελλοντικὰ ἢ καὶ ποὺ ἠμπορεῖ νὰ μὴ συμβοῦν. Διότι ποίαν ἀπόδειξιν ἔχομεν, ὅτι θὰ τὰ ἀντιληφθῇ; Ἢ καλύτερα ἔστω ὅτι γίνονται φανερὰ καί, ἐὰν θέλῃς, ἂς ἐπιτραπῇ νὰ τὰ ἀντιληφθῇ καὶ νὰ διαπράξῃ φοβερὰ πράγματα. Καὶ σὲ ἐπαινῶ μὲν ποὺ ὑποφέρεις διὰ τὰ κακὰ ἐκείνου, δὲν ζητῶ ὅμως αὐτὸ νὰ τὸ κάνῃς ζημιώνοντας τὸν ἑαυτόν σου. Διότι αὐτοὶ ποὺ ἔχουν ἐστραμμένην τὴν σκέψιν των πρὸς τὰ οὐράνια πράγματα καὶ ὄχι πρὸς τὰ ἐπίγεια, πρέπει νὰ ἐξουσιάζουν ὄχι μόνον τὸν θυμόν των καὶ τὰς ἐπιθυμίας των καὶ τὰ ἄλλα πάθη των, ἀλλὰ καὶ τὴν λυποψυχίαν. Καθόσον καὶ αὐτὸ τὸ κακὸν θὰ μᾶς προξενήσῃ περισσότερα δεινὰ ἀπὸ ἐκεῖνα καὶ πρέπει νὰ τὸ ἀντιμετωπίζωμεν μὲ γενναιότητα διὰ νὰ μὴ χαθοῦμεν μελλοντικῶς ἐξ ὁλοκλήρου. Διότι ἐὰν μὲν ὁ ἴδιος ἐπρόκειτο νὰ γίνῃς αἰτία τῶν δυσαρέστων ποὺ συμβαίνουν εἰς τὸν πατέρα σου, πολὺ καλὰ θὰ ἔκανες ἐὰν ἐφοβεῖσο καὶ ἔτρεμες, ἀφοῦ θὰ ἐγινόσουν αἰτία τόσον μεγάλης καταστροφῆς. Ἐὰν ὅμως αὐτὸς ὁ ἴδιος θέλῃ νὰ προξενῇ εἰς τὸν ἑαυτόν του τόσον φοβερὰ κακὰ καμμία εὐθύνη δὲν βαρύνει ἐσένα δι᾽ ὅλα αὐτά, ἐκτὸς ἀπὸ τὸ ὅτι πρέπει νὰ πονᾷς διὰ τὴν κατάστασιν αὐτὴν τοῦ πατέρα σου. Πέραν ὅμως ὅλων αὐτῶν, οὔτε κἂν γνωρίζομεν πῶς θὰ τὴν δεχθῇ αὐτὴν τὴν πληροφορίαν. Διότι πολλὲς φορὲς πολλὰ εἶχαν διαφορετικὴν ἔκβασιν ἀπὸ αὐτὴν ποὺ ἐπεριμέναμεν. Καὶ ἐκεῖνο μὲν εἶναι κάτι ἀπὸ τὰ παράδοξα καὶ ποὺ σπάνια συμβαίνουν, ἐνῷ αὐτὸ εἶναι κάτι καὶ ἀπὸ τὰ πολὺ φυσικὰ ποὺ συμβαίνουν καὶ ἀπὸ ἐκεῖνα ποὺ ὑπάρχει μεγάλη πιθανότης νὰ συμβοῦν. Ἀπὸ ποῦ αὐτὸ γίνεται φανερόν; Διότι κάνει πολὺν λόγον διὰ τὰ νῶθα παιδιά του, καὶ ἡ ἀγάπη του πρὸς ἐκεῖνα εἶναι εἰς θέσιν νὰ καλύψῃ αὐτὴν τὴν λύπην του.

Μὴ λοιπὸν καταπονῇς ἄδικα τὸν ἑαυτόν σου μὲ τὰς φροντίδας αὐτάς. Ἐὰν δὲ πρέπει νὰ πονᾷς διὰ τὸν πατέρα σου, νὰ πονᾷς διὰ τὰ ἀπερίσκεπτα ἔξοδά του, διὰ τὰς διασκεδάσεις του, διὰ τὴν ἀλαζονείαν του, διὰ τὴν σκληρότητά του καὶ διὰ τὴν πρόσφατον μοιχείαν του. Ἢ μήπως

τῆς ὑμετέρας μητρός, ἑτέρα προσφθείρεσθαι κόρῃ, καὶ παιδοποιεῖν ἐκ παρανόμων γάμων; Ταῦτα πένθους ἄξια, ταῦτα δακρύων, τὰ φανερὰ καὶ εἰς τέλος ἐκβάντα κακά· τὰ δὲ ἐπὶ σοὶ συμβησόμενα ἴσως μὲν ἔσται δεινά, ἴσως δὲ οὐ δεινά, πολλῆς δὲ ἀλογίας ὑπὲρ τῶν οὕτως ἀδήλων ὡμολογημένην ὑπομένειν ἤδη βάσανον.

Θῶμεν δὲ αὐτὰ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἀπαντήσεσθαι, ἀλλὰ τάχιστον ἕξει τέλος, καὶ πρὶν ἢ καλῶς ἐξαφθῆναι σβεσθήσεται. Ἄνθρωπος γὰρ τοσαύτῃ προσέχων τρυφῇ καὶ πραγμάτων ἐπιμελούμενος πολλῶν καὶ παρασίτους τρέφων καὶ κόλακας καὶ οὕτω τῆς κόρης ἐκείνης περικαιόμενος, ἐξ ἧς ἔχει τοὺς ἐξ ἡμισείας ὑμῖν ἀδελφούς, κἂν λάβῃ τῶν σῶν αἴσθησιν, βραχεῖαν λήψεται καὶ οὐδενὸς ἀξίαν. Καὶ τοῦτο οὐχ οἷς εἶπον μόνον, ἀλλὰ καὶ τοῖς ἤδη γεγενημένοις στοχάζομαι· οἶσθα γάρ, οἶσθα σαφῶς, ὅτι σφόδρα σε πρὸ τούτων φιλῶν, καὶ πάντα τὴν σὴν ἡγούμενος κεφαλήν, ἐπειδὴ πρὸς τὸν τῶν μοναχῶν μετέστης βίον, πάντα τὸν πόθον ἐκεῖνον ἔσβεσε, καὶ τὸ πρᾶγμα αἰσχρὸν ἡγήσατο καὶ τῆς τῶν προγόνων λαμπρότητος ἀνάξιον, καὶ τὴν αὐτοῦ δόξαν καταισχύνειν σε ἔλεγε· καὶ εἰ μὴ ἡ τῆς φύσεως αὐτὸν κατεῖχεν ἀνάγκη, τάχα ἂν σε καὶ ἀπεκήρυξεν. Ὥστε, εἰ μὴ σφόδρα ἀναίσθητον τὸ λεγόμενον, οἶμαι αὐτὸν καὶ ἡσθῆναι τῷ γεγονότι, ὡς δίκην σου δεδωκότος ὑπὲρ ὧν πολλάκις παρακαλοῦντος καὶ

θεωρεῖς μικρὸν κακὸν τὸ νὰ ὑπάρχῃ μέσα εἰς τὸν οἶκον ἡ γυναῖκα του, δηλαδὴ ἡ ἰδική σου μητέρα, καὶ νὰ συναντᾶται ἐπὶ ζημίᾳ τῆς ψυχῆς του μὲ ἄλλην νέαν γυναῖκα καὶ ν' ἀποκτᾷ παιδιὰ ἀπὸ παρανόμους γάμους; Αὐτὰ εἶναι ἄξια πένθους, αὐτὰ ἄξια δακρύων, τὰ φανερὰ κακά, τὰ ὁποῖα ἐπραγματοποιήθησαν. Αὐτὰ ὅμως ποὺ πρόκειται νὰ συμβοῦν εἰς ἐσένα, ἴσως μὲν νὰ εἶναι δεινά, ἴσως δὲ καὶ νὰ μὴ εἶναι, ἀποτελεῖ δὲ μεγάλην παραλογίαν τὸ νὰ ὑφίσταται κανεὶς ἀπὸ τώρα πραγματικὸν μαρτύριον διὰ πράγματα ποὺ εἶναι τελείως ἄγνωστα.

Ἀλλ' ἂς ὑποθέσωμεν ὅτι τὴν δέχεται αὐτὴν τὴν πληροφορίαν μὲ πολλὴν παραφροσύνην, ὅμως ἡ παραφροσύνη αὐτὴ θὰ περάσῃ σύντομα, καὶ πρὶν καλὰ-καλὰ φουντώσῃ ἡ ὀργή του, θὰ σβήσῃ. Διότι ἄνθρωπος ποὺ δίδει τόσην προσοχὴν εἰς τὰς ὑλικὰς ἀπολαύσεις καὶ ἀσχολεῖται μὲ τόσα πολλὰ πράγματα, ποὺ τρέφει παρασίτους καὶ κόλακας καὶ κατακαίγεται ἀπὸ τὴν φλόγα τοῦ ἔρωτός του διὰ τὴν νέαν ἐκείνην γυναῖκα, ἀπὸ τὴν ὁποίαν ἔχει τοὺς μισοὺς ἀπὸ τοὺς ἀδελφούς σου, καὶ ἂν ἀκόμη πληροφορηθῇ τὰ παθήματά σου, θὰ δείξῃ μικρὸν ἐνδιαφέρον καὶ τελείως ἀσήμαντον. Καὶ σκέπτομαι αὐτὸ τὸ ὁποῖον ἔχει σχέσιν ὄχι μόνον μὲ αὐτὰ ποὺ εἶπα, ἀλλὰ καὶ μὲ τὰ ὅσα ἤδη συνέβησαν. Γνωρίζεις δηλαδή, καὶ τὸ γνωρίζεις πολὺ καλά, ὅτι μολονότι σὲ ἀγαποῦσεν ὑπερβολικὰ πρὶν νὰ συμβοῦν αὐτά, καὶ τὰ πάντα ἔπραττε πρὸς χάριν σου, ἐπειδὴ ἠσπάσθης τὸν μοναχικὸν βίον, ἔσβησεν ὅλος ὁ πόθος του ἐκεῖνος, καὶ ἐθεώρησε τὴν πρᾶξιν σου αἰσχρὰν καὶ ἀναξίαν τῆς λαμπρότητος τῶν προγόνων σου καὶ ἔλεγεν ὅτι κατεντρόπιασες τὴν φήμην του. Καὶ ἂν δὲν τὸν ἐσυγκρατοῦσεν ἡ φυσικὴ ἀνάγκη, ὁπωσδήποτε θὰ σὲ ἀπεκήρυττεν. Ὥστε, ἐὰν δὲν εἶναι πολὺ σκληρόκαρδον αὐτὸ ποὺ λέγω, νομίζω ὅτι καὶ ηὐχαριστήθη ἀπὸ αὐτὸ ποὺ συνέβη, διότι εἶναι ὡσὰν νὰ σὲ ἐτιμώρησε δι' ὅλα ἐκεῖνα διὰ τὰ ὁποῖα πολλὲς φορὲς σὲ ἐπαρακαλοῦσε καὶ ἤθελε νὰ σὲ ἀπομακρύνῃ ἀπὸ τὴν ἔμμονον ἐκείνην ἀπόφασίν σου ν' ἀ-

ἀπαγαγεῖν βουλομένου ταύτης τοῦ βίου τῆς καρτερίας, οὐδὲ μέχρι ῥημάτων ἠνέσχου τὴν συμβουλήν.

Καὶ περὶ μὲν τοῦ πατρὸς καὶ τοῦ φόβου οὗ περὶ ἐκείνου δέδοικας, ταῦτα ἂν ἔχοιμι λέγειν, ἱκανά γε ὄντα, ὡς οἶμαι, πάντα τὸν ὑπὲρ τούτων σοι γενόμενον λῦσαι φόβον. Ἐπειδὴ δὲ ἔλεγες τὸ κεφάλαιον τῶν κακῶν εἶναι τὸ μηδὲ ὑπὲρ τῶν μελλόντων ἔχειν θαρρεῖν, μηδὲ εἰδέναι πότερον ἔσται τις λύσις ποτὲ τούτων, ἢ καὶ μέχρι τελευτῆς βουλήσεταί σοι πυκτεύειν ὁ τὸν ἀγῶνά σοι τοῦτον θείς, ἀκριβὲς μὲν οὐδὲν οὐδὲ αὐτὸς ὑπὲρ τούτων ἔχω λέγειν, οὐδὲ ἀποφαίνεσθαι ὑπὲρ τῶν μελλόντων, ἐκεῖνο μέντοι οἶδα σαφῶς, καὶ αὐτὸν δέ σε οὕτω πεπεῖσθαι ἀξιῶ, ὅτι ὁπότερον ἂν γένηται τούτων, συμφερόντως ἔσται καὶ πρὸς ἡμῶν· κἂν οὕτω δὲ διακείμενος ᾖς, ταχέως καὶ τὸν κολοφῶνα τούτων, ὡς λέγεις, ἀποκρούσῃ τῶν κακῶν.

Πρὸς δὲ τούτῳ κἀκεῖνο λογίζεσθαι χρή, ὅτι ὁ μὲν τῶν ἐπάθλων καὶ τῶν στεφάνων καιρὸς ὁ μέλλων ἐστὶν αἰών τῶν δὲ παλαισμάτων καὶ τῶν ἱδρώτων ὁ παρών. Καὶ τοῦτο ποιῆσαι δῆλον ἡμῖν βουλόμενος ὁ μακάριος Παῦλος ἔλεγεν· «Οὕτω τρέχω ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω ὡς οὐκ ἀέρα δέρων, ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι». Ἐπειδὴ δὲ πρὸς τὴν τελευτὴν ἔφθασε, τηνικαῦτα τὴν μακαρίαν ἐκείνην ἀφῆκε φωνήν· «Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος»· δεικνὺς ὅτι πάντα τὸν βίον ἐναγώνιον ἡμῖν εἶναι δεῖ

2. Α΄ Κορ. 9, 26-27.
3. Β΄ Τιμ. 4, 7-8.

κολουθήσῃς αὐτὸν τὸν βίον, ἐνῷ σὺ δὲν ἀνεχόσουν οὔτε τὴν συμβουλήν του μὲ λόγια.

Καὶ ὅσον ἀφορᾷ τὸν πατέρα σου καὶ διὰ τοὺς φόβους σου δι᾽ ἐκεῖνον αὐτὰ θὰ ἠμποροῦσα νὰ εἰπῶ, τὰ ὁποῖα εἶναι βέβαια, κατὰ τὴν γνώμην μου, ἱκανὰ νὰ διαλύσουν ὅλους τοὺς φόβους ποὺ ἐδημιουργήθησαν μέσα σου δι᾽ αὐτά. Ἐπειδὴ ὅμως ἔλεγες ὅτι τὸ σπουδαιότερον ἀπὸ ὅλα τὰ κακὰ εἶναι τὸ ὅτι δὲν ἔχεις οὔτε διὰ τὸ μέλλον καμμίαν ἐλπίδα, οὔτε καὶ γνωρίζεις πότε τέλος πάντων θὰ δοθῇ κάποια λύσις εἰς τὰ βάσανά σου αὐτά, ἢ μήπως θὰ θελήσῃ, αὐτὸς ποὺ σοῦ ὥρισεν αὐτὸν τὸν ἀγῶνα, νὰ ἀγωνίζεσαι σκληρὰ μέχρι νὰ πεθάνῃς, οὔτε καὶ ἐγὼ ὁ ἴδιος ἠμπορῶ νὰ σοῦ εἰπῶ τίποτε τὸ σίγουρον δι᾽ ὅλα αὐτά, οὔτε καὶ νὰ ἐκφράσω τὴν γνώμην μου δι᾽ αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν εἰς τὸ μέλλον, ἀλλ᾽ ὅμως γνωρίζω πολὺ καλὰ αὐτό, διὰ τὸ ὁποῖο ἔχω τὴν ἀπαίτησιν καὶ σὺ νὰ πεισθῇς ὁμοίως, ὅτι ὅποιο καὶ ἂν συμβῇ ἀπὸ αὐτά, θὰ εἶναι καὶ πρὸς ἰδικήν μας ὠφέλειαν. Καὶ ἐὰν ἔτσι διαθέσῃς τὴν ψυχήν σου, πολὺ γρήγορα θὰ ἠμπορέσῃς νὰ ἀποκρούσῃς καὶ τὸ ἀποκορύφωμα, ὅπως λέγεις, αὐτῶν τῶν κακῶν.

Ἐκτὸς δὲ ἀπὸ αὐτὸ πρέπει ν᾽ ἀναλογίζεσαι καὶ ἐκεῖνο, ὅτι ὁ μὲν καιρὸς τῶν βραβείων καὶ τῶν στεφάνων εἶναι ἡ μέλλουσα ζωή, τῶν δὲ ἀγώνων καὶ τῶν ἱδρώτων εἶναι ἡ παροῦσα ζωή. Καὶ αὐτὸ θέλοντας ὁ μακάριος Παῦλος νὰ μᾶς τὸ φανερώσῃ ἔλεγεν· «Ἐγὼ ἔτσι τρέχω, ὥστε νὰ μὴ εἶναι ἄσκοπος ὁ ἀγών μου, καὶ ἔτσι πυγμαχῶ, ὥστε νὰ μὴ φαίνωμαι ὡσὰν νὰ κτυπῶ τὸν ἀέρα. Ὁ ἀγών μου συνίσταται εἰς τὸ νὰ βασανίζω τὸ σῶμα μου καὶ νὰ τὸ μεταχειρίζωμαι ὡσὰν δοῦλον, φοβούμενος μὴ τυχόν, ἐνῷ ἐκήρυξα εἰς ἄλλους, ἐγὼ ὁ ἴδιος θεωρηθῶ ὡς ἀποτυχών»[2]. Ὅταν δὲ ἔφθασε κοντὰ εἰς τὸν θάνατον, τότε ἄφησε νὰ βγῇ ἀπὸ τὸ στόμα του ἐκείνη ἡ μακαρία φωνή· «Ἐγὼ τὸν ἀγῶνα τὸν καλὸν τὸν ἔχω κάνει, τὸν δρόμον τὸν ἐτελείωσα, τὴν πίστιν τὴν ἔχω διαφυλάξει καὶ τώρα πλέον μοῦ ἀπομένει ὁ στέφανος τῆς δικαιοσύνης»[3], δείχνοντας μὲ τοὺς λόγους του αὐτοὺς ὅτι πρέπει ὅλη ἡ ζωὴ νὰ εἶναι ἕνας

καὶ ἐπίπονον, εἴ γε μέλλοιμεν τῆς ἀναπαύσεως τῆς αἰωνίου καὶ τῶν μυρίων ἀπολαύσεσθαι ἀγαθῶν. Εἰ δὲ βούλοιτό τις ῥαθυμῶν καὶ τῶν ἐνταῦθα ἀπολαύειν ἡδέων, καὶ τῶν ἐκεῖ τοῖς πονοῦσιν ἀποκειμένων μισθῶν, ἑαυτὸν παρακρούεται καὶ ἀπατᾷ. Καθάπερ γὰρ ἐπὶ τῶν ἀθλητῶν ὁ μὲν ἐπὶ τοῦ καιροῦ τῶν ἀγώνων ἄνεσιν ἐπιζητῶν αἰσχύνην καὶ ἀδοξίαν διὰ παντὸς τοῦ χρόνου ἑαυτῷ προξενεῖ, ὁ δὲ ἐν τῷ σταδίῳ πάντα πόνον γενναίως ἐνεγκὼν στεφάνους καὶ δόξαν καὶ ἔπαινον, καὶ ἐν αὐτοῖς τοῖς ἀγῶσι, καὶ λυθέντων αὐτῶν καρποῦται παρὰ τῶν θεατῶν· οὕτω καὶ ἐφ' ἡμῶν. Ὁ μὲν τὸν καιρὸν τῶν πόνων ἀνέσεως ποιούμενος καιρόν, ὅταν ἀναπαύσασθαι δέῃ τὴν ἀγήρω ἐκείνην ἄνεσιν, τηνικαῦτα οἰμώξεται καὶ βρύξει τοὺς ὀδόντας καὶ τὰ ἔσχατα πείσεται δεινά· ὁ δὲ ἐνταῦθα τὰς θλίψεις προθύμως ἐνεγκών, καὶ ἐνταῦθα καὶ ἐκεῖ λαμπρὸς ἔσται καὶ ἐπίδοξος δόξαν τὴν ἀθάνατον καὶ ἀληθῆ. Εἰ γὰρ ἐπὶ τῶν βιωτικῶν ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων συγχέων πάντων ἐκπεσεῖται τῶν προκειμένων αὐτῷ, καὶ μυρίαις ἑαυτὸν περιβαλεῖ συμφοραῖς, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο πείσεται ὁ τὴν τάξιν τῶν καιρῶν οὐκ εἰδώς. Εἶπεν ὁ Χριστός, ὅτι «Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ». Εἶπεν ὁ μακάριος Παῦλος· «Καὶ πάντες δὲ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται»· οὐ τὰς παρὰ τῶν ἀνθρώπων διώξεις λέγων μόνον, ἀλλὰ καὶ τὰς παρὰ τῶν δαιμόνων ἐπιβουλάς. Εἶπεν Ἰώβ, ὅτι «Πειραστήριόν ἐστιν ἀνθρώπου ὁ βίος ἐπὶ τῆς γῆς». Τί τοίνυν ἀσχάλλεις ἐν τῷ

---

4. Ἰω. 16, 33.
5. Β΄ Τιμ. 3, 12.
6. Ἰὼβ 7, 1.

διαρκής καὶ κοπιαστικὸς ἀγών, ἐὰν πράγματι θέλωμεν νὰ ἀπολαύσωμεν τὴν αἰώνιον ἀνάπαυσιν καὶ τὰ ἄπειρα ἀγαθά. Ἐὰν ὅμως κάποιος ὀκνηρὸς θέλῃ ν' ἀπολαύσῃ καὶ τὰς ἡδονὰς αὐτῆς τῆς ζωῆς καὶ τὰς ἀμοιβὰς ποὺ ἐπιφυλάσσονται εἰς τὴν μέλλουσαν ζωὴν δι' ἐκείνους ποὺ κοπιάζουν ἐδῶ, αὐτὸς παραπλανᾷ τὸν ἑαυτόν του καὶ τὸν ἐξαπατᾷ. Διότι ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν ἀθλητῶν, ὁ ἀθλητὴς ἐκεῖνος ποὺ ἐπιζητεῖ κατὰ τὴν διάρκειαν τῶν ἀγώνων ἄνεσιν, προξενεῖ εἰς τὸν ἑαυτόν του καθ' ὅλην τὴν διάρκειαν τῆς ζωῆς του ἐντροπὴν καὶ περιφρόνησιν, ἐνῷ ἐκεῖνος ποὺ εἰς τὸ στάδιον τῶν ἀγώνων ὑπέμεινε κάθε κόπον μὲ γενναιότητα, ἀπολαμβάνει ἀπὸ τοὺς θεατὰς καὶ κατὰ τὴν διάρκειαν τῶν ἀγώνων στεφάνους, δόξαν καὶ ἐπαίνους, καὶ ὅταν τελειώσουν οἱ ἀγῶνες, τὸ ἴδιο συμβαίνει καὶ εἰς ἡμᾶς. Ἐκεῖνος ποὺ μεταβάλλει τὸν καιρὸν τῶν κόπων εἰς καιρὸν ἀνέσεως, ὅταν θὰ χρειασθῇ ν' ἀπολαύσῃ ἐκείνην τὴν ἄφθαρτον καὶ αἰώνιον ἀνάπαυσιν, τότε θὰ θρηνῇ καὶ θὰ τρίζῃ τὰ δόντια του καὶ θὰ ὑποστῇ τὰ πιὸ φοβερὰ κακά· ἐνῷ ἐκεῖνος ποὺ ὑπέφερεν εἰς τὴν ἐδῶ ζωὴν μὲ προθυμίαν τὰς θλίψεις καὶ ἐδῶ καὶ ἐκεῖ θὰ εἶναι λαμπρὸς καὶ ἔνδοξος, στολισμένος μὲ τὴν ἀθάνατον καὶ ἀληθινὴν δόξαν. Διότι ἐὰν εἰς τὴν καθημερινὴν ζωὴν αὐτὸς ποὺ συγχέει τὰς καταλλήλους περιστάσεις θὰ χάσῃ καὶ ὅλα τὰ ἀγαθὰ ποὺ εὑρίσκονται ἔμπροσθέν του, καὶ θὰ περιβάλῃ τὸν ἑαυτόν του μὲ ἀμετρήτους συμφοράς, πολὺ περισσότερον θὰ τὸ πάθῃ αὐτὸ εἰς τὴν περίπτωσιν τῶν πνευματικῶν αὐτὸς ποὺ δὲν γνωρίζει νὰ διακρίνῃ τὴν κανονικὴν σειρὰν τῶν καιρῶν. Ὁ Χριστὸς εἶπεν ὅτι «θὰ δοκιμάσετε μέσα εἰς τὸν κόσμον θλῖψιν»[4]. Ἐπίσης ὁ μακάριος Παῦλος εἶπεν· «Ὅλοι ὅσοι θέλουν νὰ ζοῦν μὲ εὐσέβειαν ἐν ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ θὰ καταδιωχθοῦν»[5]. Καὶ δὲν ἐννοεῖ μόνον τὰς διώξεις ἐκ μέρους τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰς ἐπιβουλὰς ἐκ μέρους τῶν δαιμόνων. Ὁ Ἰὼβ πάλιν εἶπεν ὅτι «Ἡ ζωὴ τοῦ ἀνθρώπου ἐπάνω εἰς τὴν γῆν εἶναι μέσον δοκιμασίας»[6]. Διατί λοιπὸν δυσανασχετεῖς ὅταν δοκιμάζῃς θλίψεις κατὰ τὴν διάρκειαν τῶν ταλαιπω-

τῆς ταλαιπωρίας θλιβόμενος καιρῷ; Τότε γὰρ ἀλγεῖν ἐχρῆν, εἰ ὃν προεῖπεν ὁ Χριστὸς θλίψεως εἶναι χρόνον, τοῦτον ἐποιούμεθα τρυφῆς καὶ ἀναπαύσεως καιρόν· εἰ καθ' ὃν ἀγωνίζεσθαι καὶ πονεῖν προσετάχθημεν, κατὰ τοῦτον ἀνεπεπτώκειμεν· εἰ τὴν εὐρύχωρον ἐβαδίζομεν ὁδόν, αὐτοῦ τὴν τεθλιμμένην κελεύσαντος. Οὕτω γὰρ ἂν ἐξ ἀνάγκης ἡμῖν εἵπετο λοιπὸν τὸ ἐν τοῖς αἰῶσιν ἐκείνοις κολάζεσθαι.

Τί οὖν ἂν εἴποις, φησί, πρὸς τοὺς καὶ ἐνταῦθα μετ' εὐρυχωρίας βαδίζοντας, καὶ ἐκεῖ μέλλοντας ἀναπαύεσθαι; Καὶ τίς οὗτός ἐστιν; ἐγὼ γὰρ τῷ τοῦ Χριστοῦ πείθομαι λόγῳ μόνον, τῷ λέγοντι «ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν»· ὅτι δὲ οὐκ ἔνι διὰ τῆς στενῆς ἐν εὐρυχωρίᾳ βαδίσαι ποτέ, παντί που δῆλόν ἐστιν. Ὅπου γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων οὐδεὶς ἱδρώτων χωρὶς στέφανον ἀνεδήσατο, καὶ ταῦτα τῆς αὐτῆς φύσεως ἔχων κοινωνοῦντας τοὺς ἀνταγωνιστάς, ἔνθα πονηραὶ δυνάμεις ἡμῖν ἀνταίρουσι, πῶς ἔνι θλίψεως καὶ στενοχωρίας ἐκτὸς περιγενέσθαι τῆς μανίας ἐκείνων;

Ἀλλὰ μέχρι τίνος ἀπὸ λογισμῶν ταῦτα ἐξετάζομεν, ἐξὸν ἐπὶ τοὺς μακαρίους καὶ γενναίους ἀθλητὰς καταφυγεῖν τοὺς ἐπὶ τῶν προτέρων γεγενημένους χρόνων; Ἐξέτασον γὰρ ἅπαντας τοὺς τότε ὀνομαστούς, καὶ πάντας ἀπὸ τῶν θλίψεων ὄψει παρρησίαν ἐσχηκότας πρὸς τὸν Θεόν. Καὶ εἰ βούλει γε, ἐπὶ τὸν τοῦ πρωτοπλάστου πρῶτον ἔλθωμεν παῖδα, τὸ ἀρνίον τοῦ Χριστοῦ, τὸν Ἄβελ, τὸν ἠδικηκότα μὲν οὐδέν, τὰ δὲ

7. Ματθ. 7, 14.

ριῶν; Διότι τότε ἔπρεπε νὰ θλίβεσαι, ἐάν, τὸν χρόνον ποὺ εἶπεν ὁ Χριστὸς ὅτι εἶναι καιρὸς θλίψεως, τὸν μετεβάλλαμεν εἰς χρόνον ἀπολαύσεως καὶ ἀνέσεως· ἐάν, κατὰ τὸν χρόνον ποὺ ἐλάβαμεν ἐντολὴν νὰ ἀγωνιζώμεθα καὶ νὰ κοπιάζωμεν, κατ' αὐτὸν εἴχαμεν πέσει ἀπὸ δειλίαν καὶ ἀδιαφορίαν· ἐὰν ἐβαδίζαμεν τὴν εὐρύχωρον ὁδόν, ἐνῷ ὁ Χριστὸς ἔδωσεν ἐντολὴν νὰ ἀκολουθοῦμεν τὴν ὁδὸν ποὺ εἶναι γεμάτη ἀπὸ κόπους καὶ θλίψεις. Διότι ἐὰν αὐτὸ συνέβαινε κατ' ἀνάγκην τότε κατὰ τὴν μέλλουσαν ἐκείνην ζωὴν θὰ μᾶς ἐπεβάλλοντο αἱ τιμωρίαι.

Ἀλλά, θὰ μοῦ εἰπῇς, τί θὰ ἠμποροῦσες νὰ εἰπῇς δι' αὐτοὺς ποὺ καὶ εἰς τὴν ἐδῶ ζωὴν βαδίζουν τὴν εὐρύχωρον ὁδὸν καὶ πρόκειται καὶ τὴν μέλλουσαν ζωὴν ν' ἀπολαύσουν; Καὶ ποῖος εἶναι αὐτός, διότι ἐγὼ πιστεύω μόνον τὰ λόγια τοῦ Χριστοῦ, ὁ ὁποῖος λέγει «ὅτι ἡ ὁδὸς ποὺ ὁδηγεῖ εἰς τὴν αἰώνιον ζωὴν εἶναι στενὴ καὶ γεμάτη ἀπὸ θλίψεις»[7]· τὸ ὅτι δὲ δὲν εἶναι δυνατὸν ποτὲ νὰ βαδίζῃ κανεὶς διὰ τῆς στενῆς ὁδοῦ καὶ νὰ ἔχῃ εὐρυχωρίαν καὶ ἄνεσιν, εἶναι ὁλοφάνερον βέβαια εἰς τὸν καθένα. Διότι ἐὰν κατὰ τοὺς ἀγῶνας τῶν ἀθλητῶν τῆς ἐδῶ ζωῆς κανεὶς δὲν ἐφόρεσε χωρὶς ἱδρῶτας τὸν στέφανον τῆς νίκης, καὶ ὅλα αὐτὰ καθ' ἣν στιγμὴν οἱ ἀνταγωνισταί του εἶναι τῆς ἰδίας φύσεως μὲ αὐτόν, πῶς εἶναι δυνατὸν ν' ἀντιμετωπίσῃ κανείς, χωρὶς θλίψεις καὶ στενοχωρίας, τὴν μανίαν ἐκείνων, ἐκεῖ ὅπου αἱ πονηραὶ δυνάμεις ἐπαναστατοῦν καὶ πολεμοῦν ἐναντίον μας;

Ἀλλὰ μέχρι πότε θὰ ἐξετάζωμεν ὅλα αὐτὰ μὲ διαφόρους σκέψεις ποὺ κάνομεν, ἀφοῦ ἠμποροῦμεν νὰ προσφύγωμεν πρὸς τοὺς μακαρίους ἐκείνους καὶ γενναίους ἀθλητάς, οἱ ὁποῖοι διέπρεψαν κατὰ τὰ περασμένα χρόνια; Ἐξέτασε λοιπὸν ὅλους τοὺς τότε ὀνομαστούς, καὶ θὰ διαπιστώσῃς ὅτι ὅλοι τους ἀπέκτησαν τὴν πρὸς τὸν Θεὸν παρρησίαν μὲ τὰς θλίψεις ποὺ ἐδοκίμασαν. Καὶ ἐὰν βέβαια θέλῃς ἂς ἔλθωμεν κατ' ἀρχὴν εἰς τὸ παιδὶ τοῦ πρωτοπλάστου, τὸ ἀρνὶ τοῦ Χριστοῦ, δηλαδὴ τὸν Ἄβελ, ὁ ὁποῖος δὲν διέπραξε μὲν καμμίαν ἀδικίαν, ἀλλ' ὅμως ὑπέμεινε τὰ

τῶν δεινότατα εἰργασμένων ὑπομείναντα. Ἡμεῖς μὲν γὰρ ἁμαρτιῶν τίνομεν δίκας τοὺς πειρασμούς· ὁ δὲ δίκαιος ἐκεῖνος δι' οὐδὲν ἕτερον ἐκολάζετο, ἀλλ' ἢ ὅτι δίκαιος ἦν. Καὶ ἕως μὲν οὐδὲν μέγα ἐπεδείκνυτο, ἐπεγίνωσκεν αὐτὸν ὁ ἀδελφός· ἐπειδὴ δὲ ἀπὸ τῆς θυσίας διέλαμψε, καὶ τὴν φύσιν αὐτὴν ἠγνόησεν ὑπὸ τοῦ φθόνου πηρωθείς. Πόθεν οὖν οἶδας εἰ καὶ νῦν ἡ αὐτὴ αἰτία τὸν διάβολον ἤγειρε, καὶ τοῦ βίου σου τὸ λαμπρὸν πρὸς τὴν μάχην αὐτὸν ταύτην ἐξεκαλέσατο; Εἰ δὲ γελᾷς ταῦτά μου τὰ ῥήματα, ἐπαινῶ μέν σε τῆς ταπεινοφροσύνης, οὐ μὴν τοῦ οὕτω διακεῖσθαι παύσομαι. Εἰ γὰρ στέαρ προσενεγκὼν οὕτως εὐδοκίμησεν ἐκεῖνος, ὁ μηδὲν τῶν ἔξωθεν, ἀλλ' ὅλον ἑαυτὸν ἀναθεὶς τῷ Θεῷ, πολλῷ μᾶλλον ἂν παρώξυνε καθ' ἑαυτοῦ τὸν ἐχθρόν. Ὁ δὲ Θεὸς συνεχώρησεν αὐτὸν ἐπελθεῖν· οὐδὲ γὰρ τότε τὸν φόνον γενέσθαι ἐκώλυσεν, ἀλλ' ἀφῆκεν εἰς τὰς τοῦ μιαιφόνου χεῖρας τὸν δίκαιον ἐμπεσεῖν, καὶ οὐκ ἐξήρπασε τὸν δι' αὐτὸν καὶ τὴν εἰς αὐτὸν ἀναιρούμενον τιμήν· οὐδὲ γὰρ ἐβούλετο ἐλαττωθῆναι τοὺς στεφάνους αὐτῷ· διὰ τοῦτο μέχρι τέλους ἀφῆκε δραμεῖν αὐτόν.

Καὶ ποία κόλασις ὁ θάνατος; φησίν. Εἴθε μὲν οὖν κἀγὼ ταύτην τὴν τιμωρίαν ὑπέμεινα νῦν. Ταῦτα λέγεις, ἀγαπητέ, νῦν, πρότερον δὲ πάντων τὸ πρᾶγμα ἐδόκει εἶναι χαλεπώτατον καὶ πάσης τιμωρίας ἐλεεινότερον. Διὸ καὶ ἐν τῷ νόμῳ Μωσέως οἱ τὰ μέγιστα ἠδικηκότες καὶ συγγνώμης μείζονα, ταύτην ὑπεῖχον τὴν κόλασιν. Καὶ παρὰ τοῖς ἔξωθεν νομοθέ-

φοβερώτερα κακὰ ἀπὸ ἐκεῖνα ποὺ ἐπιβάλλονται εἰς αὐτοὺς ποὺ διαπράττουν ἐγκλήματα φοβερά. Καὶ ἡμεῖς μὲν τιμωρούμεθα βέβαια διὰ τὰς ἁμαρτίας μας μὲ πειρασμούς, ὁ δίκαιος ὅμως Ἄβελ, δὲν ἐτιμωρεῖτο διὰ κανένα ἄλλο λόγον, παρὰ ἐπειδὴ ἦτο δίκαιος. Καὶ ὅσον χρόνον δὲν εἶχε νὰ παρουσιάσῃ τίποτε τὸ σπουδαῖον, τὸν ἀνεγνώριζεν ὁ Κάϊν ὡς ἀδελφόν του, ὅταν ὅμως ἀπέκτησεν ἐξ αἰτίας τῆς θυσίας αἴγλην καὶ λαμπρότητα, τότε, κατακαιόμενος ἀπὸ τὸν φθόνον πρὸς αὐτόν, δὲν ἔλαβεν ὑπ' ὄψιν οὔτε καὶ τὸ ὅτι ἦτο ἀδελφός του. Ποῖος γνωρίζει λοιπὸν ἐὰν καὶ εἰς τὴν περίπτωσίν σου δὲν παρεκίνησε τὸν διάβολον ἡ αὐτὴ αἰτία καὶ δὲν τὸν ὡδήγησεν ἡ λαμπρότης τοῦ βίου σου εἰς τὴν μάχην αὐτήν; Ἐὰν δὲ τὰ λόγια μου αὐτὰ σοῦ προκαλοῦν γέλωτα, ἐπαινῶ μὲ τὴν ταπεινοφροσύνην σου, ὅμως δὲν θὰ παύσω νὰ ἔχω αὐτὴν τὴν γνώμην. Διότι ἐὰν αὐτός, ποὺ προσέφερε κατὰ τὴν θυσίαν ζωϊκὸν λίπος, ηὐδοκίμησε τόσον πολύ, ἑπόμενον εἶναι νὰ παρεκίνησεν ἐναντίον του τὴν ἔχθραν τοῦ διαβόλου κατὰ πολὺ περισσότερον αὐτὸς ποὺ δὲν προσέφερεν εἰς τὸν Θεὸν τίποτε τὸ ἐξωτερικόν, ἀλλ' ἀφιέρωσεν εἰς αὐτὸν ὁλόκληρον τὸν ἑαυτόν του. Ὁ δὲ Θεὸς τοῦ ἐπέτρεψε νὰ βαδίσῃ ἐναντίον τοῦ ἀδελφοῦ του μὲ αὐτὰς τὰς διαθέσεις· διότι οὔτε τότε τὸν ἠμπόδισε νὰ κάνῃ τὸν φόνον, ἀλλ' ἄφησε τὸν δίκαιον νὰ πέσῃ εἰς τὰ χέρια τοῦ μιαροῦ φονιᾶ, καὶ δὲν ἐπενέβη διὰ νὰ σώσῃ αὐτὸν ποὺ ἐφονεύετο χάριν αὐτοῦ καὶ ἐξ αἰτίας τῆς τιμῆς του πρὸς αὐτόν· διότι δὲν ἤθελε νὰ ἐλαττωθοῦν οἱ στέφανοι αὐτοῦ καὶ διὰ τοῦτο τὸν ἄφησε νὰ προχωρήσῃ μέχρι τέλους.

Μά, θὰ μοῦ εἰπῇς, μήπως ὁ θάνατος εἶναι καμμία τόσον σπουδαία τιμωρία; Μακάρι καὶ ἐγὼ νὰ συνέβαινε νὰ ὑποστῶ αὐτὴν τὴν τιμωρίαν τώρα. Αὐτά, ἀγαπητέ μου, τὰ λέγεις τώρα, ἐνῷ προηγουμένως ἐθεωροῦσες τὸ πρᾶγμα αὐτὸ ὡς τὸ φοβερώτερον ἀπὸ ὅλα γενικῶς καὶ ὡς τὸ ἐλεεινότερον ἀπὸ κάθε ἄλλην τιμωρίαν. Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν καὶ εἰς τὸν νόμον τοῦ Μωϋσέως αὐτοὶ ποὺ διέπρατταν πάρα πολὺ μεγάλας ἀδικίας, ποὺ δὲν ἦτο

ταις ἔτι καὶ νῦν οὐδαμῶς ἑτέρως κολάζονται πάντες, ὅσοιπερ ἂν ἐπὶ τοῖς αἰσχίστοις ἁλῶσι κακοῖς· ἀλλ' ὅμως τὰ αὐτὰ τοῖς παρανόμοις ὁ δίκαιος ἔπασχε, μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτερα, ὅσῳ καὶ παρὰ ἀδελφικῆς δεξιᾶς ἐδέχετο τὴν πληγήν. Τί δὲ ὁ Νῶε; Καὶ γὰρ καὶ οὗτος δίκαιος καὶ τέλειος ἦν, καὶ πάντων διεφθαρμένων μόνος εὐηρέστησε τῷ Θεῷ, πάντων τῶν ἄλλων προσκεκρουκότων αὐτῷ. Μυρίας μὲν οὖν θλίψεις ὑπέμεινε πολλὰς καὶ κακάς. Οὐ γὰρ ἀπέθανεν οὗτος εὐθέως καθάπερ ἐκεῖνος, οὐδὲ ἔπαθε τοῦτο, ὃ κοῦφον εἶναί σοι φαίνεται, ἀλλὰ μακρᾶς ἠνείχετο ζωῆς, ἐν τοῖς τοσούτοις ἔτεσι τῶν ἀχθοφορούντων καὶ βαρυτάτῳ φορτίῳ πιεζομένων διαπαντὸς οὐδὲν ἄμεινον διακείμενος. Καὶ τοῦτο αὐτίκα μάλα ποιήσω σοι φανερόν, πρότερον ἐκεῖνο εἰπών. Ἐνιαυτὸν ὅλον οὗτος δεσμωτήριον ᾤκησε, δεσμωτήριον ξένον καὶ φοβερόν. Ἵνα γὰρ τὸ πλῆθος ἀφῶ τῶν θηρίων καὶ τῶν ἑρπετῶν, οἷς τοσοῦτον συνέζησε χρόνον εἰς τοιαύτην ἀπειλημμένος στενοχωρίαν, τί οἴει πάσχειν αὐτὸν ὑπὸ τοῦ πατάγου τῶν βροντῶν, ὑπὸ τοῦ ψόφου τῶν ὑετῶν; Ἄβυσσος ἡ μὲν κάτωθεν ἀνερρήγνυτο, ἡ δὲ ἄνωθεν κατεφέρετο· ὁ δὲ ἔνδον ἐκάθητο μόνος μετὰ τῶν υἱῶν. Εἰ γὰρ καὶ ὑπὲρ τοῦ τέλους εἶχε θαρρεῖν, ἀλλὰ τῇ τῶν γινομένων σφοδρότητι προαπετεθνήκει τῷ δέει. Ὅπου γὰρ ἡμεῖς οἰκίας ἔχοντες ἡδρασμένας ἐπὶ τῆς γῆς, καὶ πόλεις οἰκοῦντες, ὅμως ὅταν ἴδωμεν κατενεχθέντα σφοδρότερον ὀλίγον τοῦ συνήθους ὑετόν, καταπίπτομεν καὶ συστελλόμεθα, τί οὐκ ἂν ἐκεῖνος ἔπαθε

δυνατὸν νὰ συγχωρηθοῦν, κατεδικάζοντο εἰς θάνατον. Ἐπίσης καὶ ἐκ μέρους τῶν εἰδωλολατρῶν νομοθετῶν ἀκόμη καὶ σήμερα τιμωροῦνται μὲ θάνατον ὅλοι ὅσοι συλλαμβάνονται νὰ διαπράττουν τὰ πλέον φοβερώτερα ἐκ τῶν κακῶν. Παρ' ὅλα αὐτὰ ὅμως ὁ δίκαιος ἔπασχε τὰ ἴδια ποὺ παθαίνουν οἱ παράνομοι, μᾶλλον δὲ καὶ πολὺ φοβερώτερα, ἀφοῦ δέχετο τὸ κτύπημα ἀπὸ ἀδελφικὸν χέρι. Ἀλλὰ καὶ τοῦ Νῶε ποία ἦτο ἡ τύχη; Καθόσον καὶ αὐτὸς ἦτο δίκαιος καὶ τέλειος καὶ ὁ μόνος πού, ἐνῷ ὅλοι οἱ ἄλλοι διεφθάρησαν καὶ τὸν ἐδυσαρέστησαν, ἐφάνη ἀρεστὸς εἰς τὸν Θεόν. Ὑπέμεινεν ἀπείρους θλίψεις, καὶ πολλὰς καὶ βαρείας. Διότι αὐτὸς δὲν ἀπέθανεν ἀμέσως, ὅπως ἀκριβῶς ἐκεῖνος, οὔτε ἔπαθεν αὐτό, τὸ ὁποῖον φαίνεται εἰς ἐσένα μηδαμινόν, ἀλλ' ὑπέφερεν εἰς ὅλην τὴν μακρὰν ζωήν του, καὶ κατὰ τὴν διάρκειαν αὐτῆς τῆς τόσον μακρᾶς ζωῆς του ἔζησεν ὡς πρὸς τίποτε καλύτερα ἀπὸ ἐκείνους ποὺ σηκώνουν μεγάλα βάρη καὶ καταπιέζονται ἀπὸ τὸ πάρα πολὺ βαρὺ φορτίον. Καὶ αὐτὸ θὰ σοῦ τὸ ἀποδείξω ἀμέσως, ἀφοῦ προηγουμένως σοῦ εἰπῶ αὐτό. Ὁλόκληρον ἔτος αὐτὸς κατοίκησε μέσα εἰς φυλακήν, φυλακὴν πολὺ παράξενην καὶ φοβεράν. Διότι, διὰ νὰ ἀφήσω τὸ πλῆθος τῶν θηρίων καὶ τῶν ἑρπετῶν, μὲ τὰ ὁποῖα ἔζησε μαζὶ ἐπὶ τόσον πολὺν χρόνον ἀπολαμβάνοντας τόσον μεγάλην στενοχώριαν, ποῖον εἶναι ἐκεῖνο, νομίζεις, τὸ ὁποῖον δὲν ὑπέφερε κάτω ἀπὸ τὸν ἰσχυρὸν κρότον τῶν βροντῶν καὶ τὸν θόρυβον τῶν βροχῶν; Ἡ μὲν κάτω ἄβυσσος συνεκλονίζετο καὶ διερρήγνυτο, ἡ δὲ ἀπὸ τὸν οὐρανὸν ἐρχομένη ἔπιπτεν ἐπάνω του μὲ τρομερὰν ὁρμήν, αὐτὸς δὲ ἐκάθετο μέσα εἰς τὴν κιβωτὸν μαζὶ μὲ τὰ παιδιά του. Διότι ἂν καὶ ἐπίστευεν ὅτι θὰ τελειώσῃ τὸ κακόν, παρὰ ταῦτα εἶχεν ἀποθάνει σχεδὸν ἀπὸ τὸν φόβον του ἐξ αἰτίας τῆς σφοδρότητος τῶν ὅσων συνέβαιναν. Διότι ὅταν ἡμεῖς, ποὺ μολονότι ἔχομεν οἰκίας θεμελιωμένας ἐπάνω εἰς τὴν γῆν καὶ κατοικοῦμεν εἰς τὰς πόλεις, ὅμως καταλαμβανόμεθα ἀπὸ φόβον καὶ τρόμον ὅταν ἰδοῦμεν νὰ καταπίπτῃ βροχὴ ὀλίγον πιὸ πολὺ ὁρμητικὴ ἀπὸ τὴν συνηθισμένην, τί δὲν θὰ ἦτο δυνατὸν νὰ πάθῃ ἐ-

μόνος ἔνδον ὤν, καὶ τὴν φρικωδεστάτην ἐκείνην ἄβυσσον ἐννοῶν καὶ τῶν ἀποπνιγέντων τὰ διάφορα γένη; Ἱκανὸν μὲν οὖν ἐκπλῆξαι ψυχὴν καὶ τὸ πόλιν μίαν ἢ καὶ οἰκίαν μόνην ἐπικλυσθεῖσαν καλυφθῆναι τοῖς κύμασι, τὸ δὲ τὴν οἰκουμένην πᾶσαν τοῦτο παθεῖν, οὐδὲ ἔστιν εἰπεῖν, πῶς ἂν διέθηκε τὸν ἐν μέσῳ τῷ κλυδωνίῳ περιφερόμενον. Τὸν μὲν οὖν ἐνιαυτὸν ἐκεῖνον τοσούτῳ συνείχετο δέει. Ἐπειδὴ δέ ποτε ὁ κατακλυσμὸς ἐπαύσατο, ὁ μὲν φόβος ἐνεδίδου λοιπόν, ἐπετείνετο δὲ τὰ τῆς ἀθυμίας αὐτῷ, καὶ τῆς κιβωτοῦ προκύψαντα χειμὼν ἕτερος διεδέχετο τοῦ προτέρου οὐχ ἥττων, τὴν πολλὴν ἐρημίαν ὁρῶντα καὶ τὸν βίαιον θάνατον ἐκεῖνον καὶ τῶν ἀναιρεθέντων τὰ σώματα τῇ ἰλύϊ πεφυρμένα καὶ τῷ πηλῷ καὶ πάντας ὁμοῦ ἀνθρώπους τε καὶ ὄνους καὶ τὰ τούτων ἀτιμότερα γένη μιᾷ τῇ ἐλεεινοτάτῃ καταχωσθέντα ταφῇ. Εἰ γὰρ καὶ σφόδρα ἁμαρτωλοὶ οἱ ταῦτα πεπονθότες ἦσαν, ἀλλ' ὅμως ἄνθρωπος ἦν ὁ Νῶε, καὶ ἔπασχέ τι πρὸς τὸ ὁμόφυλον. Καὶ γὰρ ὁ Ἰεζεκιὴλ δίκαιος ὤν, καὶ τοὺς Ἰσραηλίτας μάλιστα πάντων πονηροτάτους εἰδώς, ὅτε κατασφαττομένους εἶδε καὶ καταπίπτοντας, τοῦτο τὸ κοινὸν ἔπαθε καὶ ἐδάκρυσε· καίτοι διὰ τοῦτο προλαβὼν ὁ Θεὸς ἅπασαν αὐτῷ τὴν ἀσέβειαν αὐτῶν ἐξεκάλυψε, καὶ αὐτοῖς ὀφθαλμοῖς αὐτὴν ἐποπτεῦσαι παρεσκεύασεν, ἵν' ὅταν αὐτοὺς κολαζομένους ἴδῃ, γενναίως ἐνέγκῃ τὴν συμφοράν. Ἀλλ' ὅμως καὶ τοσαύτης παραμυθίας προπαρασκευασθείσης αὐτῷ, καὶ οὕτως ἠλέγχετο καὶ πεσὼν ἐβόα λέγων· «Οἴμοι, Κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ;». Οὐχ ἅπαξ δὲ τοῦτο ἔπαθε

8. Ἰεζ. 9, 8.

κεῖνος ποὺ εὑρίσκετο μόνος μέσα εἰς τὴν κιβωτὸν καὶ ἔφερεν εἰς τὴν σκέψιν του τὴν φρικιαστικὴν ἐκείνην ἄβυσσον καὶ τὰ διάφορα γένη τῶν ζώων ποὺ ἐπνίγησαν; Καὶ βέβαια ἐὰν μία πόλις ἢ καὶ μία μόνον οἰκία καλυφθῇ ἀπὸ τὰ κύματα αὐτὸ καὶ μόνον εἶναι ἀρκετὸν νὰ δημιουργήσῃ εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου ἔκπληξιν, τὸ νὰ σκεπασθῇ ὅμως ὁλόκληρος ἡ οἰκουμένη ἀπὸ νερὰ δὲν εἶναι δυνατὸν νὰ περιγραφῇ ποῖα συναισθήματα ἠμπορεῖ νὰ δημιουργήσῃ εἰς ἐκεῖνον ποὺ ἐπιπλέει ἐν μέσῳ τοῦ κατακλυσμοῦ. Κατ' ἐκεῖνον λοιπὸν τὸν χρόνον ἦτο κατειλημμένος ἀπὸ τόσον μεγάλον φόβον. Ὅταν ὅμως κάποτε κατέπαυσεν ὁ κατακλυσμός, ὁ μὲν φόβος ἤρχισε νὰ ὑποχωρῇ πλέον, ηὔξανεν ὅμως ἡ λιποψυχία του, καὶ ὅταν πιὰ ἐβγῆκεν ἀπὸ τὴν κιβωτὸν ἄλλη φουρτούνα διεδέχετο τὴν προηγουμένην, ὄχι κατωτέρα αὐτῆς, καθὼς ἔβλεπε τὴν ἀπέραντον ἐρημίαν καὶ τὸν βίαιον ἐκεῖνον θάνατον καὶ τῶν φονευθέντων τὰ σώματα ἀνακατευμένα μὲ τὴν λάσπην καὶ τὸν πηλόν, καὶ ὅλους μαζί, ἀνθρώπους καὶ ὄνους, καθὼς καὶ τὰ πιὸ ἀσήμαντα ἀπὸ αὐτὰ ὑπόλοιπα γένη τῶν ζώων θαμμένα μέσα εἰς τὸν ἴδιον ἐλεεινότατον τάφον. Μολονότι βέβαια αὐτοὶ ποὺ ἔπαθαν ὅλα αὐτὰ ἦσαν πάρα πολὺ ἁμαρτωλοί, ὡσὰν ἄνθρωπος ποὺ ἦτο ὁ Νῶε ἔνοιωθε κάποιαν συμπάθειαν διὰ τοὺς συνανθρώπους του. Ὁμοίως καὶ ὁ Ἰεζεκιὴλ ποὺ ἦτο δίκαιος, ὅταν εἶδε τοὺς Ἰσραηλίτας νὰ κατασφάζωνται καὶ νὰ καταστρέφωνται, ἂν καὶ ἐγνώριζεν ὅτι ἦσαν οἱ πιὸ πονηροὶ ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ὅμως ἔπαθε τὸ ἴδιο αὐτὸ πρᾶγμα ποὺ ἔπαθεν ὁ Νῶε καὶ ἐδάκρυσε, παρὰ τὸ γεγονὸς ὅτι ὁ Θεός, προλαβαίνοντας αὐτὸ τὸ ἐνδεχόμενον, τοῦ ἐφανέρωσεν ὅλην τὴν ἀσέβειάν των καὶ τοῦ τὴν παρουσίασε νὰ τὴν ἰδῇ μὲ τὰ μάτια του, ὥστε, ὅταν τοὺς ἰδῇ νὰ τιμωροῦνται, νὰ ὑποφέρῃ μὲ γενναιότητα τὴν συμφοράν. Καὶ ὅμως ἂν καὶ ὁ Θεὸς τοῦ εἶχε προεξασφαλίσει τόσον μεγάλην παρηγορίαν, παρὰ ταῦτα καὶ πάλιν ἐλυπήθη καὶ ἀφοῦ ἔπεσε μὲ τὸ πρόσωπον πρὸς τὴν γῆν ἐφώναξε δυνατά· «Ἀλλοίμονον, Κύριε, καταστρέφεις τὸ ὑπόλοιπον τοῦ λαοῦ σου Ἰσραήλ;»[8]. Καὶ δὲν τὸ ἔπαθεν αὐτὸ μίαν μόνον

μόνον, ἀλλὰ καὶ πάλιν ὅτε τὸν Ἰεχονίαν εἶδεν ἀναιρούμενον. Ὥστε καὶ ὁ Νῶε εἰ καὶ μυρία αὐτοῖς συνήδει κακά, οὐκ ἦν οὔτε τούτου, οὔτε τοῦ Μωσέως ἀνδρειότερος. Καὶ γὰρ καὶ ἐκεῖνος τὰ αὐτὰ τῷ προφήτῃ πολλάκις ἔπαθε, καὶ ἁμαρτάνοντας ὁρῶν, ὅτε τιμωρεῖσθαι ἔδει, ἤλγει καὶ μᾶλλον ὠδυνᾶτο τῶν κολαζομένων αὐτῶν. Ἐπὶ δὲ τοῦ Νῶε καὶ ἡ συμφορὰ χαλεπωτέρα ἦν· μόνος γὰρ ἐκεῖνος τοιοῦτος ἐγένετο θάνατος. Τοσούτοις τοίνυν συνεχομένῳ κακοῖς τῇ μονώσει, τῇ πρὸς τὸ ὁμόφυλον συμπαθείᾳ, τῷ πλήθει τῶν ἀπολωλότων, τῷ τρόπῳ τῆς τελευτῆς, τῇ τῆς γῆς ἐρημίᾳ, καὶ πάντοθεν αὐτῷ τῆς ἀθυμίας αἰρομένης καὶ ἀκμαζούσης σφοδρῶς, ἐπιτίθεται εὐθέως καὶ ἡ τοῦ παιδὸς ὕβρις, πρᾶγμα ἀφόρητον, καὶ πολλῆς μὲν αἰσχύνης, πολλῆς δὲ γέμον ὀδύνης. Ὅσῳ γὰρ τῶν ὑπὸ τῶν ἐχθρῶν τὰ παρὰ τῶν φίλων ὀνείδη βαρύτερα, τοσούτῳ τούτων αὐτῶν τὰ παρὰ τῶν παίδων ἔτι μᾶλλον ἀφορητότερα. Ὅταν γὰρ ὃν ἐγέννησεν, ὃν ἔθρεψεν, ὃν ἐπαίδευσεν, ὑπὲρ οὗ πολλοὺς μόχθους καὶ πόνους καὶ φροντίδας ἠνέσχετο, τοῦτον ἁπάντων ὑβριστικώτερον αὐτῷ κεχρημένον ἴδῃ, οὐδὲ ἐνεγκεῖν τὸ πολὺ πένθος δυνήσεται τῆς ψυχῆς ὁ τοῦτο παθών. Ἡ γὰρ ὕβρις τοῖς ἐλευθέροις καὶ καθ' ἑαυτὴν μέν ἐστιν ἀφόρητος, ὅταν δὲ καὶ παρὰ τῶν παίδων γίνηται, κἂν εἰς ἔκστασιν ἀγάγοι τὸν πάσχοντα· οὕτω βαρυτάτη ἐστίν.

Σὺ δέ μοι μὴ μόνον ἐκεῖνο τὸ τόλμημα ἐννόει, ἀλλὰ καὶ ἀπὸ τούτου μάνθανε, πῶς αὐτῷ καὶ τὸν ἔμπροσθεν χρό-

---

9. Πρβλ. Ἰεζ. 8, 1 - 13.
10. Γέν. 9, 20 - 27.

φοράν, ἀλλὰ καὶ μίαν ἄλλην φορὰν ὅταν εἶδε τὸν Ἰεχονίαν· νὰ φονεύεται. Ἐπομένως καὶ ὁ Νῶε ἂν καὶ ἐγνώριζε πολὺ καλὰ τὰς ἀπείρους κακίας τῶν θυμάτων τοῦ κατακλυσμοῦ, δὲν ἦτο γενναιότερος οὔτε ἀπὸ τὸν Ἰεζεκιήλ, οὔτε ἀπὸ τὸν Μωϋσῆν. Καθόσον καὶ ἐκεῖνος ἔπαθε πολλὲς φορὲς τὰ ἴδια μὲ τὸν προφήτην καὶ βλέποντάς τους ν' ἁμαρτάνουν καὶ νὰ πρέπει νὰ τιμωρηθοῦν, ἐπονοῦσε καὶ ἔνοιωθε περισσοτέραν ὀδύνην ἀπὸ τοὺς ἰδίους τοὺς τιμωρουμένους. Εἰς τὴν περίπτωσιν ὅμως τοῦ Νῶε καὶ ἡ συμφορὰ ἦτο ἀκόμη πιὸ φοβερή, διότι ὁ θάνατος ἐκεῖνος ἦτο ὁ μοναδικὸς ποὺ ἔγινε κατ' αὐτὸν τὸν τρόπον. Μολονότι λοιπὸν περιεβάλλετο ἀπὸ τόσα πολλὰ κακά, ἀπὸ τὸ ὅτι ἦτο μόνος, ἀπὸ τὴν συμπάθειάν του πρὸς τοὺς συνανθρώπους του, ἀπὸ τὸ πλῆθος τῶν νεκρῶν, ἀπὸ τὸν τρόπον τοῦ θανάτου αὐτῶν, ἀπὸ τὴν ἐρημίαν τῆς γῆς καὶ ἡ λιποψυχία ἡπλώνετο καὶ τὸν κατεκυρίευεν ἐξ ὁλοκλήρου καὶ ηὔξανε συνεχῶς ὅλο καὶ περισσότερον, τοῦ προσετέθη καὶ ἡ προσβολὴ ἐκ μέρους τοῦ παιδιοῦ του, ποὺ ἦτο πρᾶξις ἀνυπόφορος διότι ἦτο γεμάτη ἀπὸ πολλὴν ἐντροπὴν καὶ πολὺν πόνον. Διότι ὅσον περισσότερον βαρύτεροι εἶναι οἱ πόνοι ἐκ μέρους τῶν φίλων ἀπὸ τοὺς πόνους ποὺ προξενοῦν οἱ ἐχθροί, τόσον περισσότερον ἀνυπόφοροι εἶναι ἀπὸ αὐτοὺς τοὺς πόνους οἱ πόνοι ποὺ προέρχονται ἐκ μέρους τῶν παιδιῶν[10]. Διότι ὅταν κάποιος ἰδῇ αὐτὸν ποὺ τὸν ἐγέννησε, ποὺ τὸν ἀνέθρεψε, ποὺ τὸν ἐπαίδευσε, ποὺ ὑπέμεινε χάριν αὐτοῦ πολλοὺς μόχθους καὶ πόνους καὶ φροντίδας νὰ συμπεριφέρεται ἀπέναντί του μὲ τὸν πλέον προσβλητικὸν τρόπον, δὲν εἶναι δυνατὸν αὐτὸς νὰ ὑποφέρῃ τὴν μεγάλην λύπην ποὺ κατέλαβε τὴν ψυχήν του. Πράγματι ἡ προσβολὴ εἰς τοὺς ἐλευθέρους ἀνθρώπους καὶ αὐτὴ μὲν καθ' ἑαυτὴν εἶναι ἀνυπόφορος, ὅταν ὅμως συμβαίνῃ αὐτὴ νὰ προέρχεται ἐκ μέρους τῶν παιδιῶν, τότε εἶναι εἰς θέσιν νὰ ὁδηγήσῃ αὐτὸν εἰς τὸν ὁποῖον γίνεται εἰς πλήρη μεταστροφὴν τοῦ ψυχικοῦ του κόσμου· τόσον πολὺ βαρεῖα εἶναι.

Σὺ ὅμως, σὲ παρακαλῶ, μὴ σκέπτεσαι μόνον ἐκείνην τὴν τολμηρὰν πρᾶξιν τοῦ υἱοῦ του, ἀλλὰ καὶ νὰ διδάσκεσαι

νον ἅπαντα ἐχρῆτο οὗτος ὁ ὑβριστής. Ὁ γὰρ ἐν χερσὶν ἔτι τὸν φόβον τῶν γεγενημένων ἔχων, καὶ ἄρτι τῆς εἱρκτῆς ἐκείνης ἀπαλλαγείς, καὶ τῆς οἰκουμένης τὰς συμφορὰς ἔτι θεωρῶν, καὶ μηδὲ οὕτω σωφρονισθείς, ἀλλ' ὑβρίσας εἰς ὃν ἥκιστα πάντων ἐχρῆν, καὶ μηδὲ τῷ θανάτῳ τῶν πολλῶν, μηδὲ τῇ ἐρημίᾳ, μηδὲ τῇ ὀργῇ τοῦ Θεοῦ, μηδὲ ἄλλῳ τινὶ τῶν τότε συμβεβηκότων βελτίων γενόμενος, τίς ἦν πρὸ τοῦ κατακλυσμοῦ, ὅτε καὶ πολλοὺς εἶχε τοὺς παρακαλοῦντας ἐπὶ τὴν κακίαν αὐτόν; Τότε γάρ, τότε χαλεπώτερον κλυδώνιον ὑπέμεινεν ὁ δίκαιος ἐκεῖνος τοῦ μετὰ ταῦτα ἐπὶ τοῦ κατακλυσμοῦ γενομένου καὶ διὰ τοῦτον, καὶ διὰ τοὺς ἄλλους ἅπαντας. Ἐπὶ μὲν γὰρ τοῦ κατακλυσμοῦ πλῆθος ὑδάτων αὐτὸν περιεῖχε μόνον, πρὸ δὲ τούτου κακίας ἀβύσσῳ πάντοθεν συνείχετο, καὶ τῶν κυμάτων αὐτῷ σφοδρότερον αἱ τῶν πονηρῶν ἀνδρῶν ἐπιβουλαὶ προσερρήγνυντο. Μόνος γὰρ εἰς τοσοῦτον πλῆθος ἀπολειφθεὶς ἀνδρῶν παρανόμων καὶ μιαρῶν, εἰ καὶ μηδὲν ἔπασχε δεινόν, ἀλλ' ὅμως πολὺν τὸν γέλωτα καὶ πολλὰ τὰ σκώμματα ἔφερεν, εἰ καὶ μὴ πρότερον, ἀλλ' ὅτε περὶ τῆς κιβωτοῦ καὶ τῶν μελλουσῶν αὐτοῖς διελέγετο συμφορῶν. Τοῦτο δὲ ὅσην ἔχει δύναμιν πρὸς τὸ ταράξαι ψυχήν, μαρτυρήσειεν ἂν ἡμῖν ὁ ἐκ κοιλίας ἁγιασθείς, ὁ διὰ τοῦτο καὶ τῆς προφητείας μέλλων ἀφίστασθαι. «Εἶπον γάρ», φησίν, «οὐ μὴ προφητεύσω». Χωρὶς δὲ τούτων αὐτὸ μόνον

ἀπὸ αὐτὴν τὴν πρᾶξιν του ποία ἦτο ἡ συμπεριφορὰ αὐτοῦ τοῦ ὑβριστοῦ υἱοῦ του ἀπέναντί του καὶ καθ' ὅλον τὸν προηγούμενον χρόνον. Διότι αὐτὸς ποὺ ἐκυριαρχοῦσεν ἀκόμη μέσα του ὁ φόβος ἀπὸ τὰ ὅσα συνέβησαν καὶ μόλις πρὸ ὀλίγου εἶχε βγῆ ἀπὸ τὴν φυλακὴν ἐκείνην τῆς κιβωτοῦ καὶ ἔβλεπεν ἀκόμη τὰς συμφορὰς τῆς οἰκουμένης καὶ δὲν ἐσωφρονίσθη οὔτε ἀπὸ ὅλα αὐτά, ἀλλὰ καὶ προσέβαλεν αὐτὸν τὸν ὁποῖον ἔπρεπε περισσότερον ἀπὸ ὅλους νὰ σέβεται, καὶ δὲν ἤλλαξεν ὥστε νὰ γίνῃ καλύτερος οὔτε μὲ τὸν θάνατον τῶν πολλῶν, οὔτε μὲ τὴν ἐρήμωσιν τῆς γῆς, οὔτε μὲ τὴν ὀργὴν τοῦ Θεοῦ, οὔτε καὶ μὲ κάποιο ἄλλο ἀπὸ τὰ ὅσα συνέβησαν, πῶς θὰ συμπεριφέρετο κατὰ τὸν πρὸ τοῦ κατακλυσμοῦ χρόνον, τότε ποὺ εἶχε πάρα πολλοὺς ἐκείνους ποὺ τὸν παρέσυραν εἰς τὴν κακίαν; Πράγματι τότε ἦτο πολὺ πιὸ φοβερὰ ἡ ταραχὴ ποὺ ἐδοκίμασεν ὁ δίκαιος ἐκεῖνος Νῶε, ἀπὸ τὴν ταραχὴν ποὺ ἔνοιωσεν ἐν συνεχείᾳ κατὰ τὴν ὥραν τοῦ κατακλυσμοῦ καὶ δι' αὐτὸν καὶ δι' ὅλους τοὺς ἄλλους. Διότι κατὰ τὴν διάρκειαν μὲν τοῦ κατακλυσμοῦ περιεβάλλετο μόνον ἀπὸ ἕνα μεγάλον ὄγκον ὑδάτων, ἐνῷ πρὸ τοῦ κατακλυσμοῦ ἦτο περικυκλωμένος ἀπὸ παντοῦ ἀπὸ τὴν ἄβυσσον τῆς κακίας καὶ αἱ ἐπιβουλαὶ τῶν κακῶν ἀνθρώπων προσέκρουαν ἐπάνω του μὲ πιὸ μεγαλυτέραν μανίαν καὶ ὁρμὴν ἀπὸ ὅ,τι τὰ κύματα τοῦ κατακλυσμοῦ. Διότι ἀπομείνας μόνος ἀνάμεσα εἰς τόσον πλῆθος ἀνθρώπων παρανόμων καὶ μιαρῶν, μολονότι βέβαια δὲν ἔπασχεν ἀπὸ κανένα κακόν, ἀλλ' ὅμως ὑπέφερεν ἀπὸ τὸν πολὺν γέλωτα καὶ τὰς πολλὰς εἰρωνείας αὐτῶν, ποὺ ἴσως αὐτὸ νὰ μὴ συνέβαινε προηγουμένως, ἀλλὰ ἀπὸ τότε ποὺ τοὺς ὡμίλησε περὶ τῆς κιβωτοῦ καὶ διὰ τὰς συμφορὰς ποὺ θὰ τοὺς εὕρισκαν μελλοντικῶς. Πόσον μεγάλη δὲ εἶναι ἡ δύναμις αὐτοῦ τοῦ γεγονότος, ὥστε νὰ εἶναι εἰς θέσιν νὰ ἀναστατώσῃ τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἠμπορεῖ νὰ μᾶς τὸ ἐπιβεβαιώσῃ ἐκεῖνος ποὺ ἡγιάσθη ἐνῷ ἀκόμη ἦτο μέσα εἰς τὴν κοιλίαν τῆς μητέρας του, ὁ ὁποῖος ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν ἐπρόκειτο νὰ ἐγκαταλείψῃ τὴν προφητείαν «Διότι», λέγει, «εἶπα ὅτι δὲν θὰ προφητεύσω». Ἐκτὸς δὲ

τὸ μηδένα ὁμόψυχον, μηδὲ ὁμότροπον ἔχειν, πόσην ἀηδίαν, πόσην αὐτῷ κατεσκεύαζε τὴν ἀθυμίαν; Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῷ συναλγεῖν αὐτοῖς μυρία ἔπασχε δεινά. Οὐ γὰρ δήπου τελευτῶντος μόνον ἐνορῶντες οὕτως ἀλγοῦσιν οἱ δίκαιοι, τοὺς πονηροὺς ἁμαρτάνοντας δὲ οὐκ ἔτι, ἀλλὰ πολλῷ μᾶλλον τούτῳ δάκνονται, ἢ ἐκείνῳ· καὶ τοῦτο δὲ ἀπὸ τῶν προφητῶν ἄν τις μάθοι καλῶς. Ὁ μὲν γὰρ ἐβόα πικρόν· «Οἴμοι, ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει». Ἕτερος δὲ ἔλεγε πρὸς τὸν Θεόν· «Ἱνατί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν;». Καὶ ὑπὲρ τῶν ἀδικουμένων δὲ σφόδρα κοπτόμενος, ἐθρήνει λέγων· «Ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης οὐκ ἔχοντας ἡγούμενον». Εἰ δὲ τότε ταῦτα ἐγίνετο, καὶ νόμων ὄντων, καὶ ἀρχόντων, καὶ δικαστηρίων, καὶ ἱερέων, καὶ προφητῶν, καὶ κολάσεων, ἐννόησον μεθ' ὅσης ὑπερβολῆς ἅπαντα ἐτολμᾶτο ἐπὶ τοῦ Νῶε, ὅτε τούτων οὐδὲν κατεῖχεν αὐτούς. Καὶ ἐπὶ μὲν τῶν προφητῶν οὐδὲ πολὺς ὁ τῆς ζωῆς χρόνος ἦν, ἀλλ' ἑβδομήκοντα ἔτη καὶ ὀγδοήκοντα· τότε δὲ καὶ εἰς ἑξακόσια ἔτη καὶ πλείονα ὁ τῶν ἀνθρώπων ἐτείνετο βίος. Ἵν' οὖν πάντα τὰ εἰρημένα παρῶ, πόσα πράγματα ἔχειν ἠναγκάζετο, οὕτω μακρὰν ὁδεύων ὁδόν, καὶ μηδὲ μικρὸν ἐν τοσούτῳ μήκει παρατραπῆναι σπουδάζων, πολλῶν ἐν τῷ μεταξὺ κωλυμάτων ὄντων; Καὶ τί λέγω πολλῶν, πάσης μὲν οὖν διόλου τοιαύτης οὔσης τῆς ὁδοῦ, ἀπὸ τῶν τερμάτων τῆς γῆς ἐπὶ τὰ τέρματα πάσης σκοπέλων καὶ ἀκανθῶν καὶ θηρίων καὶ αὐχμοῦ καὶ λοιμοῦ καὶ κρυμοῦ καὶ κακούργων πεπληρωμένης; Καὶ γὰρ

---

11. Ἀββακ. 1, 3.
12. Ἀββακ. 1, 14.

ἀπὸ ὅλα αὐτά, τὸ ὅτι δὲν εἶχε κανένα ποὺ νὰ ἐσυμφωνοῦσε μὲ αὐτὸν καὶ νὰ ἔζῃ κατὰ τὸν τρόπον ποὺ ἔζη αὐτός, αὐτὸ καὶ μόνον πόσην ἀηδίαν καὶ πόσην λιποψυχίαν τοῦ ἐπροξενοῦσε; Καὶ ὄχι αὐτὸ μόνον, ἀλλὰ καὶ τὸ ὅτι συνέπασχε μαζὶ μ' αὐτοὺς τοῦ ἐδημιουργοῦσεν ἄπειρα κακά. Διότι πράγματι οἱ δίκαιοι δὲν πονοῦν μόνον ὅταν βλέπουν τοὺς ἀνθρώπους νὰ πεθαίνουν κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ καὶ ὅταν ἀκόμη βλέπουν τοὺς πονηροὺς ν' ἁμαρτάνουν, καὶ ὑποφέρουν πολὺ περισσότερον εἰς τὴν περίπτωσιν αὐτήν, παρὰ εἰς τὴν προηγουμένην, πρᾶγμα ποὺ καὶ αὐτὸ ἠμπορεῖ κανεὶς νὰ τὸ πληροφορηθῇ ἀπὸ τοὺς προφήτας. Διότι ὁ μὲν ἕνας ἐφώναζε δυνατὰ καὶ μὲ πικρίαν· «Ἀλλοίμονον, ψυχή μου, ἐχάθη ἡ εὐλάβεια ἀπὸ τὴν γῆν καὶ δὲν ὑπάρχει ἄνθρωπος ἐνάρετος». Ἄλλος πάλιν ἔλεγε πρὸς τὸν Θεόν· «Διατί μοῦ ἐπαρουσίασες νὰ βλέπω κόπους καὶ πόνους;»[11]. Ἐπίσης καταληφθεὶς ἀπὸ πάρα πολὺ μεγάλην θλῖψιν ἐξ αἰτίας τῶν ἀδικουμένων, ἔλεγε μὲ θρήνους· «Θὰ κάνῃς τοὺς ἀνθρώπους ὡσὰν τὰ ψάρια τῆς θαλάσσης χωρὶς νὰ ἔχουν ἀρχηγόν»[12]. Ἐὰν δὲ αὐτὰ συνέβαιναν τότε, ποὺ καὶ νόμοι ὑπῆρχαν καὶ ἄρχοντες καὶ δικαστήρια καὶ ἱερεῖς καὶ προφῆται καὶ τιμωρίαι ἐπεβάλλοντο, σκέψου μὲ πόσην ὑπερβολὴν ὅλα αὐτὰ συνέβαιναν εἰς τὸν Νῶε, ἀφοῦ δὲν ὑπῆρχε τίποτε ποὺ νὰ τοὺς ἐσυγκρατοῦσε. Καὶ κατὰ τὴν ἐποχὴν μὲν τῶν προφητῶν δὲν ἦτο μεγάλη ἡ διάρκεια τῆς ζωῆς τοῦ ἀνθρώπου, ἀλλὰ ἑβδομήντα μὲ ὀγδόντα χρόνια, ἐνῷ τότε ἔφθανεν ἡ ζωὴ τῶν ἀνθρώπων μέχρι ἑξακόσια ἢ καὶ περισσότερα χρόνια. Ὥστε λοιπόν, παραβλέποντας ὅλα ὅσα εἴπαμεν, πόσας καταστάσεις ἦτο ὑποχρεωμένος νὰ ὑπομένῃ βαδίζοντας μίαν τόσον μακρὰν ὁδὸν καὶ φροντίζοντας, παρ' ὅλον αὐτὸ τὸ μῆκος τῆς ὁδοῦ, νὰ μὴ παρεκτραπῇ οὐδὲ κατ' ἐλάχιστον, παρὰ τὸ γεγονὸς ὅτι ὑπῆρχαν κατὰ μῆκος τῆς ὁδοῦ αὐτῆς πολλὰ ἐμπόδια; Καὶ διατί λέγω πολλὰ ἐμπόδια, ἀφοῦ ὅλη ἐξ ὁλοκλήρου ἡ ὁδός, ἀπὸ τὸ ἕνα ἄκρον τῆς γῆς μέχρι τὸ ἄλλον, ἦτο γεμάτη ἀπὸ σκοπέλους καὶ ἀκάνθας καὶ θηρία καὶ ξηρασίαν καὶ ἀσθενείας καὶ παγετοὺς καὶ κακούργους; Διότι πράγματι εἶναι

εὐκολώτερον τετριμμένην ἀτραπὸν ἐν τῷ βαθυτάτῳ τῆς νυκτὸς ὁδεύειν διαπαντός, ἢ τὴν τῆς ἀρετῆς ὁδὸν κατ' ἐκείνους τοὺς καιρούς· τοσοῦτοι οἱ τὰ διαβήματα αὐτοῦ βιαζόμενοι παρατρέπειν ἦσαν. Ὅταν γὰρ ἅπασιν ἅπερ ἂν ἐθέλωσι πράττειν ἐξῇ, εἷς δὲ μόνος ὁ τὴν ἐναντίαν αὐτοῖς βαδίζων ᾖ, πῶς δυνήσεται πρὸς τὸ τέλος ἐλθεῖν πάντων ὠθούντων ὀπίσω καὶ ἀνακρουόντων αὐτόν; Ὅσην γὰρ ἔχει δυσκολίαν τὸ μετὰ πολλῶν ὄντας κατορθοῦν, δηλοῦσιν οἱ τὰς ἐρημίας κατειληφότες νῦν ὅτε τῇ τοῦ Θεοῦ χάριτι τὴν εὐζωΐαν πανταχοῦ διεσπαρμένην ἔστιν ἰδεῖν, ὅτε καὶ ὁμόνοιαν καὶ φιλοστοργίαν πρὸς ἀλλήλους οὐ μικράν. Ἀλλὰ τότε τούτων οὐδὲν ἦν, ἀλλὰ καὶ θηρίων ἀγριώτερον πάντες διέκειντο πρὸς αὐτόν.

Τί οὖν τούτου γένοιτ' ἂν ὀδυνηρότερον τοῦ βίου; τί ταύτης μοχθηρότερον τῆς ζωῆς; Ἐγὼ μὲν οὖν τῶν ἀχθοφορούντων διαπαντὸς καὶ μηδέποτε ἀναπνεόντων ἐπηγγειλάμην δείξειν αὐτὸν οὐδὲν ἄμεινον διακείμενον, ὁ δὲ λόγος πολλῷ πλέον ἐποίησεν, οὐ μόνον οὐδὲν ἄμεινον, ἀλλὰ καὶ πολλῷ φορτικώτερον ἐκείνων ἔχοντα ἀποφήνας ἡμῖν. Δοκεῖ μὲν οὖν πολλοῖς ὁ Ἀβραὰμ ἐν ἀθυμίᾳ τὸν ἅπαντα διατετελεκέναι χρόνον, ὅθεν καὶ τοὺς εὐημεροῦντας καὶ πανταχόθεν κομῶντας αὐτῷ παραβάλλειν εἰώθασι. Φέρε οὖν ἐξετάσωμεν τὰ συμβεβηκότα αὐτῷ.

Ἐμοὶ γὰρ οὗτος πολλῷ καὶ τοῦ Νῶε καὶ τοῦ Ἄβελ· μᾶλλον δὲ οὐδὲν ἐρῶ, ἕως ἂν ἡ τῶν πραγμάτων ἐξέτασις

εὐκολώτερον νὰ βαδίζῃ κανεὶς διαρκῶς ἕνα ἐρημωμένον μονοπάτι καὶ κατὰ τὴν διάρκειαν τοῦ μεσονυκτίου, παρὰ τὸν δρόμον τῆς ἀρετῆς κατὰ τοὺς χρόνους ἐκείνους. Τόσοι πολλοὶ ἦσαν ἐκεῖνοι ποὺ μετεχειρίζοντο κάθε μέσον διὰ νὰ τὸν κάνουν νὰ παραστρατήσῃ. Διότι ὅταν ἐπιτραπῇ εἰς ὅλους νὰ κάνῃ ὁ καθένας ὅ,τι θέλει καὶ εἶναι ἕνας καὶ μόνος αὐτὸς ποὺ βαδίζει τὸν ἀντίθετον δρόμον, πῶς θὰ ἠμπορέσῃ νὰ φθάσῃ εἰς τὸ τέρμα τοῦ δρόμου, ὅταν ὅλοι τὸν σπρώχνουν πίσω καὶ τὸν ἀναχαιτίζουν; Τὸ πόσην δὲ δυσκολίαν παρουσιάζει τὸ νὰ ζῇ κανεὶς ἀνάμεσα εἰς τοὺς πολλοὺς καὶ νὰ ἀσκῇ τὴν ἀρετήν, τὸ φανερώνουν αὐτοὶ ποὺ καταφεύγουν σήμερα εἰς τὰς ἐρημίας, ὅπου μὲ τὴν χάριν τοῦ Θεοῦ εἶναι δυνατὸν παντοῦ νὰ ἰδῇ κανεὶς διεσπαρμένην μίαν καλυτέραν ζωήν, ὅπου ἠμπορεῖ κανεὶς νὰ συναντήσῃ μεταξὺ τῶν ἐκεῖ ζώντων ὁμόνοιαν καὶ φιλοστοργίαν καὶ μάλιστα ὄχι μικράν. Ἀλλ' ὅμως τότε εἰς τὴν περίπτωσιν τοῦ Νῶε δὲν ὑπῆρχε τίποτε ἀπ' ὅλα αὐτά, ἀντιθέτως δὲ τὸν συμπεριεφέροντο κατὰ τρόπον ἀγριώτερον ἀπὸ τὰ θηρία.

Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ ὀδυνηρὸν ἀπὸ μίαν παρομοίαν ζωήν; τί θὰ ἦτο πιὸ κοπιαστικὸν ἀπὸ αὐτὴν τὴν ζωήν; Καὶ ἐγὼ βέβαια ὑπεσχέθην ν' ἀποδείξω ὅτι ἡ ζωὴ τοῦ Νῶε δὲν ἦτο ὡς πρὸς τίποτε καλυτέρα ἀπὸ τὴν ζωὴν ἐκείνων ποὺ σηκώνουν βάρη συνεχῶς καὶ χωρὶς νὰ παίρνουν ποτὲ ἀναπνοήν, ἡ συζήτησις ὅμως ἐπροχώρησε κατὰ πολὺ περισσότερον καὶ ἀπέδειξεν ὅτι ὄχι μόνον δὲν ἦτο ὡς πρὸς τίποτε καλυτέρα τῆς ζωῆς τῶν ἀχθοφόρων, ἀλλ' ἀντιθέτως ἦτο πολὺ πιὸ χειροτέρα. Πολλοὶ νομίζουν βέβαια ὅτι ὁ Ἀβραὰμ ἐπέρασεν ὅλην τὴν ζωήν του μὲ ψυχικὴν γαλήνην καὶ ἐξ αἰτίας αὐτοῦ συνηθίζουν νὰ παραβάλλουν μὲ αὐτὸν ὅλους ἐκείνους ποὺ εὐημεροῦν καὶ εἶναι ἐπιτυχημένοι εἰς τὴν ζωὴν ἀπὸ κάθε πλευράν. Ἐμπρὸς λοιπὸν ἂς ἐξετάσωμεν τὰ ὅσα συνέβησαν εἰς αὐτόν.

Κατὰ τὴν γνώμην μου ὁ Ἀβραὰμ ὑπέφερε πολὺ περισσότερον ἀπὸ τὸν Νῶε καὶ τὸν Ἄβελ· μᾶλλον δὲ δὲν θὰ εἰπῶ τίποτε, μέχρις ὅτου αὐτὴ ἡ ἰδία ἡ ἐξέτασις τῶν πρα-

θῆται τὴν ψῆφον ἡμῖν. Τὰ μὲν οὖν ἐν Περσίδι, καὶ εἴ τι μέχρι τῶν ἑβδομήκοντα ἐτῶν αὐτῷ συνέβη λυπηρόν, οὐδεὶς δύναιτ' ἂν εἰδέναι σαφῶς. Οὐδὲ γὰρ ὁ μακάριος Μωϋσῆς ἐκείνου τοῦ χρόνου τὴν ἱστορίαν ἡμῖν ἔγραψεν ἀλλὰ πᾶσαν τὴν ἡλικίαν ταύτην ἀφείς, ἀπὸ τῶν μετὰ ταῦτα πεποίηται τοῦ διηγήματος τὴν ἀρχήν. Ὅτι δὲ καὶ αὐτὸν τὰ αὐτὰ πάσχειν τῷ Νῶε εἰκὸς ἦν, μεταξὺ τοσούτων ἀσεβῶν καὶ βαρβάρων μόνον βουλόμενον εὐσεβεῖν, τοῦτο οὐκ ἔτι τοῖς ἄλλοις ὁμοίως ἄδηλόν ἐστιν, ἀλλὰ καὶ οἱ σφόδρα ἀνόητοι στοχάσαιντο ῥᾳδίως αὐτό. Πλὴν ἀλλὰ καὶ ταῦτα παρείσθω νῦν· ἀπὸ δὲ τῆς ἀποδημίας αὐτοῦ ποιησώμεθα τοῦ λόγου τὴν ἀρχήν, πρότερον ἐκεῖνο ἐξετάσαντες, πόσον ἡ τῶν Χαλδαίων γῆ τῆς Παλαιστίνης ἀφέστηκεν, ἢ ποία τις ἦν ἡ τῶν ὁδῶν κατασκευή, πῶς τοῖς ἀνθρώποις τὰ τῆς ἐπιμιξίας τῆς πρὸς ἀλλήλους διέκειτο, τίς ὁ τῆς πολιτείας τρόπος ἦν. Μὴ γὰρ ἐπειδὴ εὐκόλως ὑπήκουσεν ὁ δίκαιος ἐκεῖνος, καὶ τὸ πρᾶγμα εὔκολον εἶναι δοκείτω νῦν, μηδ' ὅτι συντόμως καὶ ἐν βραχεῖ τὸ γεγονὸς διηγήσατο ὁ Μωσῆς, καὶ τὸ ἔργον τὴν τῶν ῥημάτων βραχύτητα μιμεῖσθαι νόμιζε· εἰπεῖν μὲν γὰρ ταῦτα καὶ διηγήσασθαι ῥᾴδιον, πρᾶξαι δὲ οὐκέτι ὁμοίως εὔπορον, ἀλλὰ καὶ σφόδρα χαλεπόν.

Τὸ μὲν οὖν τῆς ὁδοῦ μῆκος καὶ ὅσον τὸ μέσον ἐστὶ τούτων τῶν χωρίων μετὰ ἀκριβείας ἂν εἴποιεν ὅσοι πρὸς ἡμᾶς ἐκεῖθεν διέβησαν, εἰ δή τινές εἰσιν· ἡμεῖς δὲ ἐκείνων μὲν οὐδενί, τῶν δὲ εἰς τὴν ἐξωτέραν χώραν ἀφικομένων συγγενόμενοί τινι, καὶ τὸν χρόνον αὐτὸν ἐρωτήσαντες ὅσον ὁδοιπορεῖν ἠναγκάσθη, ἠκούσαμεν ὅτι τριάκοντα πέντε ἡ-

γμάτων μᾶς τὸ ἀποδείξῃ αὐτὸ συμφωνοῦσα μὲ ἡμᾶς. Τὰς δοκιμασίας του λοιπὸν εἰς τὴν χώραν τῆς Περσίας καὶ ὁ,τιδήποτε λυπηρὸν τοῦ συνέβη μέχρι τὴν ἡλικίαν τῶν ἑβδομήντα ἐτῶν, δὲν ἠμπορεῖ κανεὶς νὰ τὸ γνωρίσῃ ἀκριβῶς. Διότι οὔτε ὁ μακάριος Μωϋσῆς μᾶς ἔγραψε τὴν ἱστορίαν ἐκείνης τῆς ἐποχῆς, ἀλλ' ἀποσιωπήσας ὅλην τὴν διάρκειαν αὐτῆς τῆς ζωῆς του, ἀρχίζει τὴν διήγησιν περὶ αὐτοῦ ἀπὸ τὰ ὅσα τοῦ συνέβησαν ἐν συνεχείᾳ. Καὶ ὁ Ἀβραὰμ λοιπὸν φυσικὸν ἦτο νὰ πάθῃ τὰ ἴδια ποὺ ἔπαθεν ὁ Νῶε, ἀφοῦ μεταξὺ τόσων πολλῶν ἀσεβῶν καὶ βαρβάρων ἦτο ὁ μοναδικὸς εὐσεβής, καὶ αὐτὸ δὲν εἶναι ἄγνωστον πλέον εἰς τοὺς ἄλλους, ἀλλὰ καὶ οἱ πλέον ἀνόητοι θὰ ἠμποροῦσαν εὔκολα νὰ τὸ ἀντιληφθοῦν. Πλὴν ὅμως καὶ αὐτὰ ἂς τὰ ἀφήσωμεν τώρα κατὰ μέρος καὶ ἂς ἀρχίσωμεν τὴν διήγησιν ἀπὸ τὴν ἀναχώρησίν του ἐκ τῆς πατρίδος του, ἐξετάζοντες κατ' ἀρχὴν ἐκεῖνο, πόσον δηλαδὴ ἀπέχει ἡ χώρα τῶν Χαλδαίων ἀπὸ τὴν Παλαιστίνην, ποία ἦτο ἐπίσης ἡ κατάστασις τῶν δρόμων ἐκείνων, πῶς ἐγίνοντο αἱ συναλλαγαὶ μεταξὺ τῶν ἀνθρώπων, καὶ ποῖος ἦτο ὁ τρόπος τῆς ζωῆς των. Δὲν πρέπει λοιπόν, ἐπειδὴ εὔκολα ὑπήκουσεν εἰς τὴν προσταγὴν τοῦ Θεοῦ ὁ δίκαιος ἐκεῖνος, νὰ μᾶς φαίνεται καὶ τὸ γεγονὸς αὐτὸ εὔκολον, οὔτε δέ, ἐπειδὴ ὁ Μωϋσῆς ἐδιηγήθη μὲ συντομίαν καὶ μὲ πολὺ ὀλίγα λόγια τὸ γεγονός, νὰ νομίσῃς ὅτι καὶ τὰ ὅσα συνέβησαν ἦσαν ἀνάλογα μὲ τὴν συντομίαν τῶν λόγων του. Διότι εἶναι εὔκολον μὲν νὰ τὰ περιγράψῃ καὶ νὰ τὰ διηγηθῇ, δὲν εἶναι ὅμως ἐξ ἴσου εὔκολον καὶ νὰ τὰ πράξῃ κανείς, ἀλλ' ἀντιθέτως εἶναι πάρα πολὺ δύσκολον.

Τὸ μὲν λοιπὸν μῆκος τῆς ὁδοῦ καὶ πόση εἶναι ἡ ἀπόστασις μεταξὺ αὐτῶν τῶν χωρῶν θὰ ἠμποροῦσαν μὲ ἀκρίβειαν νὰ μᾶς τὰ εἰποῦν ὅσοι ἐπέρασαν ἀπὸ ἐκεῖ καὶ ἦλθαν πρὸς ἡμᾶς, ἐὰν φυσικὰ ὑπάρχουν μερικοὶ τέτοιοι· ἐγὼ ὅμως δὲν ἦλθα εἰς ἐπαφὴν μὲ κανένα ἀπὸ αὐτούς, ἀλλ' ἐπεκοινώνησα μὲ κάποιον ἀπὸ ἐκείνους ποὺ ἦλθαν ἀπὸ τὰ γύρω μέρη, ὁ ὁποῖος, ἐρωτηθεὶς ἐπὶ πόσον χρόνον ἠναγκάσθη νὰ βαδίζῃ, μοῦ εἶπεν ὅτι ἔκανε τριάντα πέντε ἡμέρας.

μερῶν ἀριθμόν· καὶ Βαβυλῶνα μὲν οὐκ εἰδέναι ἔφη, τῶν δὲ ἐκεῖ γενομένων ἀκηκοέναι, ὅτι ἑτέρα τοσαύτη πάλιν ἐκεῖθέν ἐστιν ὁδός. Καὶ τὸ μὲν διάστημα τοσοῦτον καὶ τότε ἦν, καὶ νῦν ἐστιν· ἡ δὲ κατασκευὴ τῶν ὁδῶν οὐκ ἔθ' ὁμοίως ὡς καὶ νῦν καὶ τότε διάκειται. Νῦν μὲν γὰρ καὶ σταθμοῖς διείληπται συνεχέσι καὶ πόλεσι καὶ ἀγροῖς, καὶ ὁδοιπόροις δὲ βαδίζων ἂν τις ἐντύχοι πολλοῖς, ὅπερ καὶ σταθμοῦ καὶ πόλεως καὶ ἀγροῦ οὐχ ἧττον εἰς ἀσφαλείας λόγον ἐστί. Πρὸς δὲ τούτοις καὶ ἀπὸ τῆς χώρας οἱ τῶν πόλεων ἄρχοντες ἄνδρας καὶ ῥώμῃ σώματος τῶν ἄλλων διαφέροντας καὶ ἀκοντίῳ καὶ σφενδόνῃ τοσοῦτον δυναμένους ἀρκεῖν, ὅσον τοῖς βέλεσι μὲν οἱ τοξόται, οἱ δὲ ὁπλῖται τοῖς δόρασι, τούτους συντάξαντες, καὶ ἄρχοντας αὐτοῖς ἐπιστήσαντες, εἰς οὐδὲν ἕτερον ἀπησχόλησαν, ἀλλὰ μόνον τὴν τῶν ὁδῶν ἐπέτρεψαν φυλακήν. Μετὰ δὲ τούτων καὶ ἑτέραν πάλιν τούτων ἀκριβεστέραν ἀσφάλειαν ἐπενόησαν. Οἰκήματα γὰρ κατὰ χιλίων βημάτων διάστημα δειμάμενοι παρὰ τὴν ὁδόν, νυκτερινοὺς αὐτοῖς ἐγκατέστησαν φύλακας, τὴν ἐκείνων ἀγρυπνίαν καὶ τὴν σχολὴν μέγιστον κώλυμα τοῖς τῶν κακούργων ἐφόδοις ἐπιτειχίσαντες. Τότε δὲ οὐδὲν τούτων ἦν, οὐκ ἀγροὶ συνεχεῖς, οὐ πόλεις, οὐ σταθμοί, οὐ καταγώγιον, οὐ τὸ συνοδοιπόρον ταχέως ἰδεῖν, οὐκ ἄλλο τι τούτων οὐδέν· τὴν γὰρ τῆς ἀτραποῦ τραχύτητα καὶ τὴν τῶν ἀέρων ἀνωμαλίαν παρίημι νῦν, καίτοι γε ἱκανά, ἐκείνων μὴ προσόντων, λυπῆσαι τοὺς ὁδοιποροῦντας ἱκανῶς. Καὶ μαρτυρήσαιεν ἄν μοι οἱ ζεύγεσι καὶ ὑποζυγίοις τολμῶντες ὁδοῦ, εἰ μὴ πρότερον αὐτὴν στορέ-

Καὶ τὴν μὲν Βαβυλῶνα εἶπε δὲν τὴν γνωρίζει, ἤκουσεν ὅμως ἀπὸ αὐτοὺς ποὺ κατάγονται ἀπὸ ἐκεῖ, ὅτι εἶναι ἄλλη τόση ἀπόστασις μέχρις ἐκεῖ. Καὶ ἡ μὲν ἀπόστασις ἦτο τόση καὶ τότε, ὅση εἶναι καὶ σήμερα, ἡ κατάστασις ὅμως τῶν δρόμων τότε δὲν ἦτο ὅπως ἀκριβῶς εἶναι καὶ ἡ σημερινή. Διότι σήμερα ὑπάρχουν κατὰ μῆκος τῆς ὁδοῦ καὶ σταθμοὶ συνεχεῖς καὶ πόλεις καὶ χωράφια καλλιεργούμενα, καὶ εἶναι δυνατὸν βαδίζων κανεὶς νὰ συναντήσῃ πολλοὺς ὁδοιπόρους, πρᾶγμα ποὺ ἀποτελεῖ διὰ τὸν ταξιδεύοντα ὄχι μικροτέραν ἀσφάλειαν ἀπὸ τοὺς σταθμούς, τὰς πόλεις καὶ τὰ χωράφια. Ἐπὶ πλέον δὲ καὶ οἱ ἄρχοντες τῶν πόλεων τῆς κάθε μιᾶς χώρας ἐγκατέστησαν ἄνδρας ποὺ διακρίνονται καὶ διὰ τὴν σωματικήν των δύναμιν ἔναντι τῶν ἄλλων, καὶ διὰ τὴν ἱκανότητά των εἰς τὸ ἀκόντιον καὶ τὴν σφενδόνην τόσον, ὅσον οἱ τοξόται εἰς τὰ βέλη καὶ οἱ ὁπλῖται εἰς τὰ ἀκόντια. Ὅλους αὐτοὺς τοὺς διωργάνωσαν κατὰ τρόπον εἰδικόν, ὥρισαν ἀρχηγούς των καὶ δὲν τοὺς ἀπησχόλησαν εἰς τίποτε ἄλλο, παρὰ μόνον νὰ φρουροῦν τὰς ὁδούς. Μαζὶ δὲ μ' αὐτὰ τὰ μέτρα ἀσφαλείας ἐφήρμοσαν καὶ ἄλλα ἐπὶ πλέον μέτρα πρὸς μεγαλυτέραν ἀσφάλειαν. Ἔκτισαν δηλαδὴ κατὰ διαστήματα χιλίων βημάτων οἰκήματα πλησίον τῆς ὁδοῦ, ἐτοποθέτησαν νυκτερινοὺς φύλακας καὶ ἔτσι κατέστησαν τὴν ἐπαγρύπνησιν καὶ τὴν φροντίδα ἐκείνων ἀκατανίκητον ἐμπόδιον εἰς τὰς ἐπιθέσεις τῶν κακούργων. Ἀλλὰ τότε δὲν ὑπῆρχε τίποτε ἀπὸ ὅλα αὐτά, οὔτε συνεχόμενοι ἀγροί, οὔτε πόλεις, οὔτε σταθμοί, οὔτε καταφύγια, οὔτε συναντοῦσε κανεὶς κατὰ μικρὰ διαστήματα ταξιδιώτας, οὔτε δὲ καὶ τίποτε ἄλλο παρόμοιον· διότι ἀφήνω τώρα κατὰ μέρος τὸ δυσκολοδιάβατον τῶν μονοπατιῶν καὶ τὰς δυσκολίας ἐκ τῶν μεταβολῶν τοῦ καιροῦ, μολονότι βέβαια αὐτὰ καὶ ἂν ἀκόμη τὰ ἄλλα κακὰ δὲν ὑπῆρχαν ἦσαν ἱκανὰ νὰ προξενήσουν στενοχωρίας εἰς τοὺς ταξιδιώτας. Καὶ ἠμποροῦν νὰ ἐπιβεβαιώσουν τὰ λεγόμενά μου αὐτοὶ ποὺ χρησιμοποιοῦν ἁμάξια καὶ ὑποζύγια καὶ οἱ ὁποῖοι παρὰ ταῦτα δὲν τολμοῦν νὰ διασχίσουν τὴν συνηθισμένην εἰς αὐτοὺς ὁδόν, ἂν δὲν τὴν στρώσουν πρῶτα μὲ πέτρας καὶ

σαιεν λίθοις, καὶ τὰς ἀπὸ τῶν ῥυάκων χαράδρας ἀναπληρώσαντες ἰσόπεδον οὕτως ἐργάσαιντο. Τότε δὲ ἐρημοτέρα μὲν τῶν ἀοικήτων ἦν, ἀπορωτέρα δὲ τῶν ὀρῶν, σφαλερωτέρα δὲ τῶν βαράθρων καὶ τῶν κρημνῶν. Καὶ τὸ πάντων δὲ χαλεπώτερον οὐκ εἶπον, πῶς τὰ τῆς ἐπιμιξίας διέκειτο, ὃ καὶ τῆς ὁδοῦ πολλῷ πλείονα καὶ μείζονα παρεῖχε πράγματα αὐτοῖς, κατὰ ἔθνη, μᾶλλον δὲ κατὰ πόλιν ἁπάντων διηρημένων. Οὐ γὰρ ὥσπερ νῦν μία ἀρχὴ κατὰ τὸ πλεῖστον τῆς οἰκουμένης τέταται μέρος, καὶ ἑνὶ πάντες δουλεύουσιν ἀνθρώπῳ, καὶ τοῖς αὐτοῖς διοικοῦνται νόμοις, οὕτω καὶ τότε ἦν· ἀλλ' ὥσπερ σῶμα ἓν εἰς πολλὰ μέρη κατατμηθέν, οὕτω καὶ τὸ τῶν ἀνθρώπων διέσπαστο γένος, καὶ πολεμίους ἐκ πολεμίων ἀμείβειν ὁ δίκαιος ἠναγκάζετο, πρὶν ἢ τοὺς προτέρους διαφυγεῖν, ἑτέροις ἐμπίπτων ἀεί, πῇ μὲν πολυαρχίας, πῇ δὲ ἀναρχίας οὔσης. Τί οὖν ταύτης χαλεπώτερον τῆς ζωῆς; Οὐδὲ γὰρ ὑπὲρ ἑαυτοῦ μόνον ἐδεδοίκει καὶ ἔτρεμεν, ἀλλὰ καὶ ὑπὲρ πατρὸς καὶ γυναικὸς καὶ ὑπὲρ ἀδελφιδοῦ. Ἦν δὲ οὐδὲ ἡ τῶν οἰκετῶν φροντὶς μικρά, εἰ καὶ ἐπὶ τῆς οἰκείας ἐτύγχανον ὄντες, μὴ ὅτι γε ὅτε ἐπὶ τῆς ἀλλοτρίας ἠναγκάζοντο εἶναι διαπαντός. Καὶ εἰ μὲν ᾔδει σαφῶς ὅπου στήσεται τὰ τῆς πλάνης αὐτῷ, οὐκ ἦν οὕτω τὸ τῶν φροντίδων ἀφόρητον· νῦν δὲ ἁπλῶς καὶ ἀδιορίστως ἀκούσας γῆν, οὐ τήνδε ἢ τήνδε, ἀλλ' «Ἣν ἄν σοι δείξω», πανταχοῦ περιῄει τῷ νῷ καὶ πολὺν ἐδέχετο θόρυβον τῇ ψυχῇ, μηδαμοῦ τῷ λογισμῷ στῆναι δυνάμενος, ἀλλὰ πολλὰ ὑποπτεύειν ἔχων καὶ μεριμνᾶν ἀναγκαζόμενος. Εἰκὸς γὰρ αὐτὸν καὶ πρὸς αὐτὰ τῆς οἰκουμένης ἀφίξεσθαι τὰ πέρατα προσ-

13. Γεν. 12, 1.

δὲν τὴν ἰσοπεδώσουν γεμίζοντες τὰ χανδάκια ποὺ δημιουργοῦνται ἀπὸ τὰ ρυάκια. Τότε ὅμως ὁ δρόμος ἦτο πιὸ ἔρημος καὶ ἀπὸ τὰ ἀκατοίκητα μέρη, πολὺ πιὸ ἀδιάβατος καὶ ἀπὸ τὰ ὄρη καὶ πολὺ πιὸ ἐπικίνδυνος ἐξ αἰτίας τῶν χαραδρῶν καὶ τῶν κρημνῶν. Ἀλλ' ὅμως δὲν εἶπα ἀκόμη τὸ πιὸ φοβερὸν ἀπὸ ὅλα, πῶς δηλαδὴ ἐγίνετο ἡ ἐπικοινωνία καὶ αἱ συναλλαγαὶ μεταξὺ τῶν ἀνθρώπων, πρᾶγμα ποὺ ἐδημιουργοῦσεν εἰς αὐτοὺς πολὺ περισσοτέρας καὶ μεγαλυτέρας δυσκολίας ἀπὸ ὅ,τι ὁ δρόμος, ἀφοῦ ὅλοι ἦσαν διῃρημένοι κατὰ ἔθνη, μᾶλλον δὲ κατὰ πόλιν. Διότι δὲν ὑπῆρχεν ὅπως ἀκριβῶς σήμερα ὑπάρχει μία ἐξουσία διὰ τὸ μεγαλύτερον μέρος τῆς οἰκουμένης καὶ ὅλοι οἱ ἄνθρωποι δουλεύουν εἰς ἕνα ἄνθρωπον καὶ διοικοῦνται ἀπὸ τοὺς αὐτοὺς νόμους, ἀλλὰ τὸ ἀνθρώπινον γένος εἶχε διασπασθῆ τότε ὅπως ἀκριβῶς ἕνα σῶμα ποὺ διαιρεῖται εἰς πολλὰ μέρη, καὶ ὁ δίκαιος ἄνθρωπος ἦτο ἠναγκασμένος ν' ἀντιμετωπίζῃ τοὺς ἐχθροὺς τὸν ἕνα κατόπιν τοῦ ἄλλου, ὥστε συνέβαινε πρὶν ξεφύγῃ ἀπὸ τοὺς πρώτους ἐχθροὺς ν' ἀντιμετωπίζῃ ἄλλους ἐν συνεχείᾳ, πρᾶγμα ποὺ ὠφείλετο ἀφ' ἑνὸς μὲν εἰς τὴν πολυαρχίαν, ἀφ' ἑτέρου δὲ τὴν ἀναρχίαν. Τί ἄλλο λοιπὸν ὑπάρχει πιὸ φοβερὸν ἀπὸ μίαν τέτοιαν ζωήν; Διότι δὲν ἐφοβεῖτο καὶ δὲν ἔτρεμε μόνον διὰ τὸν ἑαυτόν του, ἀλλὰ καὶ διὰ τὸν πατέρα καὶ τὴν γυναῖκα καὶ τὸν ἀνεψιόν του. Ἀλλὰ καὶ ἡ φροντὶς τῶν ὑπηρετῶν δὲν ἦτο μικρά, εἴτε συνέβαινε νὰ ζοῦν εἰς τὴν χώραν των, πολὺ περισσότερον ὅμως ὅταν ἦσαν ὑποχρεωμένοι νὰ ζοῦν συνεχῶς εἰς ξένην χώραν. Καὶ ἐὰν μὲν ἐγνώριζε ποῦ θὰ τερματισθῇ ἡ περιπλάνησίς του, δὲν θὰ ἦτο τόσον ἀβάστακτος ἡ φροντίς του, ἐνῷ τώρα ποὺ ἤκουσεν ἁπλῶς καὶ ἀορίστως διὰ κάποιαν γῆν, ὄχι δι' αὐτὴν ἢ ἐκείνην, ἀλλὰ «αὐτὴν τὴν ὁποίαν θὰ σοῦ δείξω»[18], ὁ νοῦς του ἐπήγαινε παντοῦ καὶ ἔνοιωθε μεγάλην ἀνησυχίαν εἰς τὴν ψυχήν του, διότι δὲν ἠμποροῦσε πουθενὰ νὰ συγκεντρώσῃ τὴν σκέψιν του, ἀλλὰ ἔβαζε πολλὰς ὑποψίας εἰς τὸν νοῦν του καὶ ἦτο ἠναγκασμένος νὰ μεταβάλλῃ φροντίδας. Διότι κατὰ φυσικὸν λόγον θὰ ἐπερίμενε νὰ φθάσῃ καὶ εἰς αὐτὰ τὰ πέ-

δοκᾶν καὶ πρὸς αὐτὸν τὸν ὠκεανόν· ὥστε εἰ καὶ μὴ πᾶσαν ἐπῆλθε τὴν γῆν, ἀλλὰ τὴν φροντίδα τῆς τοσαύτης ὁδοιπορίας ὑπέμεινεν. Οὐ γὰρ ὡς μέχρι τῆς Παλαιστίνης ἥξων οὕτω παρεσκευάκει τὴν ψυχήν, ἀλλ' ὡς ἑψόμενος πανταχοῦ, κἂν τὴν οἰκουμένην ἐκβῆναι κελεύηται, κἂν εἰς τὰς ἐκτὸς ταύτης νήσους ἐλθεῖν. Εἰ δὲ καὶ τἀναντία προσδοκᾶν ἔπειθε τὸ τοῦ προστάγματος ἀδιόριστον, καὶ τοῦτο πάλιν χαλεπόν. Τὸν γὰρ μέλλοντά τι φορτικὸν ὑπομένειν, πολλῷ κουφότερον εἰδέναι σαφῶς ὅπερ ὑποστήσεται, καὶ πρὸς ὃ παρασκευάσεται, ἢ πανταχοῦ ρέμβεσθαι τῷ λογισμῷ, καὶ νῦν μὲν τὰ χρηστά, νῦν δὲ τἀναντία προσδοκᾶν, καὶ ὑπὲρ μηδενὸς τούτων ἔχειν θαρρεῖν, ἀλλ' ἀμφοτέροις ὁμοίως ἀπιστεῖν.

Καὶ ταῦτα μὲν πρὶν ἐλθεῖν εἰς τὴν ἐπαγγελθεῖσαν γῆν· ἐπειδὴ δέ ποτε τῆς Παλαιστίνης ἐπελάβετο, καὶ λοιπὸν ἀναπαύσασθαι προσεδόκησε, τότε δὴ μείζονα ἐν τῷ λιμένι τὸν χειμῶνα εὕρισκεν. Οὐ μικρὸν δὲ τοῦτο εἰς ὀδύνης λόγον, ἀλλὰ καὶ πάντων ἀφορητότερον, ὅταν τις ἀπηλλάχθαι νομίσας καὶ πρὸς τὸ τέλος ἥκειν αὐτὸ καὶ φροντίδα καὶ μέριμναν ἅπασαν ἀποθέμενος, πάλιν ἄνωθεν ἀρχὴν ἑτέραν εὕρῃ τῶν δυσχερῶν. Ὁ μὲν γὰρ ἔτι παρεσκευασμένος πρὸς τὰ δεινὰ ρᾷον ἂν ἐνέγκοι τὴν τούτων ἐπαγωγήν· ὁ δὲ ἀναπεσὼν καὶ τῶν φροντίδων ἀπολύσας τοὺς λογισμούς, ἂν συμβῇ τι τοιοῦτον πάλιν, οἷον καὶ πρότερον, διπλῇ πως ταράττε-

ρατα τῆς οἰκουμένης καὶ μέχρι καὶ εἰς αὐτὸν τὸν ὠκεανόν, καὶ συνεπῶς καὶ ἂν ἀκόμη δὲν περιῆλθεν ὅλην τὴν γῆν, παρὰ ταῦτα ὑπέμεινε τὴν φροντίδα αὐτῆς τῆς τόσον μεγάλης ὁδοιπορίας. Διότι δὲν εἶχε προετοιμασθῆ ψυχολογικά, ὅτι θὰ ἔφθανε μέχρι τὴν Παλαιστίνην, ἀλλ' ἦτο προετοιμασμένος νὰ μεταβῇ παντοῦ, εἴτε ἔπαιρνεν ἐντολὴν νὰ περιέλθῃ ὅλην τὴν οἰκουμένην, εἴτε νὰ μεταβῇ εἰς τὰς ἀπομακρυσμένας νήσους. Ἀλλὰ καὶ ἂν ἀκόμη ἔφθανεν εἰς τὸ σημεῖον νὰ πείσῃ τὸν ἑαυτόν του, μὲ τὴν ἀκαθόριστον αὐτὴν ἐντολὴν ποὺ ἔλαβεν, ὅτι θὰ συναντήσῃ μεγάλας δυσκολίας, καὶ εἰς τὴν περίπτωσιν αὐτὴν τὸ πρᾶγμα ἦτο φοβερόν. Καθόσον αὐτὸς ποὺ περιμένει νὰ τοῦ συμβῇ κάτι τὸ πολὺ φοβερόν, πολὺ πιὸ εὔκολον τοῦ φαίνεται νὰ γνωρίζῃ καθαρὰ αὐτὸ ποὺ θὰ ὑποστῇ, ὥστε νὰ προετοιμασθῇ ψυχολογικά, παρὰ ν' ἀφήνῃ τὴν σκέψιν του νὰ περιφέρεται παντοῦ, καὶ ἄλλοτε μὲν νὰ περιμένῃ τὰ καλά, ἄλλοτε δὲ τὰ δυσάρεστα, καὶ ἔτσι νὰ μὴ ἠμπορῇ νὰ ἐλπίζῃ διὰ κανένα ἀπὸ αὐτά, ἀλλὰ νὰ δυσπιστῇ καθ' ὅμοιον τρόπον καὶ πρὸς τὰ δύο.

Ὅλα αὐτὰ λοιπὸν τοῦ συνέβησαν πρὶν νὰ φθάσῃ εἰς τὴν γῆν ποὺ τοῦ ὑπεσχέθη ὁ Θεός. Ὅταν ὅμως κάποτε ἔφθασεν εἰς τὴν Παλαιστίνην καὶ ἤλπισεν ὅτι θὰ εὕρῃ εἰς τὸ ἑξῆς ἀνάπαυσιν, τότε λοιπὸν διεπίστωσεν ὅτι ἡ τρικυμία ἦτο πολὺ πιὸ μεγάλη μέσα εἰς τὸ ἴδιο τὸ λιμάνι. Αὐτὸ δὲν ἀποτελεῖ μικρὰν αἰτίαν στενοχωρίας, ἀλλὰ εἶναι ἡ πιὸ ἀνυπόφορος ἀπὸ ὅλας, τὸ νὰ νομίζῃ δηλαδὴ κανεὶς ὅτι ἀπηλλάχθη ἀπὸ κάτι καὶ ὅτι ἔφθασεν αὐτὸ εἰς τὸ τέλος του καὶ νὰ σταματᾷ κάθε φροντίδα καὶ μέριμναν δι' αὐτό, καὶ ὅμως νὰ συναντᾷ καὶ πάλιν μίαν νέαν ἀρχὴν δυσκολιῶν. Διότι αὐτὸς ποὺ ἔχει προετοιμασθῆ διὰ νὰ συναντήσῃ δυσκολίας, εἶναι δυνατὸν πολὺ πιὸ εὔκολα νὰ ἀντιμετωπίσῃ αὐτὰς ὅταν ἔλθουν, αὐτὸς ημως ποὺ ἐπανεπαύθη καὶ ἔπαυσε πλέον νὰ φροντίζῃ μὲ τὴν σκέψιν του, ἂν τοῦ συμβῇ καὶ πάλιν κάτι τὸ παρόμοιον, ποὺ τοῦ συνέβη καὶ προηγουμένως, κυριεύεται ἀπὸ διπλῆν ἀνησυχίαν καὶ καταβάλλεται πιὸ εὔκολα καὶ διότι εἶναι ἀπροσδόκητον τὸ κακὸν

ται, καὶ εὐχείρωτος γίνεται τῷ τε ἀπροσδοκήτῳ καὶ τῷ διαλελύσθαι τὴν σπουδὴν ἅπασαν αὐτῷ καὶ τὴν παρασκευήν.

Τίς οὖν ὁ χειμὼν ἦν; Λιμὸς οὕτω σφοδρὸς τὴν Παλαιστίνην κατέλαβε τότε, ὡς ἀναστῆσαι εὐθέως αὐτὸν ἐκεῖθεν, καὶ εἰς τὴν Αἴγυπτον καταγαγεῖν. Ἐλθὼν δὲ ἐκεῖ ὡς λύσιν εὑρήσων τοῦ κακοῦ, τοῦ λιμοῦ πάλιν χαλεπωτέρᾳ περιέπεσε συμφορᾷ περὶ τῶν ἐσχάτων κινδυνεύειν ἀναγκαζόμενος· καὶ εἰς τοσοῦτον τότε κατέστη φόβον, ὥστε, ὃ πᾶσίν ἐστι πάντων ἀφορητότερον, τὸ τὰς γυναῖκας ὑβρίζεσθαι τὰς αὐτῶν, τοῦτο ἑλέσθαι. Εἰς τοσαύτην γὰρ τότε ἦλθεν ἀνάγκην, ὡς καὶ ὑπηρετήσασθαι τῇ ὑποκρίσει, οὗ τί γένοιτ' ἂν ἐλεεινότερον; Ὁποίαν γὰρ αὐτὸν νομίζεις ἔχειν ψυχήν, ὅτε τῇ γυναικὶ τοιαῦτα συμβουλεύειν ἠναγκάζετο; «Γινώσκω ἐγὼ ὅτι γυνὴ εὐπρόσωπος εἶ· ἔσται οὖν ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν, ὅτι γυνὴ αὐτοῦ αὕτη· καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. Εἰπὲ οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ὅπως ἂν εὖ μοι γένηται διὰ σὲ καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ». Καὶ ταῦτα ἐφθέγξατο τὰ ῥήματα ὁ διὰ τὸν Θεὸν καὶ πατρίδα καὶ οἰκίαν καὶ φίλους καὶ συγγενεῖς καὶ τἄλλα πάντα ἐπὶ τῆς οἰκίας ἀφείς, ὁ τοιαύτην ταλαιπωρίαν καὶ τοσοῦτον πόνον ἐν τῷ μακρῷ τούτῳ καιρῷ κατὰ τὴν ὁδοιπορίαν ὑποστάς· καὶ ὅμως οὐδὲν τούτων εἶπεν, οἷον ὅτι 'ἐγκατέλιπέ με ὁ Θεός, ἀπεστράφη καὶ τῆς οἰκείας προνοίας ἐξέβαλεν'· ἀλλ' ἔφερε γενναίως πάντα καὶ πιστῶς, καὶ ὃν ἐχρῆν μάλιστα πάντων ὑβριζομένης ὀργίζεσθαι τῆς γυναικὸς ὑπὸ τῆς πολλῆς βίας, ὅπως μήτε φανερὰ γένηται ἡ ὕβρις ἅπαντα ἔπραττε. Τοῦτο δὲ ὅσην ἀθυμίαν ἔχει καὶ ὀδύ-

---

14. Γεν. 12, 14 - 20.
15. Γεν. 12, 11 - 13.

καὶ διότι ἔχει σταματήσει ὅλην του τὴν φροντίδα καὶ τὴν προετοιμασίαν.

δηλαδὴ τρόπον μὲ τὸ ἐὰν ξεφύγῃ κανεὶς ἀπὸ τὸ λεοντάρι καὶ ὁρμήσῃ ἐναντίον του ἀρκούδα καὶ πηδήσῃ μέσα εἰς τὴν οἰκίαν του καὶ στηρίξῃ τὸ χέρι του εἰς τὸν τοῖχον καὶ τὸν δαγκώσῃ τὸ φίδι»[30]. Πῶς νὰ περιγράψῃ δὲ κανεὶς τὸν τρόμον ποὺ ἐδοκίμασεν ὅταν τὸν ἐπρόλαβεν ὁ Λάβαν, τὰς θλίψεις κατὰ τὴν διάρκειαν τῆς ὁδοιπορίας, καθ' ἥν στιγμὴν τὸν ἀκολουθοῦσαν τόσα κοπάδια ζώων καὶ τόσα παιδιά; Ἀλλ' ἐπειδὴ ἐπρόκειτο νὰ ἰδῇ τὸ πρόσωπον τοῦ ἀδελφοῦ του, δὲν ἔνοιωθε τὸ ἴδιο πρᾶγμα μὲ ἐκεῖνο ποὺ ἔπασχον ἐκεῖνοι ποὺ ἔβλεπον τὴν κεφαλὴν τῆς Γοργόνας ἐκείνης ποὺ τὴν περιγράφουν οἱ ποιηταί; δὲν ἦσαν ὅλαι αἱ ἐντολαὶ ποὺ ἐλάμβανεν, ὡσὰν νὰ ἐβάδιζε τὸν δρόμον ποὺ ὁδηγεῖ πρὸς τὸν θάνατον; Ἄκουσε τοὺς λόγους του καὶ μάθε τὴν φλόγα ποὺ ἦτο κρυμμένη μέσα εἰς τὴν ψυχήν του· «Ἀπάλλαξέ μου Θεέ μου», λέγει, «ἀπὸ τὰ χέρια τοῦ ἀδελφοῦ μου Ἠσαῦ, διότι τὸν φοβοῦμαι μὴ τυχὸν ἔλθῃ καὶ πατάξῃ ἐμένα καὶ τὴν μητέρα τῶν τέκνων μου. Σὺ ὅμως μοῦ εἶπες, θὰ σὲ καταστήσω ἰσχυρόν»[31]. Πόσην χαρὰν δὲν τοῦ ἐστεροῦσεν αὐτὸς ὁ φόβος καὶ ἂν ἀκόμη εἶχε ζήσει ὅλον τὸν προηγούμενον χρόνον γεμᾶτον ἀπὸ εὐθυμίαν; Τώρα ὅμως ὅλη ἡ ζωή του, ἀπὸ ἐκείνην τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἐπρόκειτο νὰ λάβῃ τὰς εὐλογίας τοῦ πατρός του καὶ εἶχεν ἀποθάνει ἀπὸ τὸν φόβον του, ἐπλέκετο ἀπὸ συμφορὰς καὶ ἐπιβουλάς. Διότι τόσον μεγάλον φόβος τὸν κατεῖχε τότε, ὥστε οὔτε καὶ μετὰ τὴν συνάντησιν μὲ τὸν ἀδελφόν του ἠμπόρεσε νὰ λάβῃ θάρρος καὶ ν' ἀπαλλαγῇ ἀπὸ τὴν ἀγωνίαν, παρὰ τὸ γεγονὸς βέβαια ὅτι τοῦ ἐφέρθη ὁ ἀδελφός του καλὰ καὶ φιλάνθρωπα. Ἐνῷ λοιπὸν ἐκεῖνος τὸν παρεκάλει νὰ φύγουν μαζί, ὡσὰν νὰ ἐπρόκειτο ν' ἀπαλλαγῇ ἀπὸ κάποιο θηρίον, τέτοιαν ἀξίωσιν εἶχε καὶ μὲ αὐτὰ τὰ λόγια ἐσοφίζετο τὴν ἀναχώρησίν του· «Γνωρίζεις, κύριέ μου, ὅτι τὰ παιδιὰ εἶναι τρυφερὰ καὶ ὅτι τὰ πρόβατα καὶ αἱ ἀγελάδες εἶναι ἕτοιμα νὰ γεννήσουν· ἐὰν λοιπὸν τὰ ἐξαναγκάσω μέσα εἰς μίαν ἡμέραν θ' ἀποθάνουν ὅλα τὰ ζῶα. Ἂς βαδίσῃ ὁ κύριός μου πρὶν ἀπὸ τὸν δοῦλον του, ἐγὼ δὲ θὰ ἀργοπορήσω τὸν ἐρχομόν μου

τῆς πορεύσεως τῆς ἐναντίον μου, καὶ κατὰ πόδας τῶν παιδαρίων μου, ἕως τοῦ ἐλθεῖν με πρὸς τὸν κύριόν μου εἰς Σηείρ».

Καὶ ἀναπνεύσας μικρὸν ἀπὸ τῶν κινδύνων ἐκείνων, εἰς ἕτερον πολλῷ χαλεπώτερον ἐνέπεσε πάλιν φόβον. Τῆς γὰρ θυγατρὸς ἁρπαγείσης, τὸ μὲν πρῶτον ἤλγει τῇ ὕβρει τῆς παιδός· ὡς δὲ παρεμυθεῖτο τὸ γεγονὸς τοῦ βασιλέως ὁ υἱὸς νόμῳ γάμου λήψεσθαι γυναῖκα αὐτὴν ὑποσχόμενος, καὶ ἐπήνεσε τὴν γνώμην ὁ Ἰακώβ, συνέχεαν τὰς συνθήκας οἱ περὶ τὸν Λευί, καὶ τὴν πόλιν αὔτανδρον ἀνελόντες εἰς τοσοῦτον τὸν γεγεννηκότα κατέστησαν τρόμον, ὡς καὶ μετοικῆσαι ἐκεῖθεν αὐτὸν διὰ τὸ πάντας ἐκπολεμωθῆναι πρὸς αὐτόν. «Εἶπε» γάρ, φησίν, «ὁ Ἰακὼβ τῷ Συμεὼν καὶ τῷ Λευί· μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι πᾶσι τοῖς κατοικοῦσι τὴν γῆν, ἔν τε τοῖς Χαναναίοις καὶ τοῖς Φερεζαίοις, ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με καὶ ἐκτριβήσομαι ἐγὼ καὶ ὁ οἶκός μου». Καὶ γὰρ ἂν πάντας αὐτοὺς κατέσφαξαν ἄρδην οἱ πρόσοικοι, εἰ μὴ ἡ τοῦ Θεοῦ φιλανθρωπία κατέσχεν ἐκείνων τὸν θυμὸν καὶ πέρας ἐκείνοις ἐπέθηκε τοῖς κακοῖς· «Ἐγένετο» γάρ, φησί, «φόβος Θεοῦ ἐπὶ πάσας τὰς πόλεις τὰς περικύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ.

Τί οὖν μετὰ τὴν τούτων ἀπαλλαγήν; ἆρα ἀνέπνευσε; Τότε μὲν οὖν αὐτῷ τῶν κακῶν ἐπῆλθεν ὁ κολοφών, ὁ τῆς ἐρωμένης θάνατος, ἄωρός τε ὁμοῦ καὶ βίαιος ὤν. «Ἔτεκε» γάρ, φησί, «Ραχὴλ καὶ ἐδυστόκησεν ἐν τῷ τοκετῷ. Ἐγένετο δὲ ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα, θάρσει· καὶ γὰρ οὗτός ἐστί σοι υἱός. Ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχήν, ἀπέθνησκε γάρ, ἐκάλεσε τὸ ὄ-

32. Γεν. 33, 13 - 14.
33. Γεν. 34, 25 ἑἑ.
34. Γεν. 34, 30.
35. Γεν. 35, 5.

ἀνάλογα μὲ τὴν ἀργοπορίαν τῶν κτηνῶν ποὺ πορεύονται μαζί μου καὶ τὸ βάδισμα τῶν παιδαρίων μου, μέχρις ὅτου ἔλθω πρὸς τὸν κύριόν μου εἰς τὴν Σηείρ»[32].

Ἀφοῦ λοιπὸν ἀπηλλάγη ἐπ' ὀλίγον ἀπὸ τοὺς κινδύνους ἐκείνους, περιέπεσε καὶ πάλιν εἰς ἄλλον πολὺ πιὸ φοβερώτερον φόβον. Διότι ὅταν ἡρπάγη ἡ κόρη του, κατ' ἀρχὴν μὲν ἔνοιωθε πόνον διὰ τὴν προσβολὴν ποὺ ἔγινεν εἰς τὴν κόρην του, καθ' ὃν χρόνον ὅμως παρηγορεῖτο διὰ τὸ γεγονὸς αὐτὸ μὲ τὴν ὑπόσχεσιν τοῦ υἱοῦ τοῦ βασιλέως νὰ λάβη ὡς γυναῖκα του αὐτὴν διὰ νομίμου γάμου καὶ ἐνέκρινεν ὁ Ἰακὼβ τὴν ἀπόφασιν αὐτήν, παρεβίασαν τὰς συνθήκας οἱ γύρω ἀπὸ τὸν Λευΐ, καὶ ἀφοῦ εἰσῆλθον εἰς τὴν πόλιν κατέσφαξαν ὅλους τοὺς ἄρρενας[33], τόσον μεγάλον τρόμον ἐπροξένησαν εἰς τὸν πατέρα των, ὥστε νὰ μετοικήσῃ ἀπὸ ἐκεῖ αὐτός, ἐπειδὴ ὅλοι ἐξεγέρθησαν ἐχθρικῶς ἐναντίον του. Διότι, λέγει, «εἶπεν ὁ Ἰακὼβ εἰς τὸν Συμεὼν καὶ τὸν Λευΐ· μὲ ἐκάνατε μισητόν, ὥστε νὰ θεωροῦμαι κακὸς ἀπὸ ὅλους ποὺ κατοικοῦν εἰς τὴν γῆν, καὶ ἀπὸ τοὺς Χαναναίους καὶ τοὺς Φερεζαίους, ἐγὼ δὲ ἔχω μικρὸν ἀριθμὸν ἀνθρώπων, ὥστε ἐὰν συγκεντρωθοῦν καὶ βαδίσουν ἐναντίον μου θὰ μὲ ἐξολοθρεύσουν καὶ θὰ καταστραφῶ ἐγὼ καὶ ὅλος ὁ οἶκος μου»[34]. Καθ' ὅσον ὅλους θὰ τοὺς κατέσφαζον οἱ γείτονές των χωρὶς καμμίαν διάκρισιν, ἐὰν ἡ φιλανθρωπία τοῦ Θεοῦ δὲν συνεκράτει τὸν θυμὸν ἐκείνων καὶ δὲν ἐτερμάτιζεν ἐκεῖνα τὰ κακά. Διότι, λέγει, «Ὁ φόβος τοῦ Θεοῦ ἐκυρίευσεν ὅλας τὰς γύρω πόλεις καὶ δὲν κατεδίωξαν τοὺς υἱοὺς τοῦ Ἰσραήλ»[35].

Τί συνέβη λοιπὸν μετὰ τὴν ἀπαλλαγὴν ἀπὸ αὐτὰ τὰ κακά; μήπως ἀνέπνευσε; Τότε ἀκριβῶς τὸν ἐκυρίευσε τὸ ἀποκορύφωμα τῶν κακῶν, διότι ἀπεβίωσεν ἡ ἠγαπημένη σύζυγός του, πρόωρα καὶ συγχρόνως καὶ βίαια. Διότι, λέγει, «Ἐγέννησεν ἡ Ραχὴλ καὶ ὁ τοκετός της ἦτο δύσκολος. Κατὰ τὴν διάρκειαν δὲ τοῦ δυσκόλου τοκετοῦ της τῆς εἶπεν ἡ μαῖα· Ἔχε θάρρος, καθ' ὅσον τὸ γεννώμενον εἶναι ἀρσενικόν. Συνέβη δὲ τὴν ὥραν ποὺ ἄφηνε τὴν ψυχήν της, διότι ἀπέθνησκε, νὰ δώσῃ ὄνομα εἰς αὐτὸν Ὁ υἱὸς

νομα αὐτοῦ ‘υἱὸς ὀδύνης μου’». Καὶ τοῦ πένθους ἀκμάζοντος ἔτι, προσέθηκε τῇ ἀθυμίᾳ ὁ Ρουβὴν εἰς τὴν τοῦ πατρὸς εὐνὴν ἐνυβρίσας· ὅπερ οὕτως ἔφερε χαλεπῶς, ὡς καὶ τελευτῶν ἐπαράσασθαι τῷ παιδί, ὅτε μάλιστα συμπαθέστερον ἔχουσι πρὸς τὰ ἔκγονα οἱ γονεῖς, καὶ ταῦτα πρωτοτόκῳ πάντων ὄντι τῶν ἄλλων· οὐ μικρὸν δὲ τοῦτο πρὸς φιλοστοργίας δύναται λόγον. Ἀλλ' ὅμως ἅπαντα ταῦτα ἡ τῆς ἀθυμίας παρώσατο βία, καὶ καλέσας αὐτὸν ἔλεγε· Ρουβὴν πρωτότοκός μου, ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης ἐξύβρισας, ὡς ὕδωρ μὴ ἐκζέσῃς· ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου· τότε ἐμίανας τὴν στρωμνὴν οὗ ἀνέβης».

Ὡς δὲ ἐν ἡλικίᾳ γέγονεν ὁ τῆς ἀγαπωμένης γυναικὸς υἱὸς καὶ παραμυθίαν αὐτὸν ἕξειν προσεδόκησε τῆς ἐπ' ἐκείνῃ λύπης, τότε αὐτῷ πολύτροποι διὰ τούτου κατεσκευάζοντο συμφοραί· οἱ γὰρ ἀδελφοὶ τὸν χιτωνίσκον τὸν ἐκείνου βάψαντες αἵματι καὶ ἐπιδείξαντες τῷ πατρί, ποικίλον αὐτῷ τὸ πένθος εἰργάσαντο. Οὐ γὰρ τὴν τελευτὴν ἐπένθει μόνον, ἀλλὰ καὶ τὸν τρόπον τῆς τελευτῆς, καὶ πολλὰ ἦν τὰ συγχέοντα αὐτοῦ τὴν ψυχήν· ὅτι ὁ τῆς φιλουμένης υἱός, ὅτι ὁ τῶν ἄλλων ἁπάντων βελτίων, ὅτι ὁ μάλιστα ἀγαπώμενος, ὅτι ἐν αὐτῷ τῷ τῆς ἡλικίας ἄνθει, ὅτι παρ' αὐτοῦ πεμφθείς, ὅτι μηδὲ ἐπὶ τῆς οἰκίας, μηδὲ ἐπὶ τῆς κλίνης, μηδὲ παρεστῶτος τοῦ πατρός, μηδὲ εἰπών τι καὶ ἀκούσας, ὅτι μὴ τῷ κοινῷ πάντων θανάτῳ, ὅτι ζῶν ὑπὸ τῆς τῶν θηρίων ὠμότητος ἐσπαράσσετο, ὅτι μηδὲ τὰ λείψανα συναγαγεῖν εὕρισκε καὶ παραδοῦναι τῇ γῇ, ὅτι οὐδὲ ἐν νεότητι ταῦτα ὑπέμεινεν, ὅτε ἐνεγκεῖν δυνατὸν ἦν, ἀλλ' ἐν

---

36. Γεν. 35, 16 - 18.
37. Γεν. 49, 3 - 4.

τῆς ὀδύνης μου'»[36]. Καὶ ἐνῷ ἀκόμη τὸ πένθος ἦτο πρόσφατον προσέθεσεν ὁ Ρουβὴν εἰς τὴν λύπην τοῦ πατέρα του νέαν λύπην, προσβάλλων τὴν συζυγικὴν κλίνην τοῦ πατρός του, πρᾶγμα ποὺ αὐτὸς ἔφερε βαρέως, ὥστε κατὰ τὴν ὥραν τοῦ θανάτου του νὰ καταρασθῇ τὸν υἱόν του, τότε μάλιστα ποὺ οἱ γονεῖς δείχνουν μεγαλυτέραν συμπάθειαν πρὸς τὰ τέκνα των, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ ἦτο πρωτότοκος ὅλων τῶν ἄλλων τέκνων του˙ δὲν ἦτο αὐτὸ μικρὸ πρᾶγμα διὰ νὰ ἑλκύσῃ τὴν φιλοστοργίαν του. Ἀλλ' ὅμως ὅλα αὐτὰ τὰ παρέβλεψε τὸ μέγεθος τῆς λύπης καὶ ἀφοῦ ἐκάλεσε τὸν υἱόν, τοῦ εἶπε˙ «Ρουβὴν πρωτότοκέ μου, ἡ δύναμίς μου καὶ ἀρχὴ τῶν τέκνων μου, ἐπειδὴ σκληρὰ μοῦ ἐφέρθης καὶ σκληρὰ καὶ μὲ αὐθάδειαν μὲ προσέβαλες, νὰ μὴ νοιώσῃς τὴν θέρμην τοῦ νεροῦ διότι ἀνέβης εἰς τὸ κρεββάτι τοῦ πατέρα σου˙ τότε ἐμόλυνες τὸ στρῶμα τοῦ πατέρα σου»[37].

Ὅταν δὲ ἐνηλικιώθη ὁ υἱὸς τῆς ἠγαπημένης του συζύγου καὶ ἐπερίμενεν ὅτι θὰ εὕρῃ παρηγορίαν διὰ τὴν λύπην του ποὺ προήρχετο ἀπὸ τὸν θάνατον ἐκείνης, τότε ἀκριβῶς προετοιμάζοντο δι' αὐτὸν ἐξ αἰτίας αὐτοῦ ποικίλαι συμφοραί˙ διότι τὰ ἀδέλφια ἀφοῦ ἔβαψαν μὲ αἷμα τὸ φόρεμα τοῦ υἱοῦ του καὶ τὸ ἔδειξαν εἰς τὸν πατέρα των, τοῦ προεκάλεσαν φοβερὸν πένθος, διότι δὲν ἐπένθει μόνον τὸν θάνατόν του, ἀλλὰ καὶ τὸν τρόπον τοῦ θανάτου του, καὶ πολλὰ ἦσαν ἐκεῖνα ποὺ ἀνεστάτωσαν τὴν ψυχήν του˙ διότι ἦτο ὁ υἱὸς τῆς ἠγαπημένης συζύγου του, διότι ἦτο ὁ καλύτερος ἀπὸ ὅλους τοὺς ἄλλους, διότι ἦτο ὁ πιὸ ἀγαπημένος, διότι τοῦ συνέβη ὁ θάνατος εἰς τὸ ἄνθος τῆς ἡλικίας του, διότι ἐστάλη ἀπὸ αὐτόν, διότι οὔτε κἂν εἰς τὴν οἰκίαν ἀπέθανεν ἢ εἰς τὴν κλίνην του, χωρὶς νὰ εἶναι παρὼν ὁ πατέρας του, χωρὶς νὰ τοῦ εἰπῇ κάτι ἢ ν' ἀκούσῃ ἀπὸ αὐτόν, διότι δὲν ἀπέθανεν ἀπὸ τὸν κοινὸν θάνατον ὅλων, διότι ζωντανὸς κατεσπαράσσετο ὑπὸ τῶν ἀγρίων θηρίων, διότι δὲν εὕρισκεν οὔτε τὰ λείψανά του νὰ μαζεύσῃ καὶ νὰ τὰ θάψῃ, διότι ὅλα αὐτὰ συνέβησαν ὄχι κατὰ τὴν νεότητά του, τότε ποὺ ἦτο δυνατὸν νὰ τὰ ὑποφέρῃ, ἀλλ' εἰς

ἐσχάτῳ γήρᾳ. Καὶ ἦν θέαμα πάντων ἐλεεινότερον ἰδεῖν, πολιὰν αἰσχυνομένην κόνει καὶ στῆθος γηραλέον διαρρηγνυμένου τοῦ χιτῶνος γυμνούμενον, καὶ θρήνους παρακλήσεως μείζονας· «Διέρρηξε» γάρ, φησίν, «Ἰακὼβ τὰ ἱμάτια αὐτοῦ καὶ περιέθετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς. Συνήχθησαν δὲ πάντες οἱ υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες καὶ ἦλθον παρακαλέσαι αὐτὸν καὶ οὐκ ἤθελε παρακληθῆναι λέγων, ὅτι «Καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου».

Ὥσπερ δὲ δέον μηδέποτε καθαρεύειν αὐτοῦ τὴν ψυχὴν ἀθυμίας, οὕτως ἀρξαμένης ταύτης θεραπεύεσθαι τῆς πληγῆς, λιμὸς ἐπελθὼν καὶ τὴν γῆν ἅπασαν κατασχὼν ἐλύπει μὲν αὐτὸν σφόδρα τὸ πρότερον· ὡς δὲ ἀνελθόντες ἀπὸ τῆς Αἰγύπτου οἱ υἱοὶ παραμυθίαν ἐκομίσαντο τοῦ κακοῦ, ἑτέρᾳ λύπῃ ταύτην ἀναμίξαντες ἤγαγον, καὶ τὴν ἀπὸ τῆς τοῦ λιμοῦ λύσεως ἡδονὴν συνέχεεν ἡ τοῦ παιδὸς ἀποδημία. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ τὸν Βενιαμὶν ἀπῄτουν αὐτόν, ὃν μόνον εἶχε παραψυχὴν καὶ τῆς ἀπελθούσης γυναικὸς καὶ τοῦ θηριοβρώτου παιδός. Οὐ ταῦτα δὲ μόνον αὐτὸν ἀντέχεσθαι ἐποίει τοῦ Βενιαμίν, ἀλλὰ καὶ τὰ τῆς ἡλικίας καὶ τὰ τῆς ἀνατροφῆς. «Οὐ καταβήσεται» γάρ, φησίν, «ὁ υἱός μου μεθ' ὑμῶν, ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καὶ αὐτὸς μόνος καταλέλειπται, καὶ συμβήσεται αὐτὸν μαλακισθῆναι ἐν τῇ ὁδῷ, ἐν ᾗ ἂν πορεύησθε, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου».

Τὸ μὲν οὖν πρῶτον διὰ ταῦτα πάντα παρῃτεῖτο, καὶ οὐκ ἔφασκε δώσειν αὐτόν· ἐπειδὴ δὲ σφοδρὸς ἐπέπεσεν ὁ λιμός, καὶ μείζονος τῆς ἀνάγκης ᾔσθετο, καίτοι σφόδρα ἀποδυρόμενος, «Τί γάρ με ἐκακοποιήσατε», φησίν, «ἐπαγγείλαντες τῷ ἀνθρώπῳ εἰ ἔστιν ὑμῖν ἀδελφός;»· καὶ τοῦτο πάντων ὀδυνη-

---

38. Γεν. 38, 34 - 35.
39. Γεν. 42, 38.
40. Γεν. 43, 5.

τὰ βαθειὰ γεράματά του. Καὶ ἦτο τὸ πιὸ ἐλεεινὸν θέαμα νὰ τὸν βλέπῃ κανεὶς νὰ περιβάλλῃ μὲ στάκτην τὰ λευκὰ μαλλιά του καὶ τὸ γηραλέον στῆθος του νὰ γυμνώνεται ἀπὸ τὸ ξέσχιμα τοῦ χιτῶνα του καὶ ν' ἀκούῃ τοὺς ἀπαρηγορήτους θρήνους του. Διότι, λέγει, «Διέρρηξεν ὁ Ἰακὼβ τὰ ἱμάτιά του καὶ ἔζωσεν εἰς τὴν μέσην του σάκκον καὶ ἐπένθει τὸν υἱόν του ἐπὶ πολλὰς ἡμέρας. Συνεκεντρώθησαν δὲ ὅλοι οἱ υἱοί του καὶ αἱ θυγατέρες του καὶ ἦλθον νὰ τὸν παρηγορήσουν καὶ δὲν ἐδέχετο τοὺς λόγους παρηγορίας, λέγων, θὰ καταβῶ εἰς τὸν Ἅδην λυπημένος διὰ νὰ εὕρω τὸν υἱόν μου»[38].

Ὡσὰν λοιπὸν νὰ ἔπρεπε νὰ μὴ ἀπαλλαγῇ ποτὲ ἡ ψυχή του ἀπὸ τὴν λύπην, ἔτσι, ἐνῷ εἶχεν ἀρχίσει κάπως νὰ θεραπεύεται ἡ πληγή του, ἐπελθοῦσα πεῖνα καὶ κατακυριεύσασα ὅλην τὴν γῆν, τοῦ ἐπροξένησε λύπην μεγαλυτέραν ἀπὸ πρίν. Ὅταν οἱ υἱοί του, ἐλθόντες ἀπὸ τὴν Αἴγυπτον, τοῦ ἔφερον παρηγορίαν διὰ τὸ κακόν, τοῦ ἔφεραν ἄλλην λύπην ἀναμίξαντες αὐτὴν μὲ τὴν προηγουμένην, καὶ ἔτσι τὴν εὐχαρίστησιν διὰ τὴν ἀπαλλαγὴν ἀπὸ τὸν λιμὸν τὴν ἐπεσκίασεν ἡ ἀποδημία τοῦ ἄλλου παιδιοῦ του. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ τὸν ἴδιον τὸν Βενιαμίν, αὐτὸν ποὺ τὸν εἶχεν ὡς μόνην παρηγορίαν καὶ διὰ τὸν θάνατον τῆς γυναικός του καὶ διὰ τὸν υἱόν του, ποὺ τὸν ἔφαγαν τὰ θηρία. Καὶ δὲν ἦσαν μόνον αὐτὰ ποὺ τὸν ἔκαναν νὰ εἶναι προσηλωμένος εἰς τὸν Βενιαμίν, ἀλλὰ καὶ ἡ μικρὰ ἡλικία του καὶ τὰ σχετικὰ μὲ τὴν ἀνατροφήν του. Διότι, λέγει, «Δὲν θὰ μεταβῇ ὁ υἱός μου εἰς τὴν Αἴγυπτον μαζί σας, διότι ὁ ἀδελφός του ἀπέθανε καὶ αὐτὸς εἶναι ὁ μόνος ποὺ μοῦ ἀπέμεινε καὶ εἶναι δυνατὸν νὰ τὸν εὕρῃ ἀσθένεια καθ' ὁδὸν ποὺ θὰ πορεύεσθε, καὶ θὰ ὁδηγήσετε τὰ γηρατειά μου λυπημένα εἰς τὸν Ἅδην»[39].

Πρῶτον λοιπὸν δι' ὅλα αὐτὰ ἠρνεῖτο καὶ δὲν ἤθελε νὰ τὸν δώσῃ, ὅταν ὅμως ὁ λιμὸς ἐπέπεσε σφοδρὸς καὶ ἔνοιωσε μεγαλυτέραν ἀνάγκην, ἂν καὶ ἦτο πολὺ μεγάλος ὁ θρῆνος του, λέγει· «Διατί μὲ κατεστρέψατε λέγοντες εἰς τὸν ἄνθρωπον ὅτι ἔχετε ἀδελφόν;»[40]. Καὶ αὐτὸ ὁ Ἰακὼβ τὸ

ρότερον ὑπέμενε τὰ ἐλεεινὰ ῥήματα φθεγγόμενος ὁ Ἰακώβ, Ἰωσήφ, φησίν, οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ ἐγένετο ταῦτα πάντα»· καὶ ὀδυρόμενος ὅτι μετὰ τὸν Ἰωσὴφ καὶ τὸν Συμεῶνα ἐπεχείρουν καὶ τὸν Βενιαμὶν ἀποσπάσαι αὐτοῦ, καὶ ἐνδεικνύμενος ὅτι πάντα πείσεται μᾶλλον ἢ ἀφέξεται τοῦ παιδός, νικηθεὶς ὕστερον αὐτὸς αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν ἐξεδίδου λέγων· «Καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε, καὶ ἀναστάντες κατάβητε πρὸς τὸν ἄνθρωπον· ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώπου, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα καὶ τὸν Βενιαμίν· ἐγὼ μὲν γὰρ καθάπερ ἠτέκνωμαι, ἠτέκνωμαι». Οὕτω σφόδρα τοῖς πολλοῖς ἐκρατήθη κακοῖς, ὡς καὶ τῶν σπλάγχνων σπαραττομένων καὶ κατὰ μικρὸν ἐλαττουμένων αὐτῷ τῶν παίδων, ἅπαντα ὑπομένειν τῇ τῶν μειζόνων ὑπερβολῇ· καὶ γὰρ μείζων αὐτὸν ἀθυμία κατεῖχεν ὑπὲρ τούτων τῆς ὑπὲρ τοῦ Ἰωσήφ. Ἡ μὲν γὰρ οὐκ ἔχουσα προσδοκίαν διορθώσεως συμφορά, εἰ καὶ σφοδρὰς φέρει τὰς ἀθυμίας ἡμῖν, ἀλλ' ὅμως ταχέως αὐτὰς ἐξωθεῖ, εἰς ἀπόγνωσιν ἐμβαλοῦσα τὸν λογισμόν, ἡ δὲ ἔτι μετέωρος οὖσα οὐκ ἀφίησιν ἀναπαύσασθαι τὴν ψυχήν, τῇ τῶν μελλόντων ἀδηλίᾳ ἐπιτείνουσα ἀεὶ καὶ ἀνανεοῦσα τὴν ἀγωνίαν ἡμῖν. Καὶ τοῦτο ἄν τις μάθοι καλῶς ἀπὸ τοῦ μακαρίου Δαυίδ, ὃς ἔτι ζῶντος μὲν ἐθρήνει τοῦ παιδός, τελευτήσαντος δὲ ἀνῆκε τοῦ πένθους ἑαυτόν.

Ἀπορούντων δὲ ὑπὲρ τούτου τῶν παίδων, καὶ τὴν αἰτίαν ἐρωτώντων αὐτόν, τοῦτον εἶπε τὸν λογισμόν, ὅνπερ ἐγὼ νῦν. Εἰκότως οὖν κἀκεῖνος ὑπὲρ τούτων ἐδεδοίκει μᾶλλον καὶ ἔτρεμεν. Ἀλλ' ἡ ποθεινὴ θέα καὶ τὸ τὸν Ἰωσὴφ ἰδεῖν εὐθυμίαν αὐτῷ παρέσχεν ὕστερον. Καὶ τί τὸ κέρδος; Καθάπερ γὰρ τὰ σφοδρῷ καταφλεχθέντα μέλη πυρί, κἂν μυριάκις καταψύχῃ τις, οὐδὲν ὀνίνησιν, οὕτω καὶ τὴν ψυχὴν

41. Γεν. 42, 36.
42. Γεν. 43, 12-13.

ὑπέμεινεν ὡς τὸ πιὸ ὀδυνηρὸν ἀπὸ ὅλα, προφέρων τὰ ἐλεεινὰ ἐκεῖνα λόγια· «Ὁ Ἰωσὴφ», λέγει «δὲν ὑπάρχει, ὁ Συμεὼν δὲν ὑπάρχει, θὰ πάρετε καὶ τὸν Βενιαμίν; εἰς ἐμὲ ἔπεσαν ὅλαι αἱ συμφοραί;»[41]. Καὶ θρηνῶν, διότι μετὰ τὸν Ἰωσὴφ καὶ τὸν Συμεῶνα ἐπεχείρουν νὰ τοῦ ἀποσπάσουν καὶ τὸν Βενιαμίν, καὶ δεικνύων ὅτι προτιμᾷ ὅλα νὰ τὰ πάθῃ παρὰ νὰ ἀπομακρυνθῇ ἀπὸ τὸ παιδί του, νικηθεὶς εἰς τὸ τέλος ὁ ἴδιος, τὸν ἔδιδε μὲ τὰ ἴδια του τὰ χέρια, λέγων· «πάρετε καὶ τὸν ἀδελφόν σας καὶ σηκωθῆτε νὰ ὑπάγετε πρὸς τὸν ἄνθρωπον· ὁ δὲ Θεός μου εἴθε νὰ σᾶς δίδῃ χάριν ἐνώπιον τοῦ ἀνθρώπου καὶ ν' ἀποστείλῃ τὸν ἀδελφόν σας τὸν ἕνα καὶ τὸν Βενιαμίν· διότι ἐγὼ ὅπως ἀκριβῶς ἔμεινα χωρὶς τέκνα, ἔτσι ἂς μείνω χωρὶς αὐτά»[42]. Τόσον πολὺ κατεβλήθη ἀπὸ τὰς πολλὰς συμφοράς, ὥστε ἂν καὶ τὰ σπλάγχνα του ἐσπαράσσοντο, καὶ τὰ παιδιά του ἠλαττώνοντο σιγὰ σιγά, τὰ ὑπέμενεν ὅλα τὰ προηγούμενα μὲ τὸ ὑπερβολικὸν μέγεθος τῶν νέων· καθ' ὅσον μεγαλυτέρα λύπη τὸν διακατεῖχε δι' αὐτὰ ἀπὸ τὸν χαμὸν τοῦ Ἰωσήφ. Διότι ἡ συμφορὰ ποὺ δὲν ἔχει ἐλπίδα ἐπανορθώσεως ἂν καὶ μᾶς προξενεῖ σφοδρὰς λύπας, ὅμως ταχέως τὰς ἀπομακρύνει, ὁδηγοῦσα τὸ λογικόν μας εἰς ἀπόγνωσιν, ἡ συμφορὰ ὅμως ποὺ εὑρίσκεται ἔμπροσθέν μας μὲ τὸ ἀβέβαιον τοῦ μέλλοντος δὲν ἀφήνει τὴν ψυχήν μας ν' ἀναπαυθῇ, ἐπιτείνουσα συνεχῶς καὶ ἀνανεοῦσα τὴν ἀγωνίαν. Καὶ αὐτὸ ἠμπορεῖ νὰ τὸ μάθῃ καλῶς κανεὶς ἀπὸ τὸν μακάριον Δαυίδ, ὁ ὁποῖος ἐν ὅσῳ ἀκόμη ἐζοῦσε τὸ παιδί του, τὸ ἐθρηνοῦσεν, ὅταν ὅμως ἀπέθανεν ἠνείχετο τὸ πένθος.

Ἐπειδὴ δὲ τὰ παιδιά του ἀποροῦσαν δι' αὐτὸ καὶ τὸν ἠρώτων διὰ τὴν αἰτίαν, τοὺς ἀπήντησε μὲ τὸν ἴδιον συλλογισμόν, ποὺ σᾶς λέγω ἐγὼ τώρα. Κατὰ φυσικὸν λόγον λοιπὸν καὶ ὁ Ἰακὼβ ἐφοβεῖτο περισσότερον δι' αὐτὰ καὶ ἔτρεμεν. Ἀλλὰ ἡ ποθητὴ θέα καὶ τὸ νὰ ἰδῇ τὸν Ἰωσήφ, τοῦ ἐχάρισεν ἀργότερον μεγάλην εὐχαρίστησιν. Καὶ ποῖο τὸ κέρδος; Διότι ὅπως ἀκριβῶς τὰ μέλη, ποὺ κατεκάησαν ἀπὸ τὰς μεγάλας φλόγας κάποιας φωτιᾶς, δὲν τὰ ὠφελεῖ κανεὶς ὡς πρὸς τίποτε, καὶ ἂν ἀκόμη μυρίας φορὰς τὰ

κατώδυνον γενομένην ἐκείνῳ, καὶ τῇ τῆς ἀθυμίας σφόδρα κατακαυθεῖσαν φλογί, οὐδὲν ἦν ἀνακτήσασθαι ἱκανόν, καὶ μάλιστα ὅτε οὐδὲ τὴν αἴσθησιν εἰκὸς εἶναι τρανήν, ὅπερ καὶ ὁ Βερζελλὶ παραιτούμενος τὸν Δαυὶδ ἔλεγε· «Πόσαι αἱ ἡμέραι ἐτῶν ζωῆς μου ἔσονταί μοι ἐκεῖ, ἵνα ἀναβῶ μετὰ τοῦ βασιλέως εἰς Ἱερουσαλήμ; Υἱὸς ὀγδοήκοντα ἐτῶν εἰμι σήμερον· εἰ γνώσομαι ἀναμέσον ἀγαθοῦ ἢ ἀναμέσον κακοῦ, εἰ γεύσεται ὁ δοῦλός σου ὅσα ἂν ἐσθίῃ ἢ ὅσα ἂν πίνῃ, ἢ ἀκούσομαι φωνὴν ᾀδόντων ἢ ᾀδουσῶν; Καὶ ἱνατί γίνεται ὁ δοῦλός σου φορτίον ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα;». Ἀλλὰ τί χρὴ ἀφ᾽ ἑτέρων ταῦτα στοχάζεσθαι, αὐτοῦ παρὸν ἀκοῦσαι τοῦ πεπονθότος; Μετὰ γὰρ τὸ τὸν υἱὸν ἰδεῖν, φησίν, ἐρωτώμενος ὑπὸ τοῦ Φαραὼ περὶ τῆς ζωῆς αὐτοῦ· «Μικραί», φησί, «καὶ πονηραὶ αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέρων μου»· οὕτως ἐνακμάζουσαν αὐτοῦ τῇ ψυχῇ τὴν μνήμην τῶν γεγενημένων εἶχε διαπαντός.

Ἀλλ᾽ ὁ λαμπρὸς καὶ ἐπίδοξος οὗτος υἱὸς ὁ Ἰωσὴφ τίνα οὐκ ἀπέκρυψε ταῖς συμφοραῖς; Ὁ μὲν γὰρ πατὴρ ὁ τούτου ἕνα μόνον εἶχεν ἀδελφὸν ἐπιβουλεύοντα, οὗτος δὲ πολλῷ πλείους· καὶ ὁ μὲν τὴν πρώτην ἡλικίαν ἅπασαν ἐν ἀφθονίᾳ ἐτρέφετο καὶ ἀνέσει πολλῇ, ὁ δὲ ἐπὶ τῆς ἀλλοτρίας καὶ ἔτι παιδίον ὢν τὰς τῆς ὁδοιπορίας φέρειν ἠναγκάζετο ταλαιπωρίας. Καὶ τῷ μὲν Ἰακὼβ παρῆν ἡ μήτηρ ἐπικουφίζουσα τὴν ἐπιβουλήν, οὗτος δὲ ἔτι νέος ὤν, καὶ ὅτε μάλιστα ἔχρῃζε τῆς μητρός, τότε ἐν ἐρημίᾳ τῆς βοηθείας ταύτης καθίστατο. Πρὸς τούτοις ὁ μὲν Ἠσαῦ μέχρις ἀπειλῆς μόνης ἐλύπησε τὸν Ἰακώβ, οὗτοι δὲ καὶ εἰς ἔργον ἐξήγαγον τὴν

---

43. Β΄ Βασ. 19, 34 - 35.

ἐκθέσῃ εἰς τὸ ψῦχος, ἔτσι καὶ ἡ ψυχή του, κυριευθεῖσα ἀπὸ τὰς ὀδύνας καὶ κατακαυθεῖσα ἀπὸ τὴν φλόγα τῆς λύπης, τίποτε δὲν ἦτο δυνατὸν νὰ τὴν κάνῃ νὰ ἀναλάβῃ τὰς δυνάμεις της, καὶ μάλιστα ὅταν,ὡς ἦτο φυσικόν, οὔτε ἔνοιωθε καμμίαν αἴσθησιν σαφῆ διὰ τὰς τέρψεις, πρᾶγμα ποὺ καὶ ὁ ΒερζελλΙ, ἱκετεύων τὸν Δαυίδ, ἔλεγε· «Πόσας ἡμέρας θὰ ζήσω ἐκεῖ, ὥστε ν' ἀνεβῶ μαζὶ μὲ τὸν βασιλέα εἰς τὴν Ἱερουσαλήμ; εἶμαι σήμερον ὀγδόντα ἐτῶν· μήπως θὰ ἠμπορέσω νὰ διακρίνω τὸ καλὸν ἀπὸ τὸ κακόν· μήπως ἠμπορεῖ ὁ δοῦλος σου νὰ νοιώσῃ τὴν εὐχάριστον γεῦσιν αὐτῶν ποὺ τρώγει ἢ πίνει, ἢ θὰ ἠμπορέσω νὰ ἀκούσω τὴν φωνὴν τῶν τραγουδιστῶν ἢ τραγουδιστριῶν; Διατί λοιπὸν νὰ γίνῃ ὁ δοῦλος σου φορτίον εἰς τὸν κύριόν μου τὸν βασιλέα;»[43]. Ἀλλὰ τί χρειάζεται νὰ τὰ ἐρευνῶμεν αὐτὰ κρίνοντες τὴν ζωὴν ἄλλων, ἀφοῦ ἐπὶ τοῦ παρόντος ἠμποροῦμεν νὰ ἀκούσωμεν τὸν παθόντα; Διότι, λέγει, μετὰ τὴν συνάντησίν του μὲ τὸν υἱόν του, ἐρωτώμενος ἀπὸ τὸν Φαραὼ περὶ τῆς ζωῆς του, εἶπεν· «Ὀλίγαι καὶ πονηραὶ εἶναι αἱ ἡμέραι τῆς ζωῆς μου, καὶ δὲν φθάνουν τὰς ἡμέρας τῶν πατέρων μου. Ἔτσι ζωηρὰν εἶχε πάντοτε εἰς τὴν ψυχήν του τὴν ἀνάμνησιν τῶν γεγονότων ἐκείνων.

Ἀλλ' ὁ λαμπρὸς καὶ ἔνδοξος αὐτὸς υἱός, ὁ Ἰωσὴφ δηλαδή, ποῖον δὲν ὑπερέβαλεν ὡς πρὸς τὰς συμφοράς; Διότι ὁ μὲν πατέρας του εἶχεν ἕνα μόνον ἀδελφὸν ποὺ τὸν ἐπεβουλεύετο, ἐνῷ αὐτὸς εἶχε πολὺ περισσότερους. Καὶ ἐκεῖνος μὲν καθ' ὅλην τὴν νεανικὴν ἡλικίαν του ἐτρέφετο μὲ ἀφθονίαν καὶ πολλὴν ἄνεσιν, ἐνῷ αὐτὸς ἔζη εἰς ξένην γῆν καὶ ἐνῷ ἀκόμη ἦτο παιδὶ ἠναγκάζετο νὰ ὑφίσταται τὰς ταλαιπωρίας τῆς ὁδοιπορίας. Καὶ εἰς μὲν τὸν Ἰακὼβ ὑπῆρχεν ἡ μητέρα του, ποὺ ἀνεκούφιζε τὴν ἐπιβουλήν, αὐτὸς ὅμως ἐνῷ ἀκόμη ἦτο νέος καὶ εἶχε κατ' ἐξοχὴν τὴν ἀνάγκην τῆς μητέρας του, τότε ἀκριβῶς ἔμενεν ἔρημος αὐτῆς τῆς βοηθείας της. Ἐπὶ πλέον, ὁ μὲν Ἠσαῦ μόνον μὲ ἀπειλὰς ἐλύπησε τὸν Ἰακώβ, ἐνῷ αὐτοὶ ἐπραγματοποίησαν τὴν ἐπιβουλὴν καὶ πρὶν ἀπὸ τὴν ἐπι-

ἐπιβουλήν, καὶ πρὸ τῆς ἐπιβουλῆς φθονοῦντες καὶ διαβάλλοντες αὐτὸν διετέλουν, οὗ τί γένοιτ' ἂν χαλεπώτερον, τοὺς συνοικοῦντας πολεμίους ἔχειν ἀεί; Καὶ γὰρ ψόγον κατήνεγκαν κατ' αὐτοῦ πονηρόν, καὶ ἰδόντες ὅτι αὐτὸν ὁ πατὴρ αὐτοῦ φιλεῖ ὑπὲρ τοὺς ἄλλους υἱοὺς αὐτοῦ, ἐμίσησαν αὐτὸν καὶ οὐκ ἠδύναντο αὐτῷ λαλεῖν οὐδὲν εἰρηνικόν. Οὔτε γὰρ τὸ ὑπὸ τοῖς ἐμπόροις γενέσθαι, οὔτε τὸ ὑπὸ τῷ σπάδοντι, τοσοῦτον εἶναι φαίην ἂν κακόν· πολλῷ γὰρ αὐτῷ φιλανθρωπότερον ἐχρήσαντο οὗτοι τῶν ἀδελφῶν. Ἀλλ' ὅμως οὐδὲ οὕτως ἡμερώτερος γέγονε τῶν συμφορῶν ὁ χειμών· σφοδροτέρα γὰρ ἐμπεσοῦσα καταιγὶς πάλιν αὐτὸν κατέδυσε.

Τάχα μέ τις οἴεται τὴν ἐπιβουλὴν τῆς δεσποίνης ἐρεῖν· ἐγὼ δὲ πρὸ ταύτης χαλεπωτέραν ἄλλην ἐρῶ. Δεινὸν μὲν γάρ, ἀληθῶς δεινόν, καὶ τὸ συκοφαντηθῆναι ἐπὶ τοιούτοις, καὶ τὸ κατακριθῆναι, καὶ τὸ δεσμωτήριον οἰκῆσαι χρόνον οὕτω μακρόν, παῖδα ἐλεύθερον καὶ εὐγενῆ καὶ ταύτης ἄπειρον τῆς ἀνάγκης, πολλῷ δὲ τούτων ἁπάντων βαρύτερον τὸν ἀπὸ τῆς ἡλικίας οἶμαι χειμῶνα γεγενῆσθαι αὐτῷ. Εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιθυμίας ἐνοχλούμενος διέπτυσε τὸν ἐκείνης ἔρωτα, οὐ σφόδρα ἐπαινῶ, οὐδὲ θαυμάζω τὸν ἄνδρα ἐγὼ πειθόμενος τῷ Χριστῷ. Οὐδὲ γὰρ τοὺς ἀπὸ τῆς φύσεως εὐνουχισθέντας, ἀλλὰ τοὺς ἑαυτοὺς εὐνουχίσαντας ἀξιοῦσθαί φησι τῆς βασιλείας τῶν οὐρανῶν· εἰ δὲ μὴ τοῦτο ἦν, ποίαν ἂν ἤρατο νίκην; κατὰ τίνος στέφανον ἀνεδήσατο; τίνα καταγωνισάμενος ἀνεκηρύττετο, οὐδενὸς ὄντος τοῦ προσπαλαίοντος αὐτῷ, καὶ ἐπιχειροῦντος καταβαλεῖν; Οὐδὲ γὰρ τοὺς τοῖς ἀλόγοις μὴ μιγνυμένους εἰς σωφροσύνης ἐπαινοῦμεν λόγον, διὰ τὸ μηδὲ ἐγκεῖσθαι τῇ φύσει τῆς μίξεως τὴν ἐπιθυμίαν ἐκείνης. Εἰ τοίνυν μηδὲ τῷ μακαρίῳ τότε ἐκεί-

---

44. Γεν. 47, 9.

βουλὴν ἐφθόνουν καὶ διέβαλλον αὐτόν[44], πρᾶγμα ἀπὸ τὸ ὁποῖον τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ φοβερώτερον, ἀπὸ τὸ νὰ ἔχῃ δηλαδὴ ἐχθρούς του συνεχῶς τοὺς ἀνθρώπους μὲ τοὺς ὁποίους ἔζη μαζί; Καθ' ὅσον κατηγορίαν διετύπωσαν ἐναντίον του πονηρὰν καὶ ὅταν εἶδον, ὅτι ὁ πατέρας του αὐτὸν ἀγαπᾷ περισσότερον ἀπὸ τοὺς ἄλλους υἱούς του, τὸν ἐμίσησαν καὶ δὲν ἠμποροῦσαν νὰ τοῦ εἰποῦν κανένα εἰρηνικὸν λόγον. Πράγματι οὔτε ὑπὸ τῶν ἐμπόρων, οὔτε ὑπὸ τοῦ εὐνούχου, θὰ ἠμποροῦσα νὰ εἰπῶ, τοῦ ἔγινε τόσον μεγάλο κακόν, διότι αὐτοὶ τὸν μετεχειρίσθησαν πολὺ πιὸ φιλάνθρωπα ἀπὸ τοὺς ἀδελφούς του. Ἀλλ' ὅμως οὔτε ἔτσι ἔγινεν ἡμερωτέρα ἡ τρικυμία τῶν συμφορῶν του· διότι, ἐκσπάσασα καὶ πάλιν σφοδροτέρα καταιγίς, τὸν κατεπόντισεν ἐξ ὁλοκλήρου.

Ἴσως νὰ νομίσῃ κανείς, ὅτι θὰ ἀναφέρω τὴν ἐπιβουλὴν τῆς κυρίας του, ἐγὼ ὅμως πρὶν ἀπὸ αὐτὴν θὰ εἰπῶ κάτι πιὸ φοβερόν. Διότι εἶναι φοβερόν, πράγματι εἶναι φοβερόν, καὶ τὸ νὰ συκοφαντηθῇ δι' αὐτά, καὶ τὸ νὰ καταδικασθῇ καὶ νὰ κλεισθῇ εἰς τὴν φυλακὴν δι' ἕνα τόσον μακρὸν χρόνον ἕνα παιδὶ ἐλεύθερον καὶ εὐγενικὸν καὶ ἄπειρον ἀπὸ αὐτὰς τὰς δοκιμασίας, πολὺ ὅμως πιὸ βαρυτέρα ἀπὸ ὅλα αὐτὰ νομίζω τοῦ ἔγινεν ἡ συμφορὰ ἐξ αἰτίας τῆς ἡλικίας του αὐτῆς. Διότι ἐάν, χωρὶς νὰ ἐνοχλῆται ἀπὸ καμμίαν ἐπιθυμίαν, περιεφρόνισε τὸν ἔρωτα ἐκείνης, δὲν τὸν ἐπαινῶ πάρα πολύ, οὔτε θαυμάζω τὸν ἄνδρα, ἀκολουθῶν τοὺς λόγους τοῦ Χριστοῦ. Διότι λέγει, ὅτι εἶναι ἄξιοι τῆς βασιλείας τῶν οὐρανῶν ὄχι αὐτοὶ ποὺ ἐκ φύσεως εἶναι εὐνοῦχοι, ἀλλ' αὐτοὶ ποὺ ηὐνούχησαν τὸν ἑαυτόν των. Ἐὰν ὅμως τὸ πρᾶγμα δὲν εἶχεν ἔτσι, ποίαν νίκην θὰ ἠμποροῦσε νὰ ἐπικαλεσθῇ; ἐναντίον τίνος ἀγωνιζόμενος θὰ ἐφόρει τὸν στέφανον; ποῖον θὰ κατενίκα καὶ θὰ ἀνεκηρύσσετο νικητής, ἀφοῦ δὲν θὰ ὑπῆρχε κανεὶς ἀντίπαλός του ποὺ θὰ ἐπεχείρει νὰ τὸν καταβάλῃ; Διότι οὔτε ἐπαινοῦμεν διὰ σωφροσύνην ἐκείνους ποὺ δὲν ἔρχονται εἰς συνουσίαν μὲ τὰ ζῶα, διότι δὲν ὑπάρχει εἰς τὴν φύσιν μας αὐτὴ ἡ ἐπιθυμία. Ἂν λοιπὸν οὔτε

νῳ τοῦτο ἠνώχλει τὸ πῦρ, τίνος ἕνεκεν αὐτὸν ἐπὶ σωφροσύνῃ θαυμάζομεν; Εἰ δέ, ὅτε πάντων τῶν καιρῶν σφοδρότερον ἡ φλὸξ αἴρεται (εἰκοστὸν γὰρ λοιπὸν ἦγεν ἔτος), καὶ ὅτε ἀνύποιστός ἐστιν ἡ τυραννὶς καὶ μηδενὸς αὐτὴν αὔξοντος, τότε ἡ ἀκόλαστος ἐπέθετο τῷ μειρακίῳ, τοσαύτην ἀπὸ τῶν αὐτῆς μαγγανευμάτων καὶ καλλωπισμάτων προσθεῖσα τῇ φλογὶ τὴν ἰσχύν, ὅσην ἀπὸ τῆς φύσεως εἶχε, πῶς ἄν τις τὸν χειμῶνα διηγήσαιτο τῆς ψυχῆς καὶ τὸν θόρυβον καὶ τὴν ἀγωνίαν, τῆς φύσεως καὶ τῆς ἡλικίας ἔνδοθεν ταρασσούσης αὐτόν, καὶ τῶν παρὰ τῆς Αἰγυπτίας μηχανημάτων ἔξωθεν προσβαλλόντων, καὶ ταῦτα οὐ μέχρι μιᾶς ἡμέρας καὶ δευτέρας, ἀλλ' ἐπὶ χρόνον πολύν;

'Εγὼ γὰρ αὐτὸν οὐχ ὑπὲρ ἑαυτοῦ τρέμειν οἴομαι τότε μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐκείνης ἀλγεῖν, πρὸς τοσοῦτον κρημνὸν ἐπειγομένης ἐλθεῖν· καὶ τοῦτο ἐξ ὧν μετὰ πολλῆς ἐπιεικείας ἀποκρίνεται πρὸς αὐτὴν δῆλον ἡμῖν. Καὶ γὰρ ἐνῆν, εἴπερ ἐβούλετο καὶ ὑβριστικώτερον καὶ θρασύτερον διαλεχθῆναι πρὸς αὐτήν· καὶ γὰρ ἂν εὐκόλως πάντα ἤνεγκεν ἐκείνη διὰ τὸν ἔρωτα· ἀλλ' οὐδὲν τοιοῦτον οὔτε ἐφθέγξατο οὔτε ἐνενόησεν, ἀλλὰ λογισμοὺς ἀνακινήσας εὐσεβεῖς, καὶ δι' ὧν ᾤετο μόνον ἐντρέφειν αὐτήν, οὐδὲν πλέον προσέθηκεν. «'Ιδοὺ» γάρ, φησίν, «ὁ κύριός μου οὐ γινώσκει οὐδὲν δι' ἐμὲ τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα ὅσα ἐστὶν αὐτῷ δέδωκεν ἐν τῇ χειρί μου, καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐδὲν ἐμοῦ, οὐδὲ ὑπεξῄρηται ἀπ' ἐμοῦ οὐδὲν πλὴν σοῦ, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι· καὶ πῶς ποιήσω τὸ ῥῆμα τοῦτο τὸ πονηρόν, καὶ ἁμαρτήσομαι ἐνώπιον τοῦ Θεοῦ;». Καὶ μετὰ τὴν τοσαύτην ἐπιείκειαν καὶ τὴν τῆς σωφροσύνης ἐπίδειξιν ἐσυκοφαντήθη, καὶ συνεχώρησεν ὁ Θεός. 'Εδέθη, καὶ οὐδὲ οὕτως ἤλεγξε

---

45. Γεν. 39, 8 - 9.

τὸν μακάριον ἐκεῖνον τὸν ἠνώχλει αὐτὸ τὸ πῦρ, διὰ ποῖον λόγον τὸν θαυμάζομεν διὰ τὴν σωφροσύνην του; Ἐὰν ὅμως, ὅταν κατὰ τὴν ἡλικίαν αὐτὴν περισσότερον ἀπὸ κάθε ἄλλην ἡλικίαν φουντώνῃ ἡ φλόγα τῆς ἐπιθυμίας (διότι ἦτο τότε εἴκοσιν ἐτῶν)) καὶ ὅταν εἶναι ἀσυγκράτητος ἡ τυραννικὴ δύναμίς της καὶ χωρὶς νὰ τὴν ἐρεθίζῃ κανείς, τότε ἡ ἀκόλαστος ἐπετέθη ἐναντίον τοῦ νεαροῦ, προσθέσασα τόσην δύναμιν εἰς τὴν φλόγα, ποὺ ἐκ φύσεως εἶχε, μὲ τὰ σαγηνευτικὰ θέλγητρά της καὶ τὰ καλλωπίσματά της, πῶς θὰ ἠμποροῦσε κανεὶς νὰ περιγράψῃ τὴν φουρτούνα τῆς ψυχῆς του καὶ τὴν ταραχὴν καὶ τὴν ἀγωνίαν του, ὅταν ἡ φύσις καὶ ἡ ἡλικία τὸν συγκλόνιζαν μέσα του καὶ τὰ καμώματα τῆς Αἰγυπτίας τὸν ἐρέθιζαν ἐξωτερικά, καὶ ὅλα αὐτὰ ὄχι μίαν ἢ δύο ἡμέρας, ἀλλ' ἐπὶ πολὺν χρόνον;

Ἐγὼ νομίζω ὅτι αὐτὸς τότε δὲν ἔτρεμε μόνον διὰ τὸν ἑαυτόν του, ἀλλὰ καὶ ἐπονοῦσε δι' ἐκείνην, ποὺ ἐβιάζετο νὰ πέσῃ μέσα εἰς ἕνα τόσον μεγάλον κρημνόν· καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ αὐτὰ ποὺ τῆς λέγει μὲ πολλὴν ἐπιείκειαν. Καθ' ὅσον ἠμποροῦσεν, ἐὰν ἤθελε, νὰ τῆς ὁμιλήσῃ μὲ πιὸ ὑβριστικὸν καὶ πιὸ θρασὺν τρόπον· διότι εὐκόλως ἐκείνη θὰ τὰ ὑπέφερεν ὅλα ἐξ αἰτίας τοῦ ἔρωτός της πρὸς αὐτόν· ἀλλὰ τίποτε παρόμοιον οὔτε εἶπεν οὔτε ἐσκέφθη, ἀλλ' ἔφερεν εἰς τὸν νοῦν του εὐσεβεῖς σκέψεις, μὲ τὰς ὁποίας ἐπίστευε μόνον ὅτι θὰ τὴν κάνῃ ν' ἀλλάξῃ γνώμην, καὶ τίποτε ἐπὶ πλέον δὲν προσέθεσεν. Διότι, λέγει, «Νά, ὁ κύριός μου δὲν γνωρίζει τίποτε ἀπὸ τὰ ὅσα μοῦ ἐνεπιστεύθη εἰς τὸν οἶκον του, καὶ ὅλα ὅσα ἔχει τὰ παρέδωσεν εἰς τὰ χέρια μου, καὶ κανεὶς δὲν εἶναι ἀνώτερος ἀπὸ ἐμένα εἰς τὸν οἶκον αὐτόν, οὔτε μοῦ ἔχει ἀπαγορεύσει κάτι, ἐκτὸς ἀπὸ σένα, ἐπειδὴ εἶσαι γυναῖκα του· καὶ πῶς θὰ κάνω αὐτὸ τὸ πονηρόν, ποὺ μοῦ λέγεις, καὶ ν' ἁμαρτήσω ἐνώπιον τοῦ Θεοῦ;»[45]. Καὶ μετὰ ἀπὸ τὴν τόσην ἐπιείκειάν του καὶ τὴν σωφροσύνην του, ἐσυκοφαντήθη, καὶ τὸ ἐπέτρεψεν ὁ Θεός. Ἐφυλακίσθη καὶ οὔτε ἔτσι ἤλεγξε τὴν ἐπιβουλὴν καὶ τὴν ἄδικον συ-

τὴν ἐπιβουλὴν καὶ τὴν ἄδικον διαβολὴν τῆς γυναικός· ἐβούλετο γὰρ καὶ πολλοὺς αὐτῷ τοὺς μισθοὺς καὶ λαμπροτέρους γενέσθαι τοὺς στεφάνους, καὶ διὰ τοῦτο καὶ τῶν δούλων τοῦ βασιλέως ἀφεθέντων αὐτὸς ἔμενεν ἔνδον ἔτι.

Σὺ δέ μοι μὴ τὴν φιλανθρωπίαν τοῦ δεσμοφύλακος εἴπῃς, ἀλλ' ἐξέτασον αὐτοῦ τὰ ῥήματα, καὶ ὄψει τὴν ὀδύνην τῆς ψυχῆς. Μετὰ γὰρ τὸ ἐπιλῦσαι τὸ ὄναρ ἔλεγε πρὸς τὸν οἰνοχόον· «Ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ σοι γένηται, καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος, καὶ μνησθήσῃ περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου, ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν οἶκον τοῦ λάκκου τούτου». Εἰ γὰρ καὶ τὸ καθεῖρχθαι ἔφερεν εὐκόλως, τὸ γοῦν τοιούτοις συζῆν ἀνδράσι, τυμβωρύχοις, κλέπταις, πατραλοίαις, μοιχοῖς, ἀνδροφόνοις.(τούτων γὰρ ἁπάντων καὶ τῶν τοιούτων τὸ οἴκημα τοῦτο ἐμπέπληστο), πάντων αὐτῷ βαρύτερον ἦν. Καὶ οὐ τοῦτο μόνον αὐτὸν ἐλύπει καὶ ἔθλιβεν, ἀλλὰ καὶ τὸ πολλοὺς ὁρᾶν εἰκῇ καὶ μάτην ταριχευομένους ἐκεῖ. Ἀλλ' ὅμως ὁ μὲν οἰκέτης, ὅπερ ἀποδύρῃ καὶ σὺ νῦν, ἀπηλλάττετο τῶν δεσμῶν, ὁ δὲ ἐλεύθερος ἔμενε ταλαιπωρούμενος ἔτι.

Εἰ δὲ τὴν βασιλείαν λέγοι τις, πάλιν μοι τὸν ἑσμὸν τῶν φροντίδων καὶ τῆς ἀγρυπνίας καὶ τῶν μυρίων πραγμάτων ἐρεῖ, ἅπερ ἅπαντα τοῖς τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον ἀσπαζομένοις οὐ σφόδρα ἐστὶ καθ' ἡδονήν. Χωρὶς δὲ τούτων ἐκείνοις μὲν εἰ καί τι χρηστὸν ἐγίνετο, ἀλλ' οὔπω τῆς βασιλείας τετρανωμένης, οὐδὲ τῆς τῶν μελλόντων ἐπαγγελίας οὔσης φανερᾶς, ἐνταῦθα δὲ ἔνθα τοσαῦτα πρόκειται ἀγαθὰ καὶ πᾶσι τὸ πρᾶγμα δῆλόν ἐστιν, ἀλγήσει τις, εἰπέ μοι, εἰ καὶ μηδενὸς κατὰ τὸν παρόντα βίον ἀπολαύσεται χρηστοῦ, ὅλως δὲ χρηστὸν ἡγήσεταί τι τῶν ἐνθάδε γινομένων, ἐκεῖνα

---

46. Γεν. 40, 14 - 15.

κοφαντίον τῆς γυναικός· διότι ἤθελε νὰ τὸν ἀμείψῃ μὲ πολλοὺς μισθοὺς καὶ νὰ κάνῃ λαμπροτέρους τοὺς στεφάνους, καὶ διὰ τοῦτο, ἂν καὶ οἱ δοῦλοι εἶχον ἀποφυλακισθῆ, αὐτὸς ἔμενεν ἀκόμη φυλακισμένος.

Σὺ δέ, σὲ παρακαλῶ, μὴ μοῦ λέγῃς τὴν φιλανθρωπίαν τοῦ δεσμοφύλακος, ἀλλ' ἐξέτασε τὰ λόγια αὐτοῦ, καὶ θὰ ἰδῇς τὴν ὀδύνην τῆς ψυχῆς του. Διότι μετὰ τὴν ἐξήγησιν τοῦ ὀνείρου ἔλεγε πρὸς τὸν οἰνοχόον· «Ἀλλ' ἐνθυμήσου με, ὅταν θὰ ζῇς εὐτυχισμένος, καὶ λυπήσου με καὶ ἐνθυμήσου με ἐνώπιον τοῦ Φαραώ, καὶ βγάλε με ἀπὸ αὐτὸ τὸ ὀχύρωμα, διότι μὲ ἔκλεψαν ἀπὸ τὴν γῆν τῶν Ἑβραίων, καὶ ἐδῶ δὲν ἔκανα τίποτε, ἀλλὰ μὲ ἔρριψαν εἰς τὸν χῶρον αὐτοῦ ἐδῶ τοῦ λάκκου»[46]. Ἐὰν λοιπὸν μὲ εὐκολίαν ὑπέμενε καὶ τὴν φυλάκισιν, ὅμως τὸ νὰ συζῇ μὲ τέτοιους ἀνθρώπους, τυμβωρύχους, κλέπτας, πατροκτόνους, μοιχούς, δολοφόνους (διότι τέτοιοι ἦσαν ὅλοι καὶ ἀπὸ αὐτοὺς ἦτο γεμάτη αὐτὴ ἡ φυλακή), αὐτὸ ἦτο δι' αὐτὸν τὸ πιὸ βαρύ. Καὶ δὲν τὸν ἐλύπει μόνον αὐτὸ καὶ τὸν ἐστενοχώρει, ἀλλὰ καὶ τὸ νὰ βλέπῃ πολλοὺς νὰ φθείρωνται ἐκεῖ μέσα ἄσκοπα καὶ ἄδικα. Ἀλλ' ὅμως ὁ μὲν δοῦλος, πρᾶγμα ποὺ καὶ σὺ θρηνεῖς τώρα, ἐλευθερώνετο ἀπὸ τὰ δεσμά, ὁ δὲ ἐλεύθερος ἐσυνέχιζε νὰ ταλαιπωρῆται ἀκόμη.

Ἐὰν ὅμως κάποιος ἤθελε προβάλλει τὴν βασιλείαν, πάλιν θὰ μοῦ ἀναφέρει τὸ πλῆθος τῶν φροντίδων καὶ τῆς ἀγρυπνίας καὶ τῶν μυρίων πραγμάτων, τὰ ὁποῖα δὲν δημιουργοῦν πολὺ μεγάλην εὐχαρίστησιν εἰς ἐκείνους ποὺ ἀγαποῦν τὴν ἥσυχον καὶ ἀμέριμνον ζωήν. Ἐκτὸς δὲ ἀπὸ αὐτά, εἰς ἐκείνους μὲν τοὺς ἄνδρας καὶ ἂν ἀκόμη συνέβη κάποιο καλόν, ἀλλ' ὅμως δὲν εἶχεν ἀκόμη φανερωθῆ περιτράνως ἡ βασιλεία τῶν οὐρανῶν, οὔτε ἦτο φανερὰ ἡ ὑπόσχεσις περὶ τῶν μελλόντων ἀγαθῶν, εἰς ἡμᾶς ὅμως ποὺ ἔμπροσθέν μας εὑρίσκονται τόσα πολλὰ ἀγαθὰ καὶ εἶναι εἰς ὅλους φανερὸν τὸ πρᾶγμα, εἰπέ μου, θὰ πονέσῃ κανείς, καὶ ἂν ἀκόμη δὲν ἀπολαύσῃ κατὰ τὴν παροῦσαν ζωὴν κανὲν ἀγαθόν, καὶ θὰ θεωρήσῃ κάτι ὡς τὸ τελείως

εἰδώς; Καὶ τί ταύτης ταπεινότερον γένοιτ' ἂν τῆς ψυχῆς, εἰ προσδοκῶσα μικρὸν ὕστερον μεταναστήσεσθαι πρὸς τὸν οὐρανόν, τὰς ἐνταῦθα ἀνέσεις ἐπιζητοίη, καὶ τὴν σκιᾶς οὐδὲν διαφέρουσαν εὐθυμίαν; «Ματαιότης» γάρ, φησί, «ματαιοτήτων, τὰ πάντα ματαιότης». Εἰ δὲ ὁ μάλιστα πάντων ἀνθρώπων πεῖραν τῆς τοῦ βίου λαβὼν ἡδονῆς, τοιαύτην ἐξήνεγκε κατ' αὐτῆς τὴν ἀπόφασιν, πολλῷ μᾶλλον ἡμᾶς οὕτω διακεῖσθαι καὶ φρονεῖν χρή, τοὺς οὐδὲν μὲν κοινὸν πρὸς τὴν γῆν ἔχοντας, εἰς δὲ τὴν ἄνω πόλιν ἐγγραφέντας, καὶ πάντα μετοικίσαι τὸν νοῦν κελευσθέντας ἐκεῖ.

47. Ἐκκλησ. 1, 2.

ἀγαθὸν ἀπὸ αὐτὰ ποὺ συμβαίνουν εἰς τὴν ἐδῶ ζωήν, τὴν στιγμὴν ποὺ γνωρίζει ἐκεῖνα τὰ ἀγαθά; Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ ἐλεεινὸν ἀπὸ τὴν ψυχὴν ἐκείνην, πού, ἐνῶ περιμένει μετὰ ἀπὸ ὀλίγον νὰ μεταβῇ πρὸς τὸν οὐρανόν, παρ' ὅλα αὐτὰ ἐπιζητεῖ τὰς ἀνέσεις τῆς ἐδῶ ζωῆς καὶ τὴν εὐθυμίαν ποὺ δὲν διαφέρει ὡς πρὸς τίποτε ἀπὸ τὴν σκιάν. Διότι, λέγει, «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»[47]. Ἐὰν δὲ ἐκεῖνος, ποὺ περισσότερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους ἀπήλαυσε τὴν ἡδονὴν τῆς ἐδῶ ζωῆς, διετύπωσε τέτοιαν ἀπόφασιν ἐναντίον αὐτῆς ἐδῶ ζωῆς, διετύπωσε τέτοιαν σκέψιν ἐναντίον αὐτῆς, πολὺ περισσότερον πρέπει ἡμεῖς ἔτσι νὰ ζῶμεν καὶ νὰ πιστεύωμεν, ἡμεῖς ποὺ δὲν ἔχομεν τίποτε τὸ κοινὸν πρὸς τὴν γῆν, ἀλλ' ἔχομεν ἐγγραφῆ πολῖται εἰς τὴν οὐράνιον πόλιν καὶ ἐλάβομεν τὴν ἐντολὴν νὰ ἔχωμεν ἐστραμμένην ὅλην τὴν σκέψιν μας πρὸς τὰ ἐκεῖ.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΠΡΟΣ ΣΤΑΓΕΙΡΙΟΝ ΠΕΡΙ ΑΘΥΜΙΑΣ

Ἱκανὰ μὲν οὖν καὶ τὰ εἰρημένα σβέσαι τῆς ἀθυμίας τὴν φλόγα καὶ πεῖσαι ῥᾷον διακεῖσθαι τὴν ψυχήν· ὥστε δὲ ἐκ περιουσίας γενέσθαι τὴν παραμυθίαν καὶ τοῦτον ἔγνωκά σοι προσθεῖναι τὸν λόγον, ἐκεῖνό σε πρῶτον ἐρόμενος· εἰπὲ γάρ μοι, εἴ τίς σε εἰς βασιλείαν ἐκάλει τὴν ἐν τῇ γῇ, εἶτα πρὶν εἰς τὴν πόλιν εἰσελθεῖν, καὶ τὸν στέφανον ἀναδήσασθαι, ἔμελλες ἐν πανδοχείῳ καταλύειν, ἐν ᾧ καὶ βόρβορος καὶ καπνός, καὶ ὁδοιπόρων θόρυβος, καὶ λῃστῶν ταραχή, καὶ στενοχωρία καὶ θλῖψις πολλή, ἆρα ἂν ἀπεστράφης πρὸς ἐκεῖνα τὰ λυπηρά, ἀλλ' οὐκ ἂν ἁπάντων αὐτῶν ὡς οὐδὲν ὄντων κατεφρόνησας; Πῶς οὖν οὐκ ἄτοπον τῆς μὲν γῆς μέλλοντα κρατεῖν μηδενὶ τῶν ἐμπιπτόντων συστέλλεσθαι δυσχερῶν ταῖς τῆς βασιλείας ἐλπίσι γαυρούμενον, πρὸς δὲ τοὺς οὐρανοὺς στελλόμενον καταπίπτειν καὶ θορυβεῖσθαι ἐφ' ἑκάστῳ τῶν ἐν τῷ καταγωγίῳ τούτῳ συμβαινόντων ἡμῖν λυπηρῶν; Καταγωγίου γὰρ καὶ τῆς ἐν πανδοχείῳ μονῆς οὐδὲν αὕτη ἡ τοῦ βίου τούτου κατάστασις διενήνοχεν· καὶ τοῦτο οἱ ἅγιοι δεῖξαι βουλόμενοι ξένους καὶ παρεπιδήμους ἐκάλουν ἑαυτούς, διὰ τούτων παιδεύοντες ἡμᾶς τῶν ῥημάτων καὶ τῶν χρηστῶν καὶ τῶν ἀνιαρῶν τῶν ἐν τῷ παρόντι βίῳ καταγελᾶν, καὶ τῆς γῆς ἀπαλλαγέντας, ὅλην προσδῆσαι τῷ οὐρανῷ τὴν ψυχήν.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΠΡΟΣ ΣΤΑΓΕΙΡΙΟΝ ΠΕΡΙ ΑΘΥΜΙΑΣ

Εἶναι ἀρκετὰ λοιπὸν καὶ τὰ ὅσα ἐλέχθησαν νὰ σβήσουν τὴν φλόγα τῆς λύπης καὶ νὰ πείσουν τὴν ψυχὴν νὰ διάγῃ καλυτέραν ζωήν, ὅμως, ἐπειδὴ θέλω ἡ παρηγορία νὰ σοῦ γίνῃ πλήρης, ἐθεώρησα καλὸν καὶ αὐτὸν τὸν λόγον νὰ προσθέσω, καὶ σὲ ἐρωτῶ κατὰ πρῶτον τὸ ἑξῆς· Εἰπέ μου λοιπόν, ἐὰν κάποιος σὲ προσεκάλει εἰς ἐπίγειον βασιλείαν καὶ εἰς τὴν συνέχειαν, πρὶν ἀκόμη εἰσέλθῃς εἰς τὴν πόλιν, σοῦ ἐφόρει καὶ τὸν στέφανον, καὶ ἐπρόκειτο νὰ καταλύῃς εἰς τὸ πανδοχεῖον, ἐντὸς τοῦ ὁποίου ὑπάρχει καὶ βοῦρκος καὶ καπνὸς καὶ θόρυβος ἐκ μέρους τῶν ὁδοιπόρων καὶ ταραχὴ ἐκ μέρους τῶν λῃστῶν καὶ μεγάλη στενοχωρία καὶ θλῖψις, ἆρά γε δὲν θὰ ἤθελες ἀποστραφῆ ἐκεῖνα τὰ λυπηρά, ἢ μήπως δὲν ἤθελες περιφρονήσει ὅλα αὐτὰ ὡς κάτι ποὺ οὔτε κἂν ὑπάρχει; Πῶς λοιπὸν δὲν εἶναι παράλογον, ὅταν προκειμένου νὰ λάβῃς τὴν ἐπὶ τῆς γῆς κυριαρχίαν νὰ μὴ ἀποθαρρύνεσαι ἀπὸ καμμίαν ἀπὸ τὰς δυσχερείας ποὺ προβάλλουν, ἀντλῶν θάρρος ἀπὸ τὰς περὶ τῆς βασιλείας ἐλπίδας, πρὸς δὲ τοὺς οὐρανοὺς μεταβαίνων νὰ χάνῃς τὸ θάρρος σου καὶ νὰ θορυβῆσαι διὰ τὸ καθ' ἕνα ἀπὸ τὰ δυσάρεστα ποὺ μᾶς συμβαίνουν εἰς αὐτὸ ἐδῶ τὸ καταγώγιον; Διότι αὐτὴ ἡ κατάστασις αὐτῆς τῆς παρούσης ζωῆς ὡς πρὸς τίποτε δὲν διαφέρει ἀπὸ τὸ καταγώγιον καὶ τὴν διαμονὴν εἰς πανδοχεῖον, καὶ θέλοντες ν' ἀποδείξουν αὐτὸ οἱ ἅγιοι, ὠνόμαζον τοὺς ἑαυτούς των ξένους καὶ παρεπιδήμους, διδάσκοντές μας μὲ τοὺς λόγους των αὐτοὺς νὰ περιφρονῶμεν τὰ εὐχάριστα καὶ τὰ δυσάρεστα τῆς παρούσης ζωῆς, καὶ ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ τὴν γῆν, νὰ προσδέσωμεν ἐξ ὁλοκλήρου τὴν ψυχήν μας εἰς τὸν οὐρανόν.

Φέρε οὖν ἐπ' αὐτοὺς τοὺς ἁγίους ἔλθωμεν, ἀπὸ τοῦ Ἰωσὴφ ἐπὶ τὸν Μωσέα μεταθέντες τὸν λόγον. Οὗτος γὰρ ὁ πάντων πραότατος τῶν ἐπὶ τῆς γῆς τίκτεται μὲν τῶν οἰκείων πραττόντων κακῶς, ἀλλοτριωθεὶς δὲ τῶν τεκόντων αὐτὸν καὶ τοὺς γεννησαμένους ἀγνοήσας πᾶσαν τὴν πρώτην ἡλικίαν ὑπὸ βαρβάρων ἀνδρῶν ἀνατρέφεται· οὗ τί γένοιτ' ἂν χαλεπώτερον Ἑβραίῳ μειρακίῳ καὶ νοῦν ἔχοντι, κἂν μυριάκις εἶναι δοκῇ βασιλέως υἱός; Τότε δὲ οὐ τοῦτο μόνον ἦν τὸ δεινόν, ἀλλ' ὅτι καὶ τὸ ὁμόφυλον ἅπαν ἐν ταῖς ἐσχάταις ἑώρα συμφοραῖς. Ὁ γὰρ μηδὲ ζῆν ἀνασχόμενος, μηδὲ ἐν βίβλῳ γεγράφθαι τοῦ Θεοῦ τῆς σωτηρίας τῆς ἐκείνων χωρίς, πῶς ἂν τῶν ἐν τοῖς βασιλείοις ἀπέλαυσε καλῶν ἐν τοσούτῳ κλύδωνι κειμένους ὁρῶν ἅπαντας; Εἰ γὰρ ἡμᾶς τοὺς μετὰ τοσοῦτον χρόνον γεγεννημένους καὶ οὐδὲν τοιοῦτο δικαίωμα συμπαθείας πρὸς Ἰουδαίους ἔχοντας τοσοῦτος ἔλεος εἰσέρχεται τῆς παιδοκτονίας ἐκείνης, τί οὐκ ἂν ὁ μακάριος ἐκεῖνος ἔπαθε, πολλῷ μὲν τῷ πόθῳ προς πᾶν τὸ ἔθνος συνδεδεμένος, ὄψεσι δὲ τὰς ἐκείνων παραλαμβάνων συμφοράς, καὶ τοὺς ταῦτα ἐργαζομένους τὰ κακὰ γονεῖς ἐπιγράφεσθαι ἀναγκαζόμενος; Ἐγὼ γὰρ αὐτὸν καὶ τῶν τεκόντων μᾶλλον τοὺς ἀθλίους παῖδας ἐκείνους οἶμαι τότε πενθεῖν· καὶ τοῦτο δῆλον ἐξ ὧν μετὰ ταῦτα ἔπραξεν. Ἐπειδὴ γὰρ οὔτε πείθειν εἶχεν, οὔτε ἀναγκάζειν ἠδύνατο τὸν δοκοῦντα εἶναι πατέρα καταλύειν τὸ θηριῶδες καὶ τυραννικὸν ἐπίταγμα, αὐτὸς ὁμόσε λοιπὸν τοῖς ἐκείνων ἐχώρει κακοῖς.

Καὶ οὐ τοῦτο θαυμάζω τοσοῦτον νῦν, ἀλλ' ἀπὸ τοῦ φόνου στοχαζόμενος ὅσην ἐν τῷ παρελθόντι χρόνῳ φλόγα ἀθυμίας

---

1. Ἀνάγνωθι σχετικῶς Ἐξ. 1, 15 - 22.

Ἐμπρὸς λοιπὸν ἄς ἔλθωμεν πρὸς αὐτοὺς τοὺς ἁγίους, μεταφέροντες τὸν λόγον ἀπὸ τὸν Ἰωσὴφ εἰς τὸν Μωϋσέα. Διότι αὐτὸς ποὺ ἦτο ὁ πιὸ πρᾶος ἀπὸ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς, γεννᾶται μὲν ἀπὸ παράνομον ἐνέργειαν τῶν γονέων του, ἀποστερηθεὶς δὲ τῶν γονέων του καὶ μὴ γνωρίσας τοὺς γονεῖς του, ἀνατρέφεται καθ' ὅλην τὴν πρώτην ἡλικίαν του ὑπὸ βαρβάρων ἀνδρῶν· τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ φοβερώτερον ἀπὸ αὐτὸ δι' ἕνα παιδὶ Ἑβραίων καὶ ἔξυπνον κατὰ πάντα, ἔστω καὶ ἄν ἀκόμη μυρίας φορὰς φαίνεται ὅτι εἶναι υἱὸς βασιλέως; Τότε ὅμως δὲν ἦτο μόνον αὐτὸ τὸ φοβερὸν ἀλλὰ καὶ τὸ ὅτι ἔβλεπεν ὅλην τὴν φυλήν του μέσα εἰς τὰς πιὸ φοβερὰς συμφοράς. Διότι αὐτὸς ποὺ δὲν ἀνέχεται οὔτε κἄν νὰ ζῇ, οὔτε καὶ νὰ γραφῇ εἰς τὴν βίβλον τοῦ Θεοῦ χωρὶς τὴν σωτηρίαν ἐκείνων, πῶς ἦτο δυνατὸν ν' ἀπήλαυσε τὰ ἀγαθὰ τῶν ἀνακτόρων, βλέπων ὅλους τοὺς ὁμοφύλους του νὰ εὑρίσκωνται μέσα εἰς τόσον μεγάλην τρικυμίαν; Διότι, ἐὰν ἡμεῖς ποὺ ἔχομεν γεννηθῆ μετὰ ἀπὸ τόσον χρόνον καὶ δὲν ἔχομεν καμμίαν τέτοιαν, ἐκ τοῦ νόμου ἀπορρέουσαν, ὑποχρέωσιν συμπαθείας πρὸς τοὺς Ἰουδαίους, μᾶς καταλαμβάνει τόσον μεγάλος οἶκτος ἐξ αἰτίας τῆς παιδοκτονίας ἐκείνης[1], τί δὲν θὰ ἔπαθεν ὁ μακάριος ἐκεῖνος, ὁ ὁποῖος ἀφ' ἑνὸς μὲν ἔτρεφε πολλὴν συμπάθειαν πρὸς ὅλο τὸ ἔθνος του, ἀφ' ἑτέρου δὲ ἦτο αὐτόπτης μάρτυς τῶν συμφορῶν ἐκείνων καὶ ἦτο ὑποχρεωμένος νὰ θεωρῇ ὡς γονεῖς του αὐτοὺς ποὺ διέπραττον αὐτὰ τὰ κακά; Διότι ἐγὼ νομίζω ὅτι αὐτὸς ἐπενθοῦσε τότε τὰ ἄθλια ἐκεῖνα παιδιὰ περισσότερον καὶ ἀπὸ τοὺς γονεῖς των, καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ ὅσα εἰς τὴν συνέχειαν ἔπραξεν. Ἐπειδὴ δηλαδὴ οὔτε ἠμποροῦσε νὰ τοὺς πείσῃ, οὔτε ἠμποροῦσε νὰ ἐξαναγκάσῃ τὸν θεωρούμενον πατέρα του νὰ θέσῃ τέρμα εἰς τὸ θηριῶδες καὶ τυραννικὸν πρόσταγμα, καὶ ὁ ἴδιος λοιπὸν ἠνεγκάζετο νὰ συμβιβασθῇ μὲ τὰ κακὰ ἐκείνων.

Καὶ δὲν θαυμάζω αὐτὸ τώρα τόσον πολὺ ἀλλ' ἀναλογιζόμενος, ἐξ ἀφορμῆς τοῦ φόνου ποὺ διέπραξε, τὴν

ἔτρεφε, ταύτην μᾶλλον ἐκπλήττομαι. Ὁ γὰρ εἰς φόνον ἀπορρήξας τὴν ὠδῖνα ἐκείνην, ἐδήλωσε διὰ τῶν ἐσχάτων τὰ πρότερα. Οὐ γὰρ ἂν μετὰ τοσαύτης αὐτοῖς σφοδρότητος ἤμυνεν, εἰ μὴ τῶν πατέρων μᾶλλον τοῖς ἐκείνων ἐτήκετο κακοῖς. Τί οὖν ἐπειδὴ ἤμυνε, καὶ τὴν ψυχὴν ἀνέπαυσε μικρὸν ἀπὸ τῆς ἀθυμίας ἐκείνης; ἆρα· ἠδυνήθη τέλεον ἀπολαῦσαι τῆς παραμυθίας ἐκείνης τῆς ἀπὸ τῆς ἐκδικήσεως γεγενημένης; Δευτέρα μὲν οὖν οὐκ ἔφθασεν ἡμέρα, καὶ τῆς προτέρας ἑτέρα χαλεπωτέρα διεδέχετο τὸν μακάριον ἐκεῖνον ὀδύνη, καὶ φόβος τοσοῦτος, ὡς καὶ ἀπελάσαι τῆς Αἰγύπτου πάσης αὐτόν. Δεινὸν μὲν οὖν καὶ τὸ ὑφ' ὁτουοῦν ἀκούειν κακῶς, ὅταν δὲ καὶ τῶν εὐεργετηθέντων τις ὁ τοῦτο ποιῶν ᾖ, καὶ τὰς εἰς αὐτὸν εὐεργεσίας ὀνειδίζῃ καὶ προφέρῃ, «Μὴ ἀνελεῖν με γὰρ σύ», φησί, «θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;», τότε δή, τότε ἡ ὕβρις ἀφόρητος γίνεται, καὶ δύναιτ' ἂν καὶ ἀποπνίξαι τὸν ὑβριζόμενον· τοσοῦτον μετὰ τῆς ἀθυμίας ἐπάγει καὶ τὸν θυμόν.

Ἐπὶ δὲ τοῦ Μωσέως καὶ τρίτον ἕτερον τούτοις προσῆν, ὁ τοῦ βασιλέως φόβος, ὃς οὕτως ἐκράτησε τῆς τοῦ δικαίου ψυχῆς, ὡς καὶ τῆς χώρας ἁπάσης αὐτὸν ἐκβαλεῖν. Γίνεται δὴ οὖν φυγὰς ὁ τοῦ βασιλέως υἱός· ὥστε εἴ τις αὐτὸν μακαρίζει διὰ τὴν ἐν τοῖς βασιλείοις ἀνατροφήν, νῦν μνημονευέτω τῆς ἀφθονίας ἐκείνης, καὶ μυρίας αὐτὴν ὄψεται ἀθυμίας καὶ δυσκολίας ὑπόθεσιν τῷ δικαίῳ γεγενημένην. Οὐ γάρ ἐστιν ἴσον ἐν ἰδιωτικῇ τραφέντα οἰκίᾳ, καὶ πολλοὺς μὲν μόχθους, πολλὰς δὲ ἀποδημίας καὶ ταλαιπωρίας ὑπομείναντα, πλάνας ἀνέχεσθαι μακρὰς καὶ τὰ τῆς ἀλλοτρίας ὑπο-

τόσον μεγάλην φλόγα τῆς λύπης ποὺ ἔτρεφε κατὰ τὸν προηγούμενον χρόνον, αὐτὴ κατ' ἐξοχὴν μ' ἀφήνει κατάπληκτον. Διότι αὐτὸς ποὺ μετέτρεψε τὸν πόνον ἐκεῖνον εἰς φόνον, κατέστησε φανερὰ τὰ προηγούμενα μὲ τὰς τελευταίας πράξεις του. Διότι δὲν θὰ ἦτο δυνατὸν νὰ δείξῃ μὲ τόσην σφοδρότητα τὴν ὑπεράσπισίν του, ἐὰν δὲν ἔλειωνε περισσότερον ἀπὸ τοὺς πατέρας τῶν τέκνων ἐξ αἰτίας ἐκείνων τῶν κακῶν. Τί λοιπόν, ἐπειδὴ ἠμύνθη κατ' αὐτὸν τὸν τρόπον, ἀνεκούφισε καὶ τὴν ψυχὴν ὀλίγον ἀπὸ τὴν λύπην ἐκείνην; ἆρά γε ἠμπόρεσεν ἐξ ὁλοκλήρου ν' ἀπολαύσῃ τῆς παρηγορίας ἐκείνης ποὺ εἶχε προέλθει ἀπὸ τὴν ἐκδίκησιν; Δὲν εἶχεν ἔλθει ἡ δευτέρα ἡμέρα καὶ κατελάμβανε τὸν μακάριον ἐκεῖνον λύπη φοβερωτέρα καὶ ἀπὸ τὴν προηγουμένην, καὶ τόσον μέγας φόβος, ὥστε νὰ ἐκδιωχθῇ καὶ ἀπὸ ὅλην τὴν Αἴγυπτον. Εἶναι φοβερὸν πρᾶγμα λοιπὸν καὶ τὸ νὰ κακολογῆται κανεὶς ἀπὸ ὁποιονδήποτε, ὅταν ὅμως αὐτὸ τὸ κάνῃ καὶ κάποιος ἀπὸ ἐκείνους ποὺ εὐεργετήθησαν καὶ κατηγορῇ τὰς εὐεργεσίας ποὺ ἔγιναν εἰς αὐτὸν καὶ λέγει, «Μήπως», λέγει, «θέλεις νὰ μὲ φονεύσῃς μὲ τὸν ἴδιον τρόπον ποὺ ἐφόνευσες χθὲς τὸν Αἰγύπτιον;»[2], τότε λοιπόν, τότε ἡ προσβολὴ γίνεται ἀβάστακτος καὶ εἶναι δυνατὸν καὶ νὰ πνίξῃ τὸν ὑβριζόμενον· τόσον μεγάλον θυμὸν δημιουργεῖ μαζὶ μὲ τὴν λύπην.

Ὅμως εἰς τὴν περίπτωσιν τοῦ Μωϋσέως ὑπῆρχεν, ἐκτὸς ἀπὸ αὐτά, τρίτον κακόν, ὁ φόβος τοῦ βασιλέως, ποὺ τόσον πολὺ εἶχε κατακυριεύσει τὴν ψυχὴν τοῦ δικαίου, ὥστε καὶ νὰ τὸν ἀπομακρύνῃ ἀπὸ ὅλην τὴν χώραν. Γίνεται λοιπὸν φυγὰς ὁ υἱὸς τοῦ βασιλέως· ὥστε, ἐὰν κάποιος τὸν μακαρίζῃ διὰ τὴν ἀνατροφήν του εἰς τὰ ἀνάκτορα, ἂς θυμηθῇ τώρα ἐκείνην τὴν ἀφθονίαν, καὶ θὰ ἰδῇ νὰ γίνεται αὐτὴ εἰς τὸν δίκαιον αἰτία μυρίων στενοχωριῶν καὶ δυσκολιῶν. Διότι δὲν εἶναι τὸ ἴδιο πρᾶγμα τὸ ν' ἀνατραφῇ κανεὶς εἰς ἰδιωτικὴν οἰκίαν καί, ἀφοῦ ὑπέμεινε πολλοὺς μόχθους καὶ πολλὰς ἀποδημίας καὶ ταλαιπωρίας, νὰ ὑπομένῃ μεγάλας περιπλανήσεις καὶ νὰ ὑπο-

μένειν τε κακά, καί, μηδὲ εἰς βραχεῖαν πεῖραν τούτων ἐλθόντα ποτέ, ἀλλ' ἐν πολυτελείᾳ διατελέσαντα τὸν ἅπαντα χρόνον, τὸ αὐτὸ δὴ τοῦτο παθεῖν· πολλῷ γὰρ οὗτος ἐκείνου χαλεπωτέρας αἰσθήσεται τῆς φυγῆς, εἴ ποτε εἰς ταύτην καταστῆναι συμβαίη τὴν ἀνάγκην αὐτῷ· ὃ δὴ κἀκείνῳ τότε συνέβαινε. Καὶ γενόμενος φυγάς, κατάγεται μὲν παρὰ ἀνδρὶ εἰδωλολάτρῃ καὶ ἀλλοφύλῳ· καὶ τοῦτο δὲ εἰς ἀθυμίας λόγον οὐ μικρόν, ξενίζεσθαι παρὰ τῷ δαιμονίοις ἱερωμένῳ χρόνον οὕτω μακρόν. Ἐγχειρισθεὶς δὲ τὴν τῶν ποιμνίων ἐπιμέλειαν τῶν ἐκείνου, οὕτω τὰ τεσσαράκοντα ἔτη διετέλεσεν.

Εἴ δέ τινι τοῦτο μηδὲν εἶναι δοκεῖ δεινόν, ἐξετάσωμεν τοὺς μὴ διά φόβον καὶ δέος ἀποδημοῦντας καὶ κρυπτομένους, ἀλλὰ τοὺς ἑκοντὶ μικρὸν τῆς οἰκίας διασπωμένους, πῶς ἀλύουσι, πῶς δυσχεραίνουσι, πόσων ἀγαθῶν τὴν ἐπάνοδον τίθενται. Ὅταν δὲ καὶ φόβος προσῇ καὶ βίος ταλαίπωρος, καὶ τὰ φορτικὰ ταῦτα καὶ ἐπαχθῆ τῆς ἡδίστης ἐπανόδου κουφότερα φαίνηται, θέα μοι τὸ ποικίλον τῆς συμφορᾶς. Μὴ γὰρ ἁπλῶς ἀκούσῃς τό, «ἐποίμαινεν», ἀλλ' ἀναμνήσθητι νῦν τῶν ῥημάτων τοῦ Ἰακώβ, ὧν πρὸς τὸν κηδεστὴν ἀπωδύρετο λέγων· «Ἐγὼ ἀπετίννυον παρ' ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός· ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου». Ταῦτα γὰρ ἅπαντα καὶ τούτῳ συμβαίνειν εἰκὸς ἦν, ἐπὶ πλείοσιν ἔτεσι καὶ μετὰ μείζονος τῆς σφοδρότητος, ὅσῳ καὶ ἡ χώρα τῆς χώρας ἐρημοτέρα. Εἰ δὲ μὴ ἀπωδύρατο ταῦτα ὁ Μωϋσῆς, οὐδὲ γὰρ ὁ μακάριος ἐκεῖνος εἶπεν ἄν, εἰ μὴ εἰς πολλὴν τοῦ πρά-

2. Ἐξ. 2, 14.
3. Γεν. 31, 39-40.

μένη τὰ κακὰ τῆς ξένης χώρας, καὶ τὸ νὰ μὴ λάβῃ κανεὶς πεῖραν ὅλων αὐτῶν οὔτε ἐπὶ ἐλάχιστον χρόνον, ἀλλ', ἀφοῦ ἔζησεν ὅλην τὴν ζωήν του μὲ πολυτέλειαν, νὰ πάθῃ ἀκριβῶς αὐτὸ τὸ ἴδιο· διότι αὐτὸς θὰ αἰσθανθῇ τὴν φυγὴν πολὺ πιὸ χειροτέραν ἀπὸ ἐκεῖνον, ἐάν ποτε ἤθελε συμβῇ νὰ περιέλθῃ εἰς αὐτὴν τὴν ἀνάγκην, πρᾶγμα λοιπὸν ποὺ τότε συνέβαινεν εἰς ἐκεῖνον. Καί, ἀφοῦ ἔγινε φυγάς, καταφεύγει εἰς κάποιον ἄνθρωπον εἰδωλολάτρην καὶ ἀλλόφυλον· καὶ αὐτὸ δὲν ἦτο μικρὴ αἰτία διὰ λύπην, τὸ νὰ φιλοξενῆται δηλαδὴ ἐπὶ τόσον μεγάλον χρόνον ἀπὸ ἱερέα τῶν δαιμονίωνν. Ἀφοῦ δὲ τοῦ ἀνετέθη ἡ φροντὶς τῶν ποιμνίων ἐκείνου, ἔτσι ἐπέρασε τὰ σαράντα ἔτη του.

Ἐὰν ὅμως εἰς κάποιον φαίνεται ὅτι αὐτὸ δὲν εἶναι φοβερὸν πρᾶγμα, ἂς ἐξετάσωμεν ὄχι αὐτοὺς ποὺ ξενιτεύονται καὶ κρύπτονται ἀπὸ φόβον καὶ δέος, ἀλλ' ἐκείνους ποὺ μὲ τὴν θέλησίν των ἀπομακρύνονται ἀπὸ τὴν οἰκίαν των δι' ὀλίγον χρόνον, ποίας στενοχωρίας δοκιμάζουν, ποίας δυσκολίας συναντοῦν, καὶ πόσων ἀγαθῶν αἰτίαν θεωροῦν τὴν ἐπάνοδόν των εἰς τὴν οἰκίαν των. Ὅταν δὲ αὐτὰ συνοδεύωνται καὶ ἀπὸ φόβον καὶ ἀπὸ ταλαίπωρον βίον, καὶ τὰ ἀνυπόφορα αὐτὰ καὶ τὰ δυσκολοβάστακτα πράγματα φαίνωνται ἐλαφρότερα ἀπὸ τὴν γλυκυτάτην ἐπιστροφήν, πρόσεχε τότε σὲ παρακαλῶ τὸ πολύμορφον τῆς συμφορᾶς του. Μὴ λοιπὸν ἀκούσῃς ἁπλῶς τὸ «ἐποίμανεν», ἀλλ' ἐνθυμήσου τώρα τὰ λόγια τοῦ Ἰακώβ, τὰ ὁποῖα ἔλεγε ὀδυρόμενος πρὸς τὸν πενθερόν του· «Ἐγὼ ἐπλήρωνα ἀπὸ τὰ ἰδικά μου διὰ τὰ κλοπιμαῖα τῆς ἡμέρας καὶ τὰ κλοπιμαῖα τῆς νυκτός· κατὰ τὴν διάρκειαν τῆς ἡμέρας μὲ κατέκαιεν ὁ καύσων καὶ κατὰ τὴν νύκτα ὑπέφερον τὸν παγετόν, καὶ ἀπουσίαζεν ὁ ὕπνος ἀπὸ τὰ μάτια μου»[8]. Διότι ὅλα αὐτὰ φυσικὸν ἦτο νὰ συνέβαινον καὶ εἰς αὐτόν, ἐπὶ περισσότερα ἔτη καὶ μὲ τόσον μεγαλυτέραν σφοδρότητα, ὅσον ἐρημοτέρα εἶναι καὶ ἡ χώρα ἐκείνη τῆς χώρας αὐτῆς. Ἐὰν δὲ συνέβη καὶ δὲν τὰ ἐθρηνολόγησεν αὐτὰ ὁ Μωϋσῆς, οὔτε καὶ ὁ μακάριος ἐκεῖνος θὰ τὰ ἔλεγεν, ἐὰν δὲν περι-

γματος κατέστη τὴν ἀνάγκην, καὶ ὑπὸ τῆς ἀγνωμοσύνης τοῦ κηδεστοῦ εἰς ταῦτα ἐλθεῖν ἐβιάσθη τὰ ῥήματα.

Ἱκανὴ μὲν οὖν καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ ἀλλοτρία ταπεινῶσαι τὸν ἄνδρα, τὸν καὶ χρείας ἕνεκεν ἀποδημοῦντα μόνον. Ὡς γὰρ ὄρνεον, φησίν, ὅταν ἐκπετασθῇ ἐκ τῆς νοσσιᾶς αὐτοῦ, οὕτως ἄνθρωπος δουλοῦται, ὅταν ἀποξενωθῇ ἀπὸ τῶν ἰδίων τόπων. Τότε δὲ πρὸς τούτῳ οὐδὲ ὑπὲρ τῆς ἰδίας σωτηρίας εἶχε θαρρεῖν, ἀλλ' ὥσπερ τις οἰκέτης ὠμὸν δεσπότην ἀποδρὰς τρέμει διαπαντὸς καὶ δέδοικε μὴ ἁλῷ, οὕτω καὶ ὁ μακάριος Μωσῆς φόβῳ συνέζη διηνεκεῖ· καὶ δῆλον ἐξ ὧν καὶ τοῦ Θεοῦ μετὰ τοσοῦτον χρόνον κελεύοντος ἀπελθεῖν, ἀναδύεται καὶ ὀκνεῖ, καὶ ταῦτα ἀκούσας, ὅτι «Ὁ ζητῶν τὴν ψυχὴν αὐτοῦ τέθνηκεν».

Ἐπειδὴ δέ ποτε ἐπείσθη καὶ ἀπῆλθε καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἠναγκάσθη καταλιπεῖν, πάλιν μέμψεις καὶ ὕβρεις καὶ ἀπειλαὶ παρὰ τοῦ κρατοῦντος τῆς Αἰγύπτου τότε, κατηγορίαι δὲ καὶ ἀραὶ παρὰ τῶν εὐεργετουμένων αὐτῶν. Ὁ μὲν οὖν ἔλεγεν· «Ἱνατί, Μωσῆ καὶ Ἀαρών, διαστρέφετε τὸν λαὸν ἀπὸ τῶν ἔργων αὐτῶν; ἀπέλθετε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ». Οἱ δὲ Ἰσραηλῖται, «Ἴδοι», φασίν, «ὁ Θεὸς ὑμᾶς καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡμῶν ἐνώπιον Φαραὼ καὶ ἐνώπιον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτῶν ἀποκτεῖναι ἡμᾶς».

Λυπηρὰ μὲν οὖν ταῦτα καὶ ἐπαχθῆ, τὸ δὲ πάντων φορτικώτερον ἐκεῖνο ἦν, ὅτι εἰσελθὼν καὶ μυρία ἐπαγγειλάμενος ἀγαθά, ἐλευθερίαν, ἀπαλλαγὴν τῶν ἐπικειμένων κακῶν, ἔδοξεν εἶναι ἀπατεών. Οὐ γὰρ μόνον αὐτοῖς οὐκ ἐπεκουφίσθη τὸ τῆς ἐπικειμένης δουλείας βάρος, ἀλλὰ καὶ πρὸς τὸ

4. Ἐξ. 4, 19.
5. Ἐξ. 5, 4.
6. Ἐξ. 5, 21.

ἤρχετο εἰς τὴν μεγάλην ἀνάγκην καὶ δὲν ἐξηναγκάζετο νὰ εἰπῇ αὐτὰ τὰ λόγια ἐξ αἰτίας τῆς ἀγνωμοσύνης τοῦ πενθεροῦ του.

Βέβαια ἡ ξένη χώρα εἶναι ἱκανὴ καὶ αὐτὴ καθ' ἑαυτὴν νὰ ταπεινώσῃ τὸν ἄνθρωπον, αὐτὸν ποὺ ξενιτεύεται καὶ μόνον ἀπὸ ἀνάγκην. Διότι, λέγει, ὡσὰν τὸ ὄρνεον, ὅταν πετάξῃ ἀπὸ τὴν φωλεάν του, ἔτσι ὁ ἄνθρωπος σκλαβώνεται, ὅταν ἀποδημήσῃ ἀπὸ τοὺς τόπους του. Τότε δὲ ἐκτὸς ἀπὸ αὐτὸ δὲν εἶχε νὰ ἐλπίζῃ οὔτε διὰ τὴν σωτηρίαν του, ἀλλ' ὅπως ἀκριβῶς κάποιος δοῦλος ἀποδράσας τρέμει συνεχῶς τὸν σκληρὸν κύριόν του καὶ φοβεῖται μήπως συλληφθῇ, ἔτσι καὶ ὁ μακάριος Μωϋσῆς ἔζη μὲ διαρκῆ φόβον· καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὸ ὅτι, ἐὰν καὶ ὁ Θεός, μετὰ ἀπὸ τόσον χρόνον, τὸν διατάσσει νὰ φύγῃ ἀπὸ ἐκεῖ, ἀποφεύγει νὰ τὸ πράξῃ καὶ διστάζει, καὶ ὅλα αὐτὰ ἂν καὶ ἤκουσε νὰ τοῦ λέγῃ, ὅτι «Ἀπέθανεν αὐτὸς ποὺ ἤθελε νὰ τὸν φονεύσῃ»[4].

Ὅταν ὅμως κάποτε ἐπείσθη καὶ ἀνεχώρησε καὶ ἠναγκάσθη νὰ ἐγκαταλείψῃ τὴν γυναῖκα του καὶ τὰ παιδιά του, πάλιν δέχεται κατηγορίας καὶ προσβολὰς καὶ ἀπειλὰς ἐκ μέρους τοῦ ἄρχοντος τότε τῆς Αἰγύπτου, κατηγορίας δὲ καὶ κατάρας ἐκ μέρους τῶν ἰδίων τῶν εὐεργετουμένων. Ὁ μὲν λοιπὸν ἄρχων ἔλεγε· «Διατί, Μωϋσῆ καὶ Ἀαρών, ἀποτρέπετε τὸν λαὸν ἀπὸ τὰ ἔργα του; πηγαίνετε ὁ καθένας σας εἰς τὴν ἐργασίαν του»[5]. Οἱ δὲ Ἰσραηλῖται τοῦ λέγουν· «Εἴθε νὰ ἰδῇ ὁ Θεὸς τὰ ἔργα σας καὶ νὰ σᾶς κρίνῃ, διότι ἐκάματε μισητὴν τὴν ὑπόληψίν μας ἐνώπιον τοῦ Φαραὼ καὶ ἐνώπιον τῶν ὑπηρετῶν του, παραδώσαντες ρομφαίαν εἰς τὰ χέρια αὐτῶν διὰ νὰ μᾶς φονεύσουν»[6].

Βέβαια αὐτὰ εἶναι λυπηρὰ καὶ πολὺ ἀνυπόφορα, τὸ πιὸ ἀνυπόφορον ὅμως ἀπὸ ὅλα ἦτο ἐκεῖνο, ὅτι δηλαδὴ ἀφοῦ ἦλθε καὶ τοὺς ὑπεσχέθη μύρια ἀγαθά, ἐλευθερίαν, ἀπαλλαγὴν ἀπὸ τὰ κακὰ ποὺ ὑφίσταντο, ἐφάνη ὅτι εἶναι ἀπατεών. Διότι, ὄχι μόνον δὲν ἀνεκούφισεν αὐτοὺς ἀπὸ τὸ βάρος τῆς δουλείας ποὺ ἐβάσταζον, ἀλλὰ καὶ πρὸς τὸ χει-

χαλεπώτερον ἐπετείνετο καὶ ὁ προσδοκηθεὶς ἐλευθερωτὴς ἔσεσθαι τοῦ παντὸς ἔθνους, καὶ τοῦτο ἐπαγγειλάμενος, τῶν στρεβλώσεων καὶ τῶν μαστίγων αἴτιος ἔδοξεν εἶναι, καὶ ἐπίβουλος καὶ λυμεών. Τίς οὐκ ἂν ὑπὸ τῆς ἀθυμίας κατεπόθη ῥαδίως, ὑποσχόμενος μὲν λύσιν τῶν τοσούτων κακῶν, μετὰ δὲ τὴν ὑπόσχεσιν προσθήκην ἑτέρων χαλεπωτέρων ἰδών; Ἠθύμει μὲν οὖν ὡς ἀθυμεῖν εἰκὸς τὸν ταῦτα ἀκούοντα καὶ ὁρῶντα, οὐ παρετρέπετο δὲ ὑπὸ τοῦ πάθους, ἀλλ' ἔμεῖνεν ἀκλινής, καίτοι ταῖς ἐπαγγελίαις τῶν γινομένων οὐ συμβαινόντων, ἀλλὰ καὶ μαχομένων.

Προσελθὼν δὲ τῷ Θεῷ καὶ διαλεχθεὶς ὑπὲρ τούτων, καὶ ἀποδυράμενος πολλά· εἶπε γάρ, φησί, Κύριε, διὰ τί ἐκάκωσας τὸν λαόν σου, καὶ ἱνατί ἀπέστειλάς με; καὶ ἀφ' οὗ εἰσπεπόρευμαι πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαὸν τοῦτον, καὶ οὐκ ἐρρύσω τὸν λαόν σου». Ταῦτα δὴ οὖν θρηνήσας καὶ τὰ αὐτὰ πάλιν ἀκούσας ἅπερ καὶ πρότερον, ἀπαγγέλλει μὲν αὐτὰ τοῖς Ἰσραηλίταις πάλιν, οὐ παραδέχονται δὲ ἐκεῖνοι τῷ κρατεῖσθαι τὰς ψυχὰς ὑπὸ τοῦ καμάτου καὶ τῆς ἀθυμίας. Οὐκ εἰσήκουσαν γὰρ Μωσέως, φησίν, ἀπὸ τῆς ἀθυμίας καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν. Καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτὸν ἔθλιβεν.

Ὡς δὲ ἐπὶ τῶν σημείων ἐγίνετο καὶ πολλάκις ὑπὸ τοῦ Φαραὼ διαπαιχθεὶς ἤνεγκε γενναίως καὶ ταύτην τὴν χλευασίαν, ἀπαλλαγεὶς τῆς Αἰγύπτου, καὶ θαρρήσας μετὰ τῶν Ἰουδαίων λοιπόν, πρὶν ἀναπνεῦσαι τέλεον, τῷ προτέρῳ, μᾶλλον δὲ καὶ πολλῷ μείζονι τοῦ προτέρου κατελαμβάνετο φόβῳ. Οὔπω γὰρ ὅλαι τρεῖς ἡμέραι, καὶ τοὺς βαρβάρους ἅπαντας μετὰ τῶν ὅπλων εἶδον πλησίον ἑστῶτας αὐτῶν, καὶ

---

7. Ἐξ. 5, 23.
8. Πρβλ. Ἐξ. 6, 9.

ρότερον τὴν ἐπεξέτεινε, καὶ αὐτὸν ποὺ ἀνέμεινον νὰ γίνῃ ἐλευθερωτὴς ὁλοκλήρου τοῦ ἔθνους καὶ ποὺ τοὺς τὸ ὑπεσχέθη καὶ ὁ ἴδιος, ἐθεωρήθη νὰ εἶναι αἴτιος ὅλων τῶν βασάνων καὶ τῶν μαστιγώσεων καθὼς ἐπίσης καὶ ἐπίβουλος καὶ καταστροφεύς. Ποῖος δὲν θὰ ἦτο δυνατὸν νὰ καταβροχθισθῇ εὐκόλως ὑπὸ τῆς λύπης, καθ' ἣν στιγμὴν ὑπέσχετο μὲν ἀπαλλαγὴν ἀπὸ τὰ τόσα κακά, ὅμως ἔβλεπε μετὰ τὴν ὑπόσχεσιν νὰ προστίθενται ἄλλα χειρότερα κακά; Ἐλυπεῖτο λοιπὸν ὅπως εἶναι φυσικὸν νὰ λυπῆται ἐκεῖνος ποὺ ἀκούει αὐτὰ καὶ βλέπει, δὲν παρεσύρετο ὅμως ὑπὸ τοῦ πάθους, ἀλλ' ἔμενεν ἀκλόνητος, ἂν καὶ βέβαια δὲν συνέβαινον τὰ ὅσα ἐγίνοντο, σύμφωνα μὲ τὰς ὑποσχέσεις, ἀλλά συγχρόνως καὶ κατεπολεμοῦντο.

Ἀφοῦ λοιπὸν προσῆλθεν εἰς τὸν Θεὸν καὶ συνωμίλησε μετ' αὐτοῦ περὶ αὐτῶν καὶ ἐθρήνησε πικρά, εἶπε, λέγει· «Κύριε, διατί κατέστησες ἄθλιον τὸν λαόν σου, καὶ διατί μὲ ἀπέστειλες; καὶ ἀπὸ τότε ποὺ μετέβην εἰς τὸν Φαραὼ διὰ νὰ τοῦ ὁμιλήσω ἐξ ὀνόματός σου, κακομετεχειρίσθη τὸν λαὸν αὐτὸν καὶ δὲν ἠλευθέρωσες τὸν λαόν σου»[7]. Ἀφοῦ λοιπὸν ἐθρήνησεν ὅλα αὐτὰ καὶ ἤκουσε πάλιν αὐτὰ ποὺ ἤκουσε προηγουμένως, τὰ ἀναφέρει μὲν καὶ πάλιν εἰς τοὺς Ἰσραηλίτας, δὲν τὰ ἀποδέχονται ὅμως ἐκεῖνοι, λόγῳ τοῦ ὅτι ἦσαν κυριευμέναι αἱ ψυχαί των ἀπὸ τὴν κούρασιν καὶ τὴν λύπην. Διότι, λέγει, δὲν ὑπήκουσαν εἰς τὰ λόγια τοῦ Μωϋσέως ἐξ αἰτίας τῆς λύπης καὶ τῶν σκληρῶν ἔργων[8]. Καὶ δὲν ἦτο τυχαία ἡ θλῖψις αὐτὴ ποὺ τοῦ προεκάλει.

Ὅταν δὲ συνέβησαν τὰ σημεῖα ἐκεῖνα καί, ἐμπαιχθεὶς πολλὰς φορὰς ὑπὸ τοῦ Φαραώ, ὑπέμεινε γενναῖα καὶ αὐτὸν τὸν χλευασμόν, ἐγκαταλείψας τὴν Αἴγυπτον καὶ λαβὼν μαζὶ μὲ τοὺς Ἰουδαίους θάρρος πλέον, πρὶν ἀκόμη νοιώσῃ τελείαν ἀνακούφισιν, κατεκυριεύετο ἀπὸ τὸν προηγούμενον φόβον, μᾶλλον δὲ καὶ ἀπὸ πολὺ πιὸ μεγαλύτερον φόβον. Διότι δὲν εἶχον ἀκόμη περάσει τρεῖς ὁλόκληραι ἡμέραι καὶ εἶδον ὅλους τοὺς βαρβάρους μετὰ τῶν ὅπλων των νὰ εὑρίσκωνται πλησίον των καὶ ἔπασχον αὐτὸ ἀ-

ταὐτὸν ἔπασχον, οἷον εἰ δραπέται τινὲς ἐπὶ τῆς ἀλλοτρίας ἄφνω τοῖς τῶν δεσποτῶν ἐμπεσόντες ὀφθαλμοῖς· ἢ εἰ καθάπερ αὐτοὶ δὴ οὗτοι εἴποτε συμβὰν χρηστοῖς ὀνείρασιν ἐντρυφήσαντες, καὶ ταύτην φαντασθέντες τὴν ἀπαλλαγήν, εἶτα διεγερθέντες εὗρον ἑαυτοὺς ἐν Αἰγύπτῳ πάλιν καὶ τοῖς ὁμοίοις κακοῖς. Μᾶλλον δὲ οὐκ οἶδα τί ἄν τις αὐτοὺς φαίη νομίζειν ὄναρ, τὰς τρεῖς ἡμέρας τῆς ἀπαλλαγῆς, ἢ τὴν παροῦσαν ὄψιν ἐκείνην τὴν φρικώδη καὶ φοβεράν· τοσαύτη κατεσκεδάσθη τοῖς ἁπάντων ὀφθαλμοῖς ἀθυμίας ἀχλύς.

Ὁ δὲ Μωσῆς καὶ μείζονι σκότῳ συνεχόμενος ἦν. Οὐ γὰρ τοὺς Αἰγυπτίους ἐδεδοίκει μόνον, καθάπερ καὶ οἱ λοιποὶ Ἰσραηλῖται, ἀλλὰ καὶ τούτους μετ' ἐκείνων. Ἀμφότεροι γὰρ ὡς ἀπατεῶνι καὶ εἴρωνι προσεῖχον λοιπόν, οἱ μὲν μετὰ τοῦ καταγελᾶν καὶ ἐπεμβαίνειν, οἱ δὲ μετὰ τοῦ δάκνεσθαι καὶ ἀθυμεῖν. Ἀλλὰ τί χρὴ τούτοις τεκμαίρεσθαι τὴν ἀθυμίαν τοῦ ἀνδρός, παρὸν ἐκ τῆς ἄνωθεν ἐνεχθείσης φωνῆς πᾶσαν αὐτοῦ τὴν ὀδύνην καταμαθεῖν; Σιγῶντι γὰρ καὶ μηδὲ διᾶραι τὰ χείλη τολμῶντι, φησὶν ὁ Θεός· «Τί βοᾷς πρός με;», τὸν θόρυβον τῆς ψυχῆς αὐτοῦ δι' ἑνὸς ρήματος τούτου ἐμφαίνων ἡμῖν.

Ἐπειδὴ δὲ καὶ τοῦτο ἐλύθη τὸ δέος, καὶ μείζονα πάλιν ἤρετο τὰ δεινά. Καὶ γὰρ καὶ τῶν Αἰγυπτίων καὶ τοῦ Φαραὼ χαλεπώτερον αὐτῷ δι' ὅλης ἐκέχρηντο τῆς ὁδοῦ οἱ παρ' αὐτοῦ δημαγωγούμενοι καὶ δι' αὐτοῦ μυρίων ἀπολαύσαντες ἀγαθῶν. Καὶ πρῶτον μὲν ἐπέκειντο σφοδρῶς ἄγχοντες, καὶ κρέα ἀπαιτοῦντες αὐτὸν τὰ ἐν Αἰγύπτῳ καὶ τοῖς μὲν πα-

---

9. Ἐξ. 14, 15.

κριβῶς ποὺ παθαίνουν μερικοὶ ποὺ δραπετεύουν πρὸς ξένην χώραν, καὶ ποὺ ξαφνικὰ πίπτουν ἐμπρὸς εἰς τὰ μάτια τῶν κυρίων των, ἢ ὅπως ἀκριβῶς ἐὰν ἤθελε συμβῇ αὐτοὶ οἱ ἴδιοι νὰ βυθισθοῦν κάποτε εἰς εὐχάριστα ὄνειρα, καὶ φαντασθέντες αὐτὴν τὴν ἀπαλλαγήν, εἰς τὴν συνέχειαν, ἀφοῦ ἐξύπνησαν, εὗρον τοὺς ἑαυτούς των καὶ πάλιν εἰς τὴν Αἴγυπτον καὶ μέσα εἰς τὰ ἴδια τὰ κακά. Μᾶλλον δὲ δὲν γνωρίζω ποῖο θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ὅτι αὐτοὶ ἐθεώρουν ὡς ὄνειρον, τὰς τρεῖς ἡμέρας τῆς ἀπαλλαγῆς των, ἢ τὸ παρὸν ἐκεῖνο θέαμα, τὸ φρικῶδες καὶ φοβερόν· τόσον πυκνὸν σκότος λύπης ἐσκορπίσθη εἰς τὰ μάτια ὅλων.

Ὁ δὲ Μωϋσῆς ἦτο κατακυριευμένος καὶ ἀπὸ πιὸ πυκνὸν σκότος. Διότι δὲν ἐφοβεῖτο μόνον τοὺς Αἰγυπτίους, ὅπως ἀκριβῶς καὶ οἱ ὑπόλοιποι Ἰσραηλῖται, ἀλλὰ μαζὶ μὲ τοὺς Αἰγυπτίους καὶ αὐτούς. Καθ᾽ ὅσον καὶ οἱ δύο τὸν ἔβλεπον πλέον ὡσὰν ἀπατεῶνα καὶ ψεύτην, οἱ μὲν Αἰγύπτιοι ἐπειδὴ τοὺς ἐξηπάτα καὶ ἐπενέβαινεν ἀναρμόδια εἰς τὰς ξένας ὑποθέσεις, οἱ δὲ Ἰσραηλῖται ἐπειδὴ τοὺς ἐστενοχώρει καὶ τοὺς ἐγέμιζε μὲ λύπην. Ἀλλὰ τί χρειάζεται νὰ βγάζωμεν ἀπὸ αὐτὰ συμπεράσματα διὰ τὺν λύπην τοῦ ἀνδρός, ἀφοῦ ἠμποροῦμεν ἀπὸ τὴν ἐξ οὐρανοῦ ἐλθοῦσαν φωνὴν νὰ γνωρίσωμεν ὅλην τὴν ὀδύνην αὐτοῦ; Διότι, καθ᾽ ἣν στιγμὴν ἐσιώπα καὶ δὲν ἐτόλμα οὔτε καὶ ν᾽ ἀνοίξῃ τὰ χείλη του, τοῦ λέγει ὁ Θεός· «Τί φωνάζεις πρὸς ἐμένα;»[9], καθιστῶν γνωστὸν εἰς ἡμᾶς τὸν θόρυβον τῆς ψυχῆς του μὲ μίαν φρᾶσιν.

Ὅταν ὅμως καὶ αὐτὸς ὁ φόβος ἐξηφανίσθη, ἐδέχετο καὶ πάλιν μεγαλύτερα δεινά. Καθ᾽ ὅσον συμπεριεφέροντο πρὸς αὐτόν, αὐτοὶ ποὺ εὑρίσκοντο ὑπὸ τὴν καθοδήγησίν του καὶ ἀπήλαυσαν ἐξ αἰτίας αὐτοῦ ἀνυπολόγιστα ἀγαθά, χειρότερα καὶ ἀπὸ τοὺς Αἰγυπτίους καὶ τὸν Φαραώ. Καὶ πρῶτον μὲν ἐπετίθεντο ἐναντίον του καὶ τὸν ἐστενοχώρουν πάρα πολύ, ζητοῦντες ἀπὸ αὐτὸν καὶ τὰ κρέατα ποὺ ἔτρωγον εἰς τὴν Αἴγυπτον καὶ δείχνοντες διὰ μὲν τὴν παροῦσαν κατάστασιν ἀχαριστίαν, ἐπιζητοῦντες δὲ

ρουσιν ἀχαριστοῦντες, τὰ δὲ πρότερα ἐπιζητοῦντες, ὃ πάντων βαρύτερον ἦν. Τί γὰρ χαλεπώτερον ἂν ἔπαθεν, εἰ μαινομένων καὶ παραπαιόντων ἀνδρῶν ἐπετέτραπτο στρατηγεῖν; Ἀλλ' ὅμως ταῦτα πάντα γενναίως ἔφερεν ὁ μακάριος ἐκεῖνος ἀνήρ· καὶ εἰ μὲν μὴ φιλοστόργως εἶχε πρὸς αὐτούς, φορητὸν ἂν ἦν τὸ δεινὸν καὶ ὑπὲρ τῶν εἰς αὐτὸν γινομένων μόνον παρεῖχεν ἀλγεῖν, νῦν δὲ τῶν γονέων μᾶλλον περὶ αὐτοὺς διατεθείς, ἀπὸ τῆς κηδεμονίας ταύτης καὶ ἑτέραν εἶχεν ἀθυμίας ἀνάγκην, τὴν ὑπὲρ τῆς ἐκείνων διαστροφῆς καὶ μιαρίας. Οὐδὲ γὰρ οὕτως αὐτὸν ἔδακνε τὸ ὑβρίζεσθαι, ὡς τὸ ἐκείνους εἶναι τοὺς ὑβριστάς.

Δεινὸν μὲν οὖν καὶ τὸ πρὸ τῆς χορηγίας τῆς παραδόξου τροφῆς ἐκείνης ἀχαριστεῖν· οἱ δὲ καὶ ἐν μέσοις τοῖς θαύμασι τὴν κακίαν ἐπεδείκνυον τὴν αὐτῶν, καὶ τὴν παρανομίαν καὶ τὴν πλεονεξίαν τὴν περὶ τὴν συλλογήν, καὶ μικρὸν προελθόντες πάλιν ἐγόγγυζον, πάλιν ἐμέμφοντο ταῖς εὐεργεσίαις τοῦ Θεοῦ· καθ' ἕκαστον δὲ τούτων μᾶλλον τῶν ἁμαρτανόντων ὁ μακάριος ἐκεῖνος ἐκόπτετο καὶ ἠθύμει. Καὶ γὰρ ὅτε τὸν μόσχον εἰργάσαντο, αὐτοὶ μὲν ἔπαιζον καὶ ἐτρύφων, ὁ δὲ πενθῶν καὶ ἀνιώμενος καὶ καταρώμενος ἑαυτῷ τὴν χαλεπὴν ἐκείνην ἀρὰν Μωσῆς ἦν, καὶ οὐδὲν αὐτὸν ὅλως ἔπειθεν ἀποστῆναι τῆς συμπαθείας τῆς πρὸς αὐτούς. Τοὺς οὖν οὕτως ὑπ' αὐτοῦ ποθουμένους ἐπὶ τὸ χεῖρον ἀεὶ προβαίνοντας ὁρῶν, πόση λύπη, πόσοις δὲ ἄρα συνανεστρέφετο δάκρυσιν; Εἰ γὰρ ἕνα τις υἱὸν ἔχων οὐκ ἂν δύναιτο ζῆν, εἴ ποτε αἴσθοιτο πρὸς κακίαν αὐτὸν ἀποκλίναντα, καὶ εἰ πάντων αὐτὸς πονηρότερος ὢν τύχοι, τὸν μυριάδας τοσαύτας ἐν τάξει παίδων κεκτημένον, μᾶλλον δὲ καὶ ὑπὲρ παῖδας

τὴν προηγουμένην, πρᾶγμα ποὺ ἦτο τὸ πιὸ βαρύτερον ἀπὸ ὅλα. Διότι τί χειρότερον θὰ ἦτο δυνατὸν νὰ πάθῃ ἐὰν ἤθελε διαταχθῇ νὰ ὁδηγήσῃ μαινομένους καὶ παράφρονας ἀνθρώπους; Ἀλλ' ὅμως ὅλα αὐτὰ τὰ ὑπέμενε γενναῖα ὁ μακάριος ἐκεῖνος ἄνδρας. Καὶ ἐὰν μὲν δὲν ἠγάπα αὐτούς, θὰ ἦτο δυνατὸν νὰ εἶναι ὑποφερτὸν τὸ κακὸν καὶ θὰ τὸν ἔκανε νὰ πονᾷ μόνον διὰ τὰ ὅσα συνέβαινον εἰς αὐτόν, ἐνῷ τώρα, ἂν καὶ τοὺς συμπεριεφέρθη καλύτερον καὶ ἀπὸ τοὺς γονεῖς των, ἀπὸ τὴν κηδεμονίαν αὐτὴν ἐδημιουργεῖτο εἰς αὐτὸν καὶ ἄλλη αἰτία λύπης, ποὺ προήρχετο ἀπὸ τὴν διαστροφήν των καὶ τὴν κτηνώδη διαγωγήν των. Διότι δὲν τὸν ἐπλήγωνον τόσον πολὺ αἱ ὕβρεις, ὅσον τὸ ὅτι ἐκεῖνοι ἦσαν ποὺ τὸν ὕβριζον.

Βέβαια εἶναι φοβερὸν πρᾶγμα τὸ νὰ δείχνουν ἀχαριστίαν καὶ πρὶν ἀπὸ τὴν χορηγίαν τῆς παραδόξου ἐκείνης τροφῆς, αὐτοὶ ὅμως ἔδειχνον τὴν κακίαν των καὶ κατὰ τὴν στιγμὴν ποὺ συνέβαινον τὰ θαύματα, καθὼς ἐπίσης καὶ τὴν παρανομίαν των καὶ τὴν πλεονεξίαν των κατὰ τὴν συλλογὴν τῆς τροφῆς, καὶ ἀφοῦ ἐπερνοῦσεν ὀλίγος χρόνος πάλιν ἐγόγγυζον, πάλιν ἐμέμφοντο τὰς εὐεργεσίας τοῦ Θεοῦ· διὰ τὸ καθένα ἀπὸ ὅλα αὐτὰ ὁ μακάριος ἐκεῖνος ἐστενοχωρεῖτο καὶ ἐλυπεῖτο περισσότερον ἀπὸ τοὺς ἁμαρτάνοντας. Καθ' ὅσον, ὅταν ἔσφαξαν τὸν μόσχον, αὐτοὶ μὲν ἔπαιζον καὶ διεσκέδαζον, ἐνῷ, αὐτὸς ποὺ ἐπένθει καὶ ἐστενοχωρεῖτο καὶ κατηρᾶτο τὸν ἑαυτόν του μὲ τὴν πιὸ φοβερὰν ἐκείνην κατάραν, ἦτο ὁ Μωϋσῆς, καὶ τίποτε δὲν τὸν ἔπειθε τελείως νὰ παύσῃ νὰ τρέφῃ συμπάθειαν πρὸς αὐτούς. Δι' αὐτοὺς λοιπὸν ποὺ τόσον πολὺ ἠγάπα, βλέπων νὰ βαδίζουν συνεχῶς πρὸς τὸ χειρότερον, πόσην λύπην δὲν ἔνοιωθε καὶ πόσα ἄρα γε δάκρυα δὲν ἔχυσε δι' αὐτούς; Διότι, ἐὰν κάποιος, ἔχων ἕνα υἱόν, δὲν θὰ ἠμποροῦσε νὰ ζήσῃ, ἐὰν κάποτε ἤθελεν ἀντιληφθῇ ὅτι παρεσύρθη πρὸς τὴν κακίαν, καὶ ἐὰν ἀκόμη ἐτύχαινε νὰ εἶναι αὐτὸς ὁ πιὸ κακὸς ἀπὸ ὅλους, αὐτὸς ποὺ εἶχεν ὡσὰν παιδιά του τόσας μυριάδας, μᾶλλον δὲ ποὺ τοὺς ἠγάπα καὶ περισσότερον ἀπὸ παιδιά του, (διότι

φιλοῦντα (οὐδεὶς γὰρ ἂν ηὔξατο πατὴρ συναπολέσθαι παιδὶ μηδὲν ἡμαρτηκώς, καθάπερ ἐκεῖνος), τὸν δὴ οὕτω παῖδας κεκτημένον τοσούτους, μισοπόνηρόν τε ὄντα καὶ φιλάγαθον, τί οἴει πάσχειν πάντας αὐτούς, ὥσπερ ἔκ τινος συνθήματος, εἰς τὸν τῆς κακίας κρημνὸν καταδραμόντας ἰδόντα; Οὐ γὰρ ἂν εἰ μὴ σφόδρα αὐτὸν ἐσκότωσε καὶ ἐκ βάθρων αὐτοῦ τὴν ψυχὴν ἀνέτρεψεν ὁ τῆς ἀθυμίας ἐκείνης ἴλιγγος, τὰς πλάκας ἂν ἔρριψεν ἀπὸ τῶν χειρῶν καὶ συνέτριψεν, ἀλλ' ἰάσατο ταχέως τὴν συμφοράν.

Ἀλλὰ τί ποιήσας, εἰπέ; καὶ γὰρ ὁ τῆς ἰατρείας τρόπος, εἰ καὶ παρεμυθήσατο τὸ γεγονός, ἀλλ' ὅμως καὶ αὐτὸς πολλῶν ἔγεμε δακρύων· καὶ οὐδεὶς οὕτω λίθινος ἦν, ὡς μηδὲν παθεῖν ἀδελφοὺς καὶ συγγενεῖς ὑπὸ τῶν οἰκείων σφαττομένους ὁρῶν, καὶ εἰς τρισχιλίων σωμάτων ἀριθμὸν τὴν ἐλεεινὴν ταύτην ἐκτεινομένην σφαγήν. Καὶ γὰρ ἡμεῖς τοὺς παῖδας τοὺς ἑαυτῶν ὅταν ἐπί τινι λαμβάνωμεν δεινῷ, στρεβλοῦμεν μὲν καὶ μαστιγοῦμεν, οὐκ ἀναλγητὶ δὲ τοῦτο πράττομεν, ἀλλὰ μετὰ θλίψεως οὐκ ἐλάττονος τῶν πασχόντων αὐτῶν.

Πολλοῦ δὴ τότε πένθους αὐτὸν καὶ τὸ στρατόπεδον ἔχοντος, ἑτέρα πάλιν ἀγωνία προσετίθετο. Οὐκ ἔτι γὰρ αὐτοῖς στρατηγήσειν, ἀλλ' ἐγκαταλείψειν αὐτὸν καὶ ἀγγέλῳ παραδώσειν τὴν προστασίαν αὐτῶν ἠπείλησεν ὁ Θεός, ὃ πάντων ἀφορητότερον ἦν τῷ Μωσῇ. Ἄκουσον γοῦν οἷά φησι πρὸς τὸν Θεόν· «Εἰ μὴ σὺ αὐτὸς συμπορεύῃ μοι, μὴ ἀναγάγῃς με ἐντεῦθεν». Ὁρᾷς πῶς φόβοι φόβους καὶ λῦπαι διεδέχοντο λύπας; Καὶ οὐδὲ μέχρι τούτων ἵστατο τὸ δεινόν, ἀλλ' ἐπειδὴ καὶ τοῦτο ἔπεισε τὸν Θεὸν καὶ ἐπένευσεν ὁ φιλάνθρωπος καὶ τὴν χάριν ἔδωκε, πάλιν ἑτέραις αὐτὸν περιέβαλλον ὀδύναις,

---

10. Ἐξ. 33, 18.

κανεὶς πατέρας δὲν θὰ ἦτο δυνατὸν νὰ εὐχηθῇ νὰ πεθάνῃ μαζὶ μὲ τὸ παιδί του χωρὶς νὰ ἔχῃ κάμει κάποιο ἁμάρτημα, πρᾶγμα ποὺ τὸ ἔκαμεν ἐκεῖνος), αὐτὸς λοιπὸν ποὺ εἶχε τόσα πολλὰ παιδιὰ καὶ ποὺ ἐμίσει τὸ κακὸν καὶ ἦτο φιλάγαθος, τί νομίζεις ὅτι ἔπασχεν ὅταν εἶδεν ὅλους αὐτούς, ὁρμωμένους ὡσὰν ἀπὸ κάποιο σύνθημα, νὰ τρέχουν πρὸς τὸν κρημνὸν τῆς κακίας; Διότι, ἐὰν ἡ ζάλη τῆς λύπης ἐκείνης δὲν τοῦ εἶχε σκεπάσει μὲ τόσον πολὺ σκότος τὴν ψυχήν του καὶ δὲν τὴν συνετάρασσεν ἐκ θεμελίων, δὲν θὰ ἦτο δυνατὸν νὰ ρίψῃ τὰς πλάκας ἀπὸ τὰ χέρια του καὶ νὰ τὰς συντρίψῃ, ἀλλὰ θὰ ἐθεράπευεν ἀμέσως τὴν συμφοράν.

Ἀλλ' εἰπέ μου, τί ἔκαμε; καθ' ὅσον ὁ τρόπος τῆς ἰατρείας, ἂν καὶ παρηγόρησε τὸ γεγονός, ἀλλ' ὅμως καὶ ὁ ἴδιος ἔχυνε πολλὰ δάκρυα· καὶ κανεὶς δὲν θὰ ἦτο τόσον ἀναίσθητος, ὥστε νὰ μὴ πάθῃ τίποτε βλέπων ἀδελφοὺς καὶ συγγενεῖς νὰ σφάζωνται ἀπὸ τοὺς ἰδικούς των καὶ νὰ φθάνῃ αὐτὴ ἡ ἐλεεινὴ σφαγὴ εἰς τὸν ἀριθμὸν τῶν τριῶν χιλιάδων. Καθ' ὅσον ἡμεῖς τὰ παιδιά μας, ὅταν τὰ συλλάβωμεν νὰ πράττουν κάποιο κακόν, τὰ βασανίζομεν μὲν καὶ τὰ μαστιγώνομεν, ὅμως δὲν τὸ κάμνομεν αὐτὸ χωρὶς νὰ πονοῦμεν, ἀλλὰ μὲ θλῖψιν ὄχι ὀλιγωτέραν ἀπὸ αὐτὰ τὰ ἴδια ποὺ πάσχουν.

Ἐνῷ λοιπὸν τότε διακατεῖχεν αὐτὸν καὶ τὸ στρατόπεδον πολὺ πένθος, προσετίθετο καὶ ἄλλη πάλιν ἀγωνία. Διότι τὸν ἠπείλησεν ὁ Θεός, ὅτι δὲν θὰ τὸν ἀφήσῃ πλέον νὰ εἶναι καθοδηγητής των, ἀλλὰ θὰ τὸν ἐγκαταλείψῃ καὶ θὰ παραδώσῃ τὴν προστασίαν αὐτῶν εἰς ἄγγελον, πρᾶγμα ποὺ ἦτο τὸ πιὸ ἀνυπόφορον διὰ τὸν Μωϋσῆν. Ἄκουσε λοιπὸν ποῖα λόγια λέγει πρὸς τὸν Θεόν· «Ἐὰν δὲν συμπορεύεσαι μαζὶ μὲ ἐμένα, μὴ μὲ ἐπιτρέψῃς νὰ φύγω ἀπὸ ἐδῶ»[10]. Βλέπεις πῶς οἱ φόβοι διεδέχοντο τοὺς φόβους καὶ αἱ λῦπαι τὰς λύπας; Καὶ δὲν ἐτερματίζετο τὸ κακὸν μέχρις εἰς αὐτά, ἀλλ' ὅταν καὶ αὐτὸ ἔπεισε τὸν Θεὸν καὶ τοῦ τὸ ἐνέκρινεν ὁ φιλάνθρωπος καὶ τοῦ ἔδωσε καὶ αὐτὴν τὴν χάριν, πάλιν τὸν περιέβαλλον μὲ ἄλλας

τὸν ἵλεων γενόμενον παροξύνοντες καὶ ταῖς ἐσχάταις ἑαυτοὺς περιπείροντες συμφοραῖς. Μετὰ γὰρ τὴν σφαγὴν τὴν πολυδάκρυτον οὕτω προσέκρουσαν πάλιν, ὡς ἐκκαλέσασθαι καθ' ἑαυτῶν τὸν ἐμπρησμὸν ἐκεῖνον, ὃ μικροῦ πάντας ἀνήλωσεν ἄν, εἰ μὴ καὶ οὕτω πολλῇ περὶ αὐτοὺς φιλανθρωπίᾳ ἐχρήσατο.

Τῷ δὲ Μωϋσῇ διπλῆν ἐν ἅπασι τὴν ἀθυμίαν εἶναι συνέβαινε, τῷ τε ἐκείνους ἀπόλλυσθαι, καὶ τῷ τοὺς ὑπολειπομένους ἀδιορθώτους μένειν καὶ μηδὲν ἐκ τῆς ἐκείνων κερδαίνειν συμφορᾶς. Οὔπω γὰρ τέλος εἶχεν ἐκεῖνος ὁ θάνατος, καὶ οἱ περιλειφθέντες τῶν κρομμύων ἐμέμνηντο καὶ τοῖς παροῦσιν ἐδυσχέραινον λέγοντες· «Τίς ἡμᾶς ψωμιεῖ κρέας; Ἐμνήσθημεν γὰρ τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ, καὶ τοὺς σικυοὺς καὶ τοὺς πέπονας καὶ τὰ πράσα καὶ τὰ κρόμμυα καὶ τὰ σκόροδα. Νῦν δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν. Ἔνθα μηκέτι φέρων τὴν ἀγνωμοσύνην αὐτῶν ὁ Μωϋσῆς, παραιτεῖται τὴν προστασίαν, νικηθεὶς ὑπὸ τῆς ἀθυμίας, καὶ θάνατον εὔχεται ἀντὶ τῆς πικρᾶς ἐκείνης ζωῆς. Ἐπάκουσον δὴ καὶ τῶν ῥημάτων αὐτῶν· «Καὶ εἶπε Μωϋσῆς», φησί, «πρὸς τὸν Θεόν· ἱνατί ἐκάκωσας τὸν θεράποντά σου καὶ διὰ τί οὐχ εὕρηκα χάριν ἐναντίον σου, ἐπιθεῖναι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ; Μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον πάντα τὸν λαὸν τοῦτον ἢ ἐγὼ ἔτεκον αὐτόν, ὅτι λέγεις μοι, Λάβε αὐτὸν εἰς τὸν κόλπον σου, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα, εἰς τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν; Πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ, ὅτι κλαίουσιν ἐπ' ἐμοὶ λέγοντες, Δός

---

11. Ἀριθμ. 11, 1-2.
12. Ἀριθμ. 1, 4-6.

ὀδύνας, παροργίζοντες τὸν Θεὸν ποὺ τοὺς ἔδειξε τόσην εὐσπλαγχνίαν, ρίπτοντες τοὺς ἑαυτούς των μέσα εἰς τὰς πλέον φοβερὰς συμφοράς. Μετὰ δηλαδὴ τὴν πολυδάκρυτον σφαγήν, εἰς τέτοιου εἴδους δυσχερείας περιῆλθον, ὥστε νὰ προκαλέσουν ἐναντίον των τὸν ἐμπρησμὸν ἐκεῖνον, ὁ ὁποῖος παρ' ὀλίγον καὶ θὰ τοὺς ἐξηφάνιζεν ὅλους ἐὰν δὲν ἐδείκνυε καὶ πάλιν τὴν τόσον μεγάλην φιλανθρωπίαν του ὁ Θεός[11].

Ἀλλὰ τὸν Μωϋσῆν τὸν διακατεῖχε δι' ὅλα αὐτὰ διπλῆ λύπη, καὶ διὰ τὸ ὅτι ἐχάθησαν ἐκεῖνοι καὶ διὰ τὸ ὅτι οἱ ἐναπομείναντες ἔμενον ἀδιόρθωτοι καὶ δὲν ἀπεκόμιζον κανὲν κέρδος ἀπὸ τὴν συμφορὰν ἐκείνην. Διότι δὲν εἶχεν ἀκόμη τελειώσει ἐκεῖνος ὁ θάνατος καὶ αὐτοὶ ποὺ ἐναπέμεινον ἐνεθυμοῦντο τὰ κρεμμύδια καὶ περιέβαλλον μὲ δυσχερείας τὴν παροῦσαν κατάστασιν, λέγοντες· «Ποῖος θὰ μᾶς διαθρέψῃ μὲ κρέας; Διότι ἐνεθυμήθημεν τὰ ψάρια ποὺ ἐτρώγομεν εἰς τὴν Αἴγυπτον καθὼς καὶ τὰ ἀγγούρια καὶ τὰ πεπόνια καὶ τὰ πράσα καὶ τὰ κρεμμύδια καὶ τὰ σκόρδα. Τώρα ὅμως ἡ ψυχή μας εἶναι κατάξηρος καὶ τὰ μάτια μας εἶναι ἐστραμμένα, πουθενὰ ἀλλοῦ, παρὰ μόνον πρὸς τὸ μάννα»[12]. Τότε πλέον, μὴ ὑποφέρων ἄλλο πιὰ ὁ Μωϋσῆς τὴν ἀγνωμοσύνην των, παραιτεῖται ἀπὸ τὴν προστασίαν των, νικηθεὶς ἀπὸ τὴν λύπην του, καὶ εὔχεται νὰ πεθάνῃ παρὰ νὰ ζῇ μίαν τόσον πικρὰν ζωήν. Ἄκουσε λοιπὸν καὶ τοὺς λόγους αὐτούς· «Καὶ εἶπεν ὁ Μωϋσῆς», λέγει, «πρὸς τὸν Θεόν· Διατί μετεχειρίσθης τόσον σκληρὰ τὸν δοῦλον σου καὶ διατί δὲν εὗρον χάριν ἐνώπιόν σου, ὥστε νὰ ἀφήσῃς τὴν ὁρμὴν αὐτοῦ τοῦ λαοῦ νὰ ἐξαπολυθῇ ἐναντίον μου; Μήπως ἐγὼ συνέλαβον εἰς τὴν κοιλίαν μου ὅλον αὐτὸν τὸν λαὸν ἢ μήπως ἐγὼ τὸν ἐγέννησα, ὥστε νὰ μοῦ λέγεις, 'πάρε αὐτὸν τὸν λαὸν εἰς τὰς ἀγκάλας σου, ὅπως ἡ τροφὸς λαμβάνει τὸ βρέφος ποὺ θηλάζει, καὶ μετάφερέ τον εἰς τὴν γῆν ποὺ ὡρκίσθην νὰ δώσω εἰς τοὺς πατέρας των'; Ἀπὸ ποῦ νὰ δώσω κρέατα εἰς ὅλον αὐτὸν τὸν λαὸν ποὺ κλαίει ἔμπροσθέν μου καὶ μοῦ λέγουν, 'Δός μας κρέα-

ἡμῖν κρέα, ἵνα φάγωμεν;'. Οὐ δυνήσομαι ἐγὼ μόνος φέρειν τὸν λαὸν τοῦτον, ὅτι βαρύτερόν μοί ἐστι τὸ ρῆμα τοῦτο· εἰ δὲ οὕτως οὐ ποιεῖς μοι, ἀπόκτεινόν με ἀναιρέσει, εἰ εὕρηκα χάριν ἐναντίον σου».

Ταῦτα ἐκεῖνος ἐφθέγξατο ὁ εἰπών, «Καὶ νῦν, εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες, εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου ἧς ἔγραψας. Οὕτως αὐτὸν ἡ ἀθυμία περιέτρεψεν. Ὅπερ πάσχουσι καὶ γονεῖς πολλάκις δυσανασχετοῦντες τοῖς γινομένοις ὑπὸ τῶν παιδίων. Ὅτι γὰρ καὶ μετὰ τὰ ρήματα ταῦτα οὐκ ἐπαύσατο τῆς συμπαθείας τῆς πρὸς αὐτούς, ἐξ ὧν μετὰ ταῦτα ἐποίησε, δῆλον ἡμῖν. Ἐπειδὴ γὰρ μετὰ τὸ τοὺς κατασκόπους ἀνελεῖν ἐπεχείρουν καὶ λίθοις αὐτὸν ἔβαλλον, διαφυγὼν τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν ὑπὲρ αὐτῶν εὐχὴν πάλιν ἐτρέπετο καὶ τὸν Θεὸν παρεκάλει ἵλεων γενέσθαι τοῖς βουλομένοις αὐτὸν ἀνελεῖν· οὕτω καὶ τῆς φυσικῆς φιλοστοργίας σφοδρότερον αὐτῷ τὸ φίλτρον ἐνέκειτο. Τῶν τοίνυν κατασκόπων ἀποθανόντων καὶ τοῦ πένθους ἀκμάζοντος, οὐδέπω παρελθόντος χρόνου, πάλιν ἑτέρας ἔπλεκον ἀθυμίας ὑποθέσεις αὐτῷ, πρῶτον μὲν οὐκ ἀνασχόμενοι κωλύοντος πολεμεῖν, δεύτερον δὲ κατακοπέντες ὑπὸ τῶν Ἀμαληκιτῶν· ἦσαν δὲ καὶ πρὸ τοῦ πολέμου τούτου τῇ χολέρᾳ καὶ τῇ γαστριμαργίᾳ δαπανηθέντες ἱκανῶς. Καὶ γὰρ ἀπέκτεινε, φησίν, ἐν τοῖς πλείοσιν αὐτῶν ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν».

Θεασάμενος δὲ καὶ τὸν θάνατον ἐκεῖνον τὸν πολύν, οὔπω τῆς ἀθυμίας τῆς ἐπὶ τούτῳ πεπαυμένης, ἑτέρῳ πάλιν ἐβάλλετο πένθει, καὶ εἰς τοιαύτην ἀνάγκην καθίστατο, ὡς τοὺς ἀγαπητοὺς καὶ φιλτάτους τούτους εὔξασθαι

---

13. Ἀριθμ. 11, 11 - 15.
14. Ἐξ. 32, 32.
15. Ψαλμ. 77, 30.

τα νὰ φάγωμεν'; Δὲν θὰ ἠμπορέσω ἐγὼ μόνος νὰ τὸν ὁδηγήσω αὐτὸν τὸν λαόν, διότι αὐτὴ ἡ ἐντολὴ εἶναι βαρυτέρα ἀπὸ τὰς δυνατότητάς μου· ἐὰν ὅμως δὲν τὸ κάνῃς αὐτό, φόνευσέ με, ἐὰν εἶμαι εἰς θέσιν νὰ σοῦ ζητήσω αὐτὴν τὴν χάριν[13].

Αὐτὰ τὰ εἶπεν ἐκεῖνος ποὺ εἶχεν εἰπεῖ· «Καὶ τώρα, ἐὰν μὲν συγχωρήσῃς τὴν ἁμαρτίαν των, συγχώρησέ την, εἰ δ' ἄλλως, διέγραψέ με ἀπὸ τὴν βίβλον εἰς τὴν ὁποίαν μὲ ἔγραψες»[14]. Τόσον πολὺ τὸν εἶχε μεταβάλλει ἡ λύπη. Πρᾶγμα ποὺ παθαίνουν καὶ οἱ γονεῖς πολλὰς φορὰς δυσανασχετοῦντες ἀπὸ τὰ ὅσα πράττουν τὰ παιδιά των. Τὸ ὅτι βέβαια καὶ μετὰ ἀπὸ τὰ λόγια αὐτὰ δὲν ἔπαυσε νὰ τοὺς ἀγαπᾷ, γίνεται φανερὸν ἀπὸ τὰ ὅσα εἰς τὴν συνέχειαν ἔκαμε. Ὅταν δηλαδή, μετὰ τὴν ἀποστολὴν τῶν κατασκόπων, ἐπεχείρουν νὰ τὸν φονεύσουν καὶ τὸν ἐλιθοβολοῦσαν, ἀφοῦ ἐξέφυγεν ἀπὸ τὰ χέρια των, πάλιν κατέφευγεν εἰς τὴν ὑπὲρ αὐτῶν προσευχήν του καὶ παρεκάλει τὸν Θεὸν νὰ δείξῃ τὴν εὐσπλαγχνίαν του πρὸς αὐτοὺς ποὺ ἤθελον νὰ τὸν φονεύσουν· τόσον μεγαλυτέρα ἀπὸ τὴν φυσικὴν φιλοστοργίαν ἦτο μέσα του ἡ ἀγάπη του πρὸς αὐτούς. Καὶ ἐνῷ λοιπὸν οἱ κατάσκοποι εἶχον ἀποθάνει καὶ τὸ πένθος εὑρίσκετο εἰς τὸ ἀποκορύφωμά του καὶ δὲν εἶχε περάσει καθόλου χρόνος, πάλιν ἐδημιούργουν ἄλλας ἀφορμὰς λύπης δι' αὐτόν, καὶ πρῶτον μὲν τὸ ὅτι δὲν ἠνέχοντο νὰ τοὺς ἐμποδίζῃ νὰ κάνουν πόλεμον, δεύτερον δὲ τὸ ὅτι κατεσφάγησαν ὑπὸ τῶν Ἀμαληκιτῶν· εἶχον δὲ καὶ πρὶν ἀπὸ τὸν πόλεμον αὐτὸν ὑποστῆ πολλὰς ἀπωλείας ἀπὸ τὴν χολέραν καὶ τὴν γαστριμαργίαν. Καθ' ὅσον, λέγει, ἐξώντωσε τοὺς περισσοτέρους ἀπὸ αὐτούς, «ἐνῷ ἀκόμη εἶχον τὴν τροφὴν εἰς τὸ στόμα των»[15].

Ἀφοῦ δὲ ἀντίκρυσε καὶ τὸν πολυπληθῆ ἐκεῖνον θάνατον, ἐνῷ ἀκόμη δὲν εἶχε παύσει ἡ λύπη ποὺ προήρχετο ἀπὸ αὐτὸ τὸ γεγονός, ἀπὸ ἄλλο πένθος περιεβάλλετο καὶ πάλιν, καὶ εἰς τέτοιου εἴδους ἀνάγκην περιήρχετο, ὥστε νὰ εὐχηθῆ οἱ ἀγαπητοί του αὐτοὶ καὶ πολυπόθητοι

ξένῳ τινὶ καὶ παραδόξῳ θανάτῳ καταλῦσαι τὸν βίον· οὕτως οἱ μὲν πυρὸς ἀφθέντος ἐξαίφνης ἐκαύθησαν, οἱ δὲ γενομένου χάσματος κατεπόθησαν· καὶ οὔτε εὐαρίθμητοί τινες, ἀλλὰ πεντεκαίδεκα χιλιάδων ἀνδρῶν πλείους οἱ ταῦτα παθόντες ἦσαν. Τούτου δὲ γενομένου, πῶς τοὺς ἐκείνων συγγενεῖς, πῶς τοὺς φίλους πρὸς τὸν Μωσέα διακεῖσθαι εἰκὸς ἦν; πῶς δὲ αὐτὸν τὸν Μωσῆν, ὁρῶντα καὶ παῖδας ὀρφανοὺς καὶ γυναῖκας χήρας ἀπὸ ταύτης γενομένας τῆς συμφορᾶς, καὶ τὴν ἀδελφὴν καὶ τὸν ἀδελφὸν τελευτήσαντας, καὶ τοὺς υἱοὺς τοὺς ἐκείνου καυθέντας ὑπὲρ παρανομίας τινός; Τούτων δὲ ἕκαστον ἱκανὸν καὶ μηδὲν πεπονθυῖαν θλῖψαι ψυχήν, μήτι γε τοσούτοις ἤδη κατεργασθεῖσαν κακοῖς.

Ὡς δὲ τὸν Χαναναῖον εἷλον καὶ μακρὰν ἐκύκλουν ὁδόν, πάλιν ἐγόγγυζον οἱ Ἰουδαῖοι, καὶ πάλιν ἀπώλλυντο, νόσῳ μὲν οὐκ ἔτι καθάπερ καὶ πρώην, οὐδὲ πυρὶ καὶ χάσματι καθάπερ καὶ πρότερον, ἰοβόλων δὲ δήγμασιν ὄφεων, οἳ πάντας ἂν αὐτοὺς ἀπώλεσαν, εἰ μὴ πάλιν ὁ Μωσῆς προσελθὼν ἱκέτευσε τὸν Θεόν. Ἐπειδὴ δὲ καὶ ταύτης ἀπηλλάγησαν τῆς φθορᾶς καὶ τὰς ἀρὰς τοῦ μάντεως ἐξέφυγον, πάλιν ἑαυτοὺς ἔρριψαν κατὰ τῶν χαλεπωτάτων κρημνῶν, καὶ μετὰ τὰς εὐλογίας τοῦ Βαλαάμ, μᾶλλον δὲ τοῦ Θεοῦ (οὐ γὰρ τῆς ἐκείνου προαιρέσεως ἦν τὰ ῥήματα, ἀλλὰ τῆς κινούσης αὐτὸν δυνάμεως), ἐπόρνευσαν εἰς τὰς τῶν ἀλλοφύλων θυγατέρας καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ. Ὁ δὲ Μωσῆς τὴν τοσαύτην ὁρῶν αἰσχύνην καὶ τὸν γέλωτα, πάλιν αὐτοὺς ἀλλήλους κατακόπτειν ἐκέλευσε λέγων· «Ἀποκτείνατε ἕκαστος τὸν πλη-

νὰ τερματίσουν τὴν ζωήν των μὲ κάποιον ἄγνωστον καὶ παράδοξον θάνατον, καὶ ἔτσι οἱ μέν, ἀφοῦ ἥναψε φωτιά, ἀμέσως κατεκάησαν, οἱ δὲ ἄλλοι κατεποντίσθησαν μέσα εἰς τὸ βάραθρον ποὺ ἤνοιξε˙ καὶ δὲν ἦσαν ὀλίγοι αὐτοί, ἀλλὰ περισσότεροι ἀπὸ δεκαπέντε χιλιάδες ἦσαν αὐτοὶ ποὺ ἔπαθον αὐτά. Ἀφοῦ δὲ συνέβη αὐτό, ποία, φυσικὸν ἦτο, νὰ εἶναι ἡ συμπεριφορὰ πρὸς τὸν Μωϋσῆν τῶν συγγενῶν ἐκείνων, ποία ἡ συμπεριφορὰ τῶν φίλων των πρὸς αὐτόν; Ποία δὲ ἦτο ἡ ψυχικὴ κατάστασις τοῦ Μωϋσέως, βλέποντα καὶ παιδιὰ ὀρφανὰ καὶ γυναῖκας χήρας νὰ μένουν ἀπὸ αὐτὴν τὴν συμφοράν, καὶ τὴν ἀδελφήν του καὶ τὸν ἀδελφόν του νὰ ἔχουν πεθάνει καὶ τὰ τέκνα ἐκείνου νὰ ἔχουν κατακαυθῆ ἐξ αἰτίας κάποιας παρανομίας. Τὸ καθένα ἀπὸ αὐτὰ θὰ ἦτο ἱκανὸν νὰ προκαλέση θλῖψιν καὶ εἰς ψυχὴν ἀκόμη ποὺ δὲν εἶχε πάθει τίποτε, πόσον μᾶλλον εἰς τὴν ψυχὴν ἐκείνην ποὺ ἤδη εἶχε καταβληθῆ ἀπὸ τόσα πολλὰ κακά.

Μόλις ὅμως ἐκυρίευσαν τὴν γῆν τῆς Χαναὰν καὶ ἐπειδὴ διήνυον μακρὰν ὁδόν, πάλιν ἐγόγγυζον οἱ Ἰουδαῖοι καὶ πάλιν ἐχάνοντο, ὄχι πιὰ ἀπὸ νόσον, ὅπως ἀκριβῶς καὶ προηγουμένως, οὔτε ἀπὸ τὸ πῦρ καὶ τὸ βάραθρον, ὅπως ἀκριβῶς καὶ προηγουμένως, ἀλλ' ἀπὸ τὰ δαγκώματα φαρμακερῶν φειδιῶν, τὰ ὁποῖα ὅλους θὰ ἦτο δυνατὸν νὰ ἐξαφανίσουν, ἐὰν πάλιν δὲν προσήρχετο πρὸς τὸν Θεὸν ὁ Μωϋσῆς καὶ τὸν παρεκάλει. Ὅταν ὅμως ἀπηλλάγησαν καὶ ἀπὸ αὐτὴν τὴν φθορὰν καὶ διέφυγον τὰς κατάρας τοῦ μάντεως, πάλιν ἔσπρωξαν τοὺς ἑαυτούς των πρὸς τοὺς φοβερωτάτους ἐκείνους κρημνούς, καὶ μὲ τὴν εὐλογίαν τοῦ Βαλαάμ, ἢ καλύτερον τοῦ Θεοῦ (διότι τὰ λόγια αὐτὰ δὲν ἦσαν τῆς προαιρέσεως τοῦ Βαλαάμ, ἀλλὰ τῆς δυνάμεως ἐκείνης ποὺ ἐκίνει αὐτόν), ἐπόρνευσαν μὲ τὰς θυγατέρας ἀλλοφύλων καὶ προσέφερον θυσίαν εἰς τὸν Βεελφεγώρ. Ὁ δὲ Μωϋσῆς βλέπων τὴν τόσον μεγάλην ἀδιαντροπιὰν καὶ τὸν χλευασμόν, πάλιν ἔδωσεν ἐντολὴν νὰ φονεύουν ὁ ἕνας τὸν ἄλλον, λέγων˙ «Φονεύσατε ὁ καθένας τὸν πλησίον του ποὺ θυσιά-

σίον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγώρ»· καθάπερ ἐπί τινος τραύματος πολλὰς μὲν λαβόντος τομὰς καὶ καύσεις, οὐδὲν δὲ ἄμεινον ταύτῃ διατεθέντος, κελεύοι τις πάλιν τέμνειν καὶ καίειν τὸ περιλειφθέν.

Σὺ δὲ ταύτας ἀκούων τὰς δυσκολίας, μὴ ταύτας μόνον συμβεβηκέναι νόμιζε, καίτοι καὶ τῶν κειμένων οὐκ ὀλίγας παρέλιπον, τοὺς πολέμους, τὰς τῶν ἐχθρῶν ἐναντιώσεις, τὰς μακρὰς ὁδοιπορίας, τῆς ἀδελφῆς τὴν ὕβριν, τὴν τιμωρίαν, ἐφ' ᾗ μᾶλλον ἐκεῖνος ὁ πραότατος ἤλγησε Μωσῆς. Ἀλλ' ὅμως κἂν ἅπαντά τις συναγάγῃ μετὰ ἀκριβείας, οὐδὲ μυριοστὸν μέρος τὰ γεγραμμένα τῶν γεγενημένων ἐστίν. Εἰ γὰρ οἰκετῶν τις ὀλίγων ἐν οἰκίᾳ προεστώς, καὶ παροξυσμῶν καὶ λύπης μυρίας ἔχει προφάσεις, ὁ μυριάδων τοσούτων ἐν τεσσαράκοντα ἔτεσιν ἐπιτροπεῦσαι καταναγκασθείς, καὶ ἐν ἐρήμῳ ἔνθα μήτε ἀὴρ μήτε ὕδωρ ἦν, πόσα πράγματα καθ' ἑκάστην ἡμέραν ἔχειν ἠναγκάζετο, πόσας φροντίδας, πόσας ἀθυμίας καὶ ζώντων καὶ τελευτησάντων; Καὶ γὰρ καὶ τελευτήσαντας ἅπαντας εἶδεν οὓς ἐξήγαγε, πλὴν ἀνδρῶν δύο μόνων, καὶ τοὺς ἀπ' ἐκείνων γεγενημένους οὐκ ἠξιώθη εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσαγαγεῖν, ἀλλ' εἶδε μὲν αὐτὴν ἀπὸ τῆς κορυφῆς τοῦ ὄρους Ναβαῦ, καὶ τὴν φύσιν αὐτῆς ἐδιδάχθη καλῶς, ἀπολαῦσαι δὲ αὐτῆς οὐ συνεχωρήθη μετὰ τῶν λοιπῶν Ἰσραηλιτῶν, ἀλλ' ἔμενεν ἔξω καὶ ἀπέθνησκεν, ἐφ' ᾧ καὶ αὐτὸς ἀπωδύρατο πρὸς τοὺς Ἰσραηλίτας λέγων· «Καὶ Κύριος ὁ Θεὸς ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ' ὑμῶν, καὶ ὤμοσεν ἵνα μὴ διαβῶ τὸν Ἰορδάνην τοῦτον, καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς δίδωσί σοι

16. Ἀριθμ. 25, 5.

ζει εἰς τὸν Βεελφεγώρ»[16]· ὅπως ἀκριβῶς δηλαδὴ εἰς τὴν περίπτωσιν κάποιου τραυματία, πού, ἂν καὶ ἐγένοντο εἰς αὐτὸν πολλαὶ ἐγχειρήσεις καὶ καυτηριάσεις, καὶ ὅμως δὲν παρουσίασεν ἀπὸ τὰς ἐνεργείας αὐτὰς τίποτε τὸ καλύτερον, παρὰ ταῦτα δίδει ἐντολὴν καὶ πάλιν κάποιος νὰ κόπτεται καὶ νὰ καυτηριάζεται τὸ μέρος ποὺ ἀπέμεινεν.

Σὺ ὅμως ἀκούων αὐτὰς τὰς δυσκολίας, νὰ μὴ νομίσῃς ὅτι μόνον αὐταὶ εἶχον συμβῆ, ἂν καὶ δὲν εἶναι ὀλίγαι αὐταὶ τὰς ὁποίας παρέλειψα ἀπὸ τὰς ὅσας περιγράφονται, ὅπως τοὺς πολέμους, τὰ ἐμπόδια ἐκ μέρους τῶν ἐχθρῶν, τὰς μακρὰς ὁδοιπορίας, τὴν προσβολὴν ἐκ μέρους τῆς ἀδελφῆς του, τὴν τιμωρίαν ἐξ αἰτίας τῆς ὁποίας περισσότερον ἐκεῖνος ὁ πραότατος Μωϋσῆς ἐπόνεσεν. Ἀλλ' ὅμως, καὶ ἂν ἀκόμη κανεὶς συγκεντρώσῃ μὲ ἀκρίβειαν ὅλα ἐκεῖνα, οὔτε κἂν τὸ ἐλάχιστον μέρος ἀποτελοῦν τὰ ὅσα ἔχουν γραφῆ, ἀπὸ ἐκεῖνα ποὺ ἔχουν συμβῆ. Διότι, ἐὰν κάποιος προΐσταται ὀλίγων ὑπηρετῶν εἰς μίαν οἰκίαν καὶ ἔχει μυρίας ἀφορμὰς διὰ παροξυσμοὺς καὶ λύπας, αὐτὸς ποὺ κατηναγκάσθη ἐπὶ τεσσαράκοντα ἔτη νὰ κηδεμονεύσῃ τόσων πολλῶν μυριάδων, καὶ μέσα εἰς τὴν ἔρημον, ὅπου οὔτε ἀέρας ὑπῆρχεν οὔτε νερό, πόσα προβλήματα δὲν ἦτο ἀναγκασμένος καθημερινῶς ν' ἀντιμετωπίζῃ, πόσας φροντίδας, πόσας λύπας καὶ διὰ τοὺς ζῶντας καὶ διὰ τοὺς πεθαμένους; Καθ' ὅσον καὶ εἶδε νὰ ἀποθνήσκουν ὅλους ἐκείνους ποὺ ἐξήγαγεν ἀπὸ τὴν Αἴγυπτον, ἐκτὸς ἀπὸ δύο μόνον ἄνδρας, καὶ αὐτοὺς ποὺ ἐγεννήθησαν ἀπὸ ἐκείνους δὲν ἠξιώθη νὰ τοὺς ὁδηγήσῃ καὶ νὰ τοὺς φέρῃ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἀλλ' εἶδε μὲν αὐτὴν ἀπὸ τὴν κορυφὴν τοῦ ὄρους Ναβαῦ καὶ ἐγνώρισε καλῶς τὴν φύσιν αὐτῆς, ὅμως δὲν τοῦ ἐπετράπη μαζὶ μὲ τοὺς ὑπολοίπους Ἰσραηλίτας ν' ἀπολαύσῃ αὐτῆς, ἀλλ' ἔμενεν ἔξω αὐτῆς καὶ ἀπέθνησκεν ἐκεῖ, πρᾶγμα διὰ τὸ ὁποῖο καὶ ὁ ἴδιος ἐθρήνει ἐνώπιον τῶν Ἰσραηλιτῶν καὶ ἔλεγε· «Καὶ ὁ Κύριος ὁ Θεὸς ἐθύμωσε δι' ὅσα λέγετε καὶ ὡρκίσθη νὰ μὴ περάσω αὐτὸν τὸν Ἰορδάνην καὶ νὰ μὴ εἰσέλθω εἰς τὴν γῆν, τὴν ὁ-

ἐν κλήρῳ. Ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ γῇ ταύτῃ, καὶ οὐ διαβαίνω τὸν Ἰορδάνην τοῦτον· ὑμεῖς δὲ διαβήσεσθε καὶ κληρονομήσετε τὴν γῆν τὴν ἀγαθὴν ταύτην». Καὶ τὸ δὴ πάντων δεινότερον, ὅτι μετὰ λύπης αὐτὸν εἰς ᾅδου κατήγαγε· τὰ γὰρ μέλλοντα τοὺς Ἰουδαίους διαδέξασθαι προέμαθε κακά, τὴν εἰδωλολατρείαν, τὴν αἰχμαλωσίαν, τὰς ἀφάτους συμφοράς, ὡς μηκέτι μόνον αὐτὸν οἷς ἑώρα καὶ τοῖς γεγενημένοις, ἀλλὰ καὶ τοῖς μηδέπω συμβεβηκόσι κατατρύχεσθαι τὴν ψυχήν. Ἀπὸ γὰρ πρώτης ἡλικίας ἀρξάμενος ὀδυνᾶσθαι καὶ ἀδημονεῖν μετὰ τῆς αὐτῆς ἀθυμίας τὸν βίον κατέλυσεν.

Ὁ δὲ διαδεξάμενος αὐτὸν Ἰησοῦς συναπέλαυσε μὲν αὐτῷ πάντων, ὡς εἰπεῖν, τῶν ἀνιαρῶν, εἰ δέ τι διὰ τὸ νέον τῆς ἡλικίας ἐξέφυγε, τοῦτο μετὰ τὴν ἐκείνου τελευτὴν ἀνεπλήρωσεν. Οὐ γὰρ ὅτε ἔζη μόνον ὁ Μωσῆς τὰ ἱμάτια διέρρηξε καὶ σποδὸν κατεπάσατο, ἀλλὰ καὶ τελευτήσαντος πάλιν εἰς τὴν αὐτήν, μᾶλλον δὲ εἰς μείζονα κατέστη ταύτης ἀνάγκην, οὐ χρόνον βραχύν, ἀλλὰ δι' ὅλης ἡμέρας πρηνὴς κείμενος ἐπὶ τῆς γῆς. Ἄκουσον δὴ καὶ τῶν ρημάτων αὐτοῦ καὶ τῶν ὀδυρμῶν· «Καὶ διέρρηξε», φησίν, «Ἰησοῦς τὰ ἱμάτια αὐτοῦ καὶ ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐναντίον Κυρίου ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ, καὶ ἐπεβάλοντο χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, καὶ εἶπεν Ἰησοῦς· δέομαι, Κύριε, ἱνατί διεβίβασεν ὁ παῖς σου τὸν λαὸν τοῦτον τὸν Ἰορδάνην παραδοῦναι αὐτὸν τῷ Ἀμορραίῳ ἀπολέσαι ἡμᾶς; Εἰ κατεμείναμεν καὶ κατῳκίσθημεν παρὰ τὸν Ἰορδάνην. Καὶ τί ἐρῶ ἐπεὶ μετέβαλεν Ἰσραὴλ τὸν αὐχένα αὐτοῦ ἀπέναντι τοῦ ἐχθροῦ αὐτοῦ; Καὶ ἀκούσας ὁ Χαναναῖος καὶ πάν-

---

17. Δευτ. 4, 21 - 22.

ποίαν ὁ Θεὸς σᾶς δίδει ὡς κληρονομίαν. Διότι ἐγὼ ἀποθνήσκω εἰς αὐτὴν τὴν γῆν καὶ δὲν θὰ διαβῶ αὐτὸν τὸν Ἰορδάνην· σεῖς ὅμως θὰ τὸν διαβῆτε καὶ θὰ κληρονομήσετε τὴν γῆν αὐτὴν τὴν εὐδαίμονα»[17]. Καὶ τὸ πιὸ φοβερὸν βέβαια ἀπὸ ὅλα εἶναι, ὅτι τὸν ὡδήγησεν ὁ Θεὸς εἰς τὸν θάνατον γεμᾶτον ἀπὸ λύπην. Διότι τὰ ὅσα κακὰ ἐπρόκειτο νὰ συμβοῦν εἰς τοὺς Ἰουδαίους τὰ προεγνώρισεν, ὅπως τὴν εἰδωλολατρείαν, τὴν αἰχμαλωσίαν, τὰς ἀπεριγράπτους συμφοράς, ὥστε νὰ βασανίζεται καὶ νὰ ὑποφέρῃ ἡ ψυχή του ἀπὸ τὰ ὅσα ἔβλεπε καὶ ἀπὸ τὰ ὅσα συνέβαινον, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ ἀκόμη δὲν συνέβησαν. Διότι, λαβοῦσαι ἀρχὴν ἀπὸ τὴν πρώτην ἡλικίαν του αἱ ὀδύναι καὶ αἱ στενοχώριαι, μὲ τὴν ἰδίαν λύπην ἐτερμάτισε τὴν ζωήν του.

Ὁ δὲ Ἰησοῦς τοῦ Ναυῆ ποὺ διεδέχθη αὐτὸν εἰς τὴν ἀρχηγίαν, ἀπήλαυσε μὲν μαζὶ μὲ αὐτόν, ὅπως θὰ ἐλέγομεν, ὅλων τῶν ἀνιαρῶν, καὶ ἐὰν ξέφυγε κάτι ἐξ αἰτίας τοῦ νεαροῦ τῆς ἡλικίας του, αὐτὸ τὸ συνεπλήρωσε μετὰ τὸν θάνατον ἐκείνου. Διότι ὄχι μόνον ὅταν ἀκόμη ἔζη ὁ Μωϋσῆς ἐξέσχισε τὰ ἐνδύματά του καὶ ἤλειψε τὸν ἑαυτόν του μὲ στάκτην, ἀλλὰ καὶ ὅταν ἀπέθανεν ὁ Μωϋσῆς πάλιν εἰς τὴν ἰδίαν, ἢ καλύτερον εὑρέθη εἰς μεγαλυτέραν ἀνάγκην ἀπὸ αὐτήν, εὑρισκόμενος εἰς πρηνῆ θέσιν ὄχι ὀλίγον μόνον χρόνον, ἀλλὰ καθ' ὅλην τὴν ἡμέραν. Ἄκουσε λοιπὸν καὶ τοὺς λόγους αὐτοῦ καὶ τοὺς ὀδυρμούς του· «Καὶ ἐξέσχισε», λέγει, «ὁ Ἰησοῦς τὰ ἐνδύματά του καὶ ἔπεσε μὲ τὸ πρόσωπον πρὸς τὴν γῆν ἐνώπιον τοῦ Κυρίου μέχρι τὴν ἑσπέραν, αὐτὸς ὁ ἴδιος καὶ οἱ πρεσβύτεροι τοῦ Ἰσραήλ, καὶ ἔρριπτον χῶμα ἐπάνω εἰς τὰς κεφαλάς των, καὶ εἶπεν ὁ Ἰησοῦς· Σὲ παρακαλῶ, Κύριε, διατί ὁ δοῦλος ἐπέρασεν αὐτὸν τὸν λαὸν ἀπὸ τὸν Ἰορδάνην ὥστε νὰ τὸν παραδώσῃ εἰς τοὺς Ἀμορραίους διὰ νὰ μᾶς ἐξολοθρεύσῃ; Εἴθε νὰ παρεμέναμεν καὶ νὰ ἐγκαθιστάμεθα εἰς τὴν περιοχὴν πλησίον τοῦ Ἰορδάνου. Καὶ τί νὰ εἰπῶ ἀφοῦ ὁ Ἰσραὴλ ἔκυψε τὸν αὐχένα του ἐμπρὸς εἰς τὸν ἐχθρόν; Καὶ μόλις τὸ ἀκούσουν οἱ Χαναναῖοι καὶ

τες οἱ κατοικοῦντες τὴν γῆν περικυκλώσουσιν ἡμᾶς καὶ ἐκτρίψουσιν ἡμᾶς ἀπὸ τῆς γῆς».

Ταῦτα ἀκούσας ὁ Θεὸς ἐνέφηνεν αὐτῷ τῆς ἥττης τὸν αἴτιον· καὶ μαθὼν πάντας ἄρδην ἀπώλεσεν, οὐ τὸν ἡμαρτηκότα μόνον, ἀλλὰ καὶ συγγενεῖς καὶ οἰκείους, καὶ τῶν θρεμμάτων τὸ πλῆθος, ὅπερ οὐχ ὡς ἔτυχεν αὐτῷ τὴν ψυχὴν διετάραξεν. Εἰ γὰρ ἡμεῖς ἀλλοτρίους ὁρῶντες κολαζομένους οὐδὲ ἰδεῖν ἀνεχόμεθα, τί οὐκ ἂν ἔπαθεν ἐκεῖνος τοὺς ὁμοφύλους καὶ συστρατιώτας τοιούτοις περιβάλλων κακοῖς; τί δὲ ἡ τῶν Γαβαωνιτῶν ἀπάτη καὶ ἡ γενομένη κατὰ τῶν πέραν τοῦ Ἰορδάνου κατοικησάντων φυλῶν ὑποψία; τί δὲ τὸ πολέμοις καὶ μάχαις συναναστρέφεσθαι διαπαντός; καὶ ποίαν ἂν ἀφῆκεν ἐν καταστάσει ψυχὴν γενέσθαι; Εἰ γὰρ καὶ νικῶν διετέλει, ἀλλ' ὅμως τὴν ἀπὸ τῶν τροπαίων ἡδονὴν ἡ τῶν περιλειπομένων φροντὶς συνετάραττε, καὶ ἡ τῶν κλήρων δὲ διανομὴ πολὺν μὲν πόνον, πολλὰς δὲ παρεῖχεν αὐτῷ τὰς δυσκολίας. Καὶ ἴσασιν ὅσοι καὶ τὴν τυχοῦσαν οὐσίαν διανεῖμαι ἐτάχθησαν ἀδελφοῖς ἢ τοῖς ἑτέρωθεν γινομένοις κληρονόμοις τινός.

Τὰς γὰρ ἑξῆς τοῦ λαοῦ συμφορὰς οὐδὲ οἶμαι δεῖν λέγειν· οὐ γὰρ εἴ τις ὀδυνηρὸν βίον διήγαγε, πρόκειται νῦν εἰπεῖν, ἀλλ' εἴ τις τῶν σφόδρα εὐηρεστηκότων τῷ Θεῷ. Διπερ, εἰ δοκεῖ, τὸν Ἠλὶ παρέλθωμεν· καὶ γὰρ οὗτος τῶν προσκεκρουκότων ἐστὶ διὰ τὴν τῶν παίδων κακίαν, μᾶλλον δὲ διὰ τὴν αὐτοῦ ῥαθυμίαν. Οὐ γὰρ ὅτι πονηροὺς εἶχε παῖδας ἐκολάζετο, ἀλλ' ὅτι πέρα τοῦ δέοντος φειδωλὸς ἦν, καὶ

18. Ἰησ. Ναυῆ 7, 6 - 9.
19. Ἀνάγνωθι Ἰησ. Ναυῆ 9, 23 ἑξ.

ὅλοι ὅσοι κατοικοῦν τὴν γῆν θὰ μᾶς περικυκλώσουν καὶ θὰ μᾶς ἐξαφανίσουν ἀπὸ τὸ πρόσωπον τῆς γῆς»[18].

Ὅταν τὰ ἤκουσεν αὐτὰ ὁ Θεὸς ἐφανέρωσεν εἰς αὐτὸν τὴν αἰτίαν τῆς ἥττης, καὶ ὅταν τὸ ἔμαθε τοὺς ἐξόντωσεν ὅλους μαζί, ὄχι μόνον τὸν ἁμαρτήσαντα, ἀλλὰ καὶ τοὺς συγγενεῖς καὶ τοὺς οἰκείους των καὶ ὅλα των τὰ ζῶα, πρᾶγμα ποὺ δὲν προεκάλεσεν εἰς τὴν ψυχὴν αὐτοῦ τυχαίαν ταραχήν. Διότι ἐὰν ἡμεῖς, βλέποντες ξένους νὰ τιμωροῦνται, δὲν ἀνεχώμεθα οὔτε κἂν νὰ βλέπωμεν τὸ θέαμα, τί εἶναι δυνατὸν νὰ μὴ ἔπαθεν ἐκεῖνος περιβάλλων τοὺς ὁμοφύλους του καὶ τοὺς συμπατριώτας του μὲ τέτοια κακά; Τί δὲ δὲν θὰ προεκάλει εἰς αὐτὸν ἡ ἀπάτη τῶν Γαβαωνιτῶν[19] καὶ ἡ ὑποψία ποὺ εἶχε δημιουργηθῆ διὰ τὰς φυλὰς ποὺ ἐκατοικοῦσαν πέραν τοῦ Ἰορδάνου; καὶ τί δὲν θὰ προεκάλει εἰς τὴν ψυχήν του τὸ γεγονὸς ὅτι εἰς ὅλην τὴν ζωήν του ἠσχολεῖτο μὲ πολέμους καὶ μάχας; καὶ ποίαν ψυχὴν θὰ ἦτο δυνατὸν νὰ ἀφήσουν ὅλα αὐτὰ ἀτάραχον; Διότι, καὶ ἂν ἀκόμη ἐπερνοῦσε τὴν ζωήν του μὲ νίκας, ἀλλ' ὅμως τὴν ἡδονὴν ἀπὸ τὰ τρόπαια τὴν συνετάρασσεν ἡ φροντίς του δι' αὐτὰ ποὺ ὑπελείποντο ἀκόμη νὰ συναντήσουν, καὶ ἡ διανομὴ δὲ τῶν κλήρων ἐδημιούργει εἰς αὐτὸν πολὺν πόνον καὶ πολλὰς δυσκολίας. Καὶ τὸ γνωρίζουν ὅσοι ἔλαβον ἐντολὴν νὰ μοιράσουν μίαν τυχαίαν περιουσίαν εἰς τοὺς ἀδελφοὺς ἢ εἰς τοὺς κληρονόμους κάποιου ἐξ αἰτίας κάποιας ἄλλης αἰτίας.

Τὰς ἐν συνεχείᾳ λοιπὸν συμφορὰς τοῦ λαοῦ νομίζω ὅτι δὲν χρειάζεται οὔτε καὶ νὰ τὰς ἀναφέρω· διότι σκοπός μας δὲν εἶναι τώρα νὰ ὁμιλήσωμεν ἐὰν κάποιος ἐπέρασεν ὀδυνηρὰν ζωήν, ἀλλ' ἐὰν αὐτὸς εἶναι κάποιος ἀπὸ αὐτοὺς ποὺ εὐηρέστησαν πάρα πολὺ τὸν Θεόν. Διὰ τοῦτο, ἐὰν νομίζῃς, ἂς παρέλθωμεν τὸν Ἠλί, καθ' ὅσον αὐτὸς εἶναι ἀπὸ ἐκείνους ποὺ συνήντησαν δοκιμασίας ἐξ αἰτίας τῆς κακίας τῶν παιδιῶν του, ἢ καλύτερον ἐξ αἰτίας τῆς ἰδικῆς του ὀκνηρίας. Διότι δὲν ἐτιμωρεῖτο ἐπειδὴ εἶχε κακὰ παιδιά, ἀλλ' ἐπειδὴ ἦτο πέρα ἀπὸ

τοῖς τοῦ Θεοῦ νόμοις ἐνυβριζομένοις οὐκ ἤμυνεν· ἅπερ καὶ αὐτὸς συνιδὼν μετὰ τὴν σφοδρὰν ἀπειλὴν ἔλεγε· «Κύριος αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει». Διὸ δὴ τοῦτον παρελθόντες ἔλθωμεν ἐπὶ τὸν Σαμουήλ, ὃς ἐτράφη μὲν ἐκ παιδὸς ἐν τῷ ναῷ, ηὐδοκίμει δὲ διαπαντὸς ἐνώπιον τοῦ Θεοῦ· τοσαύτην δὲ ἐκ πρώτης ἡλικίας ἐπεδείξατο τὴν ἀρετήν, ὡς πρὶν εἰς ἄνδρας ἐλθεῖν τοῖς θαυμαστοῖς ἐγκριθῆναι προφήταις, καὶ ταῦτα τοῦ πράγματος ἐπιλελοιπότος τότε. «Οὐ γὰρ ἦν», φησίν, «ὅρασις διαστέλλουσα, καὶ ῥῆμα τίμιον ἦν».

Οὗτος δὴ οὖν ὁ Σαμουήλ, ὁ μετὰ πολλῶν δακρύων τεχθείς, πρῶτον μὲν ὁρῶν ἑαυτοῦ τὸν διδάσκαλον ἐκείνῳ τῷ ἐλεεινῷ ἀπενεχθέντα θανάτῳ, οὕτω συνεχύθη καὶ ἐταράχθη, ὡς εἰκὸς εὐγνώμονα μαθητὴν καὶ φιλόστοργον. Μετὰ δὲ τοῦτο καὶ τὰς Ἰουδαϊκὰς ἠναγκάζετο συνεχῶς θρηνεῖν συμφοράς. Οἱ δὲ παῖδες αὐτοῦ ἄδικοι ὄντες καὶ μοχθηροί, καὶ εἰς ἔσχατον πονηρίας ἐλαύνοντες, τούτῳ τε ἐλύπουν αὐτὸν καὶ τῷ μὴ δύνασθαι κληρονομῆσαι τῆς ἐκείνῳ παρασχεθείσης τιμῆς. Ταύτην διαδέχεται τὴν ἀθυμίαν, μᾶλλον δὲ οὐδὲ διαδέχεται, οὐ γὰρ ἐπαύσατο, ἀλλὰ προστίθεται ταύτῃ ἡ τῆς τῶν Ἰσραηλιτῶν αἰτήσεως παρανομία, ἔνθα οὕτω κατέπεσεν, ὡς καὶ παρακλήσεως δεηθῆναι πολλῆς. Ἄκουσον οὖν τί φησιν αὐτῷ ὁ Θεός· «Οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμέ». Ἀλλ' ὅμως καὶ μετὰ ταῦτα οὕτως αὐτῶν ἐκήδετο, ὡς εἰπεῖν πρὸς αὐτούς· «Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν τοῦ διαλιπεῖν εὐχομένῳ ὑπὲρ ὑμῶν».

Τούτους δὴ οὖν ὁρῶν τοὺς οὕτως ἀγαπωμένους ὑπ' αὐτοῦ κακῶς πράττοντας καὶ πταίοντας ἐν πολέμοις καὶ παροξ-

20. Α΄ Βασ. 3, 18.
21. Α΄ Βασ. 3, 1.
22. Α΄ Βασ. 8, 7.
23. Α΄ Βασ. 12, 13.

ὅσον ἔπρεπε φειδωλός, καὶ ἐνῷ οἱ νόμοι τοῦ Θεοῦ ὑβρίζοντο δὲν τοὺς ὑπερησπίζετο, πράγματα ποὺ καὶ ὁ ἴδιος ἀφοῦ τὰ ἀντελήφθη μετὰ τὴν σφοδρὰν ἀπειλήν, ἔλεγεν· «Ὁ ἴδιος ὁ Κύριος ἂς κάνῃ ὅ,τι εἶναι ἀρεστὸν εἰς αὐτόν»[20]. Διὰ τοῦτο λοιπόν, ἀφοῦ τὸν παρέλθωμεν αὐτόν, ἂς ἔλθωμεν πρὸς τὸν Σαμουήλ, ὁ ὁποῖος ἐτράφη μὲν ἀπὸ παιδὶ εἰς τὸν ναόν, ἦτο δὲ εὐάρεστος διαπαντὸς ἐνώπιον τοῦ Θεοῦ. Τόσον μεγάλην ἀρετὴν ἐπέδειξεν ἀπὸ τὴν πρώτην ἡλικίαν του, ὥστε πρὶν ἀκόμη γίνῃ ἄνδρας νὰ συγκαταλεγῇ μεταξὺ τῶν θαυμαστῶν προφητῶν, καὶ ὅλα αὐτὰ καθ' ἣν στιγμὴν τότε ἡ ἀρετή του ὑπελείπετο πάρα πολὺ ἀπὸ τὴν πραγματικὴν ἀρετήν του. Διότι, λέγει, «Δὲν ὑπῆρχεν ἀκόμη ὅρασις προφητική, καὶ ἦτο τίμιος ὁ λόγος τοῦ Κυρίου»[21].

Αὐτὸς λοιπὸν ὁ Σαμουήλ, ποὺ ἐγεννήθη μετὰ ἀπὸ πολλὰ δάκρυα, βλέπων κατ' ἀρχὴν τὸν διδάσκαλόν του νὰ ὑπομένῃ ἐκεῖνον τὸν ἐλεεινὸν θάνατον, εἰς τόσον μεγάλην σύγχυσιν καὶ ταραχὴν περιῆλθεν, ὅσην, φυσικὸν εἶναι, νὰ δοκιμάζῃ ὁ εὐγνώμων καὶ φιλόστοργος μαθητής. Μετὰ δὲ ἀπὸ αὐτὰ ἦτο ἀναγκασμένος νὰ θρηνῇ καὶ τὰς Ἰουδαϊκὰς συμφοράς. Τὰ δὲ παιδιά του, ὡσὰν ἄδικα ποὺ ἦσαν καὶ μοχθηρὰ καὶ βαδίζοντα πρὸς τὸ πιὸ χειρότερον μέρος τῆς πονηρίας, καὶ ἐξ αἰτίας αὐτοῦ τοῦ ἐπροκαλοῦσαν λύπην καὶ ἐπειδὴ δὲν ἠμποροῦσαν νὰ κληρονομήσουν τὴν τιμὴν τὴν δοθεῖσαν εἰς αὐτόν. Αὐτὴν τὴν λύπην τὴν διαδέχεται, ἢ καλύτερον δὲν τὴν διαδέχεται, διότι δὲν ἔπαυσεν, ἀλλὰ προστίθεται εἰς αὐτὴν ἡ παρανομία τῆς αἰτήσεως τῶν Ἰσραηλιτῶν, εἰς τὴν ὁποίαν τόσον πολὺ κατέπεσαν, ὥστε νὰ χρειασθοῦν καὶ πάρα πολλὴν προσευχήν. Ἄκουσε λοιπὸν τί λέγει εἰς αὐτὸν ὁ Θεός· «Δὲν περιεφρόνησαν ἐσένα, ἀλλ' ἐμένα»[22]. Ἀλλ' ὅμως καὶ μετὰ ἀπὸ αὐτά, τόσον πολὺ ἐφρόντιζε δι' αὐτούς, ὥστε νὰ εἰπῇ πρὸς αὐτούς· «Εἴθε ποτὲ νὰ μὴ συμβῇ εἰς ἐμένα νὰ παραλείψω νὰ προσευχηθῶ δι' ἐσᾶς»[23].

Βλέπων λοιπὸν αὐτούς, ποὺ τόσον πολὺ ἠγαπῶντο ὑπ' αὐτοῦ, νὰ πράττουν κακὰ ἔργα καὶ νὰ νικῶνται εἰς

γίζοντας τὸν Θεόν, τίνος ἂν ᾔσθετο ἡδονῆς; ποῖον δὲ ἂν καιρὸν ἀθυμίας καὶ δακρύων διήγαγε χωρίς; Ἐπειδὴ δὲ καὶ κατέστησε βασιλέα τὸν Σαούλ, ἐπάλληλοι πάλιν αὐτῷ ὀδύναι καὶ συνεχεῖς προσετίθεντο. Καὶ γὰρ ὅτε τὴν θυσίαν ἀνήνεγκε παρὰ τὸ τῷ Θεῷ δοκοῦν καὶ ὅτε τοὺς Ἀμαληκίτας κρατήσας ἐφείσατο τοῦ βασιλέως αὐτῶν, καὶ τοῦτο παρὰ τὸ κελευσθέν, οὕτως ἐπλήγη τὴν ψυχήν, ὡς μηκέτι τὸν ἄνδρα ἰδεῖν, ἀλλ' ἐξ ἐκείνου μέχρι τῆς ἐσχάτης ἡμέρας πενθεῖν καὶ δακρύειν αὐτόν, ὅτε καὶ ἐπετιμήθη διὰ τὸ τῆς ἀθυμίας σφοδρόν. «Ἕως πότε» γάρ, φησί, «σὺ πενθεῖς ἐπὶ Σαούλ, κἀγὼ ἀπῶσμαι αὐτόν;». Εἰ δὲ τούτων γεγενημένων ἐπένθει, τίς ἦν ἄρα, ὅτε τοὺς τοσούτους ἔσφαξεν ἱερέας ἐκεῖνος εἰκῇ καὶ μάτην; ὅτε τὸν εὐεργέτην καὶ οὐδὲν ἠδικηκότα, δεύτερον ἦλθεν ἀνελεῖν; ὅτε γυμνὸν αὐτὸν εἶδε προφητεύοντα καὶ καταπίπτοντα; ὅτε τοῦ Δαυὶδ ἤκουσε μυρία πρὸς αὐτὸν ἀποδυρομένου καὶ ἐντυγχάνοντος;

Ἐπειδὴ δὲ τοῦ Δαυὶδ ἐμνήσθην, οὐκ οἶδα τί πράξω· πότερον τοὺς θρήνους αὐτοῦ τοὺς μακροὺς καὶ συνεχεῖς τοὺς ἐν τοῖς ψαλμοῖς ἀναγεγραμμένους εἰς μέσον ἀγάγω νῦν, ἢ τούτους ἀφεὶς ἀναλέξασθαί σοι κατὰ σχολήν, αὐτὸς τὰς ἐκείνου διέλθω συμφοράς. Οὗτος τοίνυν ὁ Δαυὶδ πολλὰ μὲν καὶ ἐν τῷ ποιμαίνειν ὑπέμεινε δεινὰ καὶ ταῖς τῶν ἀέρων ἀνωμαλίαις καὶ τῇ τῶν θηρίων ἀγριότητι μαχόμενος· καὶ τὸ μὲν ἐξ ὧν αὐτὸς πρὸς τὸν Σαοὺλ διελέγετο περὶ τοῦ λέοντος καὶ τῆς ἄρκτου. Ἐπειδὴ δὲ τὸν βίον ἀφεὶς ἐκεῖνον πρὸ ὥρας εἰς τὰ τοῦ πολέμου πράγματα ἔπιπτε, τὴν μὲν τῶν

24. Α΄ Βασ. 16, 1.

τοὺς πολέμους καὶ νὰ ἐξοργίζουν τὸν Θεόν, ποίαν ἡδονὴν ἦτο δυνατὸν νὰ αἰσθανθῇ; ποίαν στιγμὴν ἦτο δυνατὸν νὰ περάσῃ χωρὶς λύπην καὶ δάκρυα; Ὅταν δὲ ἔχρησε βασιλέα τὸν Σαούλ, προσετίθεντο καὶ πάλιν εἰς αὐτὸν ἀλλεπάλληλοι καὶ συνεχεῖς ὀδύναι. Καθ᾽ ὅσον ὅταν προσέφερε τὴν θυσίαν παρὰ τὴν θέλησιν τοῦ Θεοῦ καὶ ὅταν κατανικήσας τοὺ Ἀμαληκίτας ἐχάρισε τὴν ζωὴν τοῦ βασιλέως των καὶ τὸ ἔκαμε καὶ αὐτὸ παρὰ τὴν διαταγὴν τοῦ Θεοῦ, τόσον πολὺ ἐπληγώθη ἡ ψυχή του, ὥστε νὰ μὴ θέλῃ οὔτε κἂν νὰ ἴδῃ τὸν ἄνδρα, ἀλλ᾽ ἐξ αἰτίας ἐκείνου μέχρι τὴν τελευταίαν ἡμέραν τῆς ζωῆς του νὰ πενθῇ καὶ νὰ δακρύῃ, ὥστε καὶ ἐπετιμήθη διὰ τὴν τόσον μεγάλην λύπην του. Διότι λέγει· «Μέχρι πότε σὺ θὰ πενθῇς ἐξ αἰτίας τοῦ Σαούλ, ἐνῷ ἐγὼ τὸν ἔχω λησμονήσει;»[24]. Ἐὰν δὲ ἐπένθει δι᾽ αὐτὰ τὰ συμβαίνοντα, ποία θὰ ἦτο ἆρά γε ἡ ψυχική του κατάστασις ὅταν ἐκεῖνος ἔσφαξε τοὺς τόσους ἐκείνους ἱερεῖς χωρὶς λόγον καὶ ἄδικα; ὅταν ἦλθε διὰ δευτέραν φορὰν νὰ φονεύσῃ αὐτὸν ποὺ τὸν εὐηργέτησε καὶ δὲν τὸν ἔβλαψεν εἰς τίποτε; ὅταν τὸν εἶδε γυμνὸν νὰ προφητεύῃ καὶ νὰ εἶναι γεμᾶτος ἀπὸ ἐξάντλησιν; ὅταν ἤκουσε τὸν Δαυῒδ νὰ ἐκσπᾷ εἰς μυρίους θρήνους καὶ παρακλήσεις;

Ἐπειδὴ ὅμως ἐνεθυμήθην τὸν Δαυίδ, δὲν ξεύρω τί νὰ πράξω· ποῖον ἀπὸ τὰ δύο· νὰ ἀναφερθῶ τώρα εἰς τοὺς θρήνους τοὺς μακροὺς καὶ τοὺς συνεχεῖς ποὺ περιγράφονται εἰς τοὺς ψαλμούς, ἢ ἀφήνων αὐτοὺς διὰ νὰ τοὺς μελετήσῃς σὺ ὁ ἴδιος μὲ τὴν ἡσυχίαν σου, ὁ ἴδιος νὰ περιγράψω τὰς συμφορὰς ἐκείνου; Αὐτὸς λοιπὸν ὁ Δαυὶδ πολλὰ μὲν δεινὰ ὑπέφερε καὶ καθ᾽ ὃν χρόνον ἔβοσκε τὰ ποίμνια, ἀγωνιζόμενος καὶ ἐναντίον τῶν καιρικῶν συνθηκῶν καὶ ἐναντίον τῆς ἀγριότητος τῶν θηρίων. Καὶ τὸ μὲν πρῶτον εἶναι δυνατὸν νὰ τὸ διαπιστώσῃς ἀπὸ ὅσα ὁ Ἰακὼβ εἶπεν, τὸ δὲ δεύτερον ἀπὸ ὅσα αὐτὸς ἔλεγε, συνομιλῶν μὲ τὸν Σαούλ, περὶ τοῦ λέοντος καὶ τῆς ἀρκούδας. Ἐπειδὴ δὲ ἐγκαταλείψας πρόωρα τὴν ζωὴν ἐκείνην, ἐρρίπτετο εἰς τὰς ἐπιχειρήσεις τοῦ πολέμου,

ἀδελφῶν βασκανίαν ἀφίημι, εἰ καὶ σφόδρα τοῦτό ἐστι φορτικόν, ἀλλ' ἐπειδὴ κατώρθωκε τὴν λαμπρὰν νίκην ἐκείνην καὶ θαυμαστὴν μονομαχίαν ἀναδεξάμενος, εὗρε τοῦ καταβληθέντος Γολιὰθ σφοδρότερον ἐχθρὸν τὸν εὐεργετηθέντα Σαούλ. Οὐ γὰρ ἐκ τοῦ φανεροῦ πρὸς αὐτὸν παρετάττετο, ἀλλὰ τὸ τῶν φιλούντων προσωπεῖον ὑποδύς, καὶ τὸν τιμῶντα καὶ κηδόμενον ὑποκρινάμενος, οὕτως αὐτὸν διατίθει τὰ τῶν ἐχθρῶν. Τοῦτο δὲ ὅσον ἐστὶ κακὸν ἀντὶ ἀγαθῶν ἀπολαμβάνειν κακά, ἄκουσον τοῦ μακαρίου προφήτου τοῦτο συνεχῶς θρηνοῦντος καὶ δυσανασχετοῦντος καὶ λέγοντος, «Εἰ ἀνταποδίδοταί μοι κακὰ ἀντὶ ἀγαθῶν». Μάλιστα μὲν οὖν καὶ μηδενὸς προσόντος δεινοῦ τοῦτο αὐτὸ καθ' ἑαυτὸ πολλῆς ἀθυμίας ἄξιον, δι' ὑποψίας εἶναι τὸν στρατηγὸν τῷ βασιλεῖ καὶ ἀηδῶς ὁρᾶσθαι ὑπ' αὐτοῦ. Καὶ τί λέγω στρατηγὸν βασιλεῖ; Κἂν γὰρ παρὰ τῶν οἰκετῶν ἡμεῖς τοῦτο πάθωμεν, δυσχεραίνομεν, ὅταν δὲ καὶ ἐπιβουλαὶ ῥάπτωνται κατὰ τῆς τοῦ μισουμένου ζωῆς, τίς ἂν γένοιτο βίος τούτου πικρότερος;

Ἀλλ' ὅμως ἅπαντα ἔφερε καὶ ἠνείχετο καὶ συνῆν τῷ φονῶντι κατ' αὐτοῦ καὶ ἐστρατήγει τοὺς ἐκείνου πολέμους. Ἐπειδὴ δέ ποτε καὶ ἀπεδήμησε καὶ πόρρω τοῦ πολέμου κατέστησεν ἑαυτόν, τοῦτο μὲν αὐτὸ τὸ πόρρω εἶναι, καὶ τὴν ἔχθραν ποιῆσαι φανεράν, εἶχέ τι πλέον εἰς τὸν τοῦ θαρρεῖν λόγον· μετὰ δὲ τετρακοσίων ἀνδρῶν πρὸς τοσαύτην ἀναγκαζόμενος παρατάττεσθαι στρατιάν, ἔτρεμε πλέον ἢ πρότερον. Ὁ γὰρ μήτε πόλιν, μήτε φρούριον, μήτε συμμάχους, μήτε προσόδους κεκτημένος, ἐννόησον τίς ἦν πρὸς τὸν ταῦτα ἔ-

---

25. Ἰερ. 18, 20.

τὸν μὲν φθόνον τῶν ἀδελφῶν του τὸν παραλείπω, ἂν καὶ αὐτὸ εἶναι πάρα πολὺ βαρὺ πρᾶγμα, ἀλλ' ἀπὸ τὴν στιγμὴν ποὺ κατώρθωσε τὴν λαμπρὰν ἐκείνην νίκην καὶ ἀνέλαβε τὴν θαυμαστὴν μονομαχίαν, εὗρε τὸν εὐεργετηθέντα Σαοὺλ φοβερώτερον ἐχθρὸν ἀπὸ τὸν νικηθέντα Γολιάθ.

Δὲν διεξήγαγε βέβαια φανερὰ ἐναντίον του τὴν μάχην του, ἀλλὰ περιβαλλόμενος τὸ προσωπεῖον τῶν φίλων καὶ ὑποκρινόμενος τὸν ἄνθρωπον ἐκεῖνον ποὺ τὸν ἐτίμα καὶ τὸν ἐφρόντιζεν, ἔτσι διέθετεν ἐναντίον του τὰ ὅπλα τῶν ἐχθρῶν. Πόσον μεγάλο δὲ κακὸν εἶναι αὐτὸ τὸ νὰ ἀπολαμβάνῃ κανεὶς κακὰ ἀντὶ ἀγαθῶν, ἄκουσε τὸν μακάριον προφήτην ποὺ συνεχῶς θρηνολογεῖ αὐτὸ καὶ δυσανασχετεῖ καὶ λέγει· «Νά, μοῦ ἀνταποδίδονται κακὰ ἀντὶ ἀγαθῶν»[25]. Πράγματι λοιπὸν καὶ χωρὶς νὰ ὑπάρχῃ κανένα ἄλλο δεινόν, αὐτό, αὐτὸ καθ' ἑαυτό, εἶναι ἄξιον πολλῆς λύπης, ἐξ αἰτίας τῆς ὑποψίας τοῦ βασιλέως πρὸς τὸν στρατηγὸν καὶ τῆς παρουσίας του ποὺ τὴν ἔβλεπε μὲ δυσαρέσκειαν. Καὶ διατί λέγω τοῦ βασιλέως πρὸς τὸν στρατηγόν; Διότι, καὶ ἂν ἀκόμη ἡμεῖς τὸ πάθωμεν αὐτὸ ἀπὸ τοὺς ὑπηρέτας μας, δυσανασχετοῦμεν, ὅταν ὅμως καὶ ἐπιβουλαὶ ἐπινοοῦνται ἐναντίον τῆς ζωῆς αὐτοῦ ποὺ μισεῖται, ποῖος βίος θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερος ἀπὸ αὐτόν;

Ἀλλ' ὅμως ὅλα τὰ ὑπέφερε καὶ τὰ ἠνείχετο καὶ συνέζη μὲ αὐτὸν ποὺ ἤθελε νὰ τὸν φονεύσῃ καὶ ἐστρατήγει τὰς πολεμικὰς ἐπιχειρήσεις ἐκείνου. Ὅταν δὲ κάποτε ἀπεδήμησε καὶ ἔφερε τὸν ἑαυτόν του πολὺ μακριὰ ἀπὸ τὸν πόλεμον, αὐτὸ τὸ γεγονός, τὸ νὰ εὑρίσκεται δηλαδὴ μακριά του καὶ νὰ φανερωθῇ ἡ ἔχθρα του, ἀπετέλει κάποιον μεγαλύτερον ἀποδεικτικὸν στοιχεῖον διὰ τὸ θάρρος του· ἀναγκαζόμενος νὰ παραταχθῇ μὲ τετρακοσίους ἄνδρας ἀπέναντι εἰς μίαν τόσον μεγάλην στρατιάν, ἔτρεμε περισσότερον τώρα, παρὰ προηγουμένως. Διότι, αὐτὸς ποὺ δὲν εἶχε οὔτε πόλιν, οὔτε φρούριον, οὔτε συμμάχους, οὔτε ἔσοδα, σκέψου ποῖος ἦτο, ποὺ ἠναγ-

χοντα πάντα ἀναγκαζόμενος πολεμεῖν, καὶ πλὴν τῆς ἐρήμου καὶ τῶν ἐκεῖ σπηλαίων, οὐδὲ ὅποι καταφύγοι δυνάμενος εὑρεῖν. Καὶ γὰρ Κεϊλὰ πόλιν οὕτω καλουμένην λαβών, εὐθέως αὐτῆς ἀπεπήδησε τοῦ ἱερέως εἰπόντος, ὅτι αὐτὸν ὁ Θεὸς ἐκεῖ μένοντα τῶν τοῦ Σαοὺλ οὐχ ὑπεξαρπάσει χειρῶν. Ὁ δὲ ἱερεὺς οὗτος ἐκεῖνος ἦν ὁ τὰς τοῦ Σαοὺλ χεῖρας διαδράς, καὶ τὴν ἐν Νομβὰ γενομένην τραγῳδίαν ἀπαγγείλας τῷ βασιλεῖ, ὅτε καὶ τὴν πικρὰν ἐκείνην ἔρρηξε φωνήν· «Ἐγὼ» γάρ, φησίν, «εἰμὶ ὁ αἴτιος τῶν ψυχῶν ὅλου τοῦ οἴκου τοῦ πατρός σου. Ὥστε συνὼν αὐτῷ διαπαντὸς οὐδὲν ἕτερον, ἀλλ' ἢ τῆς ἀθυμίας ἐκείνης ὑπόμνησις ἦν. Βλέπων γὰρ εἰς αὐτόν, ἀεὶ τῆς ἀπωλείας ἐμέμνητο τῶν ἱερέων· μνημονεύων δὲ τῆς ἀπωλείας καὶ τῆς τοσαύτης σφαγῆς τὴν αἰτίαν ἀνατιθεὶς ἑαυτῷ, καταδίκου παντὸς ἀθλιώτερον ἐβίου βίον. Καὶ γὰρ εἰ μηδὲν ἕτερον τὸ ἐνοχλοῦν ἦν, ἱκανὸν τρῶσαι ψυχὴν καὶ ἀνελεῖν τὸ ἱερέων σφαγέα λογίζεσθαι τοσούτων ἑαυτόν.

Πληγεὶς δὲ τούτῳ τῷ λογισμῷ τῷ καὶ νυκτὸς καὶ μεθ' ἡμέραν σητὸς μᾶλλον αὐτοῦ διατρώγοντι τὴν ψυχήν, καὶ ἄλλα ἐφεξῆς ἐδέχετο τραύματα συνεχῆ καὶ ἐπάλληλα. Καὶ γὰρ ὅτε αὐτὸν ὁ Νάβαλ διὰ τῶν οἰκετῶν ὕβρισε καὶ δραπέτην καὶ φυγάδα καὶ ἀγνώμονα δοῦλον ἐκάλεσεν, οὐκ ἀναλγητὶ τὰ ῥήματα ἤνεγκε· καὶ ὅτε πρὸς τὸν Ἀγχοῦς ἀπελθών, τοὺς μαινομένους ὑπεκρίνετο καὶ κατέπιπτε καὶ τὰ ὄμματα διαστρέφων καὶ πολὺν ἐκ τοῦ στόματος αὐτοῦ ἀφρὸν ἀφιείς, τῶν ἀληθῶς δαιμονώντων μᾶλλον ἐτήκετο, λογιζόμενος εἰς οἵαν κατέστησεν ἑαυτὸν ἀνάγκην ὁ τοσαῦτα εὐεργετηθείς. Ἐπειδὴ δὲ μικρὸν ἀνέθη, παρὰ τοῖς πολεμίοις γενόμενος, ἔδει

26. Α΄ Βασ. 22, 22.

κάζετο νὰ πολεμᾷ πρὸς αὐτὸν ποὺ τὰ εἶχεν ὅλα αὐτά, καὶ ὁ ὁποῖος, ἐκτὸς ἀπὸ τὴν ἔρημον καὶ τὰ σπήλαια τῆς ἐρήμου, δὲν ἦτο δυνατὸν νὰ εὕρῃ ποῦ νὰ καταφύγῃ. Πράγματι λοιπὸν ἀφοῦ κατέλαβε τὴν πόλιν τὴν ὀνομαζομένην Κεϊλά, ἀμέσως τὴν ἐγκατέλειψε μετὰ τοὺς λόγους τοῦ ἱερέως, ὅτι ἐὰν μείνῃ ἐκεῖ ὁ Θεὸς δὲν θὰ τὸν σώσῃ ἀπὸ τὰ χέρια τοῦ Σαούλ. Αὐτὸς δὲ ὁ ἱερεὺς ἦτο ἐκεῖνος ποὺ εἶχεν ἀποδράσει ἀπὸ τὰ χέρια τοῦ Σαοὺλ καὶ εἶχεν ἀναγγείλει εἰς τὸν βασιλέα τὴν τραγωδίαν ἐκείνων ποὺ εἶχε συμβῆ εἰς τὴν Νομβά, ὁπότε καὶ ἐξέβαλε τὴν πικρὰν ἐκείνην φωνήν· διότι λέγει· «Ἐγὼ εἶμαι ὑπεύθυνος τῶν ψυχῶν ὅλου τοῦ οἴκου τοῦ πατρός σου»[26]. Ὥστε, συζῶν μαζὶ μὲ αὐτὸν καθ' ὅλην τὴν ζωήν του, δὲν ἀπετέλει αὐτὸ τίποτε ἄλλο, παρὰ ὑπενθύμισιν τῆς λύπης του ἐκείνης. Διότι βλέπων αὐτόν, ἐνεθυμεῖτο πάντοτε τὴν ἀπώλειαν τῶν ἱερέων· ἐνθυμούμενος δὲ τὴν ἀπώλειαν ἐκείνων καὶ ἀποδίδων εἰς τὸν ἑαυτόν του τὴν αἰτίαν τῆς τόσον μεγάλης ἐκείνης σφαγῆς, ἐπερνοῦσε τὴν ζωήν του ἀθλιώτερον καὶ ἀπὸ ὁποιονδήποτε κατάδικον. Καθ' ὅσον, καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε τίποτε ἄλλο ποὺ νὰ τὸν ἠνόχλει, ἱκανὸν ἦτο νὰ πληγώσῃ τὴν ψυχήν του καὶ νὰ τὴν θανατώσῃ ἡ σκέψις ὅτι αὐτὸς ἦτο ὁ φονεὺς τῶν τόσων πολλῶν ἱερέων.

Πληγωθεὶς δὲ ἀπὸ αὐτὴν τὴν σκέψιν, ἡ ὁποία νύκτα καὶ ἡμέραν κατέτρωγε τὴν ψυχήν του περισσότερον καὶ ἀπὸ τὸ σαράκι, καὶ ἄλλα εἰς τὴν συνέχειαν ἐδέχετο τραύματα συνεχῆ καὶ ἀλλεπάλληλα. Πράγματι, ὅταν ὁ Νάβαλ τὸν προσέβαλε διὰ τῶν ὑπηρετῶν του καὶ τὸν ὠνόμασε δραπέτην, φυγάδα καὶ ἀγνώμονα, δὲν ἐδέχθη τὰ λόγια χωρὶς νὰ πονέσῃ. Καὶ ὅταν καταφυγὼν πρὸς τὸν Ἀγχοῦς, ποὺ ὑπεκρίνετο τοὺς μανιακοὺς καὶ ἐσωριάζετο κάτω καὶ συστρέφων τὰ μάτια του καὶ βγάζων πολὺν ἀφρὸν ἀπὸ τὸ στόμα του, ἔλειωνε περισσότερον ἀπὸ τοὺς πραγματικὰ δαιμονισμένους, ἀναλογιζόμενος εἰς ποίαν κατάστασιν τὸν ὡδήγησεν ἐκεῖνος ποὺ τόσον πολὺ εἶχεν εὐεργετηθῆ. Ὅταν δὲ ἀνέλαβεν ὀλίγον καὶ ἦλθεν πλησίον τῶν πολεμίων,

μὲν ἐπιστρατεύειν τοῖς ἐκείνων ἐχθροῖς· διαφθονούμενοι δὲ αὐτῷ οἱ σατράπαι καὶ διαβαλεῖν πρὸς τὸν βασιλέα βουλόμενοι, ἐξέπεμπον αὐτὸν τῆς στρατιᾶς ὡς ἄχρηστον αὐτοῖς καὶ ἐπίβουλον καὶ προδότην ἐσόμενον. Ἐθυμώθησαν γάρ, φησίν, ἐπ᾽ αὐτῷ οἱ σατράπαι τῶν ἀλλοφύλων, καὶ λέγουσιν αὐτῷ· «ἀπόστρεψον τὸν ἄνδρα καὶ ἀποστραφήτω εἰς τὸν τόπον οὗ κατέστησας αὐτὸν ἐκεῖ, καὶ μὴ ἐρχέσθω μεθ᾽ ἡμῶν εἰς πόλεμον, καὶ μὴ γινέσθω ἐπίβουλος τῇ παρεμβολῇ. Καὶ ἐν τίνι διαλλαγήσεται οὗτος τῷ κυρίῳ αὐτοῦ, ἢ οὐχὶ ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων; Ὁ δὲ τοῖς ῥήμασι τούτοις πληγεὶς ἀνεχώρησε μετὰ πολλῆς τῆς ὕβρεως καὶ τῆς ἀθυμίας.

Ἐλθὼν δὲ οἴκοι τοσαῦτα εὗρε κακά, ὡς μικροῦ δεῖν καὶ ἀποπνιγῆναι τῇ λύπῃ. Τὰ γὰρ τότε συμβεβηκότα δεινὰ ἦν μὲν ἱκανὰ καὶ προμελετηθέντα τὴν ἐκείνου σκοτῶσαι ψυχήν, τοῦ δὲ ἀπροσδοκήτου προστεθέντος καὶ παρ᾽ ἐλπίδας, διπλάσια τῶν ὄντων ἐφαίνετο καὶ οὐκ ἔτι ἦν φορητά. Ἀπῄει μὲν γὰρ ὡς ἀναπαυσόμενος οἴκοι καὶ τῆς ἀθυμίας ἐκείνης εὑρήσων παραμυθίαν τὰ παιδία καὶ τὰς γυναῖκας· ἐπιστὰς δὲ ἄφνω ἤκουε μὲν ὅτι οὗτοι παρὰ τοῖς πολεμίοις δουλεύουσιν, ἐθεώρει δὲ πῦρ καὶ καπνὸν καὶ αἷμα καὶ νεκρούς, καὶ πρὶν ἢ τούτους ἀλγῆσαι καὶ τὴν αἰχμαλωσίαν ὀδύρασθαι, θηρίων χαλεπώτερον ἐπέπεσον οἱ τὴν πόλιν οἰκοῦντες αὐτῷ, ἀπὸ τῆς ἐκείνου κεφαλῆς ἕκαστος τῶν οἰκείων κακῶν εὑρέσθαι παραμυθίαν ζητῶν. Καὶ καθάπερ ἐναντίων ἀνέμων εἰς τὴν θάλασσαν ἐμπεσόντων πολὺς καὶ ἄγριος ἀπὸ τῆς μάχης ἐκείνης γίνεται ὁ χειμών, οὕτω καὶ τότε, καὶ ἀθυμίας καὶ φόβου τὴν τοῦ δικαίου διακοπτόντων ψυχήν, πολλὴ ἦν ἡ ζάλη καὶ ὁ θόρυβος, τῶν παθῶν τούτων ἐπαλλήλων κρατούντων καὶ κρατουμένων συνεχῶς.

Δυνηθεὶς δὲ ταῦτα διαδῦναι τὰ κακὰ καὶ τὰς γυναῖκας

---

27. Α΄ Βασ. 29, 4.

ἔπρεπε μὲν νὰ ἐκστρατεύσῃ ἐναντίον τῶν ἐχθρῶν ἐκείνων, ἐπειδὴ ὅμως τὸν ἐφθονοῦσαν οἱ σατράπαι καὶ ἤθελον νὰ τὸν κατηγορήσουν εἰς τὸν βασιλέα, τὸν ἐξεδίωκον ἀπὸ τὴν στρατιὰν ἐπειδὴ τὸν ἐθεώρουν ὡς ἄχρηστον δι' αὐτοὺς καὶ ἐπίβουλον καὶ προδότην. Διότι, λέγει, «ὠργίσθησαν ἐναντίον του οἱ σατράπαι τῶν ἀλλοφύλων καὶ λέγουν εἰς τὸν Ἀγχοῦς· Διῶξε τὸν ἄνδρα καὶ ἂς ἐπιστρέψῃ εἰς τὸν τόπον ποὺ τὸν ἐτοποθέτησες, καὶ ἂς μὴ ἔλθῃ μαζί μας εἰς τὸν πόλεμον καὶ γίνει ἔτσι ἐπίβουλος εἰς τὸ στρατόπεδόν μας. Καὶ μὲ τί ἄλλο θὰ συμφιλιωθῇ αὐτὸς μὲ τὸν κύριόν του, παρὰ μὲ τὰ κεφάλια τῶν ἀνδρῶν ἐκείνων;»[27]. Αὐτὸς δὲ πληγωθεὶς ἀπὸ τὰ λόγια αὐτὰ ἀνεχώρησε γεμᾶτος ἀπὸ πολλὴν προσβολὴν καὶ λύπην.

Ὅταν δὲ ἦλθεν εἰς τὴν οἰκίαν του, εὗρε τόσα κακά, ὥστε ὀλίγον ἔλειψε καὶ νὰ ἀποπνιγῇ ἀπὸ τὴν λύπην του. Διότι τὰ δεινὰ ποὺ εἶχον συμβῆ τότε ἦσαν ἱκανὰ μὲν καὶ νὰ σκοτώσουν τὴν ψυχὴν ἐκείνου καὶ ἂν ἀκόμη εἶχον προμελετηθῆ, ἐπειδὴ ὅμως προσετέθησαν ἐντελῶς ἀπροσδόκητα καὶ παρ' ἐλπίδα, διπλάσια ἐφαίνοντο ἀπὸ ὅτι ἦσαν εἰς τὴν πραγματικότητα καὶ δὲν ἦτο δυνατὸν πλέον νὰ ὑποφερθοῦν. Ἐπέστρεφε λοιπόν, ὥστε ν' ἀναπαυθῇ εἰς τὴν οἰκίαν του καὶ διὰ νὰ εὕρῃ παρηγορίαν εἰς τὰ παιδιά του καὶ τὰς γυναῖκας του, φθάνων δὲ ἔξαφνα ἐπληροφορεῖτο μὲν ὅτι αὐτοὶ εἶναι ὑποδουλωμένοι εἰς τοὺς ἐχθρούς, ἔβλεπε δὲ ἐμπρός του φωτιὰν καὶ καπνὸν καὶ αἷμα καὶ νεκρούς, καὶ πρὶν καλὰ-καλὰ ἐκδηλώσῃ τὸν πόνον του καὶ θρηνήσῃ τὴν αἰχμαλωσίαν, φοβερώτερον ἀπὸ θηρία ὥρμησαν ἐναντίον του οἱ κάτοικοι τῆς πόλεως, ζητῶν ὁ καθένας νὰ εὕρῃ παρηγορίαν διὰ τὰς συμφοράς του ἀπὸ τὴν κεφαλὴν ἐκείνου. Καὶ ὅπως ἀκριβῶς, ὅταν ξεσηκωθοῦν εἰς τὴν θάλασσαν ἀντίθετοι ἄνεμοι, δημιουργεῖται μεγάλη καὶ ἀγρία κακοκαιρία ἐξ αἰτίας ἐκείνης τῆς μάχης, ἔτσι καὶ τότε, ἐπειδὴ λύπη καὶ φόβος ἐξέσχιζον τὴν ψυχὴν τοῦ δικαίου, μεγάλη ἦτο ἡ ζάλη καὶ ἡ ταραχή του, ἐξ αἰτίας τοῦ ὅ,τι τὰ πάθη αὐτὰ ἐπεκράτουν συνεχῶς τὸ ἕνα τοῦ ἄλλου.

Εὑρὼν δὲ τὴν δύναμιν ν' ἀπαλλαγῇ ἀπὸ αὐτὰ τὰ κακὰ

ἀπολαβεῖν καὶ τὴν αἰχμαλωσίαν ἅπασαν, πρὶν ἢ πάλιν αἰσθέσθαι τῆς νίκης ἐκείνης, πλήττεται ἀγγελίᾳ πικρᾷ, τῇ περὶ τοῦ Ἰωνάθαν σφαγῇ, ἣ τὴν ψυχὴν οὕτω κατέβαλε τὴν ἐκείνου, ὡς ἔστιν ἐκ τῶν θρήνων μαθεῖν· «Ἐπέπεσε» γάρ, φησίν, «ἐπ' ἐμὲ ἡ ἀγάπησίς σου, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν». Καὶ τί λέγω τῶν θρήνων; Ὁ γὰρ τὸν ἐκείνου πατέρα, τὸν ἐχθρὸν τὸν ἑαυτοῦ καὶ ἐπίβουλον καὶ μυριάκις τῆς ἀπωλείας ἐπιθυμήσαντα τῆς αὐτοῦ οὕτω δακρύσας τί ἂν ἔπαθε τὸν ἐν ἐκείνοις παραστάντα τοῖς κινδύνοις αὐτῷ καὶ πολλάκις αὐτὸν τῆς τοῦ πατρὸς ἐπιβουλῆς ἐξελόμενον, καὶ ἀπορρήτων κοινωνήσαντα, καὶ συνθήκας ὑπὲρ πολλῶν θέμενον πρὸς αὐτόν, τοῦτον, ὅτε αὐτῷ τὰς ἀμοιβὰς ἀποδοῦναι τῶν εὐεργεσιῶν ἐκείνων ἠδύνατο, τότε ἐξαρπασθέντα τοῦ βίου μαθών;

Ἀκμάζοντος δὴ τούτου τοῦ πάθους, ἑτέρα περιβάλλει πάλιν αὐτὸν ὁ στρατηγὸς ἀθυμίᾳ, τὸν ἀπονητὶ καὶ μετὰ πάσης εὐκολίας πᾶσαν αὐτῷ παραδοῦναι τὴν στρατιὰν ἐπαγγειλάμενον, τοῦτον προαναρπάσας τῆς ὑποσχέσεως, καὶ δόλῳ διαχρησάμενος. Τοσοῦτον γὰρ ἤλγησεν ἐκείνῃ τῇ σφαγῇ, ὡς καὶ τότε καταράσασθαι τὸν Ἰωάβ, καὶ παρ' αὐτὸν τῆς τελευτῆς τὸν καιρὸν ἐπισκῆψαι τῷ ἑαυτοῦ παιδὶ δίκην ταύτην εἰσπράξασθαι τῆς μιαιφονίας αὐτόν. Καὶ τὰ ῥήματα δέ, ἅπερ αὐτὸν ἀνακαλῶν ἐθρήνησεν, ἱκανὰ τὸ πάθος ἡμῖν παραστῆσαι τῆς ψυχῆς· «Ἐπῆρε» γάρ, φησίν, «ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσεν ἐπὶ τῷ τάφῳ Ἀβεννὴρ καὶ εἶπεν· εἰ κατὰ τὸν θάνατον Νάβαλ ἀποθανεῖται Ἀβεννήρ, αἱ χεῖρές σου οὐκ ἐδέθησαν, οὐδὲ οἱ πόδες σου ἐν πέδαις, οὐδὲ προσήγαγες ὡς Νάβαλ· ἐνώπιον υἱοῦ ἀδικίας ἔπεσες.

28. Β' Βασ. 1, 26.
29. Β' Βασ. 3, 32 - 34

Ἐνθυμήσου λοιπὸν τὸν πολυαγαπητὸν ἐκεῖνον γέροντα, ἐννοῶ τὸν Δημόφιλον, ποὺ κατήγετο ἀπὸ μεγάλην καὶ λαμπρὰν οἰκογένειαν. Αὐτὸς ἔχει δέκα πέντε καὶ πλέον ἔτη ἀπὸ τότε ποὺ ἡ ζωή του δὲν διαφέρει ὡς πρὸς τίποτε ἀπὸ τὴν ζωὴν ἑνὸς νεκροῦ, παρὰ μόνον ὡς πρὸς τὸ ὅτι τρέμει διαρκῶς καὶ ὁμιλεῖ καὶ ἔχει σαφῆ αἴσθησιν τῶν συμφορῶν του· ζῇ μέσα εἰς τὴν πιὸ χειροτέραν πτωχείαν καὶ ἔχει ἕνα νεανίσκον ποὺ τὸν ὑπηρετεῖ, ποὺ εἶναι καλὸς καὶ ἀγαπᾷ τὸν κύριόν του, ἀλλ' ὅμως δὲν εἶναι ἱκανὸς νὰ παρηγορήσῃ τὴν συμφοράν του ἐκείνην· διότι οὔτε ἠμπορεῖ ν' ἀπομακρύνῃ τὴν πτωχείαν, οὔτε νὰ καταπαύσῃ τὸν τρόμον τῆς παραλύσεώς του, ἀλλὰ νὰ θέτῃ μόνον ψωμὶ εἰς τὸ στόμα τοῦ κυρίου του (διότι οὔτε δι' αὐτὸ ἦσαν ἱκανὰ τὰ

χεῖρες αὐτῷ), καὶ κύλικα προσαγαγεῖν, καὶ κορυζῶντα ἀπομύξαι δύναιτ' ἄν, ἕτερον δὲ τούτων εἰσενεγκεῖν πλέον οὐδέν. Ἀλλ' οὗτος μὲν πεντεκαίδεκα ἔτη ἔχει λοιπὸν ταλαιπωρούμενος οὕτως, ὥς ἔφην, ἐγὼ δὲ ἐννοῶ τὸν ὀκτὼ καὶ τριάκοντα ἔτη εἰς τοῦτο καταναλώσαντα τὸ πάθος.

Σὺ δέ μοι πρὸς τούτοις καὶ Ἀριστόξενον λόγισαι τὸν Βιθυνόν· τούτῳ γὰρ τὸ μὲν σῶμα οὐ διαλέλυται καθάπερ ἐκείνῳ τῷ γέροντι, νόσος δὲ ἐπίκειται πολλῷ τῆς παραλύσεως ἐκείνης χαλεπωτέρα. Διὰ γὰρ τοῦ ἦτρου σπασμοί τινες καὶ πάσης ἀλγηδόνος πικρότεροι πόνοι ποτὲ μὲν ὀβελίσκων χεῖρον διαπείροντες, ποτὲ δὲ πυρὸς σφοδρότερον διατρώγοντες, καὶ καθ' ἑκάστην ἡμέραν καὶ νύκτα διενοχλοῦντες παρὰ τοῖς οὐκ εἰδόσι τὸ πάθος μαινομένου περιτιθέασι δόξαν αὐτῷ· οὕτω διαστρέφοντες τὰς κόρας, οὕτω στραγγαλοῦντες τὰς χεῖρας μετὰ τῶν ποδῶν, τιθέασιν ἄφωνον. Αἱ δὲ κραυγαὶ καὶ οἱ κωκυτοὶ (καὶ γὰρ καὶ ἀνακράζει πολλάκις μετὰ τὴν ἀφωνίαν ἐκείνην) τὰς τῶν ὠδινουσῶν νικῶσιν ὀλολυγάς, καὶ πολλάκις τῶν πόρρωθεν οἰκούντων ἀρρώστους ἔχοντες καὶ ὑπὸ πολλῆς ἀγρυπνίας ἐνοχλουμένους, ἔπεμψαν ἐγκαλοῦντες ὑπὲρ τῶν καμνόντων, ὡς χεῖρον ὑπὸ τῆς τούτου διατεθέντων φωνῆς. Γίνεται δὲ αὐτῷ οὐκ ἐκ διαλειμμάτων μακρῶν, ἀλλὰ πολλάκις μὲν τῆς ἡμέρας, πολλάκις δὲ τῆς νυκτός, καὶ λοιπὸν ἕκτος οὗτός ἐστιν ἐνιαυτός, ἐξ οὗ τῇ πονηρᾷ ταύτῃ παραδέδοται μάστιγι, καὶ οὔτε οἰκέτης πάρεστιν ὁ θεραπεύσων αὐτόν, οὔτε ἰατρὸς παραμυθησόμενος, τοῦτο μὲν διὰ τὴν πενίαν, τοῦτο δὲ διὰ τὸ τὴν τέχνην αὐ-

χέρια του νὰ τὸν βοηθήσουν), καὶ νὰ τοῦ δίδῃ τὸ ποτήρι καὶ ἠμποροῦσε νὰ τοῦ καθαρίζῃ τὸν ρινικὸν κατάρρουν, ὅμως τίποτε ἄλλο ἐπὶ πλέον ἀπὸ αὐτὰ δὲν ἠμποροῦσε νὰ τοῦ προσφέρῃ. Ἀλλ' αὐτὸς μὲν ἔχει τώρα δέκα πέντε χρόνια ποὺ ταλαιπωρεῖται ἔτσι, ὅπως σοῦ εἶπα, ἐγὼ ὅμως σκέπτομαι ἐκεῖνον ποὺ ἐπέρασε τὴν ζωήν του ὑποφέρων ἀπὸ αὐτὸ τὸ πάθος ἐπὶ τριάντα ὀκτὼ χρόνια.

Ἀλλὰ σύ, σὲ παρακαλῶ, μαζὶ μ' αὐτὰ σκέψου καὶ τὸν Ἀριστόξενον τὸν Βιθυνόν· διότι τὸ σῶμα αὐτοῦ δὲν ἔχει παραλύσει ὅπως ἀκριβῶς τὸ σῶμα ἐκείνου τοῦ γέροντος, ἀλλὰ ὑποφέρει ἀπὸ νόσον πολὺ πιὸ χειροτέραν ἀπὸ τὴν παράλυσιν ἐκείνην. Διότι παρουσιάζονται εἰς τὸ ὑπογάστριον κάτι σπασμοὶ καὶ πόνοι φοβερώτεροι ἀπὸ κάθε ἀλγηδόνα, ποὺ ἄλλοτε μὲν τὸν διατρυποῦν χειρότερα καὶ ἀπὸ σουβλιά, ἄλλοτε δὲ τὸν κατατρώγουν πολὺ πιὸ φοβερώτερα ἀπὸ τὴν φωτιάν, καὶ κάθε ἡμέραν καὶ νύκτα τὸν ἐνοχλοῦν εἰς βαθμὸν ἀνυπόφορον καὶ αὐτοὶ ποὺ δὲν γνωρίζουν τὸ πάθος του τὸν θεωροῦν ὡσὰν μανιακόν· ἔτσι δηλαδὴ τὸν κάνει νὰ στρέφῃ τὰς κόρας τῶν ματιῶν του, ἔτσι τοῦ στρεβλώνει τὰ χέρια καὶ τὰ πόδια καὶ τὸν ἀφήνει ἄφωνον. Αἱ δὲ κραυγαί του καὶ οἱ θρῆνοι του (καθ' ὅσον βγάζει καὶ κραυγὰς πολλὰς φορὰς μετὰ ἀπὸ τὴν ἀφωνίαν του ἐκείνην) ξεπερνοῦν τὰς ἰσχυρὰς κραυγὰς πόνου τῶν γυναικῶν ποὺ γεννοῦν καὶ πολλὰς φορὰς ἄνθρωποι ποὺ διαμένουν μακρὰν αὐτοῦ καὶ ἔχουν ἀρρώστους καὶ ποὺ ὑποφέρουν ἀπὸ πολλὴν ἀγρυπνίαν, ἔστειλαν ἀνθρώπους παρακαλοῦντες αὐτὸν νὰ σταματήσῃ χάριν τῶν ἀρρώστων, διότι γίνονται χειρότερα ἐξ αἰτίας τῶν κραυγῶν αὐτοῦ. Συμβαίνει δὲ αὐτὸ εἰς αὐτὸν ὄχι κατὰ μακρὰ χρονικὰ διαστήματα, ἀλλὰ πολλὰς φορὰς μὲν κατὰ τὴν ἡμέραν, πολλὰς φορὰς δὲ καὶ κατὰ τὴν νύκτα, καὶ εἶναι τώρα αὐτὸς ἕκτος χρόνος ἀπὸ τότε ποὺ ἐκυριεύθη ἀπὸ τὴν φοβερὰν αὐτὴν μάστιγα καὶ δὲν ὑπάρχει οὔτε ὑπηρέτης νὰ τὸν βοηθήσῃ, οὔτε ἰατρὸς νὰ τὸν παρηγορήσῃ, ἀφ' ἑνὸς μὲν λόγῳ τῆς πτωχείας του, ἀφ' ἑτέρου δὲ

τοῖς ἐλεγχθῆναι τῷ πάθει· πολλὰ γὰρ πολλοὶ καμόντες (καὶ γὰρ ἔτυχε πρὸ τούτου πολλὰ χρήματα ἔχων ἐκεῖνος) ὤνησαν οὐδέν. Καὶ τὸ δὴ δεινότερον, οὐ δὲ τῶν φίλων τις αὐτὸν ὁρᾶν ἐθέλει λοιπόν, ἀλλὰ πάντες αὐτὸν ἐγκατέλιπον καὶ τῶν πολλὰ πρότερον εὐεργετηθέντων παρ' αὐτοῦ. Εἰ δέ τις καὶ εἰσέλθοι ποτέ, εὐθέως ἀπεπήδησε· τοσαύτης δυσωδίας τὸ δωμάτιον ἐμπέπλησται, τῷ μηδὲν τὸν ἐπιμελούμενον εἶναι. Μία γὰρ αὐτῷ παιδίσκη παρακάθηται μόνη τοσαῦτα διακονοῦσα, ὅσα εἰκὸς δύνασθαι γυναῖκά τε οὖσαν, καὶ μόνην, καὶ ἐκ τῆς ἐργασίας διατρεφομένην τῶν χειρῶν. Πόσων οὖν δαιμόνων χαλεπώτερα τὰ ἐκείνου κακά; Εἰ γὰρ καὶ μηδὲν αὐτῷ ἠνώχλει τούτων, τί οὐκ ἂν ἔπαθεν ἐννοῶν τὸν χρόνον τὸν μακρόν, ὃν ἐπὶ τῆς κλίνης κατάκειται, τὴν δαπάνην τὴν πολλὴν καὶ εἰς ἐσχάτην αὐτὸν ἐμβαλοῦσαν πενίαν, τῶν φίλων τὴν καταφρόνησιν, τῶν θεραπευσόντων τὴν ἐρημίαν, τὸ μηδὲ εἰ στήσεταί ποτε τὰ δεινὰ ταῦτα εἰδέναι, ὅπερ ἀεὶ σὺ πενθεῖς, μᾶλλον δὲ τὸ πεπεῖσθαι ἀκριβῶς, ὅτι οὐδὲ στήσεταί ποτε, ζῶντος αὐτοῦ καὶ ἐμπέοντος ἔτι; Ἡ γὰρ ἐπίτασις τοῦ νοσήματος καὶ τὸ καθ' ἑκάστην ἡμέραν ἐπὶ τὸ χεῖρον αὐτῷ προβαίνειν τὸ δεινόν, τοῦτό φησιν.

Ἵνα δὲ μὴ καθ' ἕκαστον τοὺς τὰ τοιαῦτα δεδυστυχηκότας ἀπαριθμῶν δόξω τοὺς ἀκούοντας ἀποκναίειν, ἄπιθι πρὸς τὸν ἐπιτραπέντα τὴν τοῦ ξενῶνος ἐπιστασίαν καὶ κέλευσον εἰσαγαγεῖν σε πρὸς τοὺς κατακειμένους ἐκεῖ, ἵνα πᾶσαν ῥίζαν ἴδῃς παθῶν καὶ ξένους νοσημάτων τρόπους καὶ παντοδαπὰς ἀθυμίας ὑποθέσεις. Ἐκεῖθεν εἰς τὸ δεσμωτήριον ἐλθὼν καὶ πάντα τὰ ἐν τῷ οἰκήματι τούτῳ καταμαθών, βάδισον ἐπὶ τὰ προπύλαια τῶν βαλανείων, ἔνθα καὶ κόπρῳ

λόγῳ τοῦ ὅτι εἶναι ἀνίκανος ἡ τέχνη νὰ ἐπέμβῃ εἰς τὸ πάθος αὐτό· διότι πολλοὶ ἂν καὶ κατέβαλλον πολλὰς προσπαθείας (καθ' ὅσον ἔτυχεν ἐκεῖνος νὰ ἔχῃ, πρὶν ἀπὸ τὴν ἀρρώστιαν του, πολλὰ χρήματα) δὲν τὸν ὠφέλησαν εἰς τίποτε. Καὶ τὸ χειρότερον βέβαια εἶναι, ὅτι οὔτε καὶ ἀπὸ τοὺς φίλους του δὲν θέλει κάποιος νὰ τὸν βλέπῃ πλέον, ἀλλὰ ὅλοι τὸν ἐγκατέλειψαν καὶ αὐτοὶ ἀκόμη ποὺ εἶχον εὐεργετηθῆ προηγουμένως ἀπὸ αὐτὸν πάρα πολύ. Ἐὰν δὲ κάποιος καὶ ἤθελε τὸν ἐπισκεφθῆ κάποτε, θὰ ἔφευγεν ἀμέσως· ἀπὸ τόσην δυσωδίαν εἶναι γεμᾶτον τὸ δωμάτιον, ἀφοῦ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ τὸν περιποιῆται. Διότι εὑρίσκεται κοντά του μία μόνον ὑπηρέτρια καὶ τόσον τὸν ὑπηρετεῖ, ὅσον εἶναι δυνατὸν ὡσὰν γυναῖκα ποὺ εἶναι, καὶ αὐτὴ εἶναι μόνη καὶ τρέφεται ἀπὸ τὴν ἐργασίαν τῶν χειρῶν της. Ἀπὸ πόσους λοιπὸν δαίμονας δὲν εἶναι φοβερώτερα τὰ κακὰ ἐκείνου; Διότι καὶ ἂν ἀκόμη δὲν τὸν ἠνώχλει τίποτε ἀπὸ ὅλα αὐτά, τί δὲν θὰ ἦτο δυνατὸν νὰ πάθῃ σκεπτόμενος τὸν χρόνον τὸν μακρὸν κατὰ τὸν ὁποῖον εὑρίσκεται κατάκειτος ἐπάνω εἰς τὴν κλίνην, τὴν δαπάνην τὴν μεγάλην ποὺ τὸν ὡδήγησεν εἰς τὴν ἐσχάτην πτωχείαν, καὶ τὴν περιφρόνησιν τῶν φίλων, τὴν ἀπουσίαν τῶν ὑπηρετῶν, τὸ νὰ μὴ γνωρίζῃ ἐὰν κάποτε θὰ τεθῇ τέρμα εἰς τὰ δεινά του αὐτά, πρᾶγμα ποὺ σὺ συνεχῶς ποθεῖς, μᾶλλον δὲ ἡ πλήρης πεποίθησις, ὅτι δὲν θὰ σταματήσῃ ποτέ, ὅσον θὰ ζῇ καὶ θὰ ἀναπνέῃ ἀκόμη; Διότι ἡ ἔντασις τῆς ἀσθενείας του καὶ ἡ μετάβασις τῆς συμφορᾶς του καθημερινῶς πρὸς τὸ χειρότερον, αὐτὸ ἐπιβεβαιώνει.

Ἀλλὰ διὰ νὰ μὴ φανῶ ὅτι καταπονῶ αὐτοὺς ποὺ μὲ ἀκούουν, ἀπαριθμῶν τὸν καθένα ἀπὸ αὐτοὺς ποὺ ὑπέστησαν τὰς συμφορὰς αὐτοῦ τοῦ εἴδους, πήγαινε εἰς τὸν ἐπιστάτην τοῦ ξενῶνος καὶ παρακάλεσέ τον νὰ σὲ ὁδηγήσῃ μέσα εἰς τοὺς χώρους ποὺ εὑρίσκονται οἱ κατάκοιτοι, διὰ νὰ ἴδῃς τὴν ρίζαν τοῦ κάθε πάθους καὶ πρωτοφανεῖς ἐκδηλώσεις νοσημάτων καὶ παντὸς εἴδους ἀφορμὰς λύπης. Ἀπὸ ἐκεῖ ἀφοῦ μεταβῇς εἰς τὴν φυλακὴν καὶ γνωρίσῃς ὅλα ὅσα συμβαίνουν ἐκεῖ, πήγαινε πρὸς τὰ πρόθυρα τῶν λουτρῶν,

καὶ καλάμῃ ἀντὶ ἱματίων καὶ οἴκων κεχρημένοι τινὲς κατάκεινται γυμνοί, κρυμῷ καὶ νόσῳ καὶ λιμῷ πολιορκούμενοι διηνεκεῖ, τῇ ὄψει μόνῃ καὶ τῷ τρόμῳ τοῦ σώματος καὶ τῷ ψόφῳ τῶν συγκρουόντων ὀδόντων παρακαλοῦντες τοὺς παριόντας καὶ οὔτε φωνὴν ἀφεῖναι, οὔτε χεῖρας ἐκτεῖναι δυνάμενοι τῷ σφόδρᾳ ἤδη τοῖς τοσούτοις ἐκτετῆχθαι κακοῖς. Ἀλλὰ μηδὲ μέχρι τούτων στῇς, ἀλλὰ καὶ πρὸς τὸ τῶν πτωχῶν καταγώγιον τὸ πρὸ τῆς πόλεως ἔξιθι, καὶ τότε ὄψει καλῶς, ὅτι ἡ δοκοῦσά σε συνέχειν ἀθυμία νῦν λιμήν ἐστιν εὔδιος.

Τί γὰρ ἄν τις εἴποι τοὺς ἐλεφαντίᾳ κατὰ μικρὸν ἀναλισκομένους ἄνδρας, τὰς καρκίνῳ κατεσθιομένας γυναῖκας; Ταῦτα γὰρ ἀμφότερα τὰ νοσήματ αμακρά τέ ἐστι καὶ ἀνίατα· θάτερον δὲ αὐτῶν καὶ τῆς πόλεως ἀπελαύνει τοὺς ἔχοντας, καὶ οὔτε λουτροῦ, οὔτε ἀγορᾶς, οὔτε ἄλλου τινὸς τῶν ἔνδον αὐτοῖς μετασχεῖν θέμις ἐστίν. Καὶ οὐ τοῦτο μόνον τὸ δεινόν, ἀλλ' ὅτι οὐδὲ ὑπὲρ τῆς τῶν ἀναγκαίων ἔχουσιν ἀφθονίας θαρρεῖν. Τί δὲ οἱ τὰ μέταλλα πολλάκις εἰκῇ καὶ μάτην καταδικασθέντες οἰκεῖν· Οὗτοι γὰρ ἅπαντες πολλῷ μείζονα τῶν δαιμονώντων τὴν ὀδύνην ἔχουσιν. Εἰ δὲ ἀπιστεῖς, οὐδὲν θαυμαστόν. Οὐ γὰρ τῇ αὐτῇ γνώμῃ τά τε οἰκεῖα καὶ τὰ ἀλλότρια κρίνειν εἰώθαμεν κακά, ἀλλ' ἐκεῖνα μὲν λόγῳ καὶ ὄψει μόνον μαθόντες, ταῦτα δὲ τῇ πείρᾳ καὶ τῇ αἰσθήσει καὶ μετὰ τῆς συμπαθείας τῆς ἑαυτῶν· διόπερ αὐτὰ ἀφορητότερα εἶναι ἐκείνων νομίζομεν, κἂν λίαν ᾖ κοῦφα καὶ φορητά. Εἰ δέ τις τούτων πάντων ἀπαλλαγεὶς τήν τε φύσιν

ὅπου εἶναι πολλοὶ κατάκοιτοι γυμνοί, χρησιμοποιοῦντες, ἀντὶ ἐνδυμάτων καὶ οἰκιῶν, κόπρον καὶ ψάθας, πολιορκούμενοι διαρκῶς ἀπὸ τὸ κρύο, τὴν νόσον καὶ τὴν πεῖναν, παρακαλοῦντες τοὺς περαστικοὺς μὲ τὴν ὄψιν μόνον καὶ τὸν τρόμον τοῦ σώματος καὶ τὸν θόρυβον τῶν δοντιῶν των ποὺ χτυποῦν, καὶ δὲν ἠμποροῦν οὔτε φωνὴν νὰ βγάλουν, οὔτε χέρια νὰ ἁπλώσουν, ἐπειδὴ ἤδη ἔχουν καταστραφῆ εἰς ἀφάνταστον βαθμὸν ἀπὸ τὰς τόσας συμφοράς. Μὴ σταματήσῃς ὅμως μόνον εἰς αὐτούς, ἀλλὰ πήγαινε καὶ πρὸς τὸ κατάλυμα τῶν πτωχῶν, ποὺ εἶναι ἔξω ἀπὸ τὴν πόλιν, καὶ τότε θὰ διαπιστώσῃς πλήρως, ὅτι ἡ λύπη, ποὺ νομίζεις ὅτι σὲ καταθλίβει τώρα, εἶναι γαλήνιο λιμάνι.

Πράγματι τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς διὰ τοὺς ἄνδρας ἐκείνους ποὺ φθείρονται ὀλίγον κατ' ὀλίγον ἀπὸ τὴν ἐλεφαντίασιν, διὰ τὰς γυναῖκας ποὺ τὰς κατατρώγει ὁ καρκίνος; Διότι καὶ τὰ δύο αὐτὰ νοσήματα εἶναι μακροχρόνια καὶ ἀθεράπευτα· τὸ καθένα δὲ ἀπὸ αὐτὰ καὶ ἐκβάλλει ἔξω ἀπὸ τὴν πόλιν αὐτοὺς ποὺ πάσχουν ἀπὸ αὐτά, καὶ δὲν ἐπιτρέπεται νὰ πλησιάζουν οὔτε εἰς τὸ λουτρόν, οὔτε εἰς τὴν ἀγοράν, οὔτε εἰς κάποιον ἄλλον ἀπὸ τοὺς κλειστοὺς χώρους. Καὶ δὲν εἶναι αὐτὸ μόνον τὸ φοβερόν, ἀλλὰ δὲν ἔχουν νὰ ἐλπίζουν ὅτι θὰ εὕρουν ἐν ἀφθονίᾳ τὰ ἀναγκαῖα πρὸς τὸ ζῆν. Τί νὰ εἰπῇ δὲ κανεὶς δι' αὐτοὺς ποὺ κατεδικάσθησαν, πολλὰς φορὰς τελείως ἄδικα, νὰ διαμένουν εἰς τὰ μεταλλεῖα; Διότι ὅλοι αὐτοὶ ὑποφέρουν πολὺ περισσότερον ἀπὸ τοὺς δαιμονισμένους. Ἐὰν δὲ δὲν τὸ πιστεύῃς, δὲν εἶναι καθόλου περίεργον. Διότι δὲν κρίνομεν συνήθως μὲ τὰ ἴδια κριτήρια τὰ ἰδικά μας καὶ τὰ ξένα κακά, ἀλλὰ διὰ τὰ μὲν ξένα ἡ γνῶσις μας στηρίζεται εἰς αὐτὰ μόνον ποὺ ἀκούομεν καὶ βλέπομεν, ἐνῷ διὰ τὰ ἰδικά μας ἔχομεν προσωπικὴν πεῖραν καὶ αἴσθησιν καὶ τὰ βλέπομεν μὲ ὅλην τὴν συμπάθειάν μας· καὶ διὰ τοῦτο ἀκριβῶς θεωροῦμεν τὰ ἰδικά μας πιὸ ἀνυπόφορα ἀπὸ τὰ ξένα καὶ ἂν ἀκόμη εἶναι κατὰ πολὺ πιὸ ἐλαφρὰ καὶ ὑποφερτά. Ἐὰν δὲ κάποιος, ἀπαλλαγεὶς ἀπὸ ὅλα αὐτά, ἤθελε λάβει πλήρη

αὐτῶν καταμάθοι, τούς τε ἐμπεσόντας αὐτοῖς διασκέψαιτο, οὗτος ἀδέκαστον ὑπὲρ τούτων οἴσει τὴν ψῆφον ἡμῖν.

Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖς, ὅτι πάντα μὲν ἐκεῖνα τὰ πάθη περὶ τὸ σῶμα στρέφεται μόνον, αὕτη δὲ τῆς ψυχῆς ἅπτεται ἡ νόσος, καὶ τούτων πάντων ἐστὶ χαλεπωτέρα. Αὐτῷ μὲν οὖν τούτῳ μάλιστα αὐτὴν εὑρήσομεν ἐκείνων κουφοτέραν τυγχάνουσαν. Αὕτη μὲν γὰρ οὐδὲ τὸ σῶμα διαφθείρει, καθάπερ ἐκεῖναι, καὶ τῇ ψυχῇ πρὸς βραχὺν ἐνοχλεῖ χρόνον, ἃς δὲ ἀπηριθμησάμεθα νῦν, φύονται μὲν ἐν τῇ σαρκί, τὴν δὲ λύμην ἅπασαν οὐ μέχρις ἐκείνης ἱστῶσιν, ἀλλὰ καὶ ἐπὶ τὴν ψυχὴν παραπέμπουσι, στρεβλοῦσαι αὐτὴν συνεχῶς καὶ διαφθείρουσαι διὰ τῆς ὀδύνης καὶ τῆς ἀθυμίας τῆς πολλῆς. «Ὥσπερ» γάρ, φησίν, «ὄξος ἕλκει ἀσύμφορον, οὕτω προσπεσὸν πάθος ἐν σώματι καρδίαν λυπεῖ». Μὴ τοίνυν ὅτι ἀπὸ τοῦ σώματος τοῦτο τίκτεται λέγε μόνον, ἀλλ' εἰ μὴ παραπέμπει τὴν λύμην ἅπασαν καὶ τὴν φθορὰν τῇ ψυχῇ τοῦτο ἐπίδειξον. Ἐπεὶ καὶ ὁ λοιμὸς οὐκ ἀπὸ τῶν σωμάτων τικτόμενος φθείρει τὰ σώματα, καὶ ὁ τῶν ἑρπετῶν ἰὸς πρόεισι μὲν ἐξ ἐκείνων, λυμαίνεται δὲ ἡμᾶς· οὕτω καὶ ἐπὶ τούτων τῶν παθῶν· τίκτεται μὲν ἀπὸ τοῦ σώματος, τὸν δὲ ἰὸν τῆς οἰκείας κακίας εἰς τὴν ψυχὴν τὴν ἡμετέραν ἐκχεῖ. Πάσης γὰρ δαιμονικῆς ἐνεργείας βλαβερώτερον ἡ τῆς ἀθυμίας ὑπερβολή· ἐπεὶ καὶ ὁ δαίμων ἐν οἷς ἂν κρατεῖ, διὰ ταύτης κρατεῖ· κἂν ταύτην ἀφέλῃς, οὐδὲν παρ' ἐκείνου πείσεταί τις δεινόν.

Καὶ πῶς ἔνι μὴ ἀθυμεῖν, φησίν; Ἐγὼ δέ σε ἐρήσομαι, πῶς οὐκ ἔνι μὴ ἀθυμεῖν; Εἰ μὲν γὰρ μοιχεία καὶ φόνος ἢ ἄλλο τί σοι τοιοῦτον τετόλμηται τῶν ἐκκλειόντων τῆς βασι-

---

63. Παροιμ. 25, 20.

γνῶσιν τῆς φύσεως αὐτῶν καὶ ἤθελεν ἐπισκεφθῆ αὐτοὺς ποὺ ἔχουν καταληφθῆ ἀπὸ αὐτὰ τὰ δεινά, αὐτὸς θὰ ἐκφέρῃ ἀμερόληπτον γνώμην δι' αὐτούς.

'Αλλ' ἴσως θὰ εἰπῇς ἐκεῖνο, ὅτι δηλαδὴ ὅλα μὲν ἐκεῖνα τὰ πάθη ἀφοροῦν μόνον τὸ σῶμα, ἐνῷ ἡ ἰδική σου νόσος εἶναι νόσος ψυχικὴ καὶ εἶναι χειροτέρα ἀπὸ ὅλας αὐτάς. 'Ακριβῶς λοιπὸν δι' αὐτὸν τὸν λόγον πρὸ πάντων θὰ εὕρωμεν αὐτὴν νὰ εἶναι ἐλαφροτέρα ἀπὸ ἐκεῖνα τὰ πάθη. Διότι αὐτὴ μὲν δὲν διαφθείρει καὶ τὸ σῶμα, ὅπως ἀκριβῶς ἐκεῖναι, καὶ ἐνοχλεῖ τὴν ψυχὴν μόνον διὰ βραχὺν χρόνον, ἐνῷ αἱ ἀσθένειαι, ποὺ ἀπηριθμήσαμεν τώρα, παρουσιάζονται μὲν εἰς τὴν σάρκα, δὲν περιορίζουν ὅμως τὴν ὅλην καταστρεπτικήν των δύναμιν μόνον εἰς ἐκείνην, ἀλλὰ τὴν ἐπεκτείνουν καὶ εἰς τὴν ψυχήν, βασανίζουσαι αὐτὴν συνεχῶς καὶ καταστρέφουσαι μὲ τὴν μεγάλην ὀδύνην καὶ τὴν λύπην. Διότι, «ὅπως ἀκριβῶς», λέγει, «τὸ ξύδι εἶναι βλαβερὸν διὰ μίαν πληγήν, ἔτσι προξενεῖ λύπην εἰς τὴν καρδίαν κάποιο πάθος καὶ προσβάλλει τὸ σῶμα»[63]. Μὴ λοιπὸν λέγῃς μόνον ὅτι τὸ πάθος αὐτὸ γεννᾶται ἀπὸ τὸ σῶμα, ἀλλ' ἀπόδειξε αὐτό, ἐὰν δηλαδὴ δὲν ἐπεκτείνῃ τὴν ὅλην καταστροφὴν καὶ τὴν φθορὰν καὶ εἰς τὴν ψυχήν. Διότι καὶ ἡ ἀσθένεια, ἂν καὶ δὲν γεννᾶται ἀπὸ τὰ σώματα, ὅμως καταστρέφει τὰ σώματα, καὶ τὸ δηλητήριον τῶν ἑρπετῶν προέρχεται μὲν ἀπὸ ἐκεῖνα, καταστρέφει ὅμως ἡμᾶς· τὸ ἴδιο συμβαίνει καὶ μὲ τὰ πάθη αὐτά· γεννῶνται μὲν ἀπὸ τὸ σῶμα, τὸ δὲ δηλητήριον τῆς κακίας των τὸ χύνουν εἰς τὴν ψυχήν μας. 'Απὸ κάθε λοιπὸν δαιμονικὴν ἐνέργειαν εἶναι βλαβερωτέρα ἡ ὑπερβολικὴ λύπη· ἀφοῦ καὶ ὁ δαίμων, αὐτοὺς ποὺ ἐξουσιάζει, τοὺς ἐξουσιάζει μὲ αὐτήν, καὶ ἂν ἀφαιρέσῃς αὐτήν, δὲν θὰ πάθῃ κανεὶς κανὲν κακὸν ἀπὸ τὸν δαίμονα.

Καὶ πῶς εἶναι δυνατόν, θὰ μοῦ εἰπῇς, νὰ μὴ λυπῆται κανείς; 'Εγὼ ὅμως θὰ σὲ ἐρωτήσω· πῶς δὲν εἶναι δυνατὸν νὰ μὴ λυπῆσαι; Διότι, ἐὰν μὲν ἔχῃς διαπράξει κάποιαν μοιχείαν καὶ φόνον ἢ κάποιο ἄλλο παρόμοιον ποὺ σὲ ἀποκλείουν ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν, τότε νὰ λυ-

λείας τῶν οὐρανῶν, ἀθύμει καὶ πένθει, ὁ κωλύσων οὐδείς, εἰ δὲ τούτων τῇ τοῦ Θεοῦ χάριτι πάντων πόρρωθεν ἕστηκας, τί μάτην κόπτεις σαυτόν; Τὴν γὰρ ἀθυμίαν ἐνέθηκεν ἡμῶν ὁ Θεὸς τῇ φύσει, οὐχ ἵνα ἁπλῶς καὶ ἀκαίρως καὶ ἐν τοῖς ἐναντίοις αὐτῇ χρώμεθα πράγμασιν, οὐδ' ἵνα φθείρωμεν ἑαυτούς, ἀλλ' ἵνα τὰ μέγιστα κερδάνωμεν ἐξ αὐτῆς. Πῶς δὲ κερδᾶναι ἔστιν; Ὅταν εἰς καιρὸν αὐτὴν παραλαμβάνωμεν· καιρὸς δ' ἀθυμίας οὐχ ὅταν πάσχωμεν κακῶς ἀλλ' ὅταν δρῶμεν κακῶς· ἡμεῖς δὲ τὴν τάξιν ἀνεστρέψαμεν καὶ τοὺς καιροὺς ἀντηλλαξάμεθα, καὶ ποιοῦντες μὲν μυρία κακά, οὐδὲ πρὸς βραχὺ συστελλόμεθα· ἢν δὲ μικρόν τι παρ' ὁτιοῦν πάθωμεν, καταπίπτομεν, ἰλιγγιῶμεν, ἀπαλλαγῆναι καὶ ἀποστῆναι τοῦ βίου σπεύδομεν.

Τοιγάρτοι διὰ τοῦτο φορτικὸν καὶ βαρὺ τὸ πρᾶγμα εἶναι ἡμῖν δοκεῖ, ὥσπερ οὖν καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία. Καὶ γὰρ καὶ ταῦτα οἱ μὴ χρησάμενοι καλῶς μηδὲ εἰς δέον διέβαλον· καὶ συμβαίνει ταὐτό, οἷον ἐπὶ τῶν φαρμάκων τῶν παρὰ τῶν ἰατρῶν διδομένων· καὶ γὰρ ἐκεῖνα ὅταν μὴ τοῖς καταλλήλοις καὶ ὑπὲρ ὧν κατεσκεύασται, ἀλλ' ἑτέροις ἀνθ' ἑτέρων ἐπιτεθῇ πάθεσιν, οὐ μόνον οὐκ ἀπήλλαξε τοῦ λυποῦντος τὸν κάμνοντα, ἀλλὰ καὶ μᾶλλον ἐπέτριψε τὸ νόσημα· ὅπερ οὖν καὶ ἡ ἀθυμία ποιεῖ, καὶ εἰκότως. Αὐστηρὸν γὰρ οὖσα καὶ διαβρωτικὸν φάρμακον, καὶ ὥς, ἂν εἴποι τις, καθαρτήριον τῆς πονηρίας τῆς ἐν ἡμῖν, ὅταν μὲν ἀργούσῃ ψυχῇ καὶ τρυφώσῃ καὶ πολὺν ἐχούσῃ τὸν τῶν ἁμαρτημάτων φορτὸν παρέχηται, μέγιστα τὸν δεξάμενον ὤνησεν· ὅταν δὲ ἀ-

πῆσαι καὶ νὰ πενθῇς, κανεὶς δὲν θὰ σὲ ἐμποδίσῃ, ἐὰν ὅμως μὲ τὴν χάριν τοῦ Θεοῦ ἔχῃς εὑρεθῆ μακρυὰ ἀπὸ ὅλα αὐτά, διατί ἄδικα ὀδύρεσαι; Διότι ὁ Θεὸς ἔθεσε τὴν λύπην μέσα εἰς τὴν φύσιν μας, ὄχι διὰ νὰ τὴν χρησιμοποιοῦμεν ἔτσι ἁπλῶς καὶ εἰς ἀκατάλληλον στιγμὴν καὶ εἰς περιστάσεις ποὺ δὲν ἐνδείκνυνται δι' αὐτήν, οὔτε διὰ νὰ καταστρέφωμεν τοὺς ἑαυτούς μας, ἀλλὰ διὰ ν' ἀποκομίζωμεν ἀπὸ αὐτὴν τὰ πιὸ μεγάλα κέρδη. Πῶς δὲ εἶναι δυνατὸν ν' ἀποκομίσωμεν κέρδη; Ὅταν κάνωμεν χρῆσιν αὐτῆς εἰς κατάλληλον στιγμήν· κατάλληλος δὲ στιγμὴ διὰ λύπην εἶναι ὄχι ὅταν πάσχωμεν κακῶς, ἀλλ' ὅταν πράττωμεν κακὰς πράξεις· ἡμεῖς ὅμως ἀντεστρέψαμεν τὴν τάξιν τῶν πραγμάτων καὶ ἠλλάξαμεν τοὺς καιρούς, καὶ ἐνῷ πράττομεν μύρια κακά, δὲν νοιώθομεν οὔτε τὴν παραμικρὰν ἐντροπήν· ἂν ὅμως πάθωμεν κάποιο μικρὸν κακόν, ἀπὸ ὁπουδήποτε καὶ ἂν προέρχεται αὐτό, χάνομεν τὸ θάρρος μας, κατακυριευόμεθα ἀπὸ ζάλην καὶ σπεύδομεν ν' ἀπαλλαγῶμεν καὶ νὰ φύγωμεν ἀπὸ τὴν ζωὴν αὐτήν.

Ἄρα λοιπὸν διὰ τοῦτο τὸ πρᾶγμα μᾶς φαίνεται ἀνυπόφορον καὶ βαρύ, ὅπως ἀκριβῶς βέβαια καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία. Καθ' ὅσον καὶ αὐτὰ δὲν ὡδήγησαν ἐκεῖ ποὺ πρέπει αὐτοὺς ποὺ δὲν ἔκαναν καλὴν χρῆσιν αὐτῶν· καὶ συμβαίνει ἀκριβῶς αὐτὸ ποὺ συμβαίνει εἰς τὴν περίπτωσιν τῶν φαρμάκων ποὺ δίδονται ἀπὸ τοὺς ἰατρούς· καθ' ὅσον καὶ ἐκεῖνα, ὅταν δὲν παρέχωνται διὰ τὰ κατάλληλα πάθη καὶ δι' ἐκεῖνα διὰ τὰ ὁποῖα ἔχουν παρασκευασθῆ, ἀλλὰ δι' ἄλλα ἀντ' ἄλλων, ὄχι μόνον δὲν ἀπαλλάσσουν τὸν ἀσθενῆ ἀπὸ τὸ αἴτιον τῆς λύπης του, ἀλλὰ καὶ πολὺ περισσότερον ἐπιδεινώνουν τὸ νόσημα, πρᾶγμα βέβαια ποὺ κατὰ φυσικὸν λόγον τὸ κάμνει καὶ ἡ λύπη. Διότι ὡσὰν πολὺ πικρὸν καὶ διαβρωτικὸν φάρμακον ποὺ εἶναι καὶ ὡσάν, ὅπως θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ, καθαρτήριον ποὺ εἶναι τῆς πονηρίας μας, ὅταν μὲν παρέχεται εἰς μίαν ψυχὴν ποὺ εἶναι ράθυμος καὶ κάνει τρυφηλὴν ζωὴν καὶ φέρει μεγάλον φόρτον ἁμαρτημάτων, τότε παρέχει μεγάλην

θλούσῃ καὶ ἀγωνιζομένῃ καὶ πονούσῃ καὶ μεμεριμνημένῃ καὶ πασχούσῃ κακῶς, πρὸς τῷ μηδὲν ὠφελῆσαι, καὶ μεγάλα ἔβλαψεν, ἀσθενεστέραν ἐργασαμένη καὶ εὐκαταγώνιστον. Διὰ τοῦτο τοῖς μὲν ἑστηκόσι καὶ ἀγωνιζομένοις γράφων ὁ Παῦλος ἔλεγε, «Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε», τοῖς δὲ διαχυθεῖσι καὶ πολλὴν ἔχουσι τὴν φλεγμονήν. «Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε».

Ὁ μὲν γὰρ λιπαινόμενος τῷ τῶν ἁμαρτημάτων λιπασμῷ, ἰσχνούσθω καὶ καταξαινέσθω τῷ φαρμάκῳ τούτῳ, ὁ δὲ εὐκτῶν καὶ ἐν τῇ προσηκούσῃ καταστάσει διατηρῶν ἑαυτόν, τίνος ἕνεκεν φθείροι τὴν εὐεξίαν διὰ τῆς ἀθυμίας; Οὕτω γάρ ἐστιν αὕτη δραστήριος, ὡς καὶ τοῖς δεομένοις αὐτῆς πλείονα τοῦ δέοντος ἐπιτεθεῖσα χρόνον μεγάλα ἐργάσασθαι κακά. Ὅπερ καὶ ὁ μακάριος Παῦλος δεδοικώς, ταχέως αὐτὴν ἐκέλευσεν ἀφελεῖν μετὰ τὸ πρᾶξαι τὸ ἑαυτῆς, καὶ τὴν αἰτίαν προσετίθει ταύτην, ἣν ἐγὼ λέγω νῦν· «Μήπως» γάρ, φησί, «τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος». Εἰ δὲ τοὺς ἐν χρείᾳ καθεστῶτας οἶδεν ἀπολλύναι προσπεσοῦσα μεθ' ὑπερβολῆς, τί ποτε ἐργάσεται τοὺς οὐδὲ ὅλως δεομένους αὐτῆς, ὅταν αὐτὴν πολλὴν ἐπισπάσωνται;

Ναί, φησίν, οἶδα τοῦτο καὶ αὐτός, ἀλλὰ πῶς αὐτὴν ἀποκρούσομαι καὶ ἀποστήσω τῆς ἐμαυτοῦ ψυχῆς, οὐκ οἶδα. Καὶ ποίας τοῦτο δυσκολίας, ὦ φίλε; Εἰ μὲν γὰρ ἐπιθυμία τις ἦν καὶ σωμάτων ἔρως ἄτοπος, ἢ κενοδοξίας τυραννίς, τὸ δυσκαταγώνιστον κακόν, ἢ ἄλλο τι τῶν τοιούτων παθῶν,

64. Φιλιπ. 4, 4.
65. Α' Κορ. 5, 2.
66. Β' Κορ. 2, 7.

ὠφέλειαν εἰς ἐκεῖνον ποὺ δέχεται αὐτήν, ὅταν ὅμως παρέχεται εἰς μίαν ψυχὴν ποὺ μοχθεῖ καὶ ἀγωνίζεται καὶ κοπιάζει καὶ μεριμνᾷ καὶ πάσχει κακῶς, ἐκτὸς ἀπὸ τὸ ὅτι δὲν ὠφελεῖ εἰς τίποτε, συγχρόνως καὶ παρέχει καὶ πολὺ μεγάλην βλάβην, κάμνουσα αὐτὴν ἀσθενεστέραν καὶ εὐκολοκατάβλητον. Διὰ τοῦτο καὶ ὁ Παῦλος, γράφων δι᾽ ἐκείνους ποὺ ἵστανται ἀκλόνητοι καὶ ἀγωνίζονται, ἔλεγε, «Πάντοτε νὰ χαίρετε ἐν ὀνόματι τοῦ Κυρίου· ἐπαναλαμβάνω, χαίρετε»[64], δι᾽ ἐκείνους δὲ ποὺ κάνουν ἁμαρτωλὴν ζωὴν καὶ ἡ ἀσθένειά των εἶναι πάρα πολὺ προχωρημένη, ἔλεγε· «Καὶ σεῖς εἴσθε παραφουσκωμένοι ἀπὸ ὑπερηφάνειαν καὶ δὲν ἐπενθήσατε καὶ πολύ»[65].

Αὐτὸς λοιπὸν ποὺ λιπαίνεται μὲ τὸ λίπασμα τῆς ἁμαρτίας θ᾽ ἀδυνατίσῃ καὶ θὰ ξηρανθῇ ἀπὸ τὸ φάρμακον αὐτό, ἐνῷ αὐτὸς ποὺ εἶναι εὔρωστος καὶ διατηρεῖ τὸν ἑαυτὸν εἰς τὴν κατάστασιν ποὺ πρέπει, διὰ ποῖον λόγον θὰ ἔφθανεν εἰς τὸ σημεῖον νὰ καταστρέψῃ τὴν εὐρωστίαν του μὲ τὴν λύπην; Διότι αὐτὴ εἶναι τόσον δραστική, ὥστε καὶ εἰς αὐτοὺς ποὺ τὴν ἔχουν ἀνάγκην, ἐὰν παραμείνῃ ἐπὶ περισσότερον ἀπὸ ὅ,τι χρειάζεται χρόνον, νὰ προξενῇ μεγάλα κακά. Αὐτὸ τὸ πρᾶγμα ἀκριβῶς φοβούμενος καὶ ὁ μακάριος Παῦλος, ἔδωσεν ἐντολὴν νὰ τὴν ἀποβάλλῃ κανεὶς ἀμέσως, ἀφοῦ ἤθελεν ἐπιτελέσει τὸν σκοπόν της, καὶ προσέθετε αὐτὴν τὴν αἰτίαν ποὺ ἐγὼ τώρα σοῦ λέγω· διότι λέγει· «Μήπως μὲ τὴν περισσότερον ἀπὸ ὅ,τι χρειάζεται λύπην ὁδηγηθῇ εἰς τὴν ἀπώλειαν»[66]. Ἐὰν δὲ γνωρίζῃ νὰ ὁδηγῇ εἰς ἀπώλειαν αὐτοὺς ποὺ τὴν ἔχουν ἀνάγκην ὅταν προσβάλῃ τὴν ψυχὴν εἰς ὑπερβολικὸν βαθμόν, τί δὲν θὰ κάνῃ εἰς αὐτοὺς ποὺ δὲν τὴν ἔχουν καθόλου ἀνάγκην, ὅταν ἀφήσουν αὐτὴν νὰ κυριεύσῃ εἰς μεγάλον βαθμὸν τὴν ψυχήν των;

Ναί, λέγει, τὸ γνωρίζω αὐτὸ καὶ ὁ ἴδιος, ἀλλὰ δὲν γνωρίζω πῶς θὰ τὴν ἀπωθήσω καὶ θὰ τὴν ἐκδιώξω ἀπὸ τὴν ψυχήν μου. Καὶ ποίαν δυσκολίαν ἔχει αὐτό, φίλε; Διότι, ἐὰν μὲν ἦτο κάποια ἐπιθυμία καὶ παράλογος σαρκικὸς ἔρως, ἢ τυραννὶς κενοδοξίας, τὸ πιὸ δυσκολοκατανίκητον κακόν, ἢ

καλῶς ἂν ἠπόρεις ὑπὲρ τῆς ἀπαλλαγῆς· τοὺς γὰρ τοιούτοις ἁλόντας ἀδύνατον μὲν οὐδαμῶς, δύσκολον δὲ ὅμως ἀποδρᾶναι τὰ δίκτυα. Τί δήποτε; Ὅτι τὴν ἡδονὴν ἔχουσι συμπράττουσαν καὶ βοηθοῦσαν αὐτοῖς· καὶ αὕτη ἐστὶν ἡ τὰ πολλὰ πανταχόθεν περιβάλλουσα τοῖς ἑαλωκόσι σχοινία· καὶ τοῦτο πρῶτον ἔχει πρὸς τὸ κατορθωθῆναι χαλεπόν πεῖσαι τὴν ψυχὴν ὅλως θελῆσαι καὶ βουληθῆναι τὴν ἀπαλλαγήν· καὶ γίνεται παρόμοιον, ὥσπερ ἂν εἴ τις ψώραν ἢ κνησμονὴν ἀποθέσθαι ὀφείλων ἐνηδύνοιτο τῷ νοσήματι καὶ εἴσω τοῦ πάθους ἑαυτὸν εἰσωθοῖ. Πρὸς δὲ τὴν τῆς λύπης ἀναχώρησιν οὐ μικρὸν ἡμῖν τοῦτο ἤνυσται, τὸ τέως ἀηδῶς ἔχειν πρὸς αὐτήν. Ὁ γάρ τινι βαρυνόμενος καὶ ἀπορρῖψαι σπουδάσει ταχέως αὐτό.

Τί οὖν, ἂν σπεύδῃ μέν, μὴ δύνηται δέ; Μὴ παυέσθω σπουδάζων καὶ ταχέως δυνήσεται. Ἐννόησον γὰρ ὅτι τὸν Χριστιανόν, εἴ ποτε λυποῖτο, δύο μόνον ὑποθέσεις ἀθυμίας ἔχειν δεῖ, ἢ ὅταν αὐτός, ἢ ὅταν ὁ πλησίον προσκρούσῃ Θεῷ· τῆς δὲ παρούσης λύπης οὐδεμίαν τῶν προφάσεων τούτων ῥίζαν ἐχούσης, εἰκῇ σαυτὸν ὀδυνᾷς. Καὶ πόθεν τοῦτο δῆλον, φησίν, ὅτι οὐ προσκρουσμάτων ταύτην τίνομεν δίκην; Μάλιστα μὲν δῆλόν ἐστι, πλὴν τέως οὐκ ἰσχυρίζομαι τοῦτο. Ἀλλ' ἔστω, εἰ βούλει, μηδὲ ἄδηλον, ὡς ἔφης, ἀλλὰ καὶ σφόδρα δῆλον, ὅτι τῶν ἁμαρτημάτων ἐστὶ τοῦτο ἀνταπόδοσις· διὰ τοῦτο οὖν ἀλγεῖς, εἰπέ μοι; Καὶ μὴν εὐθυμίας ἄξιον τὸ ἐνταῦθα διαλύσασθαι τὰ ἁμαρτήματα, καὶ μὴ σὺν τῷ κόσμῳ κατακρίνεσθαι. Τὸν γὰρ ἀλγοῦντα οὐχ ὑπὲρ ὧν κολάζεται,

κάτι ἄλλο ἀπὸ τὰ παρόμοια αὐτὰ πάθη, μὲ τὸ δίκαιόν σου θὰ ἀποροῦσες πῶς ν' ἀπαλλαγῆς ἀπὸ αὐτό, διότι αὐτοὶ ποὺ θὰ κυριευθοῦν ἀπὸ τὰ πάθη αὐτοῦ τοῦ εἴδους δὲν εἶναι μὲν καθόλου ἀδύνατον, ἀλλ' ὅμως εἶναι δύσκολον νὰ ξεφύγουν ἀπὸ τὰ δίκτυα αὐτῶν. Διατί τέλος πάντων; Διότι ἔχουν τὴν ἡδονὴν σύμμαχόν των καὶ βοηθόν των καὶ αὐτὴ εἶναι ἐκείνη ποὺ περιβάλλει ἀπὸ παντοῦ μὲ πολλὰ σχοινία αὐτοὺς ποὺ συλλαμβάνει· καὶ αὐτὴ εἶναι ἡ πρώτη δυσκολία πρὸς ἐπίτευξιν αὐτῆς τῆς ἀπαλλαγῆς, τὸ νὰ πεισθῇ δηλαδὴ ἡ ψυχὴ καὶ νὰ θελήσῃ καὶ νὰ ἐπιθυμήσῃ ν' ἀπαλλαγῇ τελείως ἀπὸ αὐτήν· καὶ συμβαίνει κάτι παρόμοιον μὲ ἐκεῖνον πού, ἐνῷ ὀφείλει ν' ἀποβάλῃ ἀπὸ ἐπάνω του τὴν ψώραν ἢ τὸν κνησμόν, αὐτὸς ἀντιθέτως εὐχαριστεῖται μὲ τὸ νόσημα καὶ σπρώχνει τὸν ἑαυτὸν πιὸ βαθειὰ μέσα εἰς τὸ πάθος. Διὰ τὴν ἀπαλλαγὴν ὅμως ἀπὸ τὴν λύπην μᾶς βοηθεῖ εἰς αὐτὸ πάρα πολὺ τὸ νὰ νοιώθωμεν ἀπὸ τὴν ἀρχὴν ἀηδίαν δι' αὐτήν. Διότι αὐτὸς ποὺ νοιώθει ἀηδίαν διὰ κάτι θὰ φθοντίσῃ καὶ ν' ἀποβάλῃ αὐτὸ ἀμέσως ἀπὸ ἐπάνω του.

Τί λοιπόν, ἐὰν ἐπιχειρῇ μὲν νὰ τὸ κάνῃ αὐτό, ἀλλ' ὅμως δὲν ἠμπορῇ; Ἂς μὴ παύῃ ποτὲ νὰ προσπαθῇ καὶ ἀμέσως θὰ τὸ κατορθώσῃ. Διότι σκέψου, ὅτι ὁ Χριστιανός, ἐὰν κάποτε ἔφθανεν εἰς τὸ σημεῖον νὰ λυπηθῇ, πρέπει νὰ ἔχῃ μόνον δύο ἀφορμὰς λύπης, ἢ ὅταν ὁ ἴδιος ἁμαρτήσῃ ἐνώπιον τοῦ Θεοῦ, ἢ ὅταν τὸ κάνῃ αὐτὸ ὁ πλησίον του, ἐπειδὴ ὅμως ἡ παροῦσα λύπη δὲν ἔχει καμμίαν ρίζαν ἀπὸ αὐτὰς τὰς ἀφορμάς, ἑπομένως ἄδικα καταστενοχωρεῖς τὸν ἑαυτόν σου. Καὶ ἀπὸ ποῦ, θὰ μοῦ εἰπῇς, εἶναι αὐτὸ φανερόν, ὅτι δηλαδὴ δὲν πληρώνομεν μὲ αὐτὴν διὰ τὰς ἁμαρτίας μας; Εἶναι καὶ μάλιστα πολὺ φανερόν, πλὴν ὅμως δὲν τὸ ἰσχυρίζομαι αὐτὸ αὐτὴν τὴν στιγμήν. Ἀλλ' ἂς ὑποθέσωμεν, ἐὰν θέλῃς, ὅτι, ὄχι μόνον δὲν εἶναι καθόλου φανερόν, ὅπως εἶπες, ἀλλ' εἶναι καὶ πάρα πολὺ φανερόν, ὅτι αὐτὸ εἶναι τιμωρία διὰ τὰ ἁμαρτήματά μας· εἰπέ μου λοιπὸν διὰ τοῦτο πονεῖς; Καὶ ὅμως εἶναι ἄξιον εὐθυμίας τὸ νὰ συγχωροῦνται εἰς τὴν ἐδῶ ζωὴν τὰ ἁμαρτήματά μας καὶ νὰ μὴ καταδικαζώμεθα μαζὶ μὲ τὸν κόσμον δι' αὐτά. Διότι αὐτὸς ποὺ πονεῖ,

ἀλλ' ὑπὲρ ὧν ἁμαρτάνων παροξύνει τὸν Θεὸν ἀλγεῖν δεῖ· τὰ μὲν γὰρ ἁμαρτήματα ἀφίστησιν ἡμῶν τὸν Θεὸν καὶ ἐχθρὸν ποιεῖ, τὰ δὲ τῶν κολάσεων καταλλάττει τε αὐτὸν ἡμῖν καὶ παρασκευάζει ἵλεων εἶναι καὶ ἐγγύς. Ὅτι δὲ οὔτε ἁμαρτημάτων ἐστὶν ἀντίδοσις, ἀλλὰ στεφάνων καὶ βραβείων ὑπόθεσις οὗτος ὁ ἱδρὼς καὶ ὁ πόνος, δῆλον ἐκεῖθεν. Εἰ μὲν γὰρ αἰσχρῶς καὶ ἀσώτως τὸν πρότερον βίον βιούς, οὕτως ἐπὶ τὴν τῶν μοναχῶν πολιτείαν μετέθηκας σεαυτόν, ἦν μὲν οὐδὲ οὕτω ταύτην ὑποπτεῦσαι τὴν ὑποψίαν. Εἰ γὰρ διὰ τοῦτο ἐπάγει τὰς τιμωρίας ὁ Θεός, ἵνα τρέψῃ πρὸς μετάνοιαν τοὺς ἀνενδότως ἔχοντας, τῆς μετανοίας ἐπιδειχθείσης, περιττὰ λοιπὸν τὰ τῆς τιμωρίας τούτου γε ἕνεκέν ἐστι. Τοσοῦτον γὰρ ἀπέχει τοῦ βούλεσθαι κολάζειν ἡμᾶς ὁ Θεός, ὡς καὶ πολλάκις τιμωρίας ἄξια πράττοντας, καὶ πολλῆς δεομένους ἐπιστροφῆς, δι' ἀπειλῆς μόνον καὶ ῥημάτων φοβερῶν σωφρονίζειν ἡμᾶς. Καὶ τοῦτο ἴδοις ἂν ἐπί τε τοῦ Ἰσραήλ, ἐπί τε τῆς πόλεως τῶν Νινευιτῶν. Οὐ γὰρ μόνον τὴν τιμωρίαν οὐκ ἐπήγαγε, τὴν μετάνοιαν ἐπιδειξαμένων ἐκείνων, ἀλλὰ καὶ τὴν ἀπειλὴν εὐθέως ἔλυσε. Πολλῷ γὰρ ἡμῶν αὐτῶν αὐτὸς βούλεται μᾶλλον μηδὲν ἡμᾶς πάσχειν κακόν, καὶ οὐδεὶς οὕτως ἑαυτοῦ φείσαιτ' ἄν, ὡς πάντων ἡμῶν ὁ Θεός.

Εἶτα ὁ τοὺς πολλάκις μὲν ἡμαρτηκότας ῥήμασι φοβῶν, οὐ κολάζων, μετανοήσαντας δὲ καὶ ταύτης ἀπαλλάτων τῆς ἀγωνίας, σὲ τὸν τοσαύτην ἐπιδειξάμενον εὐλάβειάν τε καὶ ἀρετὴν οὐ μόνον τῆς ἀπειλῆς οὐκ ἀπήλλαξεν, ἀλλὰ καὶ τῇ διὰ τῶν ἔργων παρεδίδου κολάσει; καὶ πῶς ἄν τις τοῦτο

πρέπει νὰ πονῇ ὄχι διὰ τὰ ἁμαρτήματά του ἐκεῖνα διὰ τὰ ὁποῖα τιμωρεῖται, ἀλλὰ δι' ἐκεῖνα μὲ τὰ ὁποῖα παροργίζει τὸν Θεόν· διότι τὰ μὲν ἁμαρτήματα μᾶς ἀπομακρύνουν ἀπὸ τὸν Θεὸν καὶ μᾶς κάνουν ἐχθρόν του, ἐνῷ αἱ τιμωρίαι τὸν συμφιλιώνουν μὲ ἡμᾶς καὶ τὸν προδιαθέτουν νὰ εἶναι εὔσπλαγχνικὸς ἀπέναντί μας καὶ νὰ εὑρίσκεται κοντά μας. Τὸ ὅτι ὅμως αὐτὸς ὁ ἱδρώτας καὶ ὁ πόνος δὲν εἶναι τιμωρία διὰ τὰ ἁμαρτήματά μας, ἀλλ' ἀφορμὴ διὰ στεφάνους καὶ βραβεῖα, γίνεται φανερὸν ἀπὸ αὐτὸ τὸ γεγονός. Ἐὰν δηλαδή, ζήσας αἰσχρῶς καὶ ἀσώτως τὴν προηγουμένην ζωήν σου, εἰσήρχεσο, ἐνῷ εὑρίσκεσο εἰς αὐτὴν τὴν κατάστασιν, εἰς τὴν μοναχικὴν πολιτείαν, ἔπρεπεν οὔτε καὶ τότε νὰ ἔχῃς αὐτὴν τὴν ὑποψίαν. Διότι, ἐὰν πρὸς τὸν σκοπὸν αὐτὸν στέλλῃ τὰς τιμωρίας ὁ Θεός, διὰ νὰ ὁδηγήσῃ δηλαδὴ εἰς μετάνοιαν αὐτοὺς ποὺ ἐπιμένουν νὰ ζοῦν εἰς τὴν ἁμαρτωλὴν ζωήν, ἀπὸ τὴν στιγμὴν ποὺ ἐπεδείχθη ἡ μετάνοια, εἶναι πλέον περιττά, ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος, τὰ τῆς τιμωρίας. Καθ' ὅσον τόσον πολὺ ἀπέχει ὁ Θεὸς ἀπὸ τὸ νὰ θέλῃ νὰ μᾶς τιμωρῇ, ὥστε καὶ πολλὰς φοράς, ἂν καὶ πράττομεν πράγματα ἄξια τιμωρίας καὶ ἔχομεν ἀνάγκην μεγάλης τιμωρίας διὰ νὰ ἐπιστρέψωμεν, παρὰ ταῦτα μᾶς σωφρονίζει μόνον μὲ τὴν ἀπειλήν του καὶ μὲ λόγια φοβερά. Καὶ αὐτὸ ἠμπορεῖς νὰ τὸ διαπιστώσῃς ἀπὸ τὴν περίπτωσιν καὶ τοῦ Ἰσραὴλ καὶ τῆς πόλεως τῶν Νινευιτῶν. Διότι ὄχι μόνον δὲν τοὺς ἐτιμώρησεν, ὅταν μετενόησαν, ἀλλ' ἀμέσως καὶ τὴν ἀπειλὴν ἐσταμάτησε. Καθ' ὅσον πολὺ περισσότερον ἀπὸ ἡμᾶς τοὺς ἰδίους θέλει ὁ Θεὸς νὰ μὴ πάσχωμεν ἀπὸ κανένα κακὸν καὶ κανεὶς δὲν ἠμπορεῖ νὰ δείξῃ τόσην φροντίδα διὰ τὸν ἑαυτόν του, ὅσην δείχνει δι' ὅλους ἡμᾶς ὁ Θεός.

Ἔπειτα, αὐτὸς ποὺ φοβίζει μόνον μὲ λόγια αὐτοὺς ποὺ κατ' ἐπανάληψιν ἁμαρτάνουν, ἀλλὰ δὲν τοὺς τιμωρεῖ, ὅταν δὲ μετανοήσουν τοὺς ἀπαλλάσσει καὶ ἀπὸ αὐτὴν τὴν ἀγωνίαν, ἐσένα ποὺ ἔδειξες τόσην καὶ εὐλάβειαν καὶ ἀρετὴν ὄχι μόνον δὲν θὰ σὲ ἀπήλλασσεν ἀπὸ τὴν ἀπειλήν, ἀλλὰ καὶ θὰ σὲ παρέδιδε καὶ εἰς τιμωρίαν διὰ τῶν ἔργων;

πιστεύσειε; Πλὴν ἀλλ᾽ εἰ μὲν διέφθαρτό σοι καὶ πονηρός, ὅπερ ἔφην, ὁ πρὸ τούτου βίος ἦν, κἂν εἰς ἔννοιαν τοῦτο ἐλθεῖν τινι δυνατὸν ἦν· νῦν δὲ τοῦ μὲν παρόντος ἐλάττων ἐκεῖνος, κόσμιος δὲ καὶ αὐτὸς καὶ πολλῆς γέμων σεμνότητος ἦν, ὥστε τοῦτο πάντοθεν ἡμῖν εἶναι φανερόν, ὅτι στεφάνων καὶ μείζονος ὑποθέσεώς ἐστι ταυτὶ τὰ παλαίσματα. Δεῖ μὲν οὖν, ὅπερ ἔφην, καὶ τούτους καὶ τοὺς τοιούτους ἀνακινεῖν λογισμούς, δεῖ δὲ μετὰ τούτων, μᾶλλον δὲ καὶ πρὸ τούτων, εὐχαῖς καὶ ἱκετηρίαις τοῦτο διασκεδάζειν τὸ σκότος. Καὶ γὰρ ὁ μακάριος Δαυίδ, ὁ θαυμαστὸς ἐκεῖνος καὶ μέγας ἀνήρ, τούτοις ἐχρήσατο τοῖς φαρμάκοις συνεχῶς, καὶ οὕτω τὰς πολλὰς τῶν θλίψεων ἀπεκρούετο ὀδύνας, νῦν μὲν εὐχόμενος καὶ λέγων, «Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με», νῦν δὲ λογισμοὺς ἀνακινῶν εὐσεβεῖς· «Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἱνατί συνταράττεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ». Καὶ πάλιν, ἀπὸ τῶν λογισμῶν τρεπόμενος ἐπὶ τὰς εὐχάς· «Ἄνες μοι», φησίν, «ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω»· καὶ ἀπὸ τῶν εὐχῶν ἐπὶ τοὺς λογισμούς· «Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;».

Οὕτω καὶ ὁ Ἰὼβ πρὸς μὲν τὴν γυναῖκα παραινοῦσαν τὰ σατανικὰ ῥήματα λογισμοῖς ἀπεμάχετο καὶ ἐπετίμα λέγων· «Ἱνατί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν, οὕτως ἐλάλησας; εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;». Πρὸς δὲ τὸν Θεὸν ἱκετηρίαις ἐκέχρητο. Καὶ ὁ μακάριος δὲ Παῦλος ἀμφοτέροις τούτοις ἐβοήθει τοῖς ἐν θλί-

---

67. Ψαλμ. 24, 17.
68. Ψαλμ. 42, 5.
69. Ψαλμ. 38, 14.
70. Ψαλμ. 72, 25.
71. Ἰὼβ 2,10.

καὶ πῶς θὰ ἦτο δυνατὸν νὰ τὸ πιστεύσῃ κανεὶς αὐτό; Ἐκτὸς βέβαια ἐάν, ὅπως εἶπα, ὁ προηγούμενος βίος σου ἦτο διεφθαρμένος καὶ κακός, θὰ ἠμποροῦσεν εἰς τὴν περίπτωσιν αὐτὴν νὰ τὸ σκεφθῇ κανεὶς αὐτό· τώρα ὅμως ἐκεῖνος ὁ βίος σου ἦτο καλύτερος ἀπὸ τὸν παρόντα, διότι καὶ ἐκεῖνος ἦτο κατὰ πάντα κόσμιος καὶ γεμᾶτος ἀπὸ πολλὴν σεμνότητα, ὥστε αὐτὸ μᾶς εἶναι ἀπὸ ὅλα φανερόν, ὅτι αὐτὰ ἐδῶ τὰ ἀγωνίσματά σου εἶναι μεγαλύτεραι ἀφορμαὶ διὰ στεφάνους. Πρέπει λοιπόν, ὅπως εἶπα προηγουμένως, νὰ κάνῃ μὲν κανεὶς καὶ αὐτὰς καὶ τὰς παρομοίας μὲ αὐτὰς σκέψεις, ἀλλὰ πρέπει μαζὶ μὲ αὐτάς, ἢ μᾶλλον καὶ πρὶν ἀπὸ αὐτὰς πρέπει νὰ διασκορπίζῃ αὐτὸ τὸ σκότος μὲ προσευχὰς καὶ παρακλήσεις. Καθ' ὅσον καὶ ὁ μακάριος Δαυίδ, ὁ θαυμαστὸς ἐκεῖνος καὶ μέγας ἄνδρας, αὐτὰ τὰ φάρμακα ἐχρησιμοποίει συνεχῶς καὶ μὲ τὸν τρόπον αὐτὸν ἀπέκρουε τὰς πολλὰς ὀδύνας τῶν θλίψεων, ἄλλοτε μὲν προσευχόμενος καὶ λέγων, «Ἐπλήθυνον αἱ θλίψεις τῆς καρδίας μου, ἀπάλλαξέ με ἀπὸ τὰς ἀνάγκας μου»[67], ἄλλοτε δὲ διατυπώνων εὐσεβεῖς σκέψεις· «Διατί εἶναι περίλυπος ἡ ψυχή μου καὶ διατί μὲ συγκλονίζεις; στήριξε, ψυχή μου, τὰς ἐλπίδας σου εἰς τὸν Θεόν, διότι θὰ ἐξομολογηθῶ εἰς αὐτόν»[68]. Καὶ πάλιν ἀπὸ τὰς σκέψεις μεταβαίνει εἰς τὰς προσευχάς· «Ἄφησέ με», λέγει, «νὰ παρηγορηθῶ πρὶν ἀποθάνω καὶ ἂς μὴ ζήσω ἄλλο πιά»[69]· καὶ ἀπὸ τὰς προσευχὰς ἔρχεται εἰς τὰς σκέψεις· «Τὶ ὑπάρχει λοιπὸν δι' ἐμένα εἰς τὸν οὐρανὸν καὶ τί ἐζήτησα ἀπὸ ἐσένα ἐδῶ ἐπάνω εἰς τὴν γῆν;»[70].

Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Ἰὼβ πρὸς μὲν τὴν γυναῖκα του ποὺ τὸν προέτρεπε μὲ τὰ σατανικὰ ἐκεῖνα λόγια ἠγωνίζετο μὲ τὰς σκέψεις του καὶ τὴν ἐπετίμα μὲ τὰ λόγια· «Διατί μοῦ ὡμίλησες ὡσὰν μία ἀπὸ τὰς ἀφρόνους γυναῖκας; ἐὰν τὰ ἀγαθὰ τὰ ἐδέχθημεν καὶ τὰ ἐλάβαμεν ἀπὸ τὰ χέρια τοῦ Θεοῦ, τὰ κακὰ δὲν θὰ τὰ ὑπομείνωμεν;»[71]. Πρὸς δὲ τὸν Θεὸν ἐχρησιμοποίει παρακλήσεις. Ἀλλὰ καὶ ὁ μακάριος Παῦλος καὶ μὲ τὰ δύο αὐτὰ μέσα ἐβοήθει αὐτοὺς ποὺ εὑρίσκοντο μέσα εἰς τὰς θλίψεις καὶ τοὺς πειρασμούς, ἀλ-

ψεσιν οὖσι καὶ πειρασμοῖς, νῦν μὲν λέγων· «Εἰ δὲ ἐκτός ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί· τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ;», νῦν δὲ εὐχόμενος, «Πιστὸς» γάρ, φησίν, «ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε»· καὶ πάλιν, «Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν.

Ἂν οὖν τούτοις καὶ αὐτὸς θέλῃς χρῆσθαι τοῖς ὅπλοις καὶ περιφράξῃς σεαυτὸν πανταχόθεν καλῶς, τοῖς μὲν λογισμοῖς ἀποτειχίζων τῆς ἀθυμίας τὴν ἔφοδον, ταῖς δὲ εὐχαῖς καὶ ταῖς σαυτοῦ καὶ ταῖς ἑτέρων τοῦτο ἰσχυρὸν τὸ τεῖχος ποιῶν, ταχέως αἰσθήσῃ τῶν καρπῶν τῆς παιδείας. Οὐ γὰρ τοῦτο μόνον κερδανεῖς τὸ τὰ παρόντα γενναίως ἐνεγκεῖν, ἀλλ᾽ ἐγγυμνασάμενος αὐτοῖς καλῶς, καὶ πρὸς ἅπαντα λοιπὸν ἀνάλωτος ἔσῃ τὰ τοῦ βίου λυπηρά.

72. Ἑβρ. 12, 8· 7.
73. Α΄ Κορ. 10, 13.
74. Β΄ Θεσ. 1, 6· 7.

λοτε μὲν λέγων, «Ἐὰν δὲ εὑρίσκεσθε μακρὰν τῆς παιδείας τότε εἶσθε νόθοι καὶ ὄχι υἱοί· διότι ποῖος εἶναι ἐκεῖνος ὁ υἱὸς ποὺ δὲν τὸν παιδεύει ὁ πατέρας του;»[72], ἄλλοτε δὲ προσευχόμενος· «Εἶναι ἀξιόπιστος ὁ Θεός», λέγει, «καὶ δὲν θὰ μᾶς ἀφήσῃ μέσα εἰς τοὺς πειρασμοὺς περισσότερον ἀπὸ ὅ,τι ἠμποροῦμεν»[73]· καὶ ἀλλοῦ πάλιν· «Ἐὰν βέβαια εἶναι δίκαιον εἰς τὸν Θεὸν νὰ τιμωρῇ μὲ θλῖψιν ἐκείνους ποὺ σᾶς θλίβουν καὶ νὰ δίδῃ εἰς ἐσᾶς τοὺς θλιβομένους ἀνακούφισιν»[74].

Ἂν λοιπὸν καὶ σὺ θέλῃς νὰ χρησιμοποιῇς αὐτὰ τὰ ὅπλα καὶ ἂν περιφράξῃς καλὰ τὸν ἑαυτόν σου ἀπὸ παντοῦ, μὲ τοὺς μὲν λογισμοὺς ἀποτειχίζων τὴν ἔφοδον τῆς ἀθυμίας μὲ τὰς προσευχὰς δὲ καὶ τὰς ἰδικάς σου καὶ τῶν ἄλλων καθιστῶν αὐτὸ τὸ τεῖχος ἰσχυρόν, ἀμέσως θὰ δοκιμάσῃς τοὺς καρποὺς τῆς παιδείας. Διότι δὲν θὰ ἔχῃς μόνον αὐτὸ τὸ κέρδος, τὸ νὰ ὑπομένῃς δηλαδὴ μὲ γενναιότητα τὰ παρόντα, ἀλλ᾽ ἀφοῦ ἐκγυμνάσῃς μ᾽ ὅλα αὐτὰ καλὰ τὸν ἑαυτόν σου, θὰ καταστῇς ἀπρόσβλητος εἰς τὸ ἑξῆς καὶ ἀπὸ ὅλα τὰ δυσάρεστα τοῦ βίου.

ΠΡΟΣ ΤΟΥΣ ΕΧΟΝΤΑΣ ΠΑΡΘΕΝΟΥΣ ΣΥΝΕΙΣΑΚΤΟΥΣ

1. Ἐπὶ μὲν τῶν προγόνων τῶν ἡμετέρων δύο τινὲς ἦσαν προφάσεις αἱ τὰς γυναῖκας συγκατοικίζουσαι τοῖς ἀνδράσι· μία μὲν ἡ τοῦ γάμου, ἀρχαία τε καὶ δικαία καὶ εὔλογος, ἅτε τὸν Θεὸν ἔχουσα νομοθέτην· «Ἀντὶ γὰρ τούτου», φησί, «καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν»· ἑτέρα δὲ ἡ τῆς πορνείας, καὶ νεωτέρα ταύτης καὶ ἄδικος καὶ παράνομος, ἅτε παρὰ τῶν πονηρῶν εἰσενεχθεῖσα δαιμόνων. Ἐπὶ δὲ τῆς γενεᾶς τῆς ἡμετέρας καὶ τρίτος ἐπενοήθη τρόπος καινός τις καὶ παράδοξος καὶ πολλὴν ἔχων τὴν ἀπορίαν τοῖς βουλομένοις τὴν αἰτίαν εὑρεῖν. Εἰσὶ γάρ τινες οἳ γάμου καὶ συνουσίας χωρὶς κόρας ἀπειρογάμους ἀγόμενοι, καθίζουσιν οἴκοι διαπαντός, καὶ εἰς ἔσχατον γῆρας ἑαυτοῖς συγκατακλείουσιν, οὔτε ἐπὶ παιδοποιΐᾳ (οὐ γάρ φασιν αὐταῖς συγγίνεσθαι), οὔτε ἐξ ἀκολασίας (λέγουσι γὰρ αὐτὰς ἀκεραίους διατηρεῖν), ἀλλ' ἐάν τις ἔρηται τὴν αἰτίαν, ἔχουσι μὲν πολλὰς καὶ μεμελετήκασιν, εὔλογον δέ, ὥς ἔγωγε οἶμαι, οὐδεμίαν, οὐδὲ σεμνήν. Ἀλλὰ μήπω περὶ τούτων, μηδὲ τὰς ἐκείνων τέως λέγωμεν προφάσεις, ἀλλ' ἣν αὐτοὶ μάλιστα ὑποπτεύομεν εἶναι, ταύτην εἰς μέσον ἀγάγωμεν. Τίς οὖν ἐστιν αὕτη; Πάν-

---

1. Γεν. 2, 24.

ΠΡΟΣ ΑΥΤΟΥΣ ΠΟΥ ΣΥΓΚΑΤΟΙΚΟΥΝ ΜΕ ΠΑΡΘΕΝΟΥΣ

1. Κατὰ τὴν ἐποχὴν τῶν προγόνων μας ὑπῆρχον δύο αἰτίαι συγκατοικήσεως τῶν γυναικῶν μετὰ τῶν ἀνδρῶν· ἡ μὲν μία ἦτο τοῦ γάμου, ποὺ ἦτο καὶ ἀρχαία καὶ δικαία καὶ πολὺ φυσική, καθ' ὅσον ἔχει νομοθέτην τὸν Θεόν· διότι λέγει· «Ἐξ αἰτίας αὐτοῦ θὰ ἐγκαταλείψῃ ὁ ἄνδρας τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ θὰ προσκολληθῇ εἰς τὴν γυναῖκα του καὶ θὰ γίνουν οἱ δύο ὡσὰν μία σάρκα»[1]· ἡ δὲ ἄλλη ἦτο ἡ αἰτία τῆς πορνείας, ποὺ εἶναι πιὸ νέα ἀπὸ τὴν πρώτην καὶ ἄδικος καὶ παράνομος, καθ' ὅσον εἰσήχθη εἰς τὸν ἄνθρωπον ἀπὸ τοὺς πονηροὺς δαίμονας. Εἰς τὴν ἰδικήν μας γενεὰν ὅμως ἐπενοήθη καὶ τρίτος τρόπος, ποὺ εἶναι καινούργιος, παράδοξος καὶ βάζει εἰς μεγάλην ἀπορίαν αὐτοὺς ποὺ θέλουν νὰ ἐξηγήσουν τὴν αἰτίαν του. Διότι ὑπάρχουν ὡρισμένοι, πού, χωρὶς νὰ ἔχουν ὡς σκοπὸν τὸν γάμον καὶ τὴν συνουσίαν, παίρνουν παρθένους νεανίδας, τὰς ἐγκαθιστοῦν διὰ πάντα εἰς τὴν οἰκίαν των καὶ τὰς ἔχουν μαζί των μέχρι τὰ βαθειὰ γεράματά των, ὄχι μὲ σκοπὸν ν' ἀποκτήσουν παιδιὰ (διότι λέγουν δὲν ἔρχονται μαζὶ μὲ αὐτὰς εἰς συνουσίαν), οὔτε διὰ λόγους ἀκολασίας (διότι λέγουν ὅτι τὰς διατηροῦν ἀδιαφθόρους), ἀλλ' ἐὰν κανεὶς τοὺς ἐρωτήσῃ διὰ νὰ μάθῃ τὴν αἰτίαν, ἔχουν νὰ σοῦ εἰποῦν πολλὰς καὶ ἔχουν σκεφθῆ πολλάς, χωρὶς ὅμως καμμία ἀπὸ αὐτάς, κατὰ τὴν γνώμην μου τουλάχιστον, νὰ εἶναι εὔλογος καὶ σοβαρά. Ἀλλ' ὅμως ἂς μὴ ὁμιλήσωμεν ἀκόμη δι' αὐτοὺς οὔτε καὶ διὰ τὰς δικαιολογίας ποὺ προβάλλουν αὐτοί, ἀλλ' ἂς φέρωμεν εἰς τὸ μέσον πρὸς συζήτησιν αὐτὴν ποὺ ἡμεῖς κατ' ἐξοχὴν ὑποπτευόμεθα ὅτι εἶναι ἡ πραγματική. Ποία λοιπὸν εἶναι αὐτή; Βέβαια, ἐὰν ἀποτύχω εἰς τὸν σκο-

τως δὲ εἰ διαμάρτοιμι τοῦ σκοποῦ, ἔξεστιν ἐπιλαβέσθαι τοῖς βουλομένοις ὑμῶν.

Τίς οὖν ἐστιν ἡ πρόφασις; Δοκεῖ μοί τινα ἡδονὴν ἔχειν τὸ συνοικεῖν γυναιξίν, οὐ νόμῳ γάμου μόνον, ἀλλὰ καὶ γάμου καὶ συνουσίας χωρίς. Εἰ δὲ οὐκ ὀρθῶς δοκῶ, λέγειν οὐκ ἔχω· τὴν γὰρ ἐμαυτοῦ τέως ὑμῖν διηγοῦμαι γνώμην· τάχα δὲ οὐ τὴν ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ τὴν αὐτῶν ἐκείνων· ὅτι γὰρ καὶ ἐκείνοις οὕτω δοκεῖ, δῆλον ἐκεῖθεν. Οὐ γὰρ ἂν τοσαύτης κατεφρόνησαν δόξης καὶ τοσούτων σκανδάλων, εἰ μὴ σφοδρά τις ἦν καὶ τυραννικὴ τῆς συνοικήσεως ταύτης ἡ ἡδονή. Εἰ δέ τινες δυσχεραίνοιεν ταῦτα λεγόντων ἡμῶν, παραιτήσομαι συγγινώσκειν ἡμῖν καὶ μὴ ἀγανακτεῖν· οὐ γὰρ ἑκών, οὐδὲ ἁπλῶς τὴν ἀπέχθειαν ἀναδέξασθαι ταύτην εἱλόμην. Οὐχ οὕτως ἄθλιος ἐγὼ καὶ ταλαίπωρος, ὡς εἰκῇ βούλεσθαι προσκρούειν ἅπασιν· ἀλλ' ὀδυνῶμαι σφόδρα καὶ ἀλγῶ καὶ τὴν τοῦ Θεοῦ δόξαν ὑβριζομένην ὁρῶν, καὶ τὴν τῶν πολλῶν σωτηρίαν κατὰ μικρὸν ὑπορρέουσαν διὰ τὴν ἡδονὴν ταύτην. Ὅτι γὰρ ἡδὺ τοῦτο καὶ τοῦ νόμῳ γάμου συνοικεῖν δριμύτερον ἔχει τὸν ἔρωτα, νῦν μὲν ἴσως καὶ θορυβεῖσθε ἀκούοντες, μετὰ δὲ τὴν ἀπόδειξιν καὶ αὐτοὶ συνομολογήσετε.

Ἐπὶ μὲν γὰρ τῆς ἐννόμου γυναικὸς ἡ μίξις ἀκώλυτος οὖσα, τόν τε πόθον παρεμυθήσατο καὶ εἰς κόρον πολλάκις τὸν ἄνδρα ἤγαγε, καὶ τὴν σφοδρὰν κατέλυσεν ἐπιθυμίαν. Καὶ χωρὶς δὲ τούτων καὶ ὠδῖνες καὶ τόκοι καὶ παιδοποιίαι καὶ παιδοτροφίαι, καὶ τὰ ἐκ τούτων ἑπόμενα συνεχῆ νοσή-

πόν, ἠμποροῦν, ὅσοι θέλουν ἀπὸ σᾶς, νὰ προβάλλουν τὰς ἀντιρρήσεις των.

Ποία λοιπὸν εἶναι ἡ πραγματικὴ αἰτία; Ἔχω τὴν ἐντύπωσιν ὅτι δημιουργεῖ κάποιαν ἡδονὴν τὸ νὰ συγκατοικῇ κανεὶς μὲ γυναῖκας, ὄχι μόνον ὅταν αὐτὴ γίνεται σύμφωνα μὲ τὸν νόμον τοῦ γάμου, ἀλλὰ καὶ ὅταν ἀκόμη δὲν μεσολαβῇ γάμος καὶ συνουσία. Ἐὰν δὲ δὲν εἶναι ὀρθὴ ἡ γνώμη μου, δὲν ἔχω τίποτε ἄλλο νὰ εἰπῶ· διότι κατ' ἀρχὴν σᾶς ἐκθέτω τὴν ἰδικήν μου σκέψιν καὶ ἐνδεχομένως ὄχι μόνον τὴν ἰδικήν μου, ἀλλὰ καὶ αὐτῶν τῶν ἰδίων· διότι τὸ ὅτι καὶ ἐκεῖνοι ἔχουν τὴν αὐτὴν γνώμην γίνεται φανερὸν ἀπὸ αὐτό. Δὲν θὰ ἔδειχναν δηλαδὴ τόσον μεγάλην ἀδιαφορίαν διὰ τὴν γνώμην τῶν ἄλλων καὶ τὰ τόσα σκάνδαλα, ἐὰν δὲν ἦτο κάποια σφοδρὰ καὶ τυραννικὴ ἡ ἡδονὴ αὐτῆς τῆς συγκατοικήσεως. Ἐὰν ὅμως μερικοὶ δυσανασχετοῦν διὰ τὰ λόγια μου αὐτά, θὰ παρακαλέσω νὰ μὲ συγχωρήσουν καὶ νὰ μὴ ἀγανακτοῦν· διότι δὲν ἐπροτίμησα οὔτε μὲ τὴν θέλησίν μου, οὔτε καὶ ἔτσι τυχαῖα νὰ συγκεντρώσω ἐπάνω μου αὐτὸ τὸ μῖσος. Δὲν εἶμαι τόσον ἄθλιος καὶ τόσον ταλαίπωρος, ὥστε νὰ θέλω χωρὶς αἰτίαν νὰ προσκρούω πρὸς ὅλους, ἀλλ' ὑποφέρω ἀφάνταστα καὶ πονῶ, βλέπων καὶ νὰ περιφρονῆται ἡ δόξα τοῦ Θεοῦ καὶ τὴν σωτηρίαν πολλῶν νὰ χάνεται σιγὰ - σιγὰ χωρὶς νὰ τὸ καταλαβαίνουν ἐξ αἰτίας αὐτῆς τῆς ἡδονῆς. Διότι, τὸ ὅτι αὐτὸ τὸ πρᾶγμα εἶναι πολὺ εὐχάριστον καὶ προξενεῖ πολὺ πιὸ ἰσχυρότερον ἔρωτα καὶ ἀπὸ τὴν συγκατοίκησιν ποὺ γίνεται διὰ τοῦ νομίμου γάμου, τώρα μὲν ἐνδεχομένως νὰ θορυβῆσθε ἀκούοντές το, μετὰ τὴν ἀπόδειξιν ὅμως θὰ τὸ ὁμολογήσετε καὶ σεῖς οἱ ἴδιοι.

Πράγματι λοιπόν, εἰς μὲν τὴν περίπτωσιν τῆς νομίμου συζύγου ἐπειδὴ δὲν ὑπάρχει ἐμπόδιον διὰ τὴν συνουσίαν καὶ τὸν πόθον αὐτὴ καταπραΰνει καὶ πολλὰς φορὰς ὁδηγεῖ τὸν ἄνδρα εἰς κορεσμὸν καὶ καταπαύει τὴν σφοδρὰν ἐπιθυμίαν. Ἀλλὰ καὶ ἐκτὸς ἀπὸ αὐτὰ καὶ αἱ ὠδῖνες καὶ οἱ τοκετοὶ καὶ αἱ γεννήσεις τέκνων καὶ ἡ ἀνατροφὴ αὐτῶν καὶ αἱ συνεχεῖς ἀσθένειαι, ποὺ συνοδεύουν αὐτὰ καὶ τὰ

ματα, πολιορκοῦντα τὸ σῶμα καὶ μαραίνοντα τὸ ἄνθος τῆς ὥρας, ἀσθενέστερον τὸ κέντρον ἐργάζεται τῆς ἡδονῆς. Ἐπὶ δὲ τῆς παρθένου οὐδὲν τούτων ἔνι· οὔτε γὰρ μίξις ἐστὶ τὸν οἶστρον τῆς φύσεως δυναμένη χαλάσαι καὶ κατενεγκεῖν, οὔτε ὠδῖνες καὶ παιδοτροφίαι τὴν σάρκα μαραίνουσιν, ἀλλ' ἐπιπολὺ διασώζουσι τὴν ἀκμήν, ἅτε ἀνέπαφοι μένουσαι τῶν ἐντεῦθεν. Τῶν μὲν γὰρ γαμουμένων μετὰ τοὺς τόκους καὶ τὰς παιδοτροφίας ἀσθενέστερα τὰ σώματα γίνεται, αἱ δὲ καὶ εἰς τεσσαρακοστὸν ἔτος μένουσιν, ἁμιλλώμεναι τῶν παρθένων ταῖς θαλαμευομέναις· ὅθεν διπλᾶ τὰ τῆς ἐπιθυμίας ἐγείρεται τοῖς συνοικοῦσιν αὐταῖς, τῷ τε μὴ συγχωρεῖσθαι τῇ μίξει τὸν πόθον παραμυθεῖσθαι, καὶ τῷ μένειν ἐπιπολὺ τοῦ πόθου τὴν ὑπόθεσιν ἰσχυροτέραν.

Ταύτην ὑποπτεύω πρόφασιν εἶναι ἐγὼ τῆς ὁμοσκηνίας ταύτης. Ἀλλὰ μὴ ἀγανακτῶμεν πρὸς αὐτοὺς μηδὲ δυσχεραίνωμεν· οὐδεὶς γὰρ τὸν κάμνοντα ἀναστῆσαι βουλόμενος μετ' ὀργῆς καὶ ἐπιπλήξεως τοῦτο ποιεῖ, ἀλλὰ μετὰ θεραπείας καὶ παρακλήσεως προσάγει τὰ φάρμακα. Καὶ γὰρ εἰ μὲν κολάσαι προὔκειτο καὶ τὴν τῶν δικαζόντων εἴχομεν τάξιν, ἐχρῆν καὶ ἀγανακτεῖν· εἰ δὲ ἐκείνην ἀφέντες τὴν τῶν ἰατρῶν καὶ θεραπεῦσαι βουλομένων μεταλαμβάνομεν, παρακαλεῖν χρὴ καὶ δέεσθαι, καὶ αὐτῶν, εἰ δέοι, τῶν γονάτων ἅπτεσθαι, ὥστε γενέσθαι τὸ σπουδαζόμενον. Καθάπερ οὖν οἱ ἰατροὶ τῶν βλαπτόντων μέν, ἡδονὴν δὲ ἐχόντων ἀπάγοντες, εἴτε σιτίων, εἴτε ποτῶν, τοῦτο πρὸ τῶν ἄλλων πείθουσι τοὺς

ὁποῖα πολιορκοῦν τὸ σῶμα καὶ μαραίνουν τὴν ὡραιότητά του, ὅλα αὐτὰ κάμνουν ἀσθενέστερον τὸ κίνητρον τῆς ἡδονῆς. Εἰς τὴν περίπτωσιν ὅμως τῆς παρθένου δὲν συμβαίνει τίποτε ἀπὸ αὐτά· διότι οὔτε συνουσία ὑπάρχει ποὺ νὰ ἠμπορῇ νὰ χαλαρώσῃ τὸ φυσικὸν κέντρισμα καὶ νὰ τὸ σβήσῃ, οὔτε οἱ ἐκ τοῦ τοκετοῦ προερχόμενοι πόνοι καὶ ἡ ἀνατροφὴ τῶν τέκνων μαραίνουν τὴν σάρκα, ἀλλὰ διατηροῦν ἐπὶ μακρὸν χρόνον τὴν ἀκμήν της, καθ' ὅσον μένει αὐτὴ ἀνέπαφος ἀπὸ ὅλα αὐτά. Διότι τῶν μὲν ἐγγάμων γυναικῶν τὰ σώματα μετὰ τοὺς τοκετοὺς καὶ τὴν ἀνατροφὴν τῶν τέκνων γίνονται ἀσθενέστερα, ἐνῷ τῶν ἀγάμων παραμένουν ἀκμαῖα μέχρι καὶ τὰ σαράντα των χρόνια, συναγωνιζόμεναι ἐκείνας ἐκ τῶν παρθένων ποὺ περνοῦν τὴν ζωήν των μέσα εἰς τοὺς κοιτῶνας, καὶ ὡς ἐκ τούτου δημιουργεῖται διπλῆ ἐπιθυμία εἰς ἐκείνους ποὺ συγκατοικοῦν μὲ αὐτάς, καὶ ἐπειδὴ δὲν ἠμποροῦν νὰ ἱκανοποιήσουν τὸν πόθον των μὲ τὴν συνουσίαν καὶ ἐπειδὴ διαρκεῖ ἐπὶ πολὺ χρόνον ὁ πόθος, καθιστοῦν ἔτσι τὴν αἰτίαν ποὺ τὸν προκαλεῖ ἰσχυροτέραν.

Αὐτὴ κατὰ τὴν γνώμην μου εἶναι ἡ αἰτία αὐτῆς τῆς συγκατοικήσεως. Ἀλλ' ὅμως ἂς μὴ ἀγανακτῶμεν ἐναντίον των καὶ ἂς μὴ δυσανασχετῶμεν· διότι κανείς, ποὺ θέλει νὰ θεραπεύσῃ τὸν ἀσθενῆ, δὲν τὸ κάνει αὐτὸ μὲ ὀργὴν καὶ ἐπίπληξιν, ἀλλὰ παρέχει τὰ φάρμακα μὲ πολλὴν φροντίδα καὶ πολλοὺς παρηγορητικοὺς λόγους. Καθ' ὅσον, ἐὰν μὲν τὸ ἔργον μας ἦτο νὰ τιμωρήσωμεν καὶ ἠθέλομεν λάβει τὴν θέσιν τῶν δικαστῶν, ἔπρεπε τότε ν' ἀγανακτῶμεν, ἐπειδὴ ὅμως, ἀφήνοντες κατὰ μέρος ἐκείνην τὴν θέσιν, λαμβάνομεν τὴν θέσιν τῶν ἰατρῶν καὶ ἐκείνων ποὺ θέλουν πραγματικὰ νὰ θεραπεύσουν τὸν ἀσθενῆ, πρέπει νὰ παρηγοροῦμεν αὐτοὺς καὶ νὰ τοὺς παρακαλοῦμεν, καὶ ἄν, χρειασθῇ, καὶ εἰς τὰ γόνατα νὰ πίπτωμεν, ὥστε νὰ ἐπιτύχωμεν τὸν σκοπόν μας. Ὅπως ἀκριβῶς λοιπὸν οἱ ἰατροί, ἀποτρέποντες τοὺς ἀσθενεῖς ἀπὸ αὐτὰ ποὺ βλάπτουν μέν, ἀλλ' εἶναι εὐχάριστα, εἴτε εἶναι αὐτὰ τροφαί, εἴτε ποτά, αὐτὸ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα τοὺς κάνουν νὰ πιστεύουν, ὅτι δη-

ἀρρώστους, ὅτι τὸ τοιοῦτον μετὰ τῆς βλάβης πολλὴν ἔχει καὶ τὴν ἀηδίαν, οὕτω καὶ ἡμεῖς ποιῶμεν, δεικνύντες αὐτοῖς ὅτι ἡ ἡδίστη αὕτη συνοίκησις πολὺν ἔχει τὸν ὄλεθρον, καὶ τῶν δηλητηρίων οὐδὲν ἔμεινον φαρμάκων κατεσκεύασται. Καὶ δοκεῖ μὲν εὐφροσύνην τινὰ ἔχειν, πολλὴν δὲ ἐναποκεκρυμμένην δριμύτητα καὶ πικρίαν καταχέει τῆς ἡδομένης ψυχῆς· ἐπεὶ καὶ αὐτὴ ἡ μετὰ πειθοῦς ἀναχώρησις ἀσφαλής. Ὁ μὲν γὰρ φόβῳ τῆς φιλουμένης διαζευγνύμενος καὶ ἀνάγκῃ, σφοδρότερός τε ἐραστὴς γίνεται καὶ ἴσως καὶ ἐπανήξει πάλιν, ὁ δὲ τοῦ πράγματος καταγνούς, καὶ οὕτω φυγὼν ὡς ἐπιβλαβὲς καὶ πικρόν, οὐδ' ἂν ἐπιστρέψειεν αὖθις, τὴν ἐκ τῆς οἰκείας γνώμης ψῆφον πάσης ἀνάγκης ἔχων ἰσχυροτέραν.

Πῶς οὖν αὐτοὺς πείσομεν, ὅτι οὐ βλαβερὸν τοῦτο μόνον, ἀλλὰ καὶ πικρόν; Πῶς δὲ ἄλλως ἢ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως; Ἐρώμεθα οὖν αὐτούς, εἴ τις πολυτελῆ τράπεζαν παραθείς, πολλῶν καὶ ἡδίστων γέμουσαν ἐδεσμάτων, ἀπηγόρευσε μετὰ σφοδρᾶς τῆς ἀπειλῆς, μὴ ἅπτεσθαί τινος τῶν προκειμένων, ἆρα ἄν τις εἵλετο τοιαύτῃ παρακαθῆσθαι τραπέζῃ καὶ κολάζειν ἑαυτόν; Οὐκ ἔγωγε οἶμαι· οὔτε γὰρ τοσαύτην ἀπὸ τῆς ὄψεως ἐκαρποῦτο τὴν ἡδονήν, ὅσην ἀπὸ τῆς κωλύσεως ὑπέμενε τὴν ἀθυμίαν. Τί δέ, εἰ διψῶντι καὶ καιομένῳ πηγήν τις ἐπιδείξας καθαρὰν καὶ διαυγῆ, μὴ μόνον αὐτῆς μὴ ἀπογεύεσθαι, ἀλλὰ μηδὲ ἄκροις θιγεῖν τοῖς δακτύλοις ἐπέτρεπεν, ἆρα ἂν ταύτης ἐγένετό τι πικρότερον τῆς κολάσεως;

Οὐδὲ ἐνταῦθα οἶμαί τινα ἀντερεῖν. Τοσοῦτον γάρ ἐστι

λαδὴ αὐτὸ τὸ πρᾶγμα μαζὶ μὲ τὴν βλάβην ποὺ προξενεῖ, προκαλεῖ καὶ πολλὴν ἀηδίαν, τὸ ἴδιο ἂς κάμνωμεν καὶ ἡμεῖς, νὰ τοὺς δεικνύωμεν, ὅτι ἡ τόσον εὐχάριστος αὐτὴ συγκατοίκησις κρύπτει πολὺ μεγάλον ὄλεθρον καὶ ὅτι, ἐκτὸς ἀπὸ τὰ δηλητήρια ποὺ ἔχει, ἀπὸ κανὲν ἄλλο καλύτερον φάρμακον δὲν ἔχει παρασκευασθῆ. Καὶ φαίνεται μὲν ὅτι παρέχει κάποιαν εὐφροσύνην, χύνει ὅμως μέσα εἰς τὴν ψυχὴν τὴν εὐφραινομένην, μὲ τρόπον λανθάνοντα, πολὺ δηλητήριον καὶ πικρίαν· διὰ τοῦτο λοιπὸν καὶ εἶναι ἀσφαλὴς ἡ ἀπομάκρυνσις ἀπὸ αὐτὴν μὲ λόγια πειστικά. Διότι αὐτὸς ποὺ ἀπομακρύνεται ἀπὸ τὴν ἀγαπημένην του ἀπὸ φόβον καὶ ἀναγκαστικά, γίνεται καὶ πιὸ φανατικὸς ἐραστὴς καὶ ἐνδεχομένως νὰ ἐπιστρέψῃ καὶ πάλιν, ἐκεῖνος ὅμως ποὺ θὰ λάβῃ σαφῆ γνῶσιν τοῦ πράγματος καὶ θὰ τὸ ἀποφύγῃ μὲ τὸν τρόπον αὐτὸν ὡς κάτι τὸ ἐπιβλαβὲς καὶ κακόν, δὲν θὰ ἦτο δυνατὸν νὰ ἐπιστρέψῃ πάλιν ὀπίσω, διότι θεωρεῖ τὴν ἀπόφασιν τῆς ἰδικῆς του γνώμης ἰσχυροτέραν ἀπὸ ὁποιανδήποτε ἀνάγκην.

Πῶς λοιπὸν θὰ τοὺς πείσωμεν, ὅτι αὐτὸ δὲν εἶναι μόνον βλαβερόν, ἀλλὰ καὶ κακόν; Πῶς δὲ ἀλλοιῶς, παρὰ ἀπὸ αὐτὴν τὴν ἰδίαν τὴν φύσιν τῶν πραγμάτων; Ἂν τοὺς ἐρωτήσωμεν λοιπόν· Ἐὰν κάποιος, παραθέτων πολυτελῆ τράπεζαν, γεμάτην μὲ πολλὰ καὶ πάρα πολὺ νόστιμα φαγητά, ἤθελεν ἀπαγορεύσει μὲ τὴν πιὸ αὐστηρὰν ἀπειλήν, νὰ μὴ ἐγγίσῃ κανεὶς τίποτε ἀπὸ τὰ παρατιθέντα, ἆρά γε θὰ ἤθελε κανεὶς νὰ παρακαθήσῃ εἰς μίαν τέτοιου εἴδους τράπεζαν καὶ νὰ βασανίζῃ τὸν ἑαυτόν του; Ἐγὼ τουλάχιστον νομίζω ὄχι· διότι δὲν θὰ ἐδοκίμαζε τόσον μεγάλην ἡδονὴν ἀπὸ τὴν θέαν τῶν φαγητῶν, ὅσην λύπην θὰ ὑπέμενεν ἀπὸ τὴν ἀπαγόρευσιν. Τί δέ, ἐὰν κανεὶς ἐπιδεικνύων εἰς κάποιον, ποὺ διψῇ καὶ καίγεται ἀπὸ τὴν δίψαν, πηγὴν καθαρὰν καὶ διαυγῆ, δὲν ἐπέτρεπεν εἰς αὐτὸν ὄχι μόνον νὰ μὴ δοκιμάσῃ τὴν γεῦσιν της, ἀλλ' οὔτε κἂν νὰ τὴν ἐγγίσῃ μὲ τὰ δάκτυλά του, ἆρά γε θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ κάτι χειρότερον ἀπὸ αὐτὴν τὴν τιμωρίαν;

Ἔχω τὴν γνώμην ὅτι οὔτε καὶ εἰς αὐτὸ θὰ φέρῃ κα-

τοῦτο τὸ κακόν, ὅτι καὶ τῶν ἔξωθεν οἱ ταῦτα διασκέπτεσθαι μάλιστα ὄντες δεινοί, ἡδονῆς φύσιν λέγω καὶ λύπης, θελήσαντες ποιῆσαι κολαζομένους τινὰς σφοδρῶς, οὐκ ἄλλως ἐποίησαν, ἢ τούτῳ τῷ τρόπῳ· πλάσαντες γάρ τινα μῦθον, ἄγουσιν ἐν τῷ μύθῳ τινά, ὃν ἔδει δοῦναι δίκην ἐσχάτην, καὶ ἕτερον μὲν οὐδέν, πανδαισίαν δὲ παραθέντες αὐτῷ, καὶ παραρρέον δείξαντες ὕδωρ, οὐδενὸς ἀπολαῦσαι τούτων συνεχώρουν, ἀλλ᾽ ὁμοῦ τε ἐξέτεινε τὴν χεῖρα ἐκεῖνος καὶ τὰ ὁρώμενα ἅπαντα ἀφίπτατο, καὶ τοῦτο ἐγίνετο διαπαντός. Καὶ οὗτος τῆς κολάσεως ὁ τρόπος ἦν κατὰ τὸν μῦθον τὸν ἔξωθεν. Καὶ φιλοσόφων δέ τις ἰδών τινα τῶν αὐτῷ συνόντων καταφιλήσαντα νέον εὔμορφον, ἐθαύμασεν εἰπών, ὅτι καὶ εἰς πῦρ οὗτος ῥαδίως ἂν κυβιστήσειεν ὁ ταύτην τολμήσας διὰ τοῦ φιλήματος ἀνάψαι ἐν ἑαυτῷ κάμινον.

Ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποιμι, ὅτι τὰς συνοικούσας φιλοῦσιν ἢ ἐπαφῶνται, εἰ δέ τινες ταῦτα κατηγοροῖεν, δεῖξαι πειράσομαι ὅτι, κἂν μέχρι τούτου προΐωσι, πικροτέραν πάλιν καθ᾽ ἑαυτῶν τῆς προτέρας ἐπισπῶνται τὴν βάσανον. Εἰ γὰρ ὄψις μόνη τοσαύτην ἐντίθησιν ὀδύνην, ὅταν καὶ ἁφὴ προσῇ, τῆς ὄψεως πολὺ παχυτέρα ἀπόλαυσις, μείζονα αἴρει τὴν φλόγα καὶ δριμυτέραν ἐργάζεται τὴν ἀλγηδόνα, καὶ χαλεπώτερον ποιεῖ τὸ θηρίον. Ὅσον γὰρ ἂν αὔξωμεν τὰ τῆς ὀδύνης ἡμῖν ἐπιτείνεται. Καὶ καθάπερ ὁ τῇ τραπέζῃ καὶ τῇ πηγῇ παρακαθήμενος οὐχ οὕτως ὁρῶν ὀδυνᾶται, ὡς ὅταν καὶ τῇ χειρὶ θιγεῖν ἐπιτραπεὶς ἀπογεύσασθαι κωλυθῇ πάλιν,

νεὶς ἀντίρρησιν. Διότι τόσον μεγάλο εἶναι αὐτὸ τὸ κακόν, ὥστε καὶ ἀπὸ τοὺς μὴ χριστιανούς, αὐτοὶ ποὺ εἶναι κατ' ἐξοχὴν φοβεροὶ εἰς τὴν ἔρευναν αὐτῶν τῶν πραγμάτων, δηλαδὴ τῆς φύσεως τῆς ἡδονῆς καὶ τῆς λύπης, ὁσάκις ἠθέλησαν νὰ βασανίσουν κάποιους μὲ τὸν πιὸ αὐστηρὸν τρόπον, δὲν τὸ ἔπραξαν αὐτὸ μὲ ἄλλον τρόπον, παρὰ μὲ αὐτὸν τὸν τρόπον· ἀφοῦ δηλαδὴ ἔπλασαν κάποιον μύθον ὁδηγοῦσαν εἰς τὸν τόπον αὐτὸν τοῦ μύθου κάποιον ποὺ ἔπρεπε νὰ τιμωρηθῇ μὲ τὴν ἐσχάτην τῶν ποινῶν, καὶ δὲν παρέθετον εἰς αὐτὸν τίποτε ἄλλο, παρὰ ἕνα πλουσιοπάροχον τραπέζι καὶ τοῦ ἐδείκνυον νερὸ ποὺ ἔτρεχεν ἐκεῖ κοντὰ καὶ δὲν τοῦ ἐπέτρεπον νὰ δοκιμάσῃ τίποτε ἀπ' ὅλα αὐτά, ἀλλά, μόλις ἐκεῖνος ἥπλωνε τὸ χέρι του, ἀπεμακρύνοντο ὅλα τὰ ὅσα ἔβλεπε, καὶ αὐτὸ ἐγίνετο διαρκῶς. Καὶ αὐτὸς ὁ τρόπος τῆς τιμωρίας ἐγίνετο σύμφωνα μὲ τὸν εἰδωλολατρικὸν μῦθον. Καὶ ἀπὸ τοὺς φιλοσόφους δὲ κάποιος, ὅταν εἶδε κάποιον ἀπὸ τοὺς μαθητάς του ποὺ ἐφίλησεν ἕνα νέον ὄμορφον, ἐθαύμασε καὶ εἶπεν, ὅτι αὐτὸς ποὺ ἐτόλμησε ν' ἀνάψῃ εἰς τὸν ἑαυτόν του μὲ τὸ φίλημα αὐτὴν τὴν κάμινον θὰ ἦτο δυνατὸν εὐκόλως καὶ εἰς τὴν φωτιὰν νὰ πηδήσῃ.

Ἐγὼ βέβαια δὲν θὰ ἠμποροῦσα νὰ τὸ εἰπῶ αὐτό, ὅτι δηλαδὴ φιλοῦν ἢ ἐγγίζουν αὐτὰς ποὺ συγκατοικοῦν μαζί των, ἀλλ' ἐὰν ὡρισμένοι τοὺς ἀποδίδουν καὶ αὐτὰς τὰς κατηγορίας, θὰ προσπαθήσω ν' ἀποδείξω, ὅτι ἐὰν φθάνουν καὶ μέχρι εἰς αὐτὸ τὸ σημεῖον, ἐπισύρουν μὲ τὴν σειράν των πιὸ φοβερωτέραν βάσανον ἀπὸ τὴν προηγουμένην. Διότι, ἐὰν καὶ μόνον ἡ θέα ἐμβάλλῃ εἰς τὴν ψυχὴν κάποιου τόσην ὀδύνην, ὅταν προστεθῇ καὶ ἡ ἀφή, ποὺ εἶναι πολὺ πιὸ ἐντονωτέρα ἀπόλαυσις ἀπὸ τὴν ἐκ τῆς θέας, κάμνει μεγαλυτέραν τὴν φλόγα, δριμύτερον τὸν πόνον καὶ φοβερώτερον τὸ θηρίον. Διότι, ὅσον περισσότερον αὐξάνομεν τὰ τῆς ἐπιθυμίας καὶ παρέχομεν πλουσιωτέραν τροφὴν εἰς αὐτήν, τόσον περισσότερον αὐξάνουν καὶ τὰ αἴτια ποὺ προκαλοῦν τὸν πόνον. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ποὺ κάθεται πλησίον τῆς τραπέζης καὶ τῆς πηγῆς δὲν ὑ-

οὕτω δὴ καὶ οἱ τῶν παρθενικῶν σωμάτων ψαῦσαι ἐπιτρεπόμενοι, χαλεπώτερον τῆς θέας ἀπὸ τῆς ἀφῆς κολάζονται, πικροτέραν ἐφελκόμενοι τὴν ἐκ τῆς ἀποτυχίας ὀδύνην. Καὶ τί δεῖ ταῦτα ἀπὸ τῶν ἔξωθεν πραγμάτων φιλοσοφεῖν; ἡ γὰρ τοῦ Θεοῦ ψῆφος ἡ τούτων ἁπάντων ἰσχυροτέρα, αὕτη δείκνυσι τοῦτο τοιοῦτον ὄν. Τὸν γὰρ Ἀδὰμ κολάσαι βουλόμενος, οὐ πόρρω τοῦ παραδείσου κατῴκισεν, ἀλλ' αὐτοῦ πλησίον ἐκείνου, ἵν' ἔχῃ διηνεκῆ κόλασιν, τὴν θέαν τοῦ ποθουμένου χωρίου, θεωρῶν μὲν αὐτὸ διαπαντός, ἀπολαῦσαι δὲ οὐκ ἐπιτρεπόμενος.

Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ πῶς, εἰ πικρὸν τοῦτο οὕτως ἐστὶ τῇ φύσει, μετὰ τοσαύτης αὐτὸ οἱ πολλοὶ διώκουσι τῆς σπουδῆς; Ἐγὼ δὲ πρὸς τοῦτο ἐκεῖνο ἂν εἴποιμι, ὅτι αὐτὸ μὲν οὖν τοῦτο μέγιστον τεκμήριον τῆς ἐσχάτης αὐτῶν ἀρρωστίας ἐστί. Τοῦτο γὰρ τῶν νοσούντων τὸ ἔθος, ψυχράν τινα καὶ ὀλιγοχρόνιον ἡδονὴν καρποῦσθαι, καὶ μακρὰν ἑαυτοῖς ἐντεῦθεν κατασκευάζειν κόλασιν. Τοῦτο γὰρ καὶ ἐπὶ τῶν πυρεττόντων ἴδοι τις ἄν, οἳ μὴ βουλόμενοι καρτερῆσαι μικρόν, δι' ὀλιγοχρόνιόν τινα ψυχαγωγίαν καὶ ποτῶν καὶ σιτίων κεκωλυμένων ἁπτόμενοι, μακράν τινα καὶ χαλεπωτάτην ἑαυτοῖς ἐργάζονται νόσον. Δεῖ δὲ τοὺς ὑγιαίνοντας οὐκ ἀπὸ τῶν νοσούντων λαμβάνειν τὰς περὶ τῶν πραγμάτων ψήφους, ἐπεί, εἰ τούτοις ἑψόμεθα, καὶ ὑπὸ τῆς ἰατρικῆς καὶ ὑπὸ τῆς φιλοσοφίας καταγνωσόμεθα. Οὐδὲ γάρ, οὐδὲ ἐπὶ πυρετῶν, οὐδὲ ἐπὶ γυναικῶν τοῦτο πάσχουσι μόνον, ἀλλὰ

ποφέρει τόσον βλέπων αὐτά, ὅσον ὅταν τοῦ ἐπιτραπῇ νὰ τὰ ἐγγίσῃ μὲ τὸ χέρι καὶ τοῦ ἀπαγορευθῇ καὶ πάλιν νὰ τὰ γευθῇ, ἔτσι λοιπὸν καὶ αὐτοί, ποὺ τοὺς ἐπιτρέπεται νὰ ἐγγίσουν παρθενικὰ σώματα, ὑποφέρουν φοβερώτερα ὅταν τὰ ἐγγίζουν αὐτὰ παρὰ ὅταν τὰ βλέπουν καὶ τοὺς γίνεται ἔτσι βαρύτερος ὁ πόνος ἐξ αἰτίας τῆς ἀποτυχίας. Καὶ διατί πρέπει αὐτὰ νὰ τὰ φιλοσοφοῦμεν χρησιμοποιοῦντες παραδείγματα ἀπὸ τὸν ἐξωχριστιανικὸν χῶρον; διότι ἡ ἀπόφασις τοῦ Θεοῦ, ποὺ εἶναι ἰσχυροτέρα ἀπὸ ὅλα αὐτά, αὐτὴ ἀποδεικνύει ὅτι αὐτὸ συμβαίνει ὅπως τὸ παρουσιάζομεν ἡμεῖς. Πράγματι, θέλων νὰ τιμωρήσῃ τὸν Ἀδάμ, δὲν τὸν ἐγκατέστησε μακρυὰ ἀπὸ τὸν Παράδεισον, ἀλλὰ πλησίον ἐκείνου, διὰ νὰ εἶναι διαρκὴς ἡ τιμωρία του ἀπὸ τὴν θέαν τοῦ χώρου ἐκείνου ποὺ ἐπόθει, μὲ τὸ νὰ βλέπῃ μὲν αὐτὸν συνεχῶς, νὰ μὴ ἠμπορῇ ὅμως νὰ τὸν ἀπολαύσῃ.

Ἀλλ' ἴσως θὰ ἠμποροῦσε κάποιος νὰ ἐρωτήσῃ. Καὶ πῶς τότε, ἀφοῦ αὐτὸ ἐκ φύσεως εἶναι τόσον κακὸν πρᾶγμα, τὸ ἐπιδιώκουν οἱ πολλοὶ μὲ τόσην ἀγωνίαν; Ἐγὼ δὲ εἰς τὴν ἐρώτησιν αὐτὴν θὰ ἠμποροῦσα νὰ δώσω τὴν ἑξῆς ἀπάντησιν, ὅτι δηλαδὴ αὐτὸ τὸ ἴδιο ἀποτελεῖ μεγίστην ἀπόδειξιν τῆς πιὸ βαρυτέρας ἀσθενείας των. Διότι αὐτὸ συνήθως κάνουν οἱ ἀσθενεῖς, ἀπολαμβάνουν κάποιαν ψυχρὰν καὶ ὀλιγόχρονον ἡδονὴν καὶ προξενοῦν εἰς τὸν ἑαυτόν των ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος μακροχρόνιον τιμωρίαν. Αὐτὸ βέβαια θὰ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς νὰ συμβαίνῃ καὶ εἰς τὴν περίπτωσιν αὐτῶν ποὺ ὑποφέρουν ἀπὸ πυρετόν, οἱ ὁποῖοι, ἐπειδὴ δὲν θέλουν νὰ δείξουν μικρὰν ὑπομονήν, ἐξ αἰτίας κάποιας στιγμιαίας εὐχαριστήσεως, κάμνοντες χρῆσιν τῶν ἀπαγορευμένων εἰς αὐτοὺς ποτῶν καὶ φαγητῶν, προξενοῦν εἰς τὸν ἑαυτόν των κάποιαν μακροχρόνιον καὶ πάρα πολὺ φοβερὰν ἀσθένειαν. Ἀλλὰ πρέπει οἱ ὑγιεῖς νὰ μὴ ρυθμίζουν τὰς ἀποφάσεις των περὶ τῶν διαφόρων πραγμάτων ἐπὶ τῇ βάσει τῶν ἐπιθυμιῶν τῶν ἀσθενῶν, διότι, ἐὰν ἀκολουθῶμεν αὐτοὺς θὰ κατηγορηθῶμεν καὶ ἀπὸ τὴν ἰατρικὴν καὶ ἀπὸ τὴν φιλοσοφίαν. Διότι αὐτοὶ ποὺ πάσχουν ἀπὸ αὐτὴν τὴν ἀσθένειαν δὲν τὸ παθαίνουν αὐτὸ

καὶ ἐπὶ χρημάτων καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων οἱ τὰ τοιαῦτα νοσοῦντες. Καὶ γὰρ οἱ περὶ τὰ χρήματα μεμηνότες, εἰδότες, ὅτι οἱ τὰ μικρὰ ταῦτα ἐνταῦθα προέμενοι τοῖς δεομένοις μυρία ἐκεῖ λήψονται ἀγαθά, κατέχουσιν ὅμως αὐτὰ καὶ κατορύττουσι, καὶ πάντων ἐκπεσεῖν αἱροῦνται τῶν ἀγαθῶν μᾶλλον διὰ τὴν ψυχρὰν ταύτην καὶ βραχεῖαν ἡδονήν, ἢ τῆς αἰωνίου κολάσεως ἀπαλλαγῆναι καὶ τὴν ἀθάνατον καρπώσασθαι ζωήν, διὰ τῆς προσκαίρου τούτων ὑπεροψίας. Τοῦτο δὴ καὶ οὗτοι πάσχουσι, τῆς μικρᾶς ταύτης ἐπιθυμίας, τῆς διὰ τῶν ὀφθαλμῶν, οὐκ ἀνεχόμενοι μικρὸν ἑαυτοὺς ἀποστῆσαι, ἀφόρητον ἑαυτοῖς συνάγουσι πῦρ· καὶ ὅσῳπερ ἂν νομίζωσιν ἥδεσθαι, τοσούτῳ μᾶλλον ἐμπλέκονται τῷ κακῷ, τοῦ διαβόλου τοῦτο τεχνασαμένου πρὸς τὴν παραμονὴν τῆς φλογὸς καὶ ἐπίδοσιν, ὅθεν καιόμενοι καὶ ἥδονται καὶ ἀλγοῦσιν, ἄτοπόν τινα κρᾶσιν ἐν ταῖς ἑαυτῶν καταφυτεύοντες ψυχαῖς.

Εἰ δέ τις ἡμῶν ἀκρασίαν καταγινώσκει ἀπὸ τούτων τῶν ρημάτων (τοὺς γὰρ γενναίους ἄνδρας καὶ γυναιξὶ συνοικοῦντας μηδὲν πάσχειν δεινόν), μακαρίζω μὲν τοὺς τοιούτους καὶ βουλοίμην ἂν καὶ αὐτὸς τοσαύτην λαβεῖν ἰσχὺν (καὶ ἴσως μὲν καὶ αὐτὸς πείθομαι ὅτι δυνατὸν εἶναι τοιούτους τινάς), ἐβουλόμην δὲ καὶ τοὺς ἐγκαλοῦντας ἡμῖν δυνηθῆναι πεῖσαι τοῦτο, ὅτι νέος σφριγῶν τῷ σώματι κόρῃ συνοικῶν παρθένῳ καὶ συγκαθήμενος καὶ συνδειπνῶν καὶ συνδιαλεγόμενος δι' ἡμέρας (τῶν γὰρ ἄλλων οὐδὲν προστίθημι, τοὺς ἀκαίρους γέλωτας καὶ τὰς διαχύσεις καὶ τὰ μαλακὰ ρήματα καὶ τὰ ἄλλα ἃ μηδὲ λέγειν ἴσως καλόν)· ἀλλ' ὅτι τὴν

μόνον εἰς τὴν περίπτωσιν τοῦ περιτοῦ καὶ τῶν γυναικῶν, ἀλλὰ καὶ εἰς τὴν περίπτωσιν τῶν χρημάτων καὶ ὅλων γενικῶς τῶν ἄλλων πραγμάτων. Καθ' ὅσον αὐτοὶ ποὺ ἔχουν μανίαν διὰ τὰ χρήματα, ἂν καὶ γνωρίζουν ὅτι, ἐὰν διαθέσουν τὰ ὀλίγα αὐτὴ χρήματα κατὰ τὴν ἐδῶ ζωήν των εἰς ἐκείνους ποὺ τὰ ἔχουν ἀνάγκην, θὰ λάβουν εἰς τὴν ἐκεῖ ζωὴν ἄπειρα τὸν ἀριθμὸν ἀγαθά, παρὰ ταῦτα τὰ κρατοῦν καὶ τὰ κρύπτουν μέσα εἰς τὴν γῆν, καὶ προτιμοῦν νὰ χάσουν ὅλα τὰ ἀγαθὰ ἐξ αἰτίας αὐτῆς τῆς ψυχρᾶς καὶ στιγμιαίας ἡδονῆς, παρὰ ν' ἀπαλλαγοῦν ἀπὸ τὴν αἰώνιον κόλασιν καὶ ν' ἀπολαύσουν τὴν ἀθάνατον ζωήν, περιφρονοῦντες πρὸς στιγμὴν τὰ ἐδῶ ἀγαθά. Αὐτὸ λοιπὸν παθαίνουν καὶ αὐτοί, ἐπειδὴ δὲν ἀνέχονται ν' ἀπομακρύνουν τὸν ἑαυτόν των διὰ σύντομον χρονικὸν διάστημα ἀπὸ τὴν στιγμιαίαν αὐτὴν ἐπιθυμίαν τῶν ὀφθαλμῶν των, συγκεντρώνουν διὰ τὸν ἑαυτόν των ἀφόρητον πῦρ· καὶ ὅσον περισσότερον νομίζουν ὅτι εὐχαριστοῦνται, τόσον περισσότερον περιπλέκονται μέσα εἰς τὸ κακόν, διότι ὁ διάβολος ἐπενόησεν αὐτὸ διὰ νὰ διατηρῆται ἡ φλόγα καὶ νὰ ἐνδυναμώνῃ, καὶ ὡς ἐκ τούτου, ἂν καὶ καίονται, ἐν τούτοις καὶ εὐχαριστοῦνται καὶ ὑποφέρουν, ἐμφυτεύοντες μέσα εἰς τὴν ψυχήν των κάποιο παράξενον κρᾶμα.

Ἐὰν ὅμως κάποιος θεωρῇ ὑπερβολικὰ τὰ λόγια μου αὐτὰ (διότι οἱ γενναῖοι ἄνδρες δὲν παθαίνουν κανὲν κακὸν καὶ ἂν ἀκόμη συγκατοικοῦν μὲ γυναῖκας), τοὺς θεωρῶ μὲν εὐτυχεῖς αὐτοὺς τοὺς ἀνθρώπους καὶ θὰ ἤθελα καὶ ὁ ἴδιος νὰ λάβω τόσην δύναμιν (καὶ σχεδὸν πιστεύω ὅτι εἶναι δυνατὸν νὰ ὑπάρχουν ὡρισμένοι τέτοιοι), θὰ ἤθελα ὅμως καὶ αὐτοὺς ποὺ μὲ κατηγοροῦν νὰ ἠμπορέσω νὰ τοὺς κάνω νὰ πιστεύσουν αὐτό, ὅτι δηλαδὴ ἕνας νέος, γεμᾶτος ἀπὸ σφρῖγος εἰς τὸ σῶμα, συγκατοικῶν μὲ κόρην παρθένον καὶ καθήμενος δίπλα της καὶ συντρώγων καὶ συνομιλῶν καθ' ὅλην τὴν ἡμέραν (φυσικὰ δὲν προσθέτω τίποτε ἀπὸ ὅλα τὰ ἄλλα, τὰ ἄσκοπα δηλαδὴ γέλοια, τὰς φιλοφρονήσεις καὶ τὰ γλυκὰ λόγια καὶ τὰ ἄλλα, ποὺ δὲν εἶναι ἴσως καλὸν καὶ νὰ τὰ ὀνομάσῃ κανείς), ποὺ ἔχει τὴν

αὐτὴν ἔχων οἰκίαν, καὶ τραπέζης καὶ λόγων κοινωνῶν, καὶ μετὰ παρρησίας πολλῆς καὶ μεταλαμβάνων πολλῶν καὶ μεταδιδούς, οὐδενὶ τῶν ἀνθρωπίνων ἁλίσκεται, ἀλλὰ καθαρὸς ἐπιθυμίας τε μένει πονηρᾶς καὶ ἡδονῆς· ἐβουλόμην ταῦτα δύνασθαι πείθειν τοὺς ἐγκαλοῦντας ἡμῖν, ἀλλ᾽ οὐκ ἐθέλουσι πείθεσθαι, ἀλλὰ καὶ ἡμῶν τῶν ταῦτα ἀπολογουμένων καταβοῶσιν ὡς ἀναισχύντων, καὶ τὰ αὐτὰ νοσούντων αὐτοῖς, καὶ τὴν οἰκείαν περιστελλόντων κακίαν. Καὶ τί ταῦτα πρὸς ἡμᾶς; φησίν· οὐδὲ γὰρ τῆς ἑτέρων ἀνοίας ἡμεῖς ὑπεύθυνοι, οὐδὲ εἴ τις ἀλόγως σκανδαλίζοιτο, δοῦναι δίκην ἄξιος ἐγὼ διὰ τὴν ἄνοιαν τὴν ἐκείνου.

Ἀλλὰ Παῦλος οὐκ εἶπε τοῦτο, ἀλλὰ κἂν ἀδίκως σκανδαλίζηταί τις, κἂν δι᾽ ἀσθένειαν, βοηθεῖν ἐκέλευσε. Τότε γὰρ μόνον ἀπαλλαττόμεθα τῆς ἐπὶ τοῖς σκανδαλιζομένοις τιμωρίας κειμένης, ὅταν ἐκ τοῦ σκανδάλου κέρδος ἕτερον τίκτηται τῆς ἀπὸ τοῦ σκανδάλου βλάβης μεῖζον· ὡς ἂν τοῦτο μὴ ᾖ, ἀλλ᾽ ἓν μόνον συμβαίνῃ τὸ σκανδαλίζεσθαι ἑτέρους, ἄν τε εὐλόγως ἄν τε ἀλόγως σκανδαλίζωνται, ἄν τε ὡς ἀσθενεῖς, τὸ αἷμα αὐτῶν ἐπὶ τὴν κεφαλὴν τὴν ἡμετέραν, καὶ ἐκ τῶν χειρῶν τῶν ἡμετέρων ὁ Θεὸς τὰς τοιαύτας ἐκζητήσει ψυχάς. Διά τοι τοῦτο, ἵνα μὴ πανταχοῦ μήτε φροντίζωμεν, μήτε καταφρονῶμεν τῶν σκανδαλιζομένων, ὅρους τινὰς ἡμῖν καὶ κανόνας ἔθηκε τούτου ὁ Χριστός, καὶ τοῦτο κἀκεῖνο ποιήσας μετὰ τοῦ καιροῦ τοῦ προσήκοντος. Ὅτε μὲν γὰρ περὶ τῆς τῶν ἐδεσμάτων διελέγετο φύσεως, καὶ ἐδείκνυ καθαρὰν αὐτὴν οὖσαν, καὶ τῆς Ἰουδαϊκῆς ἀπήλλαττε παρατηρήσεως, εἰσελθόντος τοῦ Πέτρου καὶ εἰπόντος, ὅτι «Ἐσκανδαλίσθησαν», «Ἄφες αὐτούς», φησί· καὶ οὐ μόνον κατεφρόνησεν αὐτῶν,

2. Ματθ. 15, 12-14.

αὐτὴν μὲ αὐτὴν οἰκίαν καὶ συμμετέχει εἰς τὴν αὐτὴν τράπεζαν καὶ τὰς συνομιλίας καὶ μὲ πολὺ θάρρος καὶ παίρνει πολλὰ καὶ δίδει, δὲν κυριεύεται ἀπὸ κανὲν ἀνθρώπινον πάθος, ἀλλὰ παραμένει καθαρὸς καὶ ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν καὶ τὴν ἡδονήν. Θὰ ἤθελα αὐτὰ νὰ ἠμποροῦσαν νὰ πείσουν αὐτοὺς ποὺ μᾶς κατηγοροῦν, ὅμως δὲν θέλουν νὰ πεισθοῦν, ἀλλὰ κατηγοροῦν καὶ ἡμᾶς, ἐπειδὴ ἀποκρούομεν αὐτὰς τὰς κατηγορίας, ὅτι εἴμεθα ἀναίσχυντοι καὶ ὅτι πάσχομεν ἀπὸ τὴν ἰδίαν μὲ αὐτοὺς ἀσθένειαν καὶ ὅτι θέλομεν νὰ καλύψωμεν τὴν ἰδικήν μας κακίαν. Καὶ ποίαν σχέσιν, λέγουν, ἔχουν αὐτὰ μὲ ἡμᾶς; διότι οὔτε εἴμεθα ὑπεύθυνοι διὰ τὴν μωρίαν αὐτῶν, οὔτε, ἐὰν κάποιος σκανδαλίζεται χωρὶς αἰτίαν, πρέπει ἐγὼ νὰ τιμωρηθῶ διὰ τὴν μωρίαν ἐκείνου.

Ἀλλ' ὅμως ὁ Παῦλος δὲν εἶπεν αὐτό, ἀλλὰ καὶ ἂν ἀκόμη κάποιος σκανδαλίζεται ἀδίκως, καὶ ἂν ἀκόμη ἀπὸ ἀσθένειαν, ἔδωσεν ἐντολὴν νὰ τὸν βοηθοῦμεν. Διότι τότε μόνον ἀπαλλασσόμεθα ἀπὸ τὴν τιμωρίαν ποὺ ἐπιφυλάσσεται διὰ τοὺς σκανδαλιζομένους, ὅταν ἀπὸ τὸ σκάνδαλον προκύπτῃ ἄλλο κέρδος μεγαλύτερον ἀπὸ τὴν βλάβην ποὺ προέρχεται ἀπὸ τὸ σκάνδαλον. Διότι ἐὰν αὐτὸ δὲν συμβαίνῃ, ἀλλὰ συμβαίνῃ μόνον τὸ νὰ σκανδαλίζωνται ἄλλοι, εἴτε αὐτοὶ σκανδαλίζονται δικαίως εἴτε ἀδίκως εἴτε λόγῳ τῆς ἀσθενείας των, τὸ αἷμα των βαρύνει τὴν ἰδικήν μας κεφαλὴν καὶ ἀπὸ τὰ ἰδικά μας χέρια ὁ Θεὸς θὰ ζητήσῃ τὰς ψυχὰς αὐτάς. Διὰ τοῦτο λοιπόν, διὰ νὰ μὴ συμβαίνῃ εἰς κάθε περίπτωσιν καὶ νὰ μὴ φροντίζωμεν νὰ μὴ σκανδαλίζωμεν καὶ νὰ μὴ περιφρονῶμεν αὐτοὺς ποὺ σκανδαλίζονται, ἔθεσεν ὁ Χριστὸς εἰς ἡμᾶς περὶ αὐτοῦ ὡρισμένους ὅρους καὶ κανόνας, πράττων καὶ τὸ ἕνα καὶ τὸ ἄλλο ἀνάλογα πρὸς τὰς περιστάσεις. Ὅταν δηλαδὴ ὡμίλει περὶ τῆς φύσεως τῶν φαγητῶν καὶ ἀπεδείκνυεν ὅτι αὐτὴ εἶναι καθαρὰ καὶ τὴν ἀπήλλασσεν ἀπὸ τὴν Ἰουδαϊκὴν διάκρισιν, εἰς τὴν πληροφορίαν τοῦ Πέτρου, ποὺ ἦλθεν καὶ εἶπεν, ὅτι «ἐσκανδαλίσθησαν», εἶπεν «Ἄφησέ τους αὐτούς»[2]. Καὶ ὄχι μόνον περιεφρόνησεν αὐτούς,

ἀλλὰ καὶ κατηγόρησεν εἰπών, «Πᾶσα γὰρ φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται»· οὕτω τὸν νόμον ἠκύρωσε τὸν περὶ βρωμάτων. Ἐπειδὴ δὲ οἱ τὰ δίδραχμα ἀπαιτοῦντες τῷ Πέτρῳ προσελθόντες ἔλεγον, «Ὁ διδάσκαλός σου οὐ τελεῖ τὰ δίδραχμα», οὐκέτι τὸ αὐτὸ πεποίηκεν, ὅπερ ἐπ' ἐκείνων, ἀλλὰ φροντίζει τοῦ σκανδάλου καί φησιν· «Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ εὑρήσεις ἐν τῷ στόματι αὐτοῦ στατῆρα· τοῦτον λαβὼν δὸς ἀντὶ ἐμοῦ καὶ σοῦ».

Ὁρᾷς καὶ φροντίζοντα καὶ μὴ φροντίζοντα; Ἐνταῦθα μὲν γὰρ οὐκ ἦν κατεπεῖγον ἐκκαλυφθῆναι τοῦ Μονογενοῦς τὴν δόξαν· πῶς γάρ, ὅπου καὶ ἐπετήδευεν αὐτὴν συσκιάζειν καὶ ἐκέλευε πολλοῖς μὴ λέγειν, ὅτι αὐτὸς εἴη ὁ Χριστός; Καὶ διὰ τοῦτο ἀπὸ μὲν τοῦ καταθεῖναι τὰ δίδραχμα οὐδὲν ἦν βλάβος, ἀπὸ δὲ τοῦ μὴ καταθεῖναι μεγάλα ἐτίκτετο κακά· ὡς γὰρ τύραννον καὶ ἀνταίροντα καὶ τῆς πόλεως ἁπάσης ἐχθρόν, καὶ εἰς τοὺς ἐσχάτους ἐμβάλλοντα κινδύνους, οὕτως ἂν ἀπεστράφησαν. Διὰ δὴ τοῦτο καὶ βουλομένους αὐτοὺς ἁρπάσαι τε αὐτὸν καὶ βασιλέα ποιῆσαι ἀπέφυγε πόρρωθεν, ἐκ πολλοῦ τοῦ περιόντος ταύτην ἀποκρουόμενος τὴν ὑπόληψιν. Ἐκεῖ δὲ ἀναγκαῖον τὸ κατορθούμενον ἦν· διὸ χρησίμως τε καὶ εὐκαίρως καὶ ἐπὶ κατορθώματι μείζονι κατεφρόνησε τοῦ σκανδάλου. Καὶ γὰρ εὔκαιρον ἦν λοιπὸν τοὺς μέλλοντας ἐπὶ τὴν ἀκροτάτην ἀναβαίνειν φιλοσοφίαν, μὴ κωλύειν διὰ τὴν εἰς τοὺς Ἰουδαίους φειδώ, ἀλλ' ἀφιέναι λοιπὸν τοῦ καιροῦ καλοῦντος ἐπὶ τὴν τῆς ψυχῆς καθαρότητα, καὶ μὴ κατέ-

---

3. Αὐτόθι 13.
4. Αὐτόθι 17, 25.
5. Ἀρχαῖον ἑλληνικὸν νόμισμα, δίδραχμον ἢ τετράδραχμον. Οἱ χρυσοῖ καὶ οἱ ἀσημένιοι στατῆρες εἶχον ἀξίαν 20 - 25 δραχμάς.
6. Ματθ. 17, 27.

ἀλλὰ καὶ τοὺς κατηγόρησεν, εἰπών· «Κάθε φυτεία, ποὺ δὲν τὴν ἐφήτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, θὰ ἐκριζωθῇ»[3]. Μὲ τὴν ἐνέργειάν του αὐτὴν κατήργησε τὸν νόμον τῆς διακρίσεως τῶν φαγητῶν εἰς καθαρὰ καὶ ἀκάθαρτα. Ὅταν ὅμως προσῆλθον πρὸς τὸν Πέτρον αὐτοὶ ποὺ ἐζήτουν νὰ λάβουν τὰ δίδραχμα καὶ τοῦ ἔλεγον, «Ὁ διδάσκαλός σου δὲν πληρώνει τὰ δίδραχμα»[4], δὲν ἔκαμε πλέον τὸ ἴδιο ποὺ ἔκαμεν εἰς τὴν περίπτωσιν ἐκείνων, ἀλλὰ δείχνει ἐνδιαφέρον διὰ τὸ σκάνδαλον καὶ λέγει· «Διὰ νὰ μὴ σκανδαλίσωμεν ὅμως αὐτούς, πήγαινε εἰς τὴν θάλασσαν καὶ ρίψε τὸ ἀγκίστρι καὶ πᾶρε τὸν πρῶτον ἰχθὺν ποὺ θὰ ἀνεβῇ καὶ θὰ εὕρῃς μέσα εἰς τὸ στόμα του ἕνα στατῆρα[5]· νὰ τὸν πάρῃς καὶ νὰ τὸν δώσῃς δι' ἐμένα καὶ δι' ἐσένα»[6].

Βλέπεις ὅτι ἄλλοτε μὲν φροντίζει διὰ τὸ σκάνδαλον καὶ ἄλλοτε δὲν φροντίζει; Εἰς τὴν περίπτωσιν αὐτὴν δηλαδὴ δὲν ἦτο ἐπείγουσα ἀνάγκη νὰ φανερωθῇ ἡ δόξα τοῦ Μονογενοῦς. Πῶς θὰ ἦτο, ἀφοῦ καὶ ἐφρόντιζε νὰ καλύψῃ αὐτὴν καὶ ἔδιδεν ἐντολὴν εἰς πολλοὺς νὰ μὴ λέγουν, ὅτι αὐτὸς ἦτο ὁ Χριστός; Καὶ διὰ τοῦτο ἀπὸ μὲν τὴν πληρωμὴν τῶν διδράχμων δὲν προέκυπτε καμμία βλάβη, ἀπὸ δὲ τὴν μὴ πληρωμὴν αὐτῶν ἐγεννῶντο μεγάλα κακά· διότι θὰ τὸν ἀπεστρέφοντο ὡσὰν τύραννον καὶ ἐπαναστάτην καὶ ἐχθρὸν ὁλοκλήρου τῆς πόλεως καὶ ὡς ἐμβάλλοντα αὐτοὺς μέσα εἰς φοβεροὺς κινδύνους. Διὰ τοῦτο λοιπὸν καὶ ὅταν αὐτοὶ ἤθελον νὰ τὸν ἁρπάσουν καὶ νὰ τὸν κάνουν βασιλέα, ἔφυγε μακρυά, ἀποκρούων μὲ κάθε τρόπον αὐτὴν τὴν ἀντίληψιν. Εἰς τὴν περίπτωσιν ὅμως ἐκείνην ἦτο ἀνάγκη νὰ γίνῃ αὐτὸ ποὺ ἔγινε· διὰ τοῦτο καὶ ἦτο πολὺ χρήσιμον καὶ ἐπίκαιρον καὶ μεγαλύτερον κατόρθωμα ἡ περιφρόνησις τοῦ σκανδάλου. Καθ' ὅσον ἦτο πλέον κατάλληλος ὥρα νὰ μὴ ἐμποδίζῃ, χάριν τῆς τηρήσεως τῶν ἰουδαϊκῶν διατάξεων, ἐκείνους ποὺ ἐπρόκειτο νὰ ἀνέλθουν εἰς τὴν ἀνωτάτην βαθμίδα τῆς εὐσεβείας, ἀλλὰ νὰ τοὺς κάνῃ πλέον νὰ ἐπιδοθοῦν μὲ ζῆλον, ἀφοῦ ὁ καιρὸς τὸ ἐκαλοῦσεν, εἰς τὴν καθαρότητα τῆς ψυχῆς, καὶ νὰ μὴ

χειν ἐν τῇ σωματικῇ παρατηρήσει, ἀλλὰ συγχωρεῖν τῆς ταπεινότητος ἀπαλλάττεσθαι ἐκείνης.

Οὕτω καὶ Παῦλος καὶ καταφρονεῖ τῶν σκανδαλιζομένων, καὶ οὐ καταφρονεῖ, ἀκολουθῶν τῷ διδασκάλῳ, καὶ φησί· «Πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὰ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν». Εἰ δὲ Παῦλος τὸ οἰκεῖον παρορᾷ συμφέρον, ἵνα τὸ τῶν ἄλλων εὕρῃ, πόσης οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, μηδὲ οἰκείας ἀποστῆναι βλάβης ἀνεχόμενοι ὑπὲρ τοῦ τὸ ἑτέρων συμφέρον εὑρεῖν, ἀλλ' ἡδέως μεθ' ἑαυτῶν καὶ ἑτέρους προσαπολλύντες, παρὸν καὶ ἑαυτοὺς καὶ ἑτέρους διασῶσαι; Διὰ δὴ τοῦτο, ὅταν μὲν ἴδῃ πολὺ τὸ κέρδος, καὶ τῆς τοῦ σκανδάλου βλάβης μεῖζον, καταφρονεῖ τῶν σκανδαλιζομένων, ὅταν δὲ κέρδος ᾖ μηδέν, τοῦτο δὲ μόνον τὸ σκανδαλίζεσθαι ἐκβῆναι, πάντα ποιεῖν καὶ πάσχειν αἱρεῖται, ὥστε μὴ τοῦτο γενέσθαι. Καὶ οὐ φιλοσοφεῖ τοιαῦτα, οἷα ἡμεῖς, οὐδὲ λέγει, διὰ τί γάρ εἰσιν ἀσθενεῖς; διὰ τί γὰρ ἀλόγως ταῦτα πάσχουσιν; ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτῶν φείδεται, ἐπειδὴ ἀλόγως τοῦτο πάσχουσιν, ἐπειδὴ ἀσθενεῖς εἰσιν.

Εἰπὲ γάρ μοι, ποίαν ἔχει πρόφασιν εὔλογον εἰπεῖν ὁ σκανδαλιζόμενος ἐπὶ τῷ ἐσθίοντι κρέας καὶ οἶνον πίνοντι; τοῦτον γὰρ ὁ Θεὸς τὸν νόμον ἄνωθεν ἐξέθετο. Ἀλλ' ὅμως κἂν ἐπὶ τούτοις σκανδαλίζηταί τις, καὶ τούτων ὁ Παῦλος ἀπέχεται. «Οὐ γὰρ μὴ φάγω κρέας», φησί, «οὐδὲ πίω οἶνον, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω». Καὶ οὐκ εἶπε ταῦτα ἅπερ ἡμεῖς, ὅτι "Ἐγὼ μέλλω τῆς ἑτέρων ἀλογίας ὑπεύθυνος εἶναι;" καί, "Ἐάν τινι δόξῃ σκανδαλισθῆναι ἁπλῶς, ἐγὼ μέλλω ἄξιος δίκην δοῦναι;". Καίτοι καὶ εἰ εἶπε, πολλῷ δι-

7. Α΄ Κορ. 10, 33.
8. Α΄ Κορ. 8, 13.

τοὺς κρατῇ δεμένους εἰς τὰς σωματικὰς διατάξεις, ἀλλὰ νὰ τοὺς ἐπιτρέψῃ ν' ἀπαλλαγοῦν ἀπὸ ἐκείνας τὰς ἀσημάντους διατάξεις.

Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Παῦλος ἄλλοτε μὲν περιφρονεῖ τοὺς σκανδαλιζομένους, ἄλλοτε δὲ δὲν τοὺς περιφρονεῖ, ἀκολουθῶν τὸν διδάσκαλόν του, καὶ λέγει· «Καὶ ἐγὼ ἀρέσω εἰς ὅλους καθ' ὅλα, καὶ δὲν ζητῶ τὸ συμφέρον μου, ἀλλὰ τὸ συμφέρον τῶν πολλῶν, ὥστε νὰ σωθοῦν»[7]. Ἐὰν ὅμως ὁ Παῦλος παραβλέπῃ τὸ συμφέρον του, διὰ νὰ ἐπιτύχῃ αὐτὸ ποὺ συμφέρει εἰς τοὺς ἄλλους, πόσης κολάσεως δὲν θὰ ἤμεθα ἄξιοι ἡμεῖς, ποὺ δὲν ἀνεχόμεθα οὔτε τὴν ἰδικήν μας βλάβην ν' ἀποφύγωμεν διὰ νὰ ἐπιτύχωμεν αὐτὸ ποὺ συμφέρει εἰς τοὺς ἄλλους, ἀλλὰ μὲ εὐχαρίστησιν ὁδηγοῦμεν εἰς τὴν καταστροφὴν μαζὶ μὲ τὸν ἑαυτόν μας καὶ ἄλλους; Διὰ τοῦτο λοιπόν, ὅταν μὲν βλέπῃ ὅτι εἶναι μεγάλο τὸ κέρδος καὶ μεγαλύτερον ἀπὸ τὴν βλάβην ἐκ τοῦ σκανδάλου, περιφρονεῖ τοὺς σκανδαλιζομένους, ὅταν ὅμως δὲν ὑπάρχῃ κανὲν κέρδος, ἀλλὰ τὸ μόνον ποὺ προέρχεται ἀπὸ αὐτὸ εἶναι ὁ σκανδαλισμός, προτιμᾷ τότε νὰ κάνῃ τὰ πάντα καὶ νὰ πάθῃ, ὥστε νὰ μὴ συμβῇ αὐτό. Καὶ δὲν κάμνει παρομοίας σκέψεις μὲ αὐτὰς ποὺ κάμνομεν ἡμεῖς, οὔτε λέγει, διατί λοιπὸν ὑπάρχουν ἀσθενεῖς; διατί ἄδικα ὑποφέρουν αὐτά; ἀλλὰ δι' αὐτὸ πρὸ πάντων λυπεῖται δι' αὐτούς, ἐπειδὴ τὸ ὑποφέρουν αὐτὸ χωρὶς λόγον, ἐπειδὴ εἶναι ἀσθενεῖς εἰς τὴν πίστιν.

Διότι εἰπέ μου σὲ παρακαλῶ· ποίαν εὔλογον δικαιολογίαν ἔχει νὰ παρουσιάσῃ ὁ σκανδαλιζόμενος εἰς ἐκεῖνον ποὺ τρώγει κρέας καὶ πίνει οἶνον; διότι αὐτὸν τὸν νόμον τὸν ἔδωσεν ὁ Θεὸς ἀπὸ τὸν οὐρανόν. Ἀλλ' ὅμως ἐὰν κάποιος σκανδαλίζεται ἐξ αἰτίας αὐτῶν, ὁ Παῦλος ἀπέχει καὶ ἀπὸ αὐτά. Διότι λέγει· «Δὲν θὰ φάγω κρέας ποτέ, οὔτε θὰ πίω οἶνον, διὰ νὰ μὴ σκανδαλίσω τὸν ἀδελφόν μου»[8]. Καὶ δὲν εἶπεν αὐτὰ ποὺ λέγομεν ἡμεῖς· 'Μὰ ἐγὼ θὰ εἶμαι ὑπεύθυνος τῆς μωρίας τῶν ἄλλων;' καί· 'Ἐὰν κάποιος συμβῇ νὰ σκανδαλισθῇ ὅλως τυχαῖα, ἐγὼ θὰ κριθῶ ἄξιος τιμωρίας;'. Μολονότι βέβαια καὶ ἐὰν τὸ ἔλεγε θὰ εἶχε

καιότερον ἂν ἡμῶν εἶπε. Ὁ μὲν γὰρ ἐπ' ἐκείνοις σκανδαλιζόμενος ἀλόγιστος σφόδρα καὶ ἀνόητος, ὁ δὲ ἐπὶ τούτοις, πολλὰς ἂν σχοίη δικαίας καὶ εὐλόγους αἰτίας εἰπεῖν· ἀλλ' ὅμως καὶ δικαιότερα ἂν ἡμῶν εἰπὼν ὁ Παῦλος, οὐκ εἶπεν, ἀλλ' δὲ εἰς ἓν μόνον εἶδε, τοῦ πλησίον τὴν σωτηρίαν.

Καὶ θέα τὴν ὑπερβολήν· οὐ γὰρ εἶπεν ἅπαξ, ἢ δίς, ἢ τόσον καὶ τόσον χρόνον, ἀλλ' «Εἰς τὸν αἰῶνα», φησίν, «οὐ μὴ φάγω», εἰ σκανδαλίζοιτο ἕτερος. Καὶ ἵνα μὴ νομίσῃς μέχρι τούτων αὐτὸν ἑστάναι, καὶ ἕτερόν τι προσέθηκε τούτου πλέον· εἰπὼν γάρ, «Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον», συνῆψε κἀκεῖνο. Μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ. Καὶ πάλιν σκόπει μοι τὴν σοφίαν τοῦ διδασκάλου· τὸν μὲν ἀσθενοῦντα ἀφείς, τὸν ἰσχυρὸν διορθεῖ πρὸ ἐκείνου· οὗτος γὰρ αἴτιος τοῦ ἀσθενεῖν ἐκεῖνον, ὁ κύριος ὢν διορθῶσαι τὴν ἀρρωστίαν, καὶ μὴ τοῦτο ποιῶν. Καὶ τί λέγω περὶ τῶν ἀσθενῶν ἀδελφῶν; Καὶ γὰρ καὶ Ἰουδαίοις καὶ Ἕλλησι κελεύει ταύτην παρέχειν τὴν πρόνοιαν. «Ἀπρόσκοποι» γάρ, φησί, «γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ».

Ὥστε ὅσῳ ἂν ἰσχυρότερον εἶναι λέγῃς σαυτόν, καὶ μηδὲν ἀπὸ τῆς ὁμοσκηνίας βλάπτεσθαι ταύτης, τοσούτῳ μᾶλλον ὑπεύθυνον σαυτὸν καθιστᾷς τοῦ διασπάσαι τὸν δεσμόν. Ὅσῳ γὰρ ἂν ἰσχυρότερος, τοσούτῳ δικαιότερος ἂν εἴης τὸν ἀσθενέστερον διαβαστάσαι· ἂν μὲν οὖν ἀσθενὴς ᾖς, διὰ σαυτὸν ἀπόστηθι, ἐὰν δὲ ἰσχυρότερος, διὰ τὸν ἀσθενοῦντα. Οὐ γὰρ ἑαυτῷ μόνον, ἀλλὰ καὶ ἑτέροις ἰσχυρὸν εἶναι χρὴ τὸν ἰσχύοντα.

9. Ρωμ. 14, 21.
10. Α΄ Κορ. 10, 32.

πολὺ πιὸ μεγαλύτερον δίκαιον ἀπὸ ἡμᾶς. Διότι αὐτὸς μὲν σκανδαλιζόμενος ἀπὸ ἐκείνους εἶναι τελείως ἀπερίσκεπτος καὶ ἀνόητος, ἐνῷ αὐτὸς ποὺ σκανδαλίζεται ἀπὸ αὐτοὺς θὰ ἠμποροῦσε νὰ προβάλῃ πολλὰς δικαίας καὶ εὐλόγους αἰτίας· καὶ ὅμως ἂν καὶ ὁ Παῦλος εἶχε μεγαλύτερον δίκαιον ἀπὸ ἡμᾶς νὰ τὸ εἰπῇ, δὲν τὸ εἶπεν, ἀλλὰ εἰς ἕνα μόνον πρᾶγμα ἀπέβλεπεν, εἰς τὴν σωτηρίαν τοῦ πλησίον.

Καὶ πρόσεχε τὴν ὑπερβολήν· διότι δὲν εἶπε μίαν καὶ δύο, ἢ τόσον καὶ τόσον χρόνον, ἀλλά, λέγει, «Δὲν θὰ φάγω αἰωνίως», ἐὰν ἤθελε σκανδαλισθῇ ὁ πλησίον μου. Καὶ διὰ νὰ μὴ νομίσῃς ὅτι ἀρκεῖται μόνον εἰς αὐτά, προσέθεσε καὶ κάτι ἄλλο περισσότερον ἀπὸ αὐτό· διότι ἀφοῦ εἶπε, «Καλὸν εἶναι νὰ μὴ φάγῃς κρέατα, οὔτε νὰ πίῃς οἶνον», προσέθεσε καὶ ἐκεῖνο· «Οὔτε νὰ κάνῃς αὐτὸ ποὺ θὰ κάνῃ τὸν ἀδελφόν σου νὰ σκοντάψῃ καὶ νὰ πέσῃ ἢ νὰ σκανδαλισθῇ ἢ νὰ ἐξασθενίσῃ ἡ πίστις του»[9]. Καὶ πάλιν πρόσεχε σὲ παρακαλῶ τὴν σοφίαν τοῦ διδασκάλου· ἀφήνει τὸν ἀσθενῆ εἰς τὴν πίστιν καὶ διορθώνει πρὶν ἀπὸ ἐκεῖνον τὸν ἰσχυρόν· διότι αὐτὸς εἶναι αἴτιος τῆς ἀσθενείας ἐκείνου, ὁ ὑπεύθυνος νὰ διορθώσῃ τὴν ἀσθένειαν καὶ ποὺ δὲν τὸ κάνει αὐτό. Καὶ διατί λέγω διὰ τοὺς ἀσθενεῖς εἰς τὴν πίστιν ἀδελφούς; Καθ' ὅσον καὶ διὰ τοὺς Ἰουδαίους καὶ διὰ τοὺς ἐθνικοὺς προτρέπει νὰ ἐπιδεικνύωμεν αὐτὴν τὴν φροντίδα. Διότι λέγει· «Μὴ γίνεσθε αἰτία πτώσεως καὶ εἰς τοὺς Ἰουδαίους καὶ εἰς τοὺς ἐθνικοὺς καὶ εἰς τὰ πιστὰ μέλη τῆς ἐκκλησίας τοῦ Θεοῦ»[10].

Ὥστε, ὅσον πιὸ ἰσχυρότερον θεωρεῖς τὸν ἑαυτόν σου καὶ νομίζεις ὅτι δὲν ἔχεις καμμίαν ζημίαν ἀπὸ αὐτὴν τὴν συγκατοίκησιν, τόσον περισσότερον ὑπεύθυνον καθιστᾷς τὸν ἑαυτόν σου νὰ διασπάσῃ αὐτὸν τὸν δεσμόν. Καθ' ὅσον ὅσον περισσότερον ἰσχυρότερος εἶσαι, τόσον περισσότερον δικαιότερον θὰ ἦτο νὰ στηρίξῃς τὸν ἀσθενέστερον· ἂν εἶσαι λοιπὸν ἀσθενής, φῦγε μακρυὰ χάριν τοῦ ἑαυτοῦ σου, ἐὰν δὲ εἶσαι ἰσχυρότερος κάνε το αὐτὸ χάριν τοῦ ἀσθενοῦς. Διότι ὁ ἰσχυρὸς δὲν πρέπει νὰ εἶναι ἰσχυρὸς μόνον διὰ τὸν ἑαυτόν του, ἀλλὰ καὶ διὰ τοὺς ἄλλους. Ἐὰν

Εἰ δὲ λέγων ἰσχύειν, τὴν ἀσθένειαν τὴν ἐκείνου περιορᾷς, διπλῆν δώσεις δίκην, ὅτι τε οὐκ ἐφείσω, καὶ ὅτι πολλὴν ἔχων τοῦ φείσασθαι δύναμιν. Ὑπεύθυνος γὰρ ἕκαστος ἡμῶν τῆς τοῦ πλησίον σωτηρίας ἐστί. Διὰ τοῦτο οὐχὶ τὰ ἑαυτῶν σκοπεῖν, ἀλλὰ τὰ τοῦ πλησίον ἐκελεύσθημεν. Τιμῆς γὰρ ἠγοράσθημεν, ὁ δὲ ἀγοράσας ἡμᾶς τοῦτο προσέταξεν ἐπὶ τῇ κοινῇ πάντων ἡμῶν λυσιτελείᾳ.

Οὐδὲ γὰρ τοῦτο μόνον συμβαίνει τὸ κέρδος, ὅτι τὰ οἰκεῖα σώζομεν μέλη, ἀλλ' ὅτι καὶ ἑτέρους ἐν ἀσφαλείᾳ καθιστῶμεν μείζονι. Κἂν γὰρ μυριάκις φιλοσοφῇς, δι' αὐτῶν ἐλέγχῃ τῶν πραγμάτων, οὐ τὴν τυχοῦσαν δεχόμενος βλάβην ἀπὸ τῆς συνοικήσεως ταύτης. Ὅταν γὰρ ἴδω σε δυσαποσπάστως ἔχοντα, καὶ μυρίων βλαπτομένων καταφρονοῦντα, καὶ πολλῶν ἐγκαλούντων οὐδὲ ἐπιστρεφόμενον, ἀλλὰ καὶ τὴν δόξαν σαυτοῦ καταπατοῦντα καὶ τῷ κοινῷ τῆς Ἐκκλησίας προστριβόμενον κατηγορίαν πολλὴν καὶ τὰ τῶν ἀπίστων ἀνοίγοντα στόματα καὶ πάντας πονηρᾷ περιβάλλοντα δόξῃ, καὶ τοσαῦτα μὲν ἀπὸ τοῦ συνοικεῖν κακά, ἀγαθὸν δὲ μηδὲν ὑμῖν ἐγγινόμενον, ἀπὸ δὲ τοῦ χωρισμοῦ, τούτων μὲν ἁπάντων τὴν ἀναίρεσιν τῶν κακῶν, πολλῶν δὲ ἑτέρων κτῆσιν ἀγαθῶν, εἶτα οὐκ ἀνεχόμενον ἀποπηδῆσαι, πῶς δυνήσομαι πεῖσαι τοὺς ἐγκαλοῦντας, ὅτι πάσης ἀπήλλαξαι προσπαθείας, καὶ ἐπιθυμίας εἶ πονηρᾶς καθαρός;

Μᾶλλον δὲ οὐδὲν ὑπὲρ τούτων φιλονεικῶ, ἀλλ' ἔστω σε εἶναι καὶ συνοικοῦντα καθαρόν· καίτοι γε ὁ μακάριος Ἰὼβ οὐκ ἐτόλμησε τοσαύτην ἑαυτῷ μαρτυρῆσαι δύναμιν καὶ φιλοσοφίαν, ἀλλ' ὁ πᾶσαν ἐπελθὼν ἀρετὴν καὶ πάντων ὑπερενεχθεὶς τῶν τοῦ διαβόλου δικτύων, καὶ πρῶτος καὶ μόνος το-

ὅμως παραβλέπῃς τὴν ἀσθένειαν ἐκείνου, ἐνῷ λέγεις ὅτι εἶσαι ἰσχυρός, θὰ εἶναι διπλῆ ἡ τιμωρία σου, καὶ ἐπειδὴ δὲν ἐφρόντισες δι' αὐτὸν καὶ ἐπειδὴ εἶχες μεγάλην δυνατότητα νὰ φροντίσῃς δι' αὐτόν. Διότι ὁ καθένας ἀπὸ ἡμᾶς εἶναι ὑπεύθυνος διὰ τὴν σωτηρίαν τοῦ πλησίον μας. Διὰ τοῦτο ἐλάβομεν ἐντολὴν νὰ μὴ φροντίζωμεν διὰ τοὺς ἑαυτούς μας, ἀλλὰ διὰ τὸν πλησίον μας. Διότι ἠγοράσθημεν ἀπὸ τὴν ἁμαρτίαν μὲ ἀκριβὸν τίμημα, αὐτὸς δὲ ποὺ μᾶς ἠγόρασεν ἔδωσεν αὐτὴν τὴν ἐντολὴν πρὸς ὄφελος ὅλων μας.

Πράγματι δὲν ἔχομεν μόνον αὐτὸ τὸ κέρδος, ὅτι δηλαδὴ σώζομεν τὰ μέλη μας, ἀλλὰ καὶ διότι παρέχομεν καὶ εἰς ἄλλους πολὺ πιὸ μεγαλυτέραν ἀσφάλειαν. Καὶ ἂν λοιπὸν προβάλλῃς ἀπείρους δικαιολογίας, ἐλέγχεσαι ἀπὸ αὐτὰ τὰ ἴδια τὰ πράγματα, καθ' ὅσον δὲν εἶναι τυχαία ἡ βλάβη ποὺ δέχεσαι ἀπὸ αὐτὴν τὴν συγκατοίκησιν. Ὅταν δηλαδὴ βλέπω νὰ μὴ ἠμπορῇς νὰ διακόψῃς αὐτὸν τὸν δεσμὸν καὶ μολονότι βλάπονται μύριοι ἀδελφοί, σὺ δείχνεις ἀδιαφορίαν, καὶ ἂν καὶ εἶναι πολλοὶ αὐτοὶ ποὺ σὲ κατηγοροῦν, σὺ ὄχι μόνον δὲν ἔρχεσαι εἰς ἑαυτόν, ἀλλὰ καὶ καταπατεῖς τὴν ὑπόληψίν σου καὶ προσάπτεις πολλὰς κατηγορίας εἰς τὸ πλήρωμα τῆς Ἐκκλησίας καὶ ἀνοίγεις τὰ στόματα τῶν ἀπίστων καὶ κάνεις ὅλους νὰ σκέπτωνται πονηρά, καὶ μολονότι μὲν τόσα κακὰ προκύπτουν δι' ἐσένα ἀπὸ αὐτὴν τὴν συγκατοίκησιν, ἀγαθὸν δὲ κανέν, ἐνῷ ἀπὸ τὸν χωρισμὸν καὶ ἐξαφανίζονται ὅλα αὐτὰ τὰ κακὰ καὶ ἀποκομίζεις πολλὰ ἄλλα ἀγαθά, καὶ παρ' ὅλα αὐτὰ σὺ δὲν ἀνέχεσαι ν' ἀπομακρυνθῇς, πῶς θὰ ἠμπορέσω νὰ πείσω αὐτοὺς ποὺ σὲ κατηγοροῦν, ὅτι ἔχεις ἀπαλλαγῆ ἀπὸ τὴν προσήλωσιν αὐτὴν καὶ ὅτι εἶσαι καθαρὸς ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν;

Μᾶλλον ὅμως διὰ κανὲν ἀπὸ αὐτὰ δὲν διαφωνῶ, ἀλλ' ἂς ὑποθέσωμεν ὅτι εἶσαι καθαρὸς ἔστω καὶ ἂν συγκατοικῇς, ἂν καὶ βέβαια ὁ μακάριος Ἰὼβ δὲν ἐτόλμησε ν' ἀποδώσῃ εἰς τὸν ἑαυτόν του τόσον μεγάλην δύναμιν καὶ εὐσέβειαν, ἀλλ' αὐτὸς ποὺ κατώρθωσε κάθε ἀρετὴν καὶ διέφυγεν ὅλα τὰ δίκτυα τοῦ διαβόλου, αὐτὸς ποὺ πρῶτος

σαύτην ἐπιδειξάμενος καρτερίαν καὶ πάντα σίδηρον καὶ ἀδάμαντα τῇ τῆς ψυχῆς παρελθὼν ἐγκρατείᾳ, καὶ κατακόψας τοῦ διαβόλου τὴν ἰσχύν, οὕτως ἐδεδοίκει τὴν τοιαύτην πάλην καὶ ἐνόμιζεν ἀδύνατον εἶναι συνοικοῦντα παρθένῳ μένειν ἀσινῆ καὶ καθαρόν, ὡς μὴ μόνον τῆς συνοικήσεως ταύτης πόρρω καὶ μακρὰν ἑαυτὸν καταστῆσαι, ἀλλὰ καὶ τῆς ὄψεως τῆς ἁπλῶς καὶ ἀπὸ συντυχίας γινομένης, καὶ νόμον ἔθηκε τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτοῦ, μηδὲ ἁπλῶς εἰς παρθένον ἰδεῖν. Ἤδει σαφῶς γάρ, ἤδει, ὅτι οὐ μόνον τὸν συνοικοῦντα, ἀλλὰ καὶ τὸν βλέποντα περιέργως εἰς ὄψιν παρθενικὴν δύσκολον, τάχα δὲ καὶ ἀδύνατον, τὴν ἐκεῖθεν διαφυγεῖν βλάβην· διὸ ἔλεγε· «Καὶ οὐ συνήσω ἐπὶ παρθένῳ».

Εἰ δὲ μικρός σοι πρὸς ἅμιλλαν ὁ Ἰώβ, καίτοι γε οὐδὲ τῆς κοπρίας ἐσμὲν ἄξιοι τῆς ἐκείνου, πλὴν ἀλλ' εἰ ἔλαττόν σου νομίζεις τῆς μεγαλοψυχίας εἶναι τὸ ὑπόδειγμα, ἐννόησον τὸν μεγαλοφωνότατον κήρυκα τῆς ἀληθείας Παῦλον, ὃς ἅπασαν περιελθὼν τὴν οἰκουμένην καὶ δυνηθεὶς εἰπεῖν ἐκεῖνα τῆς πολλῆς γέμοντα σοφίας ῥήματα, ὅτι οὐκέτι αὐτὸς εἴη ζῶν, ἀλλ' ἡ Χριστὸς ἐν αὐτῷ, καὶ ὅτι καθ' ἡμέραν ἀποθνήσκει μετὰ τὴν τοσαύτην τοῦ Πνεύματος χάριν καὶ τὴν τοσαύτην τῶν ἄθλων ἐπίδειξιν, μετὰ τοὺς ἀφάτους κινδύνους, μετὰ τὴν ἠκριβωμένην φιλοσοφίαν, δεικνὺς ἡμῖν καὶ παραδηλῶν, ὅτι ἕως ἂν ἐμπνέωμεν καὶ τὴν σάρκα ὦμεν περικείμενοι ταύτην, παλαισμάτων ἡμῖν χρεία καὶ πόνων, καὶ οὐκ ἔστιν ἀπραγμόνως κατορθῶσαι σωφροσύνην ποτέ, ἀλλὰ

11. Ἰω. 31, 1.
12. Γαλ. 2, 20.
13. Γαλ. 6, 14.
14. Α΄ Κορ. 15, 3.

καὶ μόνος ἐπέδειξε τόσον μεγάλην ὑπομονὴν καὶ ὑπερίσχυσε μὲ τὴν ὑπομονὴν τῆς ψυχῆς του παντὸς σιδήρου καὶ ἀδάμαντος καὶ ἐξωλόθρευσε τὴν δύναμιν τοῦ διαβόλου, τόσον πολὺ ἐφοβεῖτο αὐτὴν τὴν δοκιμασίαν καὶ ἐθεώρει ὅτι εἶναι ἀδύνατον, ἕνας ποὺ συγκατοικεῖ μὲ παρθένον, νὰ παραμένῃ ἀβλαβὴς καὶ καθαρός, ὥστε ὄχι μόνον νὰ κρατήσῃ τὸν ἑαυτόν του μακρυὰ ἀπὸ αὐτὴν τὴν συγκατοίκησιν, ἀλλὰ τὸν ἐκράτησε μακρυὰ καὶ ἀπὸ τὴν καθαρὰν καὶ τυχαίαν συνάντησιν μὲ παρθένον, καὶ ἔθεσε νόμον εἰς τοὺς ὀφθαλμούς του οὔτε κἂν νὰ ἰδοῦν παρθένον. Διότι ἐγνώριζε πάρα πολὺ καλά, τὸ ἐπαναλαμβάνω, ἐγνώριζε πάρα πολὺ καλά, ὅτι ὄχι μόνον αὐτὸς ποὺ συγκατοικεῖ μὲ παρθένον, ἀλλὰ καὶ αὐτὸς ποὺ ρίπτει τὸ βλέμμα του μὲ περιέργειαν ἐπάνω εἰς παρθενικὸν πρόσωπον εἶναι δύσκολον, καὶ ἐνδεχομένως καὶ ἀδύνατον, νὰ διαφύγῃ τὴν βλάβην ποὺ πηγάζει ἀπ' αὐτό· διὰ τοῦτο ἔλεγε· «Καὶ δὲν θὰ ἐπιτρέψω τὸ βλέμμα μου νὰ ἰδῇ παρθένον»[11].

Ἐὰν ὅμως θεωρῇς ἀσήμαντον τὸν Ἰὼβ πρὸς ἅμιλλαν, ἂν καὶ βέβαια δὲν ἀξίζομεν οὔτε ὅσον ἀξίζει ἡ κοπριὰ ἐπάνω εἰς τὴν ὁποίαν ἦτο ἐξαπλωμένος, πλὴν ὅμως ἐὰν θεωρῇς ὅτι τὸ ὑπόδειγμα αὐτὸ εἶναι κατώτερον τῆς γενναιότητος τῆς ἰδικῆς σου ψυχῆς, σκέψου τότε τὸν μεγαλοφωνότατον διδάσκαλον τῆς ἀληθείας, τὸν Παῦλον, ὁ ὁποῖος ἂν καὶ περιῆλθεν ὁλόκληρον τὴν οἰκουμένην καὶ ἠμπόρησε νὰ εἰπῇ τὰ λόγια ἐκεῖνα τὰ γεμᾶτα ἀπὸ πολλὴν σοφίαν, ὅτι δηλαδὴ δὲν ἔζη πλέον αὐτός, ἀλλ' ὁ Χριστὸς ἔζη μέσα του[12], καὶ ὅτι διὰ τοῦ Χριστοῦ ἔχει σταυρωθῆ ὡς πρὸς τὸν κόσμον καὶ ὁ κόσμος ὡς πρὸς αὐτόν[13] καὶ ὅτι καθημερερινῶς ἀποθνήσκει[14], καὶ ὅλα αὐτὰ μετὰ ἀπὸ τὴν τόσην χάριν τοῦ Πνεύματος ποὺ ἔλαβε καὶ τὰ τόσα κατορθώματά του, μετὰ τοὺς ἀπεριγράπτους κινδύνους, μετὰ τὴν πλήρη εὐσέβειάν του, θέλων νὰ δείξῃ εἰς ἡμᾶς καὶ νὰ μᾶς κάνῃ γνωστόν, ὅτι ἐν ὅσῳ ἀναπνέομεν καὶ φέρομεν αὐτὴν τὴν σάρκα χρειάζεται ν' ἀγωνιζώμεθα καὶ νὰ κοπιάζωμεν καὶ ὅτι δὲν εἶναι δυνατὸν ποτὲ νὰ ἐπιτύχωμεν τὴν σωφροσύνην χωρὶς κόπους, ἀλλὰ χρειαζόμεθα πολ-

πολλῶν ἱδρώτων ἡμῖν δεῖ καὶ καμάτων πρὸς τουτὶ τὸ τρόπαιον, οὕτως ἔλεγεν· «Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι».

Ταῦτα δὲ ἔλεγε, δηλῶν τὴν ἐπανάστασιν τῆς σαρκὸς καὶ τὴν ἀπὸ τῆς ἐπιθυμίας λύτταν, καὶ τὸν διηνεκῆ πόλεμον, καὶ τὸν ἐναγώνιον αὐτοῦ βίον. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῦ πράγματος αὐτοῦ δηλῶν τὴν δυσκολίαν οὐδὲ ἐμβλέπειν ἁπλῶς ἠφίει εἰς τὰς τῶν γυναικῶν ὄψεις, ἀλλὰ καὶ τῇ τῶν μοιχῶν κολάσει τοὺς οὕτως ὁρῶντας κολάζειν ἠπείλησε. Εἰπόντι δὲ καὶ τῷ Πέτρῳ, ὅτι «Οὐ συμφέρει γαμῆσαι», οὐκ ἐνομοθέτησε μὴ γαμεῖν, ἀλλὰ παραδηλῶν τοῦ πράγματος τὸν ὄγκον ἔλεγεν· «Ὁ δυνάμενος χωρεῖν, χωρείτω». Ἀκούομεν δὲ καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ὅτι πολλοὶ καὶ σιδήρῳ ἅπαν τὸ σῶμα καταδήσαντες, καὶ σάκκῳ περιβαλόντες, καὶ πρὸς τὰς ὀρῶν ἀναδραμόντες κορυφάς, καὶ νηστείᾳ συζῶντες διηνεκεῖ καὶ παννυχίσι καὶ ἀγρυπνίαις, καὶ πᾶσαν ἐπιδεικνύμενοι σκληραγωγίαν, καὶ γυναιξὶν ἁπάσαις ἀπαγορεύσαντες ἐπιβαίνειν τοῦ δωματίου καὶ τῆς καλύβης τῆς ἑαυτῶν, καὶ τῷ τρόπῳ τούτῳ παιδαγωγοῦντες ἑαυτούς, μόλις περιγίνονται τῆς κατὰ τὴν ἐπιθυμίαν μανίας. Σὺ δὲ λέγεις, ὅτι κἂν συνοικοῦντα ἴδῃς παρθένῳ καὶ προσδεδεμένον καὶ τρυφῶντα καὶ τὴν ψυχὴν προϊέμενον μᾶλλον, ἢ τὴν σύνοικον καὶ πάντα καὶ παθεῖν καὶ ποιῆσαι αἱρούμενον, ἢ χωρισθῆναι τῆς ποθουμένης, μὴ πιστεύσῃς τι πονηρόν, μηδὲ ἐπιθυμίας εἶναι νομίσῃς τὸ πρᾶγμα, ἀλλὰ εὐλαβείας. Ἀλλ' οὐ περὶ τῶν σώματα ἐχόντων, ὦ θαυμάσιε, ἀλλὰ περὶ τῶν λίθοις συνοικούντων οὕτω διακεῖσθαι χρή.

---

15. Α' Κορ. 9, 27.
16. Ματθ. 19, 10.
17. Ματθ. 19, 12.

λοὺς ἱδρῶτας καὶ κόπους διὰ τὸ τρόπαιον αὐτό, ἔλεγε τὰ ἑξῆς· «Σκληραγωγῶ τὸ σῶμα μου καὶ τὸ χρησιμοποιῶ ὡσὰν δοῦλον, μὴ τυχόν, ἐνῷ ἐκήρυξα εἰς ἄλλους, ἐγὼ ὁ ἴδιος ἀποδειχθῶ ἀνάξιος διὰ τὸ βραβεῖον»[15].

Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ δηλώσῃ τὴν ἐπανάστασιν τῆς σαρκὸς καὶ τὴν λύσσαν τῆς ἐπιθυμίας καὶ τὸν διαρκῆ πόλεμον καὶ τὴν γεμάτην ἀπὸ ἀγωνίαν ζωήν του. Διὰ τοῦτο καὶ ὁ Χριστὸς διὰ νὰ δηλώσῃ τὴν δυσκολίαν αὐτοῦ τοῦ πράγματος ὄχι μόνον δὲν ἄφηνε νὰ βλέπῃ κανεὶς τὰ πρόσωπα τῶν γυναικῶν, ἀλλὰ καὶ ἠπείλησεν ἐκείνους ποὺ τὸ κάνουν αὐτὸ μὲ τιμωρίαν ὁμοίαν μὲ τὴν τιμωρίαν τῶν μοιχῶν. Ὅταν δηλαδὴ εἶπεν ὁ Πέτρος, ὅτι «Δὲν συμφέρει κανεὶς νὰ ἔλθῃ εἰς γάμον»[16], δὲν ἐνομοθέτησε νὰ μὴ συνάπτῃ κανεὶς γάμον, ἀλλὰ διὰ νὰ δηλώσῃ τὸ μέγεθος τοῦ πράγματος ἔλεγεν· «Αὐτὸς ποὺ ἠμπορεῖ νὰ βαδίσῃ τὸν δρόμον τῆς ἐγκρατείας, ἂς τὸν βαδίσῃ»[17]. Ἀκούομεν δὲ καὶ σήμερον, ὅτι πολλοὶ ἂν καὶ κατέδεσαν μὲ ἁλυσίδας ὁλόκληρον τὸ σῶμα των καὶ ἐνεδύθησαν σάκκον καὶ κατέφυγον πρὸς τὰς κορυφὰς τῶν βουνῶν καὶ ζοῦν μὲ συνεχῆ νηστείαν καὶ ὁλονυκτίους προσευχὰς καὶ ἀγρυπνίας καὶ ὑποβάλλονται εἰς κάθε εἴδους σκληραγωγίαν, καὶ ἀπηγόρευσαν εἰς ὅλας τὰς γυναῖκας νὰ εἰσέρχωνται εἰς τὸ δωμάτιον καὶ τὴν καλύβην των καὶ ἀσκοῦν μὲ τὸν τρόπον αὐτὸν τὸν ἑαυτόν των, μόλις καὶ μετὰ δυσκολίας κατορθώνουν νὰ νικήσουν τὴν μανίαν τῆς ἐπιθυμίας.

Σὺ ὅμως λέγεις, ὅτι καὶ ἂν ἀκόμη ἰδῇς κάποιον ποὺ συγκατοικεῖ μὲ παρθένον καὶ εἶναι ἀφωσιωμένος εἰς αὐτὴν καὶ κάνει τρυφηλὴν ζωὴν καὶ εἶναι πρόθυμος ν' ἀπαρνηθῇ τὴν ψυχήν του παρὰ τὴν συγκάτοικόν του καὶ προτιμᾷ νὰ πάθῃ καὶ νὰ κάνῃ τὰ πάντα παρὰ ν' ἀποχωρισθῇ τὴν ἀγαπημένην του, δὲν θὰ ὑποπτευθῇς κάτι τὸ πονηρόν, ὄχι μόνον δὲν θὰ τὸ θεωρήσῃς τὸ γεγονὸς αὐτὸ ὡς ἀποτέλεσμα τῆς ἐπιθυμίας του, ἀλλὰ θὰ τὸ θεωρήσῃς εὐλάβειαν. Ὅμως, θαυμάσιέ μου, αὐτὴν τὴν σκέψιν δὲν πρέπει νὰ τὴν κάμνωμεν δι' αὐτοὺς ποὺ ἔχουν σώματα, ἀλλὰ δι' αὐτοὺς ποὺ συγκατοικοῦν μὲ λίθους.

Καὶ σὺ μὲν ἴσως ἀπιστεῖς διὰ τὴν πολλὴν σωφροσύνην, ἐγὼ δὲ ἤκουσα διηγουμένων τινῶν, ὅτι πολλοὶ καὶ πρὸς ἀγάλματα καὶ λίθους ἔπαθόν τι. Εἰ δὲ ἔνθα σκληρότης καὶ ἀντιτυπία καὶ ἡ διάπλασις μόνη τοσοῦτον ἴσχυσεν, ὅταν μετὰ τῆς διαπλάσεως καὶ σῶμα ἁπαλὸν ὑποκείμενον ᾖ, τίνα οὐκ ἐργάζεται μανίαν; πῶς δὲ οὐ δόξουσιν εἰκότως λέγειν μᾶλλον οἱ κατηγοροῦντες, ἢ ὑμεῖς οἱ ἀπολογούμενοι; Τί γὰρ εἰκός, εἰπέ μοι, ἐπιθυμεῖν ἄνδρα γυναικός, ἢ μὴ ἐπιθυμεῖν; Πάντως ἂν εἴποιμεν ἐπιθυμεῖν. Πάλιν τῶν μυρίων ὠθουσῶν ἔξω προφάσεων εὐλόγων οὐκ ἀνεχόμενον ἐξελθεῖν, ἀλλ' εἰσωθοῦντα ἑαυτὸν ἐπ' οὐδενὶ μὲν κατορθώματι, μυρίοις δὲ ὀνείδεσι καὶ βλάβαις οἰκείων τε καὶ ἀλλοτρίων, τί εἰκός; ἐξ ἀγαθῆς τοῦτο προαιρέσεως πάσχειν, ἢ ἐκ πονηρᾶς; Τάχα ἂν ἐκ πονηρᾶς εἴποι τις μᾶλλον.

Πλὴν ἀλλὰ μηδὲν ὑπὲρ τούτων ἀκριβολογώμεθα, ἀλλὰ κείσθω μήτε κατὰ λόγον σκανδαλίζεσθαι τοὺς σκανδαλιζομένους, μήτε δικαίως, ἀλλ' εἰκῇ καὶ μάτην· τίνος ἕνεκεν συνοικεῖς, εἰπέ μοι, τῇ παρθένῳ; Δι' οὐδὲν γὰρ ἡ συνοίκησις αὕτη νενομοθέτηται, ἢ δι' ἔρωτα καὶ πόθον· ἐπεὶ περίελε τοῦτον, καὶ ἀνῄρηται ἡ τοῦ πράγματος χρεία. Τίς γὰρ ἂν ἕλοιτο ἀνὴρ ὢν ταύτης χωρὶς τῆς ἀνάγκης γυναικείας ἀνέχεσθαι τρυφῆς καὶ ὕβρεως καὶ τῶν ἄλλων τῶν τοῦ γένους ἐλαττωμάτων ἐκείνου; Διὰ τοῦτο καὶ ὁ Θεὸς ἐξ ἀρχῆς τὴν γυναῖκα ταύτῃ καθώπλισε τῇ ἰσχύι, εἰδὼς ὅτι σφόδρα εὐκαταφρόνητος ἔσται, μὴ ταύτην ἐπαγομένη τὴν ἀρχήν, καὶ ὅτι οὐδεὶς ἂν ἕλοιτο αὐτῇ συνοικῆσαι καθαρεύων ἐπιθυμίας. Εἰ γὰρ

---

18. Πρόκειται περὶ τοῦ γνωστοῦ μύθου περὶ τοῦ Πυγμαλίωνος, βασιλέως τῆς Κύπρου, ὁ ὁποῖος εἶχε κατασκευάσει ἓν ἄγαλμα γυναικὸς ἐξ ἐλεφαντόδοντος, τόσον τέλειον, ὥστε παρεκάλεσε τὴν Ἀφροδίτην νὰ τοῦ δώσῃ ζωήν, πρᾶγμα καὶ ποὺ ἔγινεν. Τὴν ὡραίαν αὐτὴν γυναῖκα τὴν ἔκαμε σύζυγόν του καὶ τὴν ὠνόμασε Γαλάτειαν ἀπὸ τὴν ὁποίαν καὶ ἀπέκτησε τὴν κόρην των Πάφον.

Καὶ ἴσως μὲν σὺ δὲν τὸ πιστεύεις αὐτὸ ἐξ αἰτίας τῆς μεγάλης σωφροσύνης σου, ἐγὼ ὅμως ἤκουσα ὡρισμένους νὰ διηγοῦνται, ὅτι πολλοὶ ἔπαθον κάτι παρόμοιον καὶ δι' ἀγάλματα καὶ διὰ λίθους[18]. Ἐὰν δὲ ἐκεῖ ὅπου ὑπάρχει σκληρότης καὶ τόση ἐναντίωσις, ἔλαβε τόσον μεγάλην δύναμιν καὶ μόνον ἡ φανταστικὴ μορφή, ποία μανία δὲν θὰ δημιουργηθῇ, ὅταν μαζὶ μὲ τὴν φανταστικὴν μορφὴν ὑπάρχῃ δίπλα καὶ σῶμα ἀπαλόν; πῶς δὲν πρέπει νὰ θεωρηθῇ ὅτι πολὺ περισσότερον ἔχουν δίκαιον οἱ κατηγοροῦντες παρὰ οἱ ἀπολογούμενοι; Διότι εἰπέ μου· Τί εἶναι φυσικόν· τὸ νὰ ἐπιθυμῇ ὁ ἄνδρας τὴν γυναῖκα ἢ νὰ μὴ τὴν ἐπιθυμῇ; Ὁπωσδήποτε θὰ ἐλέγαμεν ὅτι φυσικὸν εἶναι νὰ τὴν ἐπιθυμῇ. Ἐπίσης, τὸ νὰ τὸν ὠθοῦν πρὸς τὰ ἔξω ἄπειροι δικαιολογημέναι αἰτίαι καὶ νὰ μὴ δέχεται ν' ἀπομακρυνθῇ, ἀλλὰ νὰ σπρώχνῃ μέσα τὸν ἑαυτόν, ὄχι φυσικὰ διὰ κάποιο κατόρθωμα, ἀλλὰ διὰ ἀπείρους ὀνειδισμοὺς καὶ ζημίας καὶ τῶν ἰδικῶν του καὶ τῶν ξένων, τί εἶναι φυσικόν; ὅλα αὐτὰ τὰ κάνει ἀπὸ ἀγαθὴν προαίρεσιν ἢ ἀπὸ πονηράν; Μᾶλλον, θὰ ἔλεγε κάποιος, ὅτι τὸ κάνει ἀπὸ πονηρὰν προαίρεσιν.

Τέλος πάντων ὅμως ἂς μὴ τὰ ἐξετάζωμεν τὰ πράγματα μὲ τόσην λεπτομέρειαν, ἀλλ' ἂς ὑποθέσωμεν ὅτι ὁ σκανδαλισμὸς τῶν σκανδαλιζομένων δὲν εἶναι λογικὸς καὶ δίκαιος, ἀλλὰ τυχαῖος καὶ χωρὶς καμμίαν αἰτίαν. Εἰπέ μου ὅμως· πρὸς ποῖον σκοπὸν συγκατοικεῖς μὲ τὴν παρθένον; Διὰ τίποτε ἄλλο δὲν ἔχει ἐπινοηθῇ αὐτὴ ἡ συγκατοίκησις, παρὰ ἀπὸ ἔρωτα καὶ πόθον· ἀφαίρεσε αὐτὸν τὸν πόθον καὶ θὰ ἐξαφανισθῇ καὶ ἡ ἀνάγκη τοῦ πράγματος. Διότι ποῖος ἄνδρας θὰ ἐπροτίμα, ἐὰν δὲν ὑπῆρχεν αὐτὴ ἡ ἀνάγκη, νὰ ἀνέχεται τὰς ἐρωτοτροπίας καὶ τὰς περιφρονήσεις καὶ ὅλα τὰ ἄλλα ἐλαττώματα αὐτοῦ τοῦ φύλου; Διὰ τοῦτο καὶ ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴν τὴν ἐξώπλισε μὲ αὐτὴν τὴν δύναμιν, ἐπειδὴ ἐγνώριζεν, ὅτι θὰ περιεφρονεῖτο πάρα πολύ, ἐὰν δὲν εἶχεν αὐτὴν τὴν δύναμιν, καὶ ὅτι κανεὶς δὲν θὰ ἐδέχετο νὰ συγκατοικῇ μὲ αὐτὴν ἂν ἦτο ἀπηλλαγμένος ἀπὸ τὴν ἐπιθυμίαν αὐτήν. Διότι ἐὰν σήμερον,

καὶ τοσαύτης ἐπικειμένης ἀνάγκης νῦν καὶ πολλῆς ἑτέρας χρείας (καὶ γὰρ καὶ παιδοποιοῦσι καὶ οἰκουροῦσι καὶ ἕτερα ἄλλα διακονοῦνται πολλὰ πλείονα τούτων), εἰ δὲ τοιαῦτα νῦν καὶ τοσαῦτα λειτουργοῦσαι τοῖς ἀνδράσιν εὐκαταφρόνητοι πολλάκις ἐγένοντο καὶ τῆς οἰκίας ἐξεβλήθησαν, πῶς ἂν ἐπιθυμίας χωρὶς ἦσαν ποθειναί, καὶ ταῦτα τοσούτοις ἡμᾶς ὀνείδεσι περιβάλλουσαι; Ἢ λέγετε τοίνυν τὴν αἰτίαν τῆς συνοικήσεως, ἢ οὐδεμίαν ὑποπτεύειν ἑτέραν ἀνάγκη, ἀλλ' ἢ πονηρὰν ἐπιθυμίαν καὶ ἡδονὴν ἐπονείδιστον.

Τί οὖν, ἂν δυνηθῶμεν, φησίν, αἰτίαν εὔλογον καὶ δικαίαν εἰπεῖν, ἔσῃ μάτην ταῦτα περὶ ἡμῶν εἰρηκώς; Μάλιστα μέν, οὐδεμίαν ἐρεῖτε τοιαύτην· πλὴν ἀλλὰ καὶ οὕτως ἐβουλόμην μαθεῖν, εἴ τινα σκιὰν γοῦν ἔχετε εὐλόγου προφάσεως εἰπεῖν. Ἀπροστάτευτος, φησίν, ἐστὶν ἡ παρθένος, οὐκ ἄνδρα ἔχουσα, οὐ κηδεστήν, πολλάκις δὲ οὐδὲ πατέρα, οὐκ ἀδελφόν, καὶ δεῖται τοῦ χεῖρα ὀρέξοντος, καὶ τὴν ἐρημίαν παραμυθησομένου, καὶ πανταχοῦ προβεβλημένου καὶ καταστήσοντος αὐτὴν ἐν ἀσφαλείᾳ πολλῇ καὶ λιμένι. Ποίᾳ ἀσφαλείᾳ καὶ ποίῳ λιμένι; Τὸν γὰρ πρόβολον οὐκ εἴργοντα ὁρῶ τὰ κύματα, ἀλλ' ἐπεγείροντα, καὶ τὸν λιμένα οὐκ ἀναστέλλοντα τὸν χειμῶνα, ἀλλὰ καὶ τὰς οὐκ οὔσας τίκτοντα τρικυμίας.

Εἶτα οὐκ αἰσχύνεσθε, οὐκ ἐγκαλύπτεσθε τοιαῦτα ἀπολογούμενοι; Εἰ γὰρ μηδεμία ἐκ ταύτης τῆς διακονίας ἐτίκτετο κατηγορία, μηδὲ βλάβη, μηδὲ σκάνδαλον, ἀλλὰ μετ' εὐφημίας ἐξῆν τοῦτο αὐτὸ ποιεῖν, τίνος οὐκ ἂν ἦτε ἐλεεινότεροι τὸν πλοῦτον αὐτῆς αὔξοντες, καὶ πρὸς φιλοχρηματίαν γυμνά-

μολονότι ὑπάρχει τόση ἀνάγκη καὶ πολλὴ ἄλλη χρησιμότης (καθ' ὅσον καὶ παιδοποιοῦν καὶ φροντίζουν τὰ τοῦ οἴκου καὶ προσφέρουν καὶ ἄλλας ὑπηρεσίας πολὺ περισσοτέρας ἀπὸ αὐτάς), ἐπαναλαμβάνω, ἐὰν σήμερον, ἂν καὶ προσφέρουν τοιαύτας καὶ τόσας πολλὰς ὑπηρεσίας, πολλὰς φορὰς περιεφρονήθησαν καὶ ἐξεδιώχθησαν ἀπὸ τὴν οἰκίαν, πῶς θὰ ἦτο δυνατὸν νὰ μᾶς εἶναι ποθηταί, ἐὰν ἔλειπεν αὐτὴ ἡ ἐπιθυμία, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ μᾶς προξενοῦν τόσους ὀνειδισμούς; Ἢ λοιπὸν παραδεχθεῖτε τὴν αἰτίαν τῆς συγκατοικήσεως, ἢ μὴ ὑποπτεύεσθε καμμίαν ἄλλην ἀνάγκην, παρὰ μόνον τὴν πονηρὰν ἐπιθυμίαν καὶ τὴν ἡδονὴν τὴν ἀξιοκατάκριτον.

Τί λοιπόν, θὰ εἰπῇ κάποιος· ἐὰν κατορθώσωμεν νὰ παρουσιάσωμεν μίαν λογικὴν καὶ δικαιολογημένην αἰτίαν, θὰ θεωρήσῃς ὡς ἄσκοπα αὐτὰ ποὺ εἶπες δι' ἡμᾶς; Βεβαιότατα, πλὴν ὅμως δὲν θὰ ἠμπορέσετε νὰ παρουσιάσετε καμμίαν τέτοιαν αἰτίαν· παρ' ὅλα αὐτὰ ὅμως θὰ ἤθελον νὰ μάθω, ἐὰν τέλος πάντων ἔχετε νὰ παρουσιάσετε κάποιαν σκιὰν δικαιολογημένης αἰτίας. Ἀπροστάτευτος, λέγει, εἶναι ἡ παρθένος, δὲν ἔχει ἄνδρα, δὲν ἔχει συγγενῆ, πολλὰς φορὰς οὔτε πατέρα, δὲν ἔχει ἀδελφόν, καὶ χρειάζεται κάποιον νὰ τὴν βοηθήσῃ καὶ νὰ τὴν παρηγορήσῃ διὰ τὴν μοναξιάν της καὶ νὰ τὴν προφυλάξῃ ἀπὸ παντοῦ καὶ νὰ τῆς ἐξασφαλίσῃ πολλὴν ἀσφάλειαν καὶ λιμένα καταφυγῆς. Ποίαν ἀσφάλειαν λέγεις καὶ ποῖον λιμένα; Διότι βλέπω τὸ ἀμυντικὸν φράγμα νὰ μὴ ἐμποδίζῃ τὰ κύματα, ἀλλὰ νὰ τὰ ἐξεγείρῃ, καὶ τὸν λιμένα νὰ μὴ σταματᾷ τὴν κακοκαιρίαν, ἀλλὰ καὶ νὰ προκαλῇ καὶ τὰς τρικυμίας ποὺ δὲν ὑπῆρχον.

Ἔπειτα ἀπὸ ὅλα αὐτὰ δὲν ἐντρέπεσθε, δὲν καλύπτετε τὸ πρόσωπόν σας προβάλλοντες αὐτὰς τὰς ἀπολογίας; Διότι ἐὰν μὲν δὲν προέκυπτε καμμία κατηγορία ἀπὸ αὐτὴν τὴν διακονίαν, οὔτε ζημία, οὔτε σκάνδαλον, ἀλλ' ἠμπορούσατε αὐτὸ νὰ τὸ κάνετε καὶ νὰ ἐπαινῆσθε ἀκόμη, ἀπὸ ποῖον δὲν θὰ ἤσασθε ἐλεεινότεροι τὴν στιγμὴν ποὺ αὐξάνετε τὸν πλοῦτον της καὶ τὴν ἀσκῆτε εἰς τὴν φιλοχρημα-

ζοντες, καὶ εἰς πράγματα ἐμβάλλοντες, καὶ πρὸς κοσμικὰς παιδοτριβοῦντες φροντίδας, οἰκονόμων τάξιν καὶ ἐπιτρόπων καὶ ἀγοραίων τινῶν ἀνταλλαττόμεναι; Σφόδρα γε· οὐ γὰρ δυνήσεσθε περὶ ἀκτημοσύνης διαλεχθῆναι, καὶ πεῖσαι τῶν ὄντων καταφρονεῖν, οἱ πάντα ποιοῦντες ὅπως μένοι καὶ αὔξοιτο τὰ ὄντα, καὶ πόροι πόροις ἐπιγίγνοιντο, κάπηλοί τινες καὶ παλιγκάπηλοι δι' ἐκείνας γενόμενοι, ἄχρηστοί γε. Οὐ γὰρ γενναῖοι ὑμῶν αἱ ἐλπίδες, οἳ τὸν σταυρὸν κελευσθέντες βαστάζειν καὶ ἕπεσθαι τῷ Χριστῷ, ρίψαντες τὸν σταυρόν, καθάπερ στρατιῶται μαλακοὶ τὴν ἀσπίδα, ἠλακάτῃ παρακάθησθε καὶ καλαθίσκῳ, δι' ἑτέρας αἰσχροτέρας μεθόδου τὴν εἰς τὸν παρόντα βίον ἀνοίξαντες θύραν.

Οὐ γὰρ οὕτως αἰσχρὸν τοὺς γεγαμηκότας ταῦτα οἰκονομεῖν, ὡς τοὺς προσποιουμένους ὑμᾶς ἀποπεπηδηκέναι μὲν τῶν παρόντων, δι' ἑτέρου δὲ προσώπου πάλιν αὐτὰ ὑποδυομένους. Διὰ τοῦτο λαιμάργων καὶ παρασίτων καὶ κολάκων καὶ γυναικοδούλων πανταχοῦ δόξαν λαμβάνομεν, ὅτι χαμαὶ τὴν εὐγένειαν ἅπασαν ρίψαντες τὴν ἄνωθεν δοθεῖσαν ἡμῖν, ἀντικαταλλαττόμεθα τὴν ἀπὸ τῆς γῆς δουλοπρέπειάν τε καὶ εὐτέλειαν. Καὶ χήραις μὲν διανεῖμαι χρήματα οὐχ εἵλοντο οἱ γενναῖοι τότε ἄνδρες ἐκεῖνοι, καὶ ταῦτα τοσαύτης βλασφημίας γενομένης διὰ τὸ μηδένα εἶναι τὸν οἰκονομοῦντα, ἀλλὰ ἔλαττον τῆς αὐτῶν φιλοσοφίας εἶναι τοῦτο νομίσαντες, ἑτέροις ἐπέτρεψαν· ἡμεῖς δὲ οὐκ αἰδούμεθα πλοῦτον ἀλλότριον αὔξοντες ἐπὶ λύμῃ τῶν κεκτημένων, τῶν εὐνούχων τῶν περὶ τὰ τοιαῦτα ἐσχολακότων οὐδὲν ἄμεινον διακείμενοι, οἳ καθ' ἑκάστην ἡμέραν τὸ αἷμα καὶ τὰς ψυχὰς ἐπὶ τῶν χειρῶν προσταττόμενοι φέρειν ἀντὶ μεγάλων ὅπλων.

τίαν καὶ τῆς δημιουργεῖτε ὑποθέσεις καὶ τὴν γυμνάζετε διὰ κοσμικὰς φροντίδας, ἀναλαμβάνουσαι τὴν θέσιν τῶν οἰκονόμων καὶ ἐπιτρόπων καὶ ἐμπόρων; Θὰ εἴσθε λοιπὸν πάρα πολὺ ἐλεεινοί· διότι δὲν θὰ ἠμπορέσετε νὰ ὁμιλήσετε περὶ ἀκτημοσύνης καὶ νὰ τὰς πείσετε νὰ περιφρονοῦν τὴν περιουσίαν, σεῖς ποὺ κάνετε τὸ πᾶν, πῶς νὰ διατηρηθῇ καὶ ν' αὐξηθῇ ἡ περιουσία καὶ συγκεντρώνετε εἰσοδήματα ἀπὸ τὰ εἰσοδήματα, ποὺ γίνεσθε πολλοί, ἐξ αἰτίας των, ἐκμεταλλευταί, ἀποκομίζοντες κέρδος ἀπὸ τὸ κέρδος, καὶ φυσικὰ ἄχρηστοι. Διότι δὲν εἶναι σταθεραὶ αἱ ἐλπίδες σας, σεῖς πού, ἂν καὶ ἐλάβατε ἐντολὴν νὰ σηκώνετε τὸν σταυρὸν καὶ ν' ἀκολουθῆτε τὸν Χριστόν, ρίψαντες κάτω τὸν σταυρόν, ὅπως ἀκριβῶς ρίπτουν τὴν ἀσπίδα οἱ ἄτολμοι στρατιῶται, κάθεσθε δίπλα εἰς τὴν ρόκαν καὶ τὸν καλαθίσκον καὶ ἔτσι ἀνοίξατε θύραν εἰς τὴν παροῦσαν ζωὴν μὲ ἄλλην πιὸ αἰσχρὰν μέθοδον.

Πράγματι δὲν εἶναι τόσον αἰσχρὸν νὰ πράττουν παρόμοια πράγματα οἱ ἔγγαμοι, ὅσον σεῖς ποὺ προσποιεῖσθε μὲν ὅτι ἀπαρνηθήκατε τὰ παρόντα, ἐπιχειρεῖτε ὅμως καὶ πράττετε τὰ ἴδια μὲ ἄλλο πρόσωπον. Διὰ τοῦτο λοιπὸν χαρακτηριζόμεθα παντοῦ ὡς λαίμαργοι καὶ παράσιτα καὶ κόλακες καὶ γυναικόδουλοι, ἐπειδὴ ἐρρίψαμεν κάτω ὅλην τὴν εὐγένειαν ποὺ μᾶς ἐδόθη ἀπὸ τὸν οὐρανόν, καὶ ἀντικαθιστῶμεν αὐτὴν μὲ τὴν ἐπίγειον δουλοπρέπειαν καὶ εὐτέλειαν. Καὶ τότε μὲν ἐκεῖνοι οἱ γενναῖοι ἄνδρες δὲν ἐπεχείρουν νὰ διανείμουν χρήματα εἰς τὰς χήρας, μολονότι τόσαι διαμαρτυρίαι εἶχον διατυπωθῇ ἐξ αἰτίας τοῦ ὅτι δὲν ὑπῆρχε κανεὶς διαχειριστής, ἀλλ' ἐπειδὴ τὸ ἐθεώρησαν αὐτὸ ἀνάξιον διὰ τὴν εὐσέβειάν των, ἀνέθεσαν τὸ ἀξίωμα αὐτὸ εἰς ἄλλους, ἡμεῖς ὅμως δὲν νοιώθομεν ἐντροπὴν ν' αὐξάνωμεν τὸν ξένον πλοῦτον ἐπὶ ζημίᾳ αὐτῶν ποὺ κατέχομεν, μὴ διαφέροντες ὡς πρὸς τίποτε ἀπὸ τοὺς εὐνούχους ποὺ ἀσχολοῦνται μὲ ὅλα αὐτά, ἡμεῖς ποὺ ἔχομεν τὴν ἐντολὴν νὰ κρατῶμεν καθημερινῶς εἰς τὰ χέρια μας, ἀντὶ μεγάλων ὅπλων, τὴν ζωὴν καὶ τὰς ψυχὰς τῶν πλησίον μας.

Τί οὖν; ἁρπαζόμενα πάντα τὰ τῆς παρθένου χρὴ περιιδεῖν ἀγόμενά τε καὶ περιφερόμενα ὑπὸ συγγενῶν, ὑπὸ οἰκετῶν, καὶ ἀλλοτρίων, ἢ καὶ οἰκείων; Καλήν γε οὖν ἀποδώσομεν τῇ παρθένῳ τὴν ἀμοιβὴν ἀνθ᾽ ὧν οὐκ ἔγημεν, οὐδὲ τὸν παρόντα κόσμον ἠγάπησεν, ἀλλ᾽ ἀντὶ πάντων εἵλετο τὸν Χριστόν, ἀφέντες αὐτὴν προκεῖσθαι τοῖς βουλομένοις τῶν ὄντων ἀποστερεῖν. Καὶ πόσῳ βέλτιον ἦν ὁμιλῆσαι γάμῳ, καὶ τῷ συνοικοῦντι πρὸς τὴν τῶν πραγμάτων τούτων οἰκονομίαν κεχρῆσθαι, ἢ μένουσαν ἄγαμον πατῆσαι μὲν τὰς πρὸς τὸν Θεὸν συνθήκας, ὑβρίσαι δὲ εἰς πρᾶγμα οὕτω σεμνὸν καὶ φρικῶδες, καθελκύσαι δὲ καὶ ἑτέρους πρὸς τὰ ναυάγια τῶν οἰκείων κακῶν; Πῶς δὲ αὐτὴν ἀντὶ πάντων ἑλέσθαι λέγεις τὸν Χριστόν, τοῦ Χριστοῦ βοῶντος καὶ λέγοντος, «Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ»; πῶς δὲ τὸν κόσμον μισῆσαι καὶ τὰ παρόντα, πρὸς τὰς τοῦ κόσμου πείθων ἐπτοῆσθαι ἐπιθυμίας; Τίνι δέ ποτε τῶν ἄνδρα ἐχουσῶν δυνήσῃ παραινέσαι χρημάτων περιιδεῖν, τῇ παρθένῳ συγκατασκευάζων τὸν πλοῦτον; Αὐτὴν δὲ ταύτην πότε ἀφήσεις εὐπρόσεδρον εἶναι τῷ Κυρίῳ καὶ ἀπερίσπαστον, πάντα τὸν βίον καὶ τὴν σπουδὴν εἰς τὰ ἐκείνης ἀναλίσκων πράγματα; Πότε δὲ δυνήσεται ἡ παρθένος φιλοσοφῆσαι, σὲ τὸν ἄνδρα ὁρῶσα δεινὸν ἡγούμενον εἶναι, εἰ τὰ ἐκείνης διασπασθείη χρήματα; πῶς δὲ ἀνέξεται ζημίας ὑπερορᾶν, πάντα σε καὶ ποιοῦντα καὶ πάσχοντα βλέπουσα, ὥστε ἐπιτείνειν αὐτῇ τὸν παρόντα πλοῦτον; Οὐχ οὕτως ἡμᾶς ἀπηλλάχθαι βούλεται πραγμάτων ὁ Θεός, ἀλλ᾽ ἐν τῷ τῶν ὄντων καταφρονεῖν, τὸ πάντα ἀπαρνήσασθαι τὰ βιωτικά. Ἀλλ᾽ οὐκ ἐᾶτε ὑμεῖς, οὐδὲ συγχωρεῖτε τοῦ Θεοῦ τὸν νόμον ἰσχύειν.

---

19. Ματθ. 6, 24.

Τί λοιπόν; Καθ' ἣν στιγμὴν ἁρπάζονται ὅλα τὰ ὑπάρχοντα τῆς παρθένου πρέπει νὰ μείνωμεν ἀδιάφοροι καὶ νὰ τ' ἀφήσωμεν νὰ μεταφέρωνται καὶ νὰ διασκορπίζωνται τὰ πάντα ἀπὸ τοὺς συγγενεῖς, τοὺς ὑπηρέτας, ἀπὸ τοὺς ξένους ἢ καὶ τοὺς ἰδικούς της; Καλὴν λοιπὸν ἀμοιβὴν θὰ δώσωμεν εἰς τὴν παρθένον ἔναντι τοῦ ὅτι οὔτε ὑπανδρεύθη οὔτε ἠγάπησεν αὐτὸν τὸν κόσμον, ἀλλ' ἀντὶ ὅλων αὐτῶν ἐπροτίμησε τὸν Χριστόν, ἀφήνοντες αὐτὴν εἰς τὴν διάθεσιν ὅλων ἐκείνων ποὺ θέλουν νὰ τῆς στερήσουν τὴν περιουσίαν. Καὶ πόσον προτιμότερον ἦτο νὰ ὑπανδρευθῇ καὶ νὰ ἔχῃ τὸν σύζυγόν της νὰ διαχειρίζεται τὴν περιουσίαν της αὐτήν, παρά, παραμένουσα ἄγαμος, νὰ παραβῇ τὰς συμφωνίας μὲ τὸν Θεὸν καὶ νὰ περιφρονήσῃ ἕνα πρᾶγμα τόσον πολὺ σεβαστὸν καὶ φρικιαστικόν, παρασύρουσα μάλιστα καὶ πολλοὺς ἄλλους πρὸς τὰ ναυάγια τῶν ἰδικῶν της συμφορῶν; Πῶς θὰ τῆς εἰπῇς ἀντὶ ὅλων τῶν ἄλλων νὰ προτιμήσῃ τὸν Χριστόν, τὴν στιγμὴν ποὺ ὁ Χριστὸς διακηρύσσει καὶ λέγει, «Δὲν ἠμπορεῖτε νὰ δουλεύετε εἰς τὸν Θεὸν καὶ τὸν μαμωνᾶν»[19]; πῶς δὲ θὰ τῆς εἰπῇς νὰ μισήσῃ τὸν κόσμον καὶ τὰ παρόντα, ἀφοῦ τὴν πείθεις μὲ ὅλας τὰς ἐνεργείας σου νὰ προτιμᾷ τὰς ἐπιθυμίας τοῦ κόσμου; Ποίαν δὲ ἔγγαμον γυναῖκα θὰ ἠμπορέσῃς κάποτε νὰ συμβουλεύσῃς νὰ περιφρονήσῃ τὰ χρήματα, τὴν στιγμὴν ποὺ μαζὶ μὲ τὴν παρθένον δημιουργεῖς πλοῦτον; Αὐτὴν δὲ τὴν ἰδίαν πότε θὰ τὴν ἀφήσῃς ν' ἀφοσιωθῇ μὲ ζῆλον εἰς τὸν Κύριον καὶ ἀπερίσπαστον, τὴν στιγμὴν ποὺ ἐξοδεύεις ὅλην τὴν ζωήν σου καὶ τὴν φροντίδα σου εἰς τὰ πράγματα ἐκείνης; Πότε δὲ θὰ ἠμπορέσῃ ἡ παρθένος ν' ἀσκήσῃ τὴν εὐσέβειάν της, βλέπουσα ἐσένα τὸν ἄνδρα νὰ εἶσαι κακὸς ἡγούμενος, ἐφ' ὅσον διαρπάζεις τὰ χρήματά της; πῶς δὲ θ' ἀνθέξῃ νὰ περιφρονῇ τὴν ζημίαν, ὅταν σὲ βλέπῃ νὰ κάνῃς καὶ νὰ ὑποφέρῃς τὰ πάντα, ὥστε ν' αὐξήσῃς τὸν παρόντα πλοῦτον της; Δὲν θέλει ὁ Θεὸς τέτοιαν ἀπαλλαγὴν ἀπὸ τὰ πράγματα, ἀλλ' ὅταν λέγῃ νὰ περιφρονῶμεν τὴν περιουσίαν, ἐννοεῖ ν' ἀπαρνηθῶμεν ὅλα τὰ βιωτικά. Ἀλλὰ σεῖς δὲν ἀφήνετε οὔτε ἐπιτρέπετε νὰ ἰσχύῃ ὁ νόμος τοῦ Θεοῦ.

*Τί οὖν, ἂν τῆς ἑτέρων δέηται προστασίας, φησί, καὶ πολλὰ ἀνάξια ὑπομείνῃ; νῦν γὰρ οὐκ ἀνάξια ταῦτα τῆς παρθένου; Οὐδὲν οὕτως ἀνάξιον τῆς παρθένου, ὡς τὸ πλουτεῖν καὶ περιβεβλῆσθαι πραγμάτων πλῆθος. Τί δέ, εἰ καὶ ἕτερα πρὸς τούτοις κελεύοι, οἷον δανείζειν χρυσίον εἶτα καλέσασα ἡμᾶς εἰς τὰ συναλλάγματα μὴ πείθοι, καὶ μὴ πείσασα ἑτέρους λάβοι, ἡμεῖς ἐσόμεθα αἴτιοι; Τί δέ, εἰ καπηλείας ἄλλας τινὰς ἀνελευθέρους καὶ ἀπρεπεῖς κατασκευάζοι, εἶτα, μὴ βουλομένων ἡμῶν συμπράττειν, ἄλλων δεηθείη τινῶν, ἐγκαλεῖσθαι ἂν εἴημεν ἄξιοι; Οὐδαμῶς, ἀλλὰ καὶ ἐπαινεῖσθαι· τοὐναντίον γὰρ ἐνῆν ψόγου καὶ κατηγορίας τὸ πρὸς τὰ τοιαῦτα συμβάλλεσθαι καὶ συμπράττειν αὐταῖς. Βούλει μὴ φέρεσθαι μηδὲ ἄγεσθαι τὰ χρήματα ἐκείνης; παραίνεσον αὐτῇ καταθεῖναι αὐτά, ἔνθα μηδὲ ἀνδρὸς δεήσεται πρὸς φυλακὴν καὶ ἀνάλωτα μένει διαπαντός· εἰ δὲ βούλοιτο πράγματα ἔχειν, τίνος ἕνεκεν παίζει ἐν οὐ παικτοῖς; Τὸ γὰρ παρθένον οὖσαν τοιαῦτα πράττειν, παίζειν ἐστὶ παιδιὰν οὐχὶ τέρψιν, ἀλλὰ θάνατον ἔχουσαν. Ὅταν γὰρ ὑπεύθυνον ἑαυτὴν καταστήσασα τῶν τοιούτων παλαισμάτων, ἀνάξια πάντα πράττῃ τῆς τοιαύτης ὑποσχέσεως, μείζων ἡ κόλασις, χαλεπωτέρα ἡ τιμωρία. Οὐκ ἤκουσας οἷον αὐτῇ νόμον ἔθηκεν ὁ Παῦλος, μᾶλλον δὲ ὁ Χριστὸς εἰπὼν δι' ἐκείνου, ὅτι μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος· καί, «**Ἡ ἄγαμος μεριμνᾷ** τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι;». Ἀλλ' ὑμεῖς οὐκ ἐᾶτε, πρὸς τὰς ἐπιθυμίας αὐτῶν πάσας ἀνδραπόδων ἀργυρωνήτων εὐκολώτερον ὑπακούοντες.*

Ναί, φησί; τί οὖν, εἰ ἐσχάτῃ πενίᾳ παλαίῃ; Περὶ μὲν

20. Α' Κορ. 7, 34.

Τί λοιπόν, θὰ εἰπῇ κάποιος· ἐὰν ἔχῃ ἀνάγκην τῆς προστασίας τῶν ἄλλων καὶ ὑπομείνῃ πολλὰ ἀνάξια; μήπως ὅλα αὐτὰ τώρα δὲν εἶναι ἀνάξια διὰ τὴν παρθένον; Τίποτε δὲν εἶναι τόσον ἀνάξιον διὰ τὴν παρθένον, ὅσον τὸ νὰ πλουτῇ καὶ νὰ εἶναι περιβεβλημένη ἀπὸ ἕνα πλῆθος πραγμάτων. Τί δέ, ἐὰν καὶ ἄλλα, ἐκτὸς ἀπὸ αὐτά, ἤθελε προστάξει, ὅπως ἐπὶ παραδείγματι νὰ δανείζῃ χρήματα καὶ ἐν συνεχείᾳ, ἀφοῦ μᾶς καλέσῃ εἰς τὰς συναλλαγάς, δὲν μᾶς ἔπειθε, καί, ἐφ' ὅσον δὲν θὰ μᾶς ἔπειθεν, ἐλάμβανεν ἄλλους, ἡμεῖς θὰ εἴμεθα αἴτιοι; Τί δέ, ἐὰν δημιουργῇ καὶ ὡρισμένας ἄλλας δουλοπρεπεῖς καὶ ἀπρεπεῖς ἐμπορικὰς ἐπιχειρήσεις, ἔπειτα, ἐὰν ἡμεῖς δὲν θέλωμεν νὰ συνεργαζώμεθα, συνέβαινε νὰ χρειασθῇ ὡρισμένους ἄλλους, θὰ ἤμεθα τότε ἄξιοι κατηγορίας; Καθόλου, ἀλλὰ καὶ θὰ ἐπαινεθῶμεν· διότι τὸ ἀντίθετον θὰ ἦτο δυνατὸν νὰ ψεγῇ καὶ νὰ κατηγορηθῇ, τὸ νὰ συμβάλλῃ κανεὶς εἰς τέτοιου εἴδους ἔργα καὶ νὰ συνεργάζεται μὲ αὐτάς. Θέλεις νὰ μὴ κατασπαταλῶνται τὰ χρήματα τῆς παρθένου; συμβούλευσέ την νὰ τὰ καταθέσῃ ἐκεῖ ὅπου δὲν χρειάζεται οὔτε ἄνδρα διὰ τὴν φύλαξίν των καὶ μένουν ἀδαπάνητα διὰ πάντα· ἐὰν ὅμως θὰ ἤθελε νὰ ἔχῃ χρήματα, διὰ ποῖον λόγον παίζει μὲ πράγματα ποὺ δὲν εἶναι ἀσφαλῆ; Διότι τὸ νὰ εἶναι παρθένος καὶ νὰ ἀσχολῆται μὲ τέτοια ἔργα, ὁμοιάζει μὲ τὸ νὰ παίζῃ κάποιο παιχνίδι ποὺ προκαλεῖ θάνατον καὶ ὄχι εὐχαρίστησιν. Καθ' ὅσον ἀπὸ τὴν στιγμὴν ποὺ ἀνέλαβε τὴν εὐθύνην διὰ τέτοιου εἴδους ἀγωνίσματα καὶ ὅλα ὅσα πράττει εἶναι ἀνάξια τῆς ὑποσχέσεως αὐτῆς, εἶναι μεγαλυτέρα ἡ κόλασις καὶ φοβερωτέρα ἡ τιμωρία. Δὲν ἤκουσες ποῖον νόμον ἔθεσεν ὁ Παῦλος δι' αὐτήν, μᾶλλον δὲ ὁ Χριστός, ποὺ εἶπεν διὰ τοῦ στόματος ἐκείνου, ὅτι διαφέρει ἡ ἔγγαμος γυναῖκα ἀπὸ τὴν παρθένον, καὶ ὅτι «Ἡ ἄγαμος μεριμνᾷ δι' ὅ,τι εἶναι ἀρεστὸν εἰς τὸν Κύριον, διὰ νὰ εἶναι ἁγία καὶ ὡς πρὸς τὸ σῶμα καὶ ὡς πρὸ τὸ πνεῦμα»[20]; Ἀλλὰ σεῖς δὲν τὴν ἀφήνετε, μὲ τὸ νὰ ὑπακούετε εἰς ὅλας τὰς ἐπιθυμίας αὐτῶν εὐκολώτερον καὶ ἀπὸ ἀγορασμένους δούλους.

Ναί, λέγει· τί πρέπει ὅμως νὰ γίνῃ ἐὰν ἀντιμετωπίζῃ

γὰρ τῶν εὐπόρων ταῦτα καλῶς εἴρηταί σοι, τὰς δὲ ἐν πτωχείᾳ καὶ ἀμελείᾳ πολλῇ κειμένας ποῖον ἔγκλημα ἀνορθοῦν; Εἴθε μὲν οὖν μὴ κατεβάλλετε μηδὲ ὠθεῖτε πρὸς τὰ τῆς ἀπωλείας βάραθρα, καὶ ἀγαπητὸν ἦν· καὶ γὰρ εἰ τῷ κελεύσαντι πενήτων προΐστασθαι πειθόμενος ταῦτα ποιεῖς, ἔχεις ἀδελφοὺς μυρίους· ἐκεῖ τὴν καλὴν ταύτην ἐργασίαν ἐπίδειξον, ἔνθα μηδὲν ὑφορμεῖ τῶν σκανδαλίσαι δυναμένων, ὡς ἐνταῦθά γε πάσης ὠμότητος καὶ ἀπανθρωπίας χείρων ἡ ἐλεημοσύνη. Τί γὰρ ὄφελος, ὅταν τὸ μὲν σῶμα διατρέφῃς, τὴν δὲ ψυχὴν καταδύσῃς; ὅταν ἱμάτιον δῷς, τὴν δὲ ὑπόληψιν τῶν γυμνῶν αἰσχροτέραν καταστήσῃς; ὅταν χρήσιμος ἐν τοῖς σωματικοῖς γινόμενος, πάντα λυμήνῃ τὰ πνευματικά; ὅταν ἐξευμαρίσας αὐτῇ τὰ ἐπὶ τῆς γῆς, ἐκβάλλῃς τῶν οὐρανῶν; Ποία δὲ ἐλεημοσύνη, ὅταν ἡ τοῦ Θεοῦ ὑβρίζηται δόξα; ὅταν ὄνειδος ᾖ καὶ αἰσχύνη καὶ σκώμματα καὶ λοιδορίαι καὶ τῆς ἐλεουμένης αὐτῆς, καὶ ἑτέρων πολλῶν τῶν δι᾽ ἐκείνης σκανδαλιζομένων; Οὐκ ἀπὸ ἐλέου, ἀλλ᾽ ἀπανθρώπου ταῦτα γίνεται ψυχῆς καὶ ἀπηνοῦς. Εἰ γὰρ ἐξ ἐλέους καὶ φιλανθρωπίας ἐγίνετο, περὶ τοὺς ἄνδρας ταῦτα ἐπιδείκνυσθαι ἐχρῆν.

᾽Αλλ᾽ αἱ γυναῖκες πλείονος δέονται προστασίας, φησίν, οἱ δὲ ἄνδρες πολλὰς ἔχουσιν ἀπὸ τῆς φύσεως ἀφορμάς. Καί τοι καὶ ἐν ἀνδράσιν εἰσὶ πολλοὶ γυναικῶν ἀσθενέστερον διακείμενοι καὶ διὰ γῆρας μακρόν, καὶ δι᾽ ἀρρωστίαν, καὶ διὰ πήρωσιν σώματος, καὶ διὰ νόσους χαλεπάς, καὶ δι᾽ ἑτέρας τινὰς τοιαύτας προφάσεις· πλὴν ἀλλ᾽ ἐπειδὴ μάλιστα τοῦ τῶν γυναικῶν κήδεσθε γένους, ἅτε ἀσθενεστέρου ὄντος, καὶ σφόδρα ἐλεήμονες καὶ συμπαθεῖς ἐστε πρὸς ἐκείνας, οὐδὲ ἐν-

τὴν πιὸ βαρεῖαν μορφὴν πτωχείας; Διότι διὰ μὲν τὰς πλουσίους παρθένους ἔχεις δίκαιον δι' ὅλα αὐτὰ ποὺ εἶπες, ὅμως δι' αὐτὰς ποὺ ζοῦν μέσα εἰς τὴν πτώχειαν καὶ τὴν τελείαν ἐγκατάλειψιν ποῖον ἔγκλημα εἶναι τὸ νὰ τὰς ἀνορθώσῃ κανείς; Εὐχῆς ἔργον λοιπὸν θὰ ἦτο νὰ μὴ τὰς ἐρρίπτατε οὔτε νὰ τὰς σπρώχνετε πρὸς τὰ βάραθρα τῆς ἀπωλείας, καὶ αὐτὸ θὰ ἦτο τὸ καλύτερον. Καθ' ὅσον ἐὰν τὰ κάνῃς αὐτὰ ὑπακούων εἰς ἐκεῖνον ποὺ ἔδωσεν ἐντολὴν νὰ βοηθῶμεν τοὺς πτωχούς, ἔχεις μυρίους ἀδελφούς· ἐκεῖ δεῖξε αὐτὴν τὴν καλὴν ἐργασίαν, ὅπου δὲν ὑποκρίπτεται τίποτε ἀπὸ ἐκεῖνα ποὺ ἠμποροῦν νὰ σκανδαλίσουν, διότι εἰς τὴν περίπτωσιν αὐτὴν ἡ ἐλεημοσύνη εἶναι χειροτέρα ἀπὸ οἱανδήποτε σκληρότητα καὶ ἀπανθρωπίαν. Διότι ποῖο τὸ ὄφελος, ὅταν τὸ μὲν σῶμα τὸ διατρέφῃς, τὴν ψυχὴν ὅμως τὴν καταποντίσῃς; ὅταν δώσῃς ἔνδυμα, καταστήσῃς ὅμως τὴν ὑπόληψιν τῶν γυμνῶν αἰσχροτέραν; ὅταν φανῇς χρήσιμος εἰς τὰς σωματικὰς ἀνάγκας, καταστρέψῃς ὅμως ὅλα τὰ πνευματικά; ὅταν ἀνακουφίσῃς μὲν αὐτὴν ἀπὸ τὰς ἐπιγείους ἀνάγκας, τὴν ἀποκλείσῃς ὅμως ἀπὸ τὸν οὐρανόν; Ποία δὲ ἐλεημοσύνη ἠμπορεῖ νὰ ὀνομασθῇ, ὅταν περιφρονῆται ἡ δόξα τοῦ Θεοῦ; ὅταν ἀποβαίνῃ εἰς ὄνειδος καὶ ἐντροπὴν καὶ ἐμπαιγμὸν καὶ ὕβρεις καὶ αὐτῆς ποὺ ἐλεεῖται καὶ ἄλλων πολλῶν ποὺ σκανδαλίζονται ἐξ αἰτίας ἐκείνης; Δὲν γίνονται αὐτὰ ἀπὸ εὐσπλαγχνίαν, ἀλλ' εἶναι ἀποτέλεσμα ἀπανθρώπου καὶ σκληρᾶς ψυχῆς. Διότι, ἐὰν ἐγίνοντο ἀπὸ εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν, ἔπρεπε νὰ γίνωνται αὐτὰ εἰς τοὺς ἄνδρας.

Ἀλλά, θὰ εἰπῇ κάποιος, αἱ γυναῖκες ἔχουν ἀνάγκην ἀπὸ περισσοτέραν προστασίαν, ἐνῷ οἱ ἄνδρες ἔχουν ἀπὸ τὴν φύσιν των πολλὰς δυνατότητας ἀσφαλείας. Μολονότι βέβαια ὑπάρχουν καὶ μεταξὺ τῶν ἀνδρῶν πολλοὶ ποὺ εἶναι ἀσθενέστεροι ἀπὸ τὰς γυναῖκας καὶ διὰ μακροχρόνια γηρατειὰ καὶ διὰ ἀρρώστιαν καὶ διὰ ἀναπηρίαν τοῦ σώματος καὶ διὰ ἀσθενείας βαρείας μορφῆς καὶ δι' ἄλλας πολλὰς παρομοίας αἰτίας· πλὴν ὅμως ἐπειδὴ ἐνδιαφέρεσθε κατ' ἐξοχὴν διὰ τὸ γυναικεῖον φῦλον, καθ' ὅτι εἶναι ἀσθενέστερον, καὶ εἴσασθε πάρα πολὺ ἐλεήμονες καὶ τρέφετε μεγά-

ταῦθα ταύτης ἀπορήσομεν τῆς προφάσεως, ἀλλὰ δείξομεν ὑποθέσεις ὑμῖν, αἳ καὶ κατηγορίας εἰσὶν ἀπηλλαγμέναι πάσης, καὶ πλείονα παρέξουσιν ὑμῖν τὸν μισθόν.

Εἰσὶ γὰρ γυναῖκες, αἱ μὲν ὑπὸ γήρως παραλελυμέναι, αἱ δὲ τὰς χεῖρας ἐκκεκομμέναι, αἱ δὲ τοὺς ὀφθαλμοὺς πεπηρωμέναι, αἱ δὲ ἄλλα πάθη ποικίλα καὶ παντοδαπὰ ἔχουσαι καὶ τὴν τῶν παθῶν χαλεπωτέραν πενίαν. Ἥ τε γὰρ πενία καὶ τὸ μηδὲν ὅλως ἔχειν ἐπιτρίβει τοῦ σώματος αὐταῖς τὰ νοσήματα· αὐτή τε πάλιν ἡ πενία ὑπὸ τούτων χαλεπωτέρα γίνεται καὶ ἀφορητοτέρα. Ἐπὶ τὴν τούτων ἔξελθε θήραν καὶ ταύτας συνάγαγε· μᾶλλον δὲ οὐδὲ πόνου σοι δεῖ πρὸς τὴν συλλογήν· οὕτω πρόκεινται πᾶσιν ἕτοιμοι τοῖς βουλομένοις ὀρέξαι χεῖρα. Κἂν χρήματα ἔχῃς, εἰς ταύτας δαπάνησον· κἂν ἰσχυρὸς ᾖς, ἐνταῦθα τὴν ἀπὸ τοῦ σώματος ὑπηρεσίαν εἰσένεγκε· πολλὰ καὶ ἐνταῦθα πράγματα ὄψει, καὶ σωματικῆς δεόμενα ὑπηρεσίας καὶ χρημάτων δαπάνης καὶ περιδρομῆς. Καὶ γὰρ οἰκήματα πορίσαι ταύταις ἔργον καὶ φάρμακα κατασκευάσαι καὶ κλίνην καὶ ἱμάτια πρίασθαι καὶ τροφὰς ἐπιτηδείους, καὶ τὰ ἄλλα ἅπαντα ἐπιμελεῖσθαι, κἂν δέκα ὦσι μόνον αἱ τὰ τοιαῦτα νοσοῦσαι· νυνὶ δὲ ἡ πόλις ἡμῶν τούτων ἐμπέπλησται, καὶ χιλίας καὶ δὶς τοσαύτας εὑρήσεις.

Αὗται αἱ δεόμεναι προστασίας, αὗται αἱ ἔρημοι, αὗται αἱ χαμαὶ κείμεναι· τοῦτο ἐλεημοσύνη ,τοῦτο φιλανθρωπία, τοῦτο εἰς δόξαν διαβαίνει Θεοῦ, καὶ τὴν τῶν ὁρώντων καὶ τὴν τῶν πασχόντων καὶ τὴν τῶν ποιούντων ὠφέλειαν κατασκευάζει. Καὶ γὰρ τῶν ἰσχυρῶν αἱ ἀσθενέστεραι δικαιότερον ἂν βοηθοῖντο, καὶ τῶν νέων αἱ γεγηρακυῖαι, καὶ τῶν ὅλως μέτρια κεκτημένων αἱ μηδὲ τῆς ἀναγκαίας εὐποροῦσαι τρο-

λην συμπάθειαν πρὸς ἐκείνας, οὔτε καὶ εἰς τὴν περίπτωσιν αὐτὴν θὰ ἀμφιβάλωμεν διὰ τὴν δικαιολογίαν σας αὐτήν, ἀλλὰ θὰ σᾶς παρουσιάσωμεν σκέψεις μας ποὺ καὶ εἶναι ἀπηλλαγμέναι ἀπὸ κάθε κατηγορίαν καὶ θὰ σᾶς ἀμείψουν μὲ μεγαλύτερον μισθόν.

Ὑπάρχουν λοιπὸν γυναῖκες, ποὺ ἄλλαι ἐξ αὐτῶν εἶναι παράλυτοι ἐξ αἰτίας τῶν γηρατειῶν, ἄλλαι μὲ κομμένα τὰ χέρια, ἄλλαι τυφλαὶ καὶ ἄλλαι πάσχουν ἀπὸ ἄλλα ποικίλα καὶ παντὸς εἴδους πάθη καθὼς καὶ ἀπὸ τὴν πτώχειαν ποὺ εἶναι τὸ φοβερώτερον ἀπὸ ὅλα τὰ πάθη. Διότι καὶ ἡ πτώχεια καὶ τὸ ὅτι δὲν ἔχουν ἀπολύτως τίποτε ἐπαυξάνει τὰ νοσήματα τοῦ σώματος καὶ τὰ χειροτερεύει˙ ἡ ἰδία πάλιν ἡ ἀνέχεια ἐξ αἰτίας αὐτῶν γίνεται φοβερωτέρα καὶ περισσότερον ἀνυπόφορος. Εἰς ἀνεύρεσιν αὐτῶν ἔξελθε καὶ αὐτὰς συγκέντρωσε˙ μάλιστα δὲ δὲν χρειάζεται κόπος διὰ νὰ τὰς συγκεντρώσῃς˙ ἔτσι εὑρίσκονται κατάκοιται καὶ εἶναι ἕτοιμοι πρὸς ὅλους ποὺ θέλουν νὰ τὰς βοηθήσουν. Καὶ ἐὰν ἔχῃς χρήματα, δαπάνησέ τα εἰς αὐτάς˙ καὶ ἂν εἶσαι ἰσχυρός, πρόσφερε τὴν σωματικὴν ὑπηρεσίαν σου ἐδῶ˙ ἐδῶ θὰ συναντήσῃς πολλὰ πράγματα ποὺ ἔχουν ἀνάγκην καὶ ἀπὸ σωματικὴν ὑπηρεσίαν καὶ ἀπὸ δαπάνην χρημάτων καὶ ἀπὸ τρέξιμον. Καθ' ὅσον τὸ ἔργον εἰς τὴν περίπτωσιν αὐτὴν εἶναι καὶ νὰ ἐξεύρῃς οἰκήματα δι' αὐτὰς καὶ φάρμακα νὰ τὰς ἐφοδιάσῃς καὶ νὰ τὰς ἀγοράσῃς κρεββάτι καὶ ἐνδύματα καὶ τροφὰς καταλλήλους καὶ νὰ φροντίσῃς δι' ὅλα τὰ ἄλλα, καὶ ἂν ἀκόμη εἶναι μόνον δέκα αὐταὶ ποὺ πάσχουν ἀπὸ παρόμοια νοσήματα. Τώρα ὅμως ἡ πόλις μας εἶναι γεμάτη ἀπὸ αὐτὰς καὶ θὰ εὕρῃς χιλίας καὶ διπλασίας ἀπὸ αὐτάς.

Αὐταὶ εἶναι ἐκεῖναι ποὺ ἔχουν ἀνάγκην προστασίας, αὐταὶ εἶναι αἱ ἔρημοι, αὐταὶ αἱ κατάκοιτοι. Αὐτὸ τὸ ἔργον εἶναι ἐλεημοσύνη, αὐτὸ φιλανθρωπία, αὐτὸ ἀποβαίνει εἰς δόξαν τοῦ Θεοῦ καὶ συντελεῖ εἰς τὴν ὠφέλειαν καὶ αὐτῶν, ποὺ βλέπουν ὅλα αὐτά, καὶ αὐτῶν ποὺ πάσχουν καὶ αὐτῶν ποὺ τὸ πράττουν. Καθ' ὅσον θὰ ἦτο δικαιότερον ἐὰν ἐβοηθοῦντο οἱ ἀσθενέστεροι παρὰ οἱ ἰσχυροί, αἱ γρηαὶ παρὰ αἱ νέαι, αὐταὶ ποὺ δὲν ἔχουν οὔτε κἂν τὴν ἀναγκαίαν τροφὴν

φῆς, καὶ τῶν παρὰ πολλοῖς ἐπεράστων αἱ βδελυκταὶ παρὰ τοῖς πολλοῖς διὰ τὸ τῶν παθῶν δυσανάσχετον, καὶ τῶν ὕβριν προστριβομένων αἱ καὶ τὴν γενομένην ἀποτρέψαι δυνάμεναι καὶ εὐφημίαν προσθεῖναι. Δεῖξον τοίνυν ὅτι διὰ τὸν Θεὸν ταῦτα ποιεῖς, καὶ τούτων ἐπιμελοῦ. Ἂν δὲ ταύτας μηδὲ ὄναρ ἰδεῖν ἐθέλῃς, εὐπροσώπους δὲ καὶ νέας περιίῃς ἀγρεύων, καὶ τῆς ἀνελευθέρου ταύτης ἄγρας αἰτίαν μὲν ἑτέραν ἔχων οὐκ ἀνεκτήν, προβαλλόμενος δὲ ἑτέραν δοκοῦσαν εἶναι εὐπρόσωπον, τὴν τῆς προστασίας, κἂν ἀνθρώπους παραλογίσῃ, ἀλλὰ τὸ ἀδέκαστον οὐκ ἀπατήσεις δικαστήριον, δι' ἑτέραν μὲν ταῦτα ποιῶν πρόφασιν, ἄλλην δὲ προβαλλόμενος. Λέγετε μὲν γὰρ διὰ τὸν Θεὸν ἅπαντα πράττειν, πράττετε δὲ ἃ τῶν ἐχθρῶν ἐστι τοῦ Θεοῦ· τὸ γὰρ ποιεῖν τὸ ὄνομα αὐτοῦ βλασφημεῖσθαι καὶ διαβάλλεσθαι τῶν ἐχθρῶν ἐστι τοῦ Θεοῦ.

Ἐγὼ δὲ καὶ ἑτέραν ὑποβολὴν ποιοῦμαι. Θῶμεν γὰρ ἀληθεύειν τὸν ταῦτα λέγοντα καὶ ἐπιθυμίας καθαρεύειν ἁπάσης, καὶ ἐξ ἑτέρου μὲν οὐδενός, ἀπὸ δὲ εὐλαβείας μόνης ταύτην ἀναδέχεσθαι τὴν προστασίαν· οὐδὲ γὰρ οὕτω κολάσεως αὐτὸν ἀπηλλαγμένον εὑρήσομεν. Εἰ μὲν γὰρ ἠπόρει προφάσεων ἑτέρων, ἐν αἷς καὶ τὴν εὐλάβειαν ἐπιδείξασθαι ἔδει, καὶ χωρὶς τῶν σκανδαλιζομένων ψυχῶν τοῦτο ποιῆσαι· μάλιστα μὲν οὐδὲ οὕτω ταῦτα πραγματεύεσθαι ἔδει, ἔνθα μείζων ἡ ζημία τοῦ κέρδους. Ποῦ γὰρ ἴσον, εἰπέ μοι, παρθένου μιᾶς ἢ δυεῖν προϊστάμενον σωματικῶν ἕνεκεν πραγμάτων ἄπειρα πλήθη σκανδαλίσαι κατὰ ψυχήν; Πλὴν ἀλλ' οὐχ οὕτως ἡ κατηγορία χαλεπή· ὅταν δὲ μυρίας εὕρῃς ὁδοὺς καὶ κατηγορίας ἀπηλλαγμένας, καὶ σκανδάλων ἐλευθέρας, καὶ

παρὰ ἐκεῖναι ποὺ ἔχουν ἔστω καὶ μετρίαν περιουσίαν, αὐταὶ ποὺ τὰς σιχαίνονται οἱ πιὸ πολλοὶ ἐπειδὴ δὲν ἠμποροῦν νὰ ὑποφέρουν τὰ πάθη των, παρὰ αὐταὶ ποὺ εἶναι ἀξιαγάπητοι εἰς τοὺς πολλούς, καὶ αὐταὶ ποὺ καὶ τὴν γενομένην ἐντροπὴν ἠμποροῦν ν' ἀποτρέψουν καὶ νὰ προσθέσουν ἔπαινον, παρὰ αὐταὶ ποὺ προσάπτουν ἐντροπήν. Ἂν δὲ αὐτὰς δὲν θέλῃς οὔτε εἰς τὸ ὄνειρόν σου νὰ τὰς ἰδῇς, περιφέρεσαι ὅμως ἐδῶ καὶ ἐκεῖ διὰ νὰ ἀνεύρῃς ὡραίας γυναῖκας καὶ νέας καὶ διὰ τὸ δουλοπρεπὲς αὐτὸ κυνήγι σου μὴ ἔχων ἄλλην παραδεκτὴν αἰτίαν, προβάλλεις ἄλλην ποὺ φαίνεται ὅτι εἶναι δικαιολογημένη, δηλαδὴ τὴν αἰτίαν τῆς προστασίας, καὶ ἂν ἀκόμη ἐξαπατήσῃς τοὺς ἀνθρώπους, ἀλλ' ὅμως δὲν θὰ ἐξαπατήσῃς τὸ ἀμερόληπτον δικαστήριον, πού, ἐνῷ τὰ κάνεις αὐτὰ δι' ἄλλην αἰτίαν, προβάλλεις ὅμως ἄλλην. Καθ' ὅσον λέγετε μὲν ὅτι ὅλα τὰ πράττετε διὰ τὸν Θεόν, πράττετε ὅμως αὐτὰ ποὺ εἶναι ἔργα τῶν ἐχθρῶν τοῦ Θεοῦ· διότι τὸ νὰ γίνεται αἰτία κάποιος νὰ βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ καὶ νὰ συκοφαντῆται, εἶναι ἔργον τῶν ἐχθρῶν τοῦ Θεοῦ.

Ἀλλ' ἐγὼ κάμνω καὶ ἄλλην σκέψιν. Ἂς ὑποθέσωμεν δηλαδὴ ὅτι εἶναι ἀληθῆ αὐτὰ ποὺ λέγει αὐτὸς καὶ ὅτι εἶναι αὐτὸς καθαρὸς ἀπὸ κάθε ἐπιθυμίαν, καὶ ὅτι ἀναλαμβάνει αὐτὴν τὴν προστασίαν διὰ καμμίαν ἄλλην αἰτίαν, παρὰ μόνον ἀπὸ εὐλάβειαν· οὔτε καὶ τότε ὅμως θὰ τὸν εὕρωμεν ἀπηλλαγμένον ἀπὸ τὴν τιμωρίαν. Διότι, ἐὰν μὲν δὲν ἠμποροῦσε νὰ εὕρῃ ἄλλας αἰτίας κατὰ τὰς ὁποίας ἔπρεπε νὰ ἐπιδείξῃ καὶ τὴν εὐλάβειάν του, ἔπρεπε νὰ τὸ κάνῃ αὐτὸ χωρὶς νὰ σκανδαλίζῃ τὰς ψυχὰς καὶ μάλιστα ἔπρεπεν οὔτε καὶ τότε νὰ τὰ κάνῃ ὅλα αὐτά, ἀπὸ τὰ ὁποῖα ἡ ζημία εἶναι μεγαλυτέρα τοῦ κέρδους. Διότι εἰπέ μου· πῶς εἶναι ἴσον πρᾶγμα τὸ νὰ προστατεύῃς μίαν ἢ δύο παρθένους χάριν σωματικῶν πραγμάτων καὶ τὸ νὰ σκανδαλίζῃς τὴν ψυχὴν ἀπείρων ἀνθρώπων; Πλὴν ὅμως οὔτε καὶ ἔτσι ἡ κατηγορία εἶναι φοβερή· ὅταν ὅμως εὑρίσκῃς ἀπείρους δρόμους, ἀπηλλαγμένους ἀπὸ κατηγορίας, ἐλευθέρους ἀπὸ σκάνδαλα καὶ ποὺ ἔχουν μεγαλύτερον τὸ κέρδος, ἐξ αἰ-

μείζονα ἐχούσας τὴν ἐμπορίαν, τίνος ἕνεκεν σαυτῷ πράγματα πλέκεις εἰκῇ καὶ μάτην καὶ τὸ κέρδος ὑπορύττεις, καὶ ἐπισφαλῶς οἰκοδομεῖς καὶ ἐπονειδίστως, παρὸν μετὰ ἀσφαλείας καὶ δόξης πολλῆς; Οὐκ οἶσθα, ὅτι λαμπρὸν ἀποστίλβειν χρὴ πανταχοῦ τοῦ Χριστιανοῦ τὸν βίον, καὶ ὅτι τὴν δόξαν τις τὴν ἑαυτοῦ καταισχύνας πανταχοῦ λοιπὸν ἄχρηστος ἔσται, καὶ οὐδὲν μέγα κερδᾶναι δυνήσεται, κἂν μεγάλα τύχοι κατορθῶν; «Ἂν γὰρ καὶ τὸ ἅλας μωρανθῇ», φησίν, «ἐν τίνι ἁλισθήσεται» λοιπόν; Ἅλας γὰρ ἡμᾶς εἶναι βούλεται καὶ φῶς καὶ ζύμην ὁ Θεός, ὥς καὶ ἑτέρους δύνασθαι τῆς ἐξ ἡμῶν μεταλαμβάνειν ὠφελείας. Εἰ γὰρ ἀλήπτως ζῶντες ἄνθρωποι μόλις τοὺς ἠμελημένους ἐπιστρέψαι δύναιτ' ἄν, εἰ καὶ λαβὴν δοίημεν αὐτοῖς, πῶς οὐ πάντοθεν ὑπεύθυνοι τῆς ἀπωλείας ἐσόμεθα τῆς ἐκείνων; Ὥσπερ γὰρ οὐκ ἔνι βίον ἔχοντα διεφθαρμένον σωθῆναί ποτε, οὕτως οὔτε δόξαν ἑαυτῷ περιθέντα πονηρὰν δυνατὸν διαφυγεῖν τὴν κόλασιν. Ἀλλ' εἰ δεῖ καὶ θαυμαστὸν εἰπεῖν τι, κἂν μεγάλα τις ἁμάρτῃ, λαθὼν δὲ ἐργάσηται τοῦτο καὶ μηδένα σκανδαλίσῃ, ἐλάττονα δίδωσι δίκην τοῦ καταδεέστερα μὲν ἡμαρτηκότος, μετὰ παρρησίας δὲ καὶ τοὺς πολλοὺς σκανδαλίσαντος.

Καὶ ἵνα μὴ θαυμάσῃς τὸ λεχθέν, μηδὲ ὑπερβολὴν καταγνῷς τοῦ λόγου, τὴν ψῆφόν σοι ταύτην οἴσομεν ἐκ τοῦ οὐρανοῦ, καὶ τὸν νόμον τοῦτον ἐκεῖθεν ἀναγνωσόμεθα. Τὸν γὰρ μακάριον Μωϋσέα, καὶ πάντων ἀνθρώπων πραότατον τῶν ἐπὶ τῆς γῆς, καὶ τῷ Θεῷ φίλον, καὶ προφητῶν μείζονα (τοῖς μὲν γὰρ ἄλλοις δι' αἰνιγμάτων διελέχθη, τούτῳ δὲ ὡς ἂν εἰ φίλος πρὸς φίλον), τοῦτον τοίνυν καὶ τὸν τοιοῦτον, τὸν

---

21. Ματθ. 5, 13.

τίας τίνος περιπλέκεις τὸν ἑαυτόν σου μὲ πράγματα ἄσκοπα καὶ χαμένα καὶ ἐξαφανίζεις τὸ κέρδος καὶ οἰκοδομεῖς κατὰ τρόπον ἐπικίνδυνον καὶ γεμᾶτον ἀπὸ πολλὰς ἀφορμὰς κατηγορίας, τὴν στιγμὴν ποὺ ἠμπορεῖς νὰ οἰκοδομήσῃς μὲ ἀσφάλειαν καὶ δόξαν πολλήν; Δὲν γνωρίζεις, ὅτι πρέπει ὁ βίος τοῦ χριστιανοῦ ν' ἀκτινοβολῇ εἰς κάθε περίπτωσιν καὶ ὅτι ὅταν κάποιος ἀτιμάσῃ τὴν φήμην του γίνεται πλέον ἄχρηστος παντοῦ, καὶ δὲν θὰ ἠμπορέσῃ ν' ἀποκομίσῃ κανένα μεγάλο κέρδος καὶ ἂν ἀκόμη ἐπιτύχῃ μεγάλα κατορθώματα; Διότι, λέγει, «Ἐὰν τὸ ἅλας χάσῃ τὴν ἁλμυρὰν ἰδιότητά του, μὲ τί θὰ γίνῃ ἁλμυρὸν»[21] πλέον; Καθ' ὅσον ὁ Θεὸς θέλει νὰ εἴμεθα ἅλας καὶ φῶς καὶ ζύμη, ὥστε καὶ ἄλλοι νὰ ἠμποροῦν ν' ἀποκομίζουν ὠφέλειαν ἀπὸ ἡμᾶς. Διότι ἐὰν ἄνθρωποι ποὺ κάμνουν ἄμεμπτον βίον, μόλις καὶ μετὰ δυσκολίας κατορθώνουν νὰ ὁδηγήσουν εἰς ἐπιστροφὴν τοὺς ἀδιαφόρους, ἐὰν τοὺς ἐδίδαμεν καὶ ἀφορμὴν διὰ κατηγορίαν, πῶς δὲν θὰ ἐγινόμεθα ἐξ ὁλοκλήρου ὑπεύθυνοι τῆς ἀπωλείας των; Καθ' ὅσον, ὅπως ἀκριβῶς δὲν εἶναι δυνατὸν κάποιος ποὺ κάμνει διεφθαρμένην ζωὴν νὰ σωθῇ ποτέ, ἔτσι οὔτε αὐτὸς ποὺ περιβάλλει τὸν ἑαυτόν του μὲ κακὴν φήμην εἶναι δυνατὸν ν' ἀποφύγῃ τὴν κόλασιν. Ἀλλ' ἐὰν πρέπει νὰ εἰπῶ καὶ κάτι τὸ θαυμαστόν· καὶ ἂν ἀκόμη κανεὶς διαπράξῃ μεγάλα ἁμαρτήματα, τὸ κάνῃ ὅμως αὐτὸ κρυφὰ καὶ χωρὶς νὰ σκανδαλίσῃ κανένα, τιμωρεῖται ὀλιγώτερον ἀπὸ ἐκεῖνον, ποὺ διέπραξε μὲν μικρότερα ἁμαρτήματα, τὰ διέπραξεν ὅμως μὲ παρρησίαν καὶ ἐσκανδάλισε πολλούς.

Καὶ διὰ νὰ μὴ θαυμάσῃς αὐτὸ ποὺ εἶπα, οὔτε θεωρήσῃς ὑπερβολικὰ τὰ λόγια μου, θὰ σοῦ παρουσιάσωμεν τὴν γνώμην αὐτὴν ὡς ἐκ τοῦ οὐρανοῦ προερχομένην καὶ θ' ἀναγνώσωμεν τὸν νόμον αὐτὸν τὸν δοσμένον ἀπὸ ἐκεῖ. Διότι τὸν μακάριον Μωϋσῆν, ποὺ ἦτο ὁ πιὸ πρᾶος ἀπὸ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς, καὶ φίλος τοῦ Θεοῦ καὶ πάρα πολὺ μεγάλος προφήτης (καθ' ὅσον πρὸς μὲν τοὺς ἀνθρώπους ὡμίλησε μὲ ὑπαινιγμούς, μὲ τὸν Θεὸν ὅμως συνωμίλησεν ὡς φίλος πρὸς φίλον), αὐτὸν λοιπὸν ποὺ ἦτο

μυρία κατὰ τὴν ἔρημον ταλαιπωρηθέντα ἐν ἔτεσι τοσούτοις, τὸν περὶ τῶν ἐσχάτων κινδυνεύσαντα πολλάκις, παρά τε Αἰγυπτίοις ὑπὲρ Ἰουδαίων, παρά τε Ἰουδαίοις ὑπὲρ αὐτῶν πάλιν τῶν ἀγνωμόνων ἐκείνων, οὐδὲν ἕτερον ἐκώλυσε μετὰ τὰς πολλὰς ταλαιπωρίας ἐκείνας καὶ τὰ μυρία κατορθώματα τῆς ἐπαγγελίας τυχεῖν, ἢ τὸ σκανδαλίσαι τοὺς συνόντας αὐτῷ ἐπὶ τοῦ ὕδατος. Καὶ τοῦτο αἰνιττόμενος ὁ Θεὸς ἔλεγεν· «Ὅτι οὐκ ἐπιστεύσατέ μοι ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραήλ, διὰ τοῦτο οὐκ εἰσάξετε τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς». Καίτοι καὶ πρὸ τούτου τινὰ παρήκουσε (καὶ γὰρ ἀντεῖπε τῷ Θεῷ καὶ ἅπαξ καὶ δὶς πεμπόμενος εἰς Αἴγυπτον, καὶ μετὰ ταῦτα ἐπὶ τῆς ἐρήμου διηπίστησε λέγων· «Ἑξακόσιαι χιλιάδες εἰσὶ πεζῶν, καὶ σὺ εἶπας, κρέα δώσω αὐτοῖς, καὶ φάγονται μῆνα ἡμερῶν. Μὴ πρόβατα καὶ βόες σφαγήσονται, ἢ πᾶν τὸ ὄψον τῆς θαλάσσης συναχθήσεται, καὶ ἀρκέσει αὐτοῖς; καὶ μετὰ ταῦτα δὲ πάλιν ἀπεδυσπέτησε, καὶ τοῦ δήμου τὴν προστασίαν παρῃτήσατο), ἀλλ' ὅμως οὐδὲν τούτων ἴσχυσεν αὐτὸν ἀποστερῆσαι τῶν ἄθλων τῶν προκειμένων, ἀλλ' ἢ τὸ ἐπὶ τοῦ ὕδατος συμβὰν μόνον· τῇ μὲν γὰρ φύσει ἐκείνων ἔλαττον ἦν, τῷ δὲ μετὰ τῆς ἑτέρων γενέσθαι βλάβης, πολλῷ μεῖζον ἐγένετο. Ἐκεῖνα μὲν γὰρ ἰδίᾳ καὶ λανθανόντως συνέβη, τοῦτο δὲ φανερῶς καὶ ἐπὶ τοῦ δήμου παντὸς φανερῶς ἡμαρτάνετο. Διὰ τοῦτο καὶ ἐγκαλῶν ὁ Θεὸς τοῦτο ᾐνίξατο εἰπών, «Ὅτι οὐχ ἡγιάσατέ με ἐναντίον τῶν υἱῶν Ἰσραήλ», τῆς ἁμαρτίας τὴν φύσιν ἐκκαλύπτων αὐτῷ, καὶ ὅθεν γέγονεν ἀσύγγνωστος, παραδηλῶν. Εἰ δὲ τηλικοῦτον ἄνδρα τοῦτο προσκροῦσαι ἐποίησεν, ἡμᾶς

---

22. Ἀνάγνωθι τὰ σχετικὰ μὲ τὴν ἐκ τοῦ βράχου ἀνάβλυσιν ὕδατος, τὸν ὁποῖον ἐκτύπησεν ὁ Μωϋσῆς κατόπιν ὑποδείξεως τοῦ Θεοῦ. Ἀριθμ. 20, 12.

23. Ἀριθμ. 20, 12.

τέτοιος ἄνθρωπος, ποὺ ἐδοκίμασεν ἀμετρήτους ταλαιπωρίας εἰς τὴν ἔρημον ἐπὶ τόσα πολλὰ ἔτη, αὐτὸν ποὺ πολλὰς φορὰς διακινδύνευσε μέχρι θανάτου, καὶ ἀπὸ τοὺς Αἰγυπτίους χάριν τῶν Ἰουδαίων, καὶ ἀπὸ τοὺς Ἰουδαίους χάριν αὐτῶν καὶ πάλιν τῶν ἰδίων τῶν ἀχαρίστων, τίποτε δὲν τὸν ἠμπόδισε μετὰ τὰς πολλὰς ἐκείνας ταλαιπωρίας καὶ τὰ μύρια κατορθώματα νὰ ἐπιτύχῃ τῆς ἐπαγγελίας, παρὰ τὸ ὅτι ἐσκανδάλισε τοὺς συνοδοιπόρους του εἰς τὴν περίπτωσιν τοῦ νεροῦ[22]. Καὶ αὐτὸ ὑπονοῶν ὁ Θεὸς ἔλεγεν· «Ἐπειδὴ δὲν ἐπιστεύσατε εἰς τὰ λόγια μου διὰ νὰ μὲ ἁγιάσητε ἐνώπιον τῶν υἱῶν τοῦ Ἰσραήλ, διὰ τοῦτο δὲν θὰ εἰσαγάγετε αὐτὴν τὴν συναγωγὴν εἰς τὴν γῆν ποὺ ὑπεσχέθην νὰ τῆς δώσω»[23]. Μολονότι βέβαια καὶ πρὶν ἀπὸ αὐτὸ τὸ γεγονὸς ἐπέδειξε κάποιαν παρακοὴν εἰς τὸν Θεὸν (καθ' ὅσον προέβαλεν ἀντίρρησιν εἰς τὸν Θεὸν πολλὰς φοράς, ὅπως ἐπὶ παραδείγματι ὅταν ἐστέλλετο εἰς τὴν Αἴγυπτον καὶ ἔπειτα εἰς τὴν ἔρημον ἔδειξε δυσπιστίαν εἰς τὰ λόγια τοῦ Θεοῦ, λέγων· «Ἑξακόσιαι χιλιάδες πεζοὶ εἶναι καὶ σὺ λέγεις νὰ τοὺς δώσω κρέας καὶ νὰ φάγουν ἐπὶ ἕνα μῆνα. Μήπως πρόκειται νὰ σφαγοῦν πρόβατα καὶ βόδια ἢ νὰ συγκεντρωθοῦν ὅλα τὰ ψάρια τῆς θαλάσσης, ὥστε ν' ἀρκέσουν δι' αὐτούς;»· καὶ ἐν συνεχείᾳ ἔδειξε καὶ πάλιν δυσπιστίαν καὶ παρῃτήθη ἀπὸ τὴν προστασίαν τοῦ λαοῦ), ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἠμπόρεσε νὰ τοῦ στερήσῃ τὰ ἔπαθλα ποὺ ἐφυλάσσοντο δι' αὐτόν, παρὰ μόνον τὸ συμβὰν μὲ τὸ νερό· διότι τὸ συμβὰν ἐκεῖνο ὡς πρὸς τὴν φύσιν του ἦτο μικρότερον ἀπὸ τὰς ἄλλας παρακοάς του, κατελογίσθη ὅμως πολὺ πιὸ μεγαλύτερον, διότι ἔγινεν αἰτία βλάβης εἰς τοὺς ἄλλους. Διότι ἐκεῖνα μὲν συνέβησαν κατ' ἰδίαν καὶ κρυφά, ἐνῷ αὐτὸ φανερὰ καὶ παρουσίᾳ ὁλοκλήρου τοῦ λαοῦ διεπράττετο τὸ ἁμάρτημα. Διὰ τοῦτο καὶ ὁ Θεὸς κατηγορῶν τὸν Μωϋσῆν, αὐτὸ ὑπηνίχθη μὲ τὰ λόγια του, «διότι δὲν μὲ ἡγιάσατε ἐνώπιον τῶν υἱῶν τοῦ Ἰσραήλ», ἀποκαλύπτων εἰς αὐτὸν τὴν φύσιν τῆς ἁμαρτίας καὶ καθιστῶν φανερὸν διὰ ποῖον λόγον δὲν ἔτυχε συγχωρήσεως. Ἐὰν δὲ ἕνα τόσον σπουδαῖον ἄνδρα αὐ-

τοὺς σκώληκας καὶ μηδαμινοὺς πῶς οὐ καταδύσει τοῦτο καὶ ἀπολεῖ;

Οὐδὲν γὰρ οὕτω παροξύνει τὸν Θεόν, ὡς ὅταν τὸ ὄνομα αὐτοῦ βλασφημῆται. Καὶ τοῖς Ἰουδαίοις δὲ τοῦτο ἄνω καὶ κάτω διετέλεσεν ἐγκαλῶν, «Ὅτι τὸ ὄνομά μου βεβηλοῦται»· καὶ πάλιν, «Ὑμεῖς βεβηλοῦτε αὐτό»· καὶ «Δι᾽ ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι»· καὶ τοσαύτη αὐτῷ τοῦ μὴ συμβαίνειν τοῦτο γέγονε πρόνοια, ὡς καὶ ἀναξίους σῶσαι πολλάκις, ἵνα μὴ τοῦτο γένηται. «Ἐποίησα» γάρ, φησίν, «ἵνα μὴ τὸ ὄνομά μου βεβηλωθῇ»· καί, «Οὐ δι᾽ ὑμᾶς ἐγὼ ποιῶ, οἶκος τοῦ Ἰσραήλ, ἀλλ᾽ ἵνα μὴ τὸ ὄνομά μου βεβηλωθῇ». Καὶ ὁ Παῦλος δὲ ἀνάθεμα εἶναι ηὔξατο ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης· καὶ αὐτὸς ὁ Μωϋσῆς ἐξαλειφθῆναι τῆς βίβλου παρεκάλεσεν ὑπὲρ τῆς δόξης τοῦ ὀνόματος τοῦ Θεοῦ· ὑμεῖς δὲ οὐ μόνον οὐδὲν αἱρεῖσθε παθεῖν, ὥστε ταύτην ἀποκρούσασθαι τὴν βλασφημίαν, ἀλλὰ πάντα πράττετε, δι᾽ ὧν αὔξετε αὐτὴν καὶ ἐπιτείνετε καθ᾽ ἑκάστην ἡμέραν. Τίς οὖν ὑμᾶς παραιτήσεται, τίς δὲ συγγνώσεται; Οὐκ ἔστιν οὐδείς. Τοσαύτην δὲ πρόνοιαν καὶ ὁ Θεὸς ποιεῖται καὶ οἱ ἅγιοι τοῦ μὴ βλασφημεῖσθαι τὸ ὄνομα αὐτοῦ (οὐχ ὡς τοῦ Θεοῦ δεομένου τῆς δόξης τῆς παρ᾽ ἡμῶν· ἀνενδεὴς γάρ ἐστι καὶ τέλειος), ἀλλ᾽ ὡς πολλῆς ἀπὸ τοῦ πράγματος τοῖς ἀνθρώποις γενομένης τῆς βλάβης. Ὅταν γὰρ πρὸς αὐτοὺς διαβληθῇ τὸ τοῦ Θεοῦ ὄνομα καὶ ἡ δόξα, οὐδὲν αὐτοὺς ὠφελεῖ λοιπόν· εἰ δὲ ὁ Θεὸς διαβαλλόμενος οὐδὲν ὠφελεῖ πολλῷ μᾶλλον ἡμεῖς.

Πάντα οὖν πράττωμεν, ὥστε μηδεμίαν γενέσθαι πρόφασιν σκανδάλου· ἀλλὰ εἰ καὶ ἀδίκως ἐγκαλῶσι, πείθωμεν καὶ

---

24. Ἠσ. 48, 11.
25. Μαλ. 1, 12.
26. Ἠσ. 52, 5.
27. Ἰεζ. 20, 9.
28. Αὐτόθι 36, 22.

τὸ τὸ γεγονὸς ἔγινεν αἰτία προσκόμματος, πῶς αὐτὸ δὲν θὰ καταποντίσῃ καὶ δὲν θὰ καταστρέψῃ ἡμᾶς τὰ σκουλήκια καὶ τοὺς τιποτένιους;

Πράγματι τίποτε δὲν παροργίζει τόσον τὸν Θεόν, ὅσον ὅταν βλασφημῆται τὸ ὄνομα αὐτοῦ. Καὶ τοὺς Ἰουδαίους δὲ δι' αὐτὸ τοὺς κατηγόρει συνεχῶς εἰς κάθε περίπτωσιν, «Διότι βεβηλώνεται τὸ ὄνομά μου»[24]· καὶ ἀλλοῦ πάλιν· «Ἐσεῖς βεβηλώνετε τὸ ὄνομά μου»[25]· καί· «Ἐξ αἰτίας σας τὸ ὄνομά μου βλασφημεῖται ἀπὸ τὰ ἔθνη»[26], καὶ τόσην πρόνοιαν ἐπέδειξε διὰ νὰ μὴ συμβῇ αὐτό, ὥστε πολλὰς φορὰς καὶ νὰ σώσῃ ἀναξίους. Διότι λέγει· «Τὸ ἔκανα αὐτὸ διὰ νὰ μὴ βεβηλωθῇ τὸ ὄνομά μου»[27]· καί· «Δὲν τὸ κάνω αὐτό, οἶκε τοῦ Ἰσραήλ, διὰ σᾶς, ἀλλὰ διὰ νὰ μὴ βεβηλωθῇ τὸ ὄνομά μου»[28]. Καὶ ὁ Παῦλος ηὐχήθη νὰ γίνῃ ἀνάθεμα χάριν τῆς δόξης τοῦ Θεοῦ. Καὶ ὁ ἴδιος ὁ Μωϋσῆς παρεκάλεσε τὸν Θεὸν νὰ τὸν διαγράψῃ ἀπὸ τὴν βίβλον πρὸς δόξαν τοῦ ὀνόματος τοῦ Θεοῦ. Ἀλλὰ σεῖς ὄχι μόνον δὲν προτιμᾶτε νὰ πάθετε κάτι, ὥστε ν' ἀποφευχθῇ αὐτὴ ἡ βλασφημία τοῦ ὀνόματός του, ἀλλὰ κάνετε ὅλα ἐκεῖνα, διὰ τῶν ὁποίων αὐξάνετε τὴν βλασφημίαν καὶ τὴν ἐπεκτείνετε καθημερινῶς. Ποῖος λοιπὸν θὰ παρακαλέσῃ τὸν Θεὸν διὰ σᾶς, ποῖος θὰ σᾶς συγχωρήσῃ; Δὲν ὑπάρχει κανείς. Τόσην πολλὴν πρόνοιαν καὶ ὁ Θεὸς ἐπιδεικνύει καὶ οἱ ἅγιοι ὥστε νὰ μὴ βλασφημῆται τὸ ὄνομά του (ὄχι βέβαια, ἐπειδὴ ὁ Θεὸς ἔχει ἀνάγκην ἀπὸ τὴν ἐκ μέρους μας δόξαν, διότι δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε καὶ εἶναι τέλειος), ἀλλ' ἐπειδὴ εἶναι πολὺ μεγάλη ἡ βλάβη, ποὺ προκύπτει ἀπὸ αὐτὸ τὸ πρᾶγμα, διὰ τοὺς ἀνθρώπους. Διότι, ὅταν δυσφημησθῇ ἀπὸ τοὺς ἀνθρώπους τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ δόξα του, εἰς τίποτε πλέον δὲν τοὺς ὠφελεῖ· ἐὰν δὲ ὁ Θεὸς δὲν ὠφελῇ εἰς τίποτε ὅταν δυσφημῆται, πολὺ περισσότερον ἡμεῖς.

Ἂς κάμνωμεν λοιπὸν τὸ πᾶν, ὥστε νὰ μὴ δίδωμεν καμμίαν ἀφορμὴν σκανδάλου, ἀλλά, καὶ ἂν ἀκόμη μᾶς κατηγοροῦν ἄδικα, νὰ προσπαθοῦμεν νὰ τοὺς πείθωμεν

διαλύωμεν τὰ ἐγκλήματα καὶ μιμώμεθα τοὺς ἁγίους, οἳ τοσαύτην ἐποιοῦντο σπουδὴν τῆς τοῦ Θεοῦ δόξης, ὥστε καταφρονεῖν καὶ τῆς ἑαυτῶν διὰ τὴν τοῦ Θεοῦ. Μὴ δὴ πάντα ῥίψαντες ἁπλῶς καὶ καταπατήσαντες ἀρκεῖν ἡγησώμεθα πρὸς ἀπολογίαν ἡμῖν, ἐὰν εἴπωμεν, ὅτι ἱμάτιον ἐπριάμεθα τῇ παρθένῳ καὶ ὑποδήματα, καὶ τὰ ἄλλα τὰ κατὰ τὴν σωματικὴν ἀνάπαυσιν εὖ διεθήκαμεν.

Καὶ τίς οἰκονομήσει, φησί, τὰ κατὰ τὴν οἰκίαν ἡμῖν; τίς δὲ ἐπόψεται τὰ ὄντα, τίς δὲ προστήσεται ἡμῶν ἔξω διατριβόντων καὶ γυναικὸς ἔνδον οὐκ οὔσης; Καὶ γὰρ καὶ ταῦτα λέγουσιν ἐναντία τε ὄντα τοῖς προτέροις καὶ αἰσχρότερα, καὶ οὐδενὸς αὐτοῖς μέλει τούτων, οὐδὲ αἰσχύνονται καθάπερ οἱ μεθύοντες τὸ ἐπελθὸν ἅπαν φθεγγόμενοι. Διὸ μηδὲ ἡμεῖς ἀποκάμωμεν, κἂν τοιαῦτα ᾖ τὰ λεγόμενα, ὡς μηδὲ ἀποκρίσεως ἀξιοῦσθαί τινος· μὴ ἀποκάμωμεν οὖν καὶ ἀποκρινόμενον καὶ πράως αὐτοῖς διαλεγόμενοι ἕως ἂν τῆς μέθης ἀπαλλάξωμεν ταύτης, τό γε εἰς ἡμᾶς ἧκον. Αἰσχύνομαι γὰρ καὶ ἐρυθριῶ ταῦτα ἐπιχειρῶν ἀνατρέπειν, ἃ ἀντιλέγειν οὐκ ἐρυθριῶσιν ἐκεῖνοι· οἰστέον δὲ ὅμως τὴν αἰσχύνην διὰ τὸ λυσιτελοῦν τοῖς οὐκ αἰσχυνομένοις. Καὶ γὰρ ἄτοπον ἐγκαλοῦντας αὐτοῖς τὴν τῶν σκανδαλιζομένων ἀδελφῶν ὑπεροψίαν αὐτοὺς δι' αἰσχύνην τὴν τούτων ὑπερορᾶν θεραπείαν.

Τίνα γὰρ λέγουσι τὰ ἔνδον, εἰπέ μοι, ὧν εἰς τὴν προστασίαν τῆς παρθένου τὴν χρείαν ἀναγκαίαν εἶναι νομίζουσι; παιδισκῶν σοι πλήθη βαρβάρων ἐστὶ καὶ νεωνήτων, καὶ δεῖ

καὶ νὰ ἐξαλείφωμεν τὰς κατηγορίας καὶ νὰ μιμούμεθα τοὺς ἁγίους, ποὺ τόσην φροντίδα ἔδειχναν ὑπὲρ τῆς δόξης τοῦ ὀνόματος τοῦ Θεοῦ, ὥστε νὰ περιφρονοῦν καὶ τὴν ἰδικήν των, χάριν τῆς δόξης τοῦ Θεοῦ. Ἂς μὴ νομίσωμεν λοιπόν, τὴν στιγμὴν ποὺ τὰ ἐρρίψαμεν ὅλα κάτω καὶ τὰ κατεπατήσαμεν, ὅτι ἀρκεῖ πρὸς ἀπολογίαν μας, ἐὰν εἰποῦμεν, ὅτι ἠγοράσαμεν ἐνδύματα καὶ ὑποδήματα διὰ τὴν παρθένον καὶ ὅτι ἐρρυθμίσαμεν καλῶς ὅλα τὰ ἄλλα τὰ σχετικὰ μὲ τὴν σωματικήν της ἄνεσιν.

Καὶ ποῖος, θὰ εἰπῇ κάποιος, θὰ φροντίσῃ διὰ τὰ τῆς οἰκίας μας; ποῖος θὰ ἐπιβλέψῃ τὴν περιουσίαν μας, ποῖος θὰ τὴν προστατεύσῃ τὴν στιγμὴν ποὺ ἡμεῖς ἀσχολούμεθα μὲ τὰ ἐκτὸς τῆς οἰκίας θέματα καὶ δὲν ὑπάρχει μέσα εἰς τὴν οἰκίαν γυναῖκα; Καθ' ὅσον καὶ αὐτὰ τὰ λέγουν, ποὺ εἶναι καὶ ἀντίθετα ἀπὸ τὰ προηγούμενα καὶ αἰσχρότερα καὶ δὲν τοὺς ἐνδιαφέρει διὰ τίποτε ἀπὸ αὐτά, οὔτε ἐντρέπονται, λέγοντες, ὅπως ἀκριβῶς οἱ μεθυσμένοι, ὅ,τι ἔλθῃ εἰς τὸ στόμα των. Διὰ τοῦτο οὔτε ἡμεῖς θ' ἀποκάμωμεν, ἔστω καὶ ἂν ἀκόμη εἶναι τέτοια τὰ ὅσα λέγουν, ὥστε νὰ μὴ εἶναι ἄξια οὔτε καὶ δι' ἀπάντησιν. Ἂς μὴ ἀποκάμωμεν λοιπὸν καὶ νὰ δίδωμεν ἀπάντησιν καὶ νὰ συζητῶμεν μαζί των μὲ ἠρεμίαν, μέχρις ὅτου τοὺς ἀπαλλάξωμεν ἀπὸ τὴν μέθην αὐτήν, ὅσον φυσικὰ ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Διότι ἐντρέπομαι καὶ κατακοκκινίζω ἀπὸ ἐντροπὴν ἐπιχειρῶν νὰ ἀνατρέπω αὐτά, ποὺ ἐκεῖνοι δὲν κοκκινίζουν ἀπὸ ἐντροπὴν ὅταν ὑποστηρίζουν τὰ ἀντίθετα ἀπὸ αὐτὰ ποὺ λέγω· ἀλλὰ πρέπει νὰ ὑποφέρωμεν τὴν ἐντροπὴν διὰ τὴν ὠφέλειαν ἐκείνων ποὺ δὲν ἐντρέπονται. Καθ' ὅσον εἶναι παράλογον τὸ νὰ κατηγοροῦμεν αὐτοὺς ποὺ ἀδιαφοροῦν διὰ τοὺς ἀδελφούς των ποὺ σκανδαλίζονται ἐξ αἰτίας των, οἱ ἴδιοι δέ, ἐξ αἰτίας τῆς ἐντροπῆς, νὰ δείχνωμεν ἀδιαφορίαν διὰ τὴν θεραπείαν των.

Εἰπέ μου λοιπόν· ποῖαι εἶναι αὐταὶ αἱ οἰκιακαὶ ὑποθέσεις τὴν προστασίαν τῶν ὁποίων θεωροῦν ἀναγκαῖον νὰ ἀναθέσουν εἰς τὴν παρθένον; μήπως ὑπάρχουν εἰς τὴν οἰκίαν σου πλήθη βαρβάρων ὑπηρετριῶν καὶ νεοαγορασμέ-

ταύτας ῥυθμίζεσθαι καὶ πρὸς ἐριουργίαν καὶ πρὸς τὴν ἄλλην διακονίαν; Ἀλλὰ ταμεῖα χρημάτων πολλῶν καὶ ἱματίων πολυτελῶν, καὶ δεῖ φύλακα ἔνδον καθῆσθαι διαπαντὸς καὶ τῇ τῶν οἰκετῶν κακουργίᾳ τοὺς ὀφθαλμοὺς ἐπιτειχίζεσθαι τῆς παρθένου; ἀλλὰ δεῖπνα καὶ συμπόσια συνεχῶς ἐπιτελεῖσθαι, καὶ χρὴ τὴν οἰκίαν καλλωπίζεσθαι, καὶ μαγείρους καὶ τραπεζοποιοὺς τῆς προνοίας ἀπολαύειν τῆς παρθένου; ἀλλὰ πολύτροποι δαπάναι καὶ συνεχεῖς καὶ δεῖ τινα ἐφεστάναι διαπαντός, ὅπως τὰ μὲν φυλάττοιτο μετὰ ἀκριβείας, τὰ δὲ μὴ μάτην ἐκρέῃ τῆς οἰκίας; Οὐδὲν τούτων φησίν, ἀλλὰ ὅπως αὐτῇ τὸ κιβώτιον καὶ τὸ ἱμάτιον καὶ τὴν ἄλλην ἐπιβλέπῃ πενίαν, ὅπως εὐτρεπίζοι τὴν τράπεζαν καὶ τὴν εὐνὴν στρωννύοι καὶ πῦρ ἀνακαίῃ καὶ περιπλύνῃ πόδας καὶ τὴν ἄλλην ἀνάπαυσιν παρέχῃ πᾶσαν. Εἶτα ἀντὶ τῆς μικρᾶς καὶ ψυχρᾶς ἀναπαύσεως ταύτης τοσαύτην οἴσομεν κατηγορίαν, τοσαῦτα ὑποστησόμεθα ὀνείδη; Καὶ πόσῳ βέλτιον ἀδελφὸς ταῦτα διακονήσεται καὶ εὐκολώτερον; τῇ τε γὰρ φύσει ἰσχυρότερος γυναικὸς ὁ ἀνήρ, τῇ τε χρείᾳ οἰκειότερος ἡμῖν, καὶ οὐχ οὕτω δαπανηρός. Ἡ μὲν γὰρ γυνή, ἅτε ἁπαλωτέρα οὖσα, καὶ στρωμνῆς μαλακωτέρας δεῖται, καὶ λεπτοτέρας ἐσθῆτος, καὶ κόρης ἴσως πάλιν διακονησομένης αὐτῇ, καὶ οὐ τοσαύτην ἡμῖν παρέχει διακονίαν, ὅσης αὐτὴ δεῖται παρ᾿ ἡμῶν, ὁ δὲ ἀδελφὸς καὶ πάντων τούτων ἀπήλλακται· εἰ δέ τινος καὶ δεηθείη, τῶν αὐτῶν ἡμῖν δεήσεται. Τοῦτο δὲ οὐ μικρὸν εἰς εὐκολίαν ἐστί, τὸ μὴ διαφόρων, ἀλλὰ τῶν αὐτῶν ἐν χρείᾳ καθεστάναι τοὺς συνοικοῦντας· ὅπερ ἐπὶ τῆς παρθένου οὐκ ἔνι.

Πρῶτον μὲν γὰρ ἄν τε λούσασθαι δέῃ, ἄν τε κάμνῃ τὸ σῶμα, οὔτε ὁ ἀδελφὸς αὐτῇ πρὸς ταῦτα διακονήσεται, κἂν

νων καὶ πρέπει ν' ἀσκοῦνται καὶ διὰ τὴν ἐριουργίαν καὶ διὰ τὰς ἄλλας ὑπηρεσίας; μήπως ἔχεις ταμεῖα πολλῶν χρημάτων καὶ πολυτελῶν ἐνδυμάτων καὶ πρέπει νὰ μένῃ μέσα εἰς τὴν οἰκίαν συνεχῶς φύλακας καὶ οἱ ὀφθαλμοὶ τῆς παρθένου νὰ προφυλάσσουν τὴν οἰκίαν ἀπὸ τὴν κακουργίαν τῶν ὑπηρετῶν; μήπως παραθέτεις συνεχῶς δεῖπνα καὶ συμπόσια καὶ πρέπει νὰ διακοσμῆται ἡ οἰκία καὶ οἱ μάγειροι καὶ οἱ τραπεζοποιοὶ νὰ εὑρίσκωνται ὑπὸ τὴν ἐπίβλεψιν τῆς παρθένου; ἢ μήπως ἔχεις πολλὰς καὶ διαφόρους καὶ συνεχεῖς δαπάνας καὶ πρέπει νὰ ὑπάρχῃ κάποιος ποὺ νὰ ἐπιβλέπῃ διαρκῶς, ὥστε ἄλλα μὲν νὰ φυλάσσωνται μὲ ἀκρίβειαν, ἄλλα δὲ νὰ μὴ διαρρέουν ἄσκοπα ἀπὸ τὴν οἰκίαν; Τίποτε ἀπὸ ὅλα αὐτά, λέγει, ἀλλὰ διὰ νὰ ἐπιβλέπῃ αὐτὴ τὸ κιβώτιον καὶ τὰ ἐνδύματα καὶ τὴν ἄλλην πενίαν, διὰ νὰ ἑτοιμάζῃ τὴν τράπεζαν, νὰ στρώνῃ τὸ κρεββάτι, νὰ ἀνάπτῃ τὴν φωτιάν, νὰ πλύνῃ τὰ πόδια καὶ νὰ παρέχῃ ὅλην τὴν ἄλλην ἄνεσιν. Καὶ λοιπόν, ἐξ αἰτίας αὐτῆς τῆς μικρᾶς καὶ ψυχρᾶς ἀνέσεως θὰ ὑποφέρωμεν τόσην κατηγορίαν, θὰ ὑποστῶμεν τόσους ὀνειδισμούς; Καὶ πόσον προτιμότερον δὲν εἶναι καὶ εὐκολώτερον νὰ κάνῃ αὐτὰς τὰς ὑπηρεσίας κάποιος ἀδελφός; καθ' ὅσον καὶ ὡς πρὸς τὴν φύσιν ὁ ἄνδρας εἶναι ἰσχυρότερος ἀπὸ τὴν γυναῖκα καὶ πιὸ κατάλληλος διὰ τὰς διαφόρους ὑπηρεσίας καὶ δὲν εἶναι τόσον πολὺ δαπανηρός. Διότι ἡ μὲν γυναῖκα, ὡσὰν πιὸ τρυφερὴ ποὺ εἶναι, ἔχει ἀνάγκην ἀπὸ πιὸ μαλακὸν στρῶμα καὶ ἀπὸ πιὸ λεπτὸν ἔνδυμα, καὶ ἀπὸ κόρην ἐνδεχομένως ποὺ θὰ τὴν ὑπηρετήσῃ, καὶ δὲν μᾶς παρέχει τόσην ὑπηρεσίαν, ὅσην αὐτὴ χρειάζεται ἀπὸ ἡμᾶς, ἐνῷ ὁ ἀδελφὸς εἶναι ἀπηλλαγμένος καὶ ἀπὸ ὅλα αὐτά· ἀλλὰ καὶ ἂν συμβῇ νὰ χρειασθῇ κάτι, θὰ χρειασθῇ ἀπὸ αὐτὰ ποὺ χρειαζόμεθα ἡμεῖς. Αὐτὸ δὲν εἶναι μικρὰ εὐκολία, τὸ νὰ μὴ ἔχουν ἀνάγκην, αὐτοὶ ποὺ συγκατοικοῦν, ἀπὸ διάφορα πράγματα, ἀλλὰ ἀπὸ τὰ ἴδια, πρᾶγμα ποὺ δὲν εἶναι δυνατὸν νὰ συμβῇ μὲ τὴν παρθένον.

Κατὰ πρῶτον λοιπὸν ἐὰν χρειασθῇ νὰ λουσθῇ ἢ ἂν ἀσθενήσῃ σωματικά, οὔτε ὁ ἀδελφὸς θὰ τὴν βοηθήσῃ εἰς

σφόδρα ἕληται ἀσχημονεῖν, οὔτε αὐτὴ ἑαυτῇ ἀρκέσαι δυνήσεται, ἂν δὲ ἀδελφοὶ οἱ συνοικοῦντες ὦσιν, ἀντιδώσουσιν ἀλλήλοις τὴν ὑπηρεσίαν ταύτην. Πάλιν ὅταν καθεύδειν δέῃ, παρθένου μὲν ἔνδον καθημένης, καὶ κλίνας εἶναι δύο χρή, καὶ στρώματα διπλᾶ καὶ ἐπιβλήματα, εἰ δὲ εὖ φρονῶσι, καὶ οἰκήματα, ἀδελφῶν δὲ ὄντων, πάλιν τὰ τῆς χρείας συστέλλεται, ἅτε οἰκειοτέρας οὔσης. Καὶ γὰρ οἶκος εἷς, καὶ προσκεφάλαιον ἕν, καὶ κλίνη μία, καὶ ἐπιβλήματα ἀμφοτέροις ἀρκέσει τὰ αὐτά· καὶ ἁπλῶς, εἴ τις ἅπασαν ἐπεξίοι τὴν διακονίαν, ἐνταῦθα μὲν πολλὴν τὴν εὐκολίαν εὑρήσει, ἐκεῖ δὲ τὴν δυσκολίαν. Καὶ παρίημι τὴν ἀσχημοσύνην τῆς οἰκίας· οἷον γάρ ἐστιν ἀνελθόντα εἰς ἀνδρὸς μονάζοντος οἰκίαν ὁρᾶν ὑποδήματα γυναικεῖα κρεμάμενα, καὶ διαζώματα, καὶ κεφαλόδεσμα, καὶ καλαθίσκους, καὶ ἠλακάτην, καὶ κερκίδα, καὶ κτένας, καὶ ἱστοπόδην, καὶ τὰ ἄλλα, ἅπερ οὐκ ἔνι κατὰ μέρος λέγειν ἅπαντα. Εἰ δὲ καὶ ἐπὶ τῆς εὐπόρου ταῦτα ἐξετάζεις, πλείων ὁ γέλως.

Πρῶτον μὲν γὰρ ἐν ἀγέλῃ, θεραπαινίδων τοσούτων μόνος στρέφεται μέσος, καθάπερ ἐπὶ τῆς ὀρχήστρας ἐν τῷ χορῷ τῶν γυναικῶν ὁ τοῖς ὑπορχουμένοις ὑπᾴδων χορευτής· οὗ τί γένοιτ' ἂν αἰσχρότερον καὶ ἀτιμότερον; Ἔπειτα διαρρήγνυται ὅλην τὴν ἡμέραν πρὸς οἰκέτας ἀγανακτῶν ὑπὲρ τῶν γυναικὶ προσηκόντων πραγμάτων. Ἢ γὰρ ἀνάγκη σιγᾶν, καὶ πάντων παραμελοῦντα παρ' ἐκείνης ἐπιτιμᾶσθαι, ἢ λέγοντα καὶ ἐπιπλήττοντα ἀσχημονεῖν· καὶ ὅρα τὸ συμβαῖνον. Ὁ γὰρ τῶν βιωτικῶν πραγμάτων μηδὲ ἐγγὺς γενέσθαι κελευσθείς, οὐχ ἁπλῶς βιωτικῶν, ἀλλὰ καὶ τῶν γυναικείων ἐνδοτέρω

ὅλα αὐτά, καὶ ἄν ἀκόμη διακατέχεται ἀπὸ τὴν σφοδρὰν ἐπιθυμίαν νὰ προβῇ εἰς ἀπρεπείας, οὔτε αὐτὴ ἡ ἰδία θὰ ἠμπορέσῃ νὰ βοηθήσῃ τὸν ἑαυτόν της, ἄν ὅμως εἶναι ἀδελφοὶ αὐτοὶ ποὺ συγκατοικοῦν, θὰ προσφέρῃ ὁ ἕνας εἰς τὸν ἄλλον τὴν ὑπηρεσίαν αὐτήν. Ἐπίσης ὅταν πρέπει νὰ κοιμηθοῦν καὶ διαμένει εἰς τὴν οἰκίαν παρθένος, πρέπει καὶ νὰ ὑπάρχουν δύο κρεββάτια καὶ στρώματα διπλᾶ καὶ κλινοσκεπάσματα, ἐὰν δὲν εἶναι συνετοὶ καὶ διπλαῖ κατοικίαι, ἐνῷ ὅταν εἶναι ἀδελφοί, πάλιν μειώνονται αἱ ἀνάγκαι ἐπειδὴ αὐταὶ εἶναι οἰκειότεραι. Καθ' ὅσον θὰ ἐπαρκέσῃ καὶ διὰ τοὺς δύο μία οἰκία, ἕνα προσκέφαλον, ἕνα κρεββάτι καὶ τὰ ἴδια κλινοσκεπάσματα, καὶ γενικά, ἐὰν κάποιος ἐξετάσῃ μὲ ἀκρίβειαν ὅλην τὴν ὑπηρεσίαν, εἰς αὐτὴν μὲν τὴν περίπτωσιν τῶν ἀδελφῶν θὰ εὕρῃ νὰ εἶναι πολὺ εὔκολον τὸ πρᾶγμα, εἰς τὴν ἄλλην ὅμως πολὺ δύσκολον. Καὶ ἀφήνω κατὰ μέρος τὴν ἀσχημοσύνην τῆς οἰκίας· διότι εἶναι ὡσὰν νὰ ἀνεβαίνῃ κάποιος εἰς τὴν οἰκίαν τοῦ μοναχοῦ καὶ συναντᾷ ἐκεῖ κρεμασμένα γυναικεῖα ὑποδήματα καὶ ζώνας καὶ κεφαλοδέσμους καὶ καλαθάκια καὶ ρόκαν καὶ σαΐταν διὰ τὸν ἀργαλειόν, καὶ κτένια καὶ ἀργαλειὸν καὶ ὅλα τὰ ἄλλα, ποὺ δὲν εἶναι δυνατὸν νὰ τὰ περιγράψῃ κανεὶς ἕνα - ἕνα. Ἐὰν δὲ τὰ ἐξετάσῃς αὐτὰ εἰς τὴν περίπτωσιν τῆς πλουσίας παρθένου, ὁ γέλως εἶναι μεγαλύτερος.

Κατὰ πρῶτον λοιπὸν μέσα εἰς ἕνα τόσον πλῆθος ὑπηρετριῶν αὐτὸς μόνος περιφέρεται, ὅπως ἀκριβῶς εἰς τὴν ὀρχήστραν ὁ χορευτὴς πού, κατὰ τὸν χορὸν τῶν γυναικῶν, ρυθμίζει τὸν χορόν, πρᾶγμα ἀπὸ τὸ ὁποῖον τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ αἰσχρότερον καὶ ἀτιμότερον; Ἔπειτα ἐξεγείρεται ὅλην τὴν ἡμέραν ἐναντίον τῶν ὑπηρετῶν γεμᾶτος ἀγανάκτησιν διὰ πράγματα ποὺ ἁρμόζουν εἰς γυναῖκας. Διότι ἢ πρέπει νὰ σιωπᾷ καί, ἀδιαφορῶν δι' ὅλα, νὰ ἐπιτιμᾶται ἀπὸ ἐκείνην, ἢ νὰ προβάλλῃ ἀντιρρήσεις καὶ νὰ ἐπιπλήσσῃ κατὰ τρόπον μικροπρεπῆ. Καὶ πρόσεχε τί συμβαίνει. Αὐτὸς δηλαδὴ ποὺ ἔλαβεν ἐντολὴν οὔτε κἂν νὰ πλησιάζῃ τὰ βιωτικὰ πράγματα, ὄχι ἁπλῶς βιωτικὰ πλησιάζει, ἀλλ' ἀσχολεῖται καὶ μὲ πράγματα ποὺ εἶναι ἀποκλει-

γίνεται· καὶ γὰρ καὶ σκεύη γυναικεῖα ἐκδοῦναι οὐ παραιτήσονται, ἀλλ' ἐπιστήσονται τοῖς ἀργυροκόποις συνεχῶς ἐρωτῶντες, εἰ τὸ κάτοπτρον κατεσκεύασται τῆς κυρίας, εἰ τὸν κάδον ἀπήρτισαν, εἰ τὸ ληκύθιον ἀπέδωκαν· καὶ γὰρ εἰς τοῦτο πάντα ἧκε διαφθορᾶς, ὡς τῶν βιωτικωτέρων μᾶλλον τὰς πολλὰς τῶν παρθένων τούτοις κεχρῆσθαι τοῖς σκεύεσιν. Ἐκεῖθεν πάλιν πρὸς τὸν μυρεψὸν ἔδραμεν ὑπὲρ τῶν τῆς κυρίας διαλεξόμενος ἀρωμάτων· πολλάκις δὲ ὑπὲρ πλείονος σπουδῆς καὶ ὑβρίσαι τὸν πένητα οὐ παραιτήσεται. Καὶ γὰρ καὶ μύροις χρῶνται αἱ παρθένοι ποικίλοις τε καὶ πολυτελέσιν. Εἶτα ἀπὸ τοῦ μυρεψοῦ πρὸς τὸν τὰς ὀθόνας πωλοῦντα καὶ ἀπ' ἐκείνου πάλιν πρὸς τὸν σκηνοποιόν. Οὐδὲ γὰρ τὰ μικρὰ ταῦτα αἰσχύνονται ἐπιτάττειν, ἐπειδὴ σφόδρα ὁρῶσιν αὐτοὺς ὑπακούοντας καὶ χάριν ἔχοντας ἐπιταττούσαις ταύταις, ἢ ἑτέροις διακονουμένοις. Ἐντεῦθεν πάλιν, ὅταν ἐπισκευάσαι τι δέῃ τῆς περιφορητῆς ἐκείνης σκηνῆς, καὶ μέχρις ἑσπέρας αὐτῆς ἄσιτοι διατελοῦσι, τοῖς ἐργαστηρίοις προσηλωμένοι. Καὶ οὐ τοῦτό πως θαυμαστόν, ἀλλ' ὅτι καὶ τοῖς ταλαιπώροις οἰκέταις εἰσὶν ἐπαχθεῖς, καὶ πολλὴ κατ' αὐτῶν ὕβρις καὶ ἀγανάκτησις καὶ κραυγή.

Ἐννόησον δὲ ὅσαι ἐκ τούτων αἱ κατηγορίαι· οἰκέτης γὰρ ὑβρισθείς, καὶ μάλιστα ὑπὲρ τοιούτων πραγμάτων, ἐπειδὴ μηδενὶ τρόπῳ τὸν ὑβρικότα ἀμύνασθαι ἔχει, διὰ τῆς γλώττης τοῦτο ποιεῖ καὶ τῆς λαθραίας κακηγορίας, οὐδενὸς φειδόμενος τῶν ἐμπλῆσαι δυναμένων αὐτῷ τὸν θυμόν, ἀλλὰ μετὰ τοσαύτης ὑπερβολῆς τῇ ἀμύνῃ κέχρηται ταύτῃ, μεθ' ὅσης εἰκὸς οἰκέτην ὄντα, καὶ τοιαῦτα ὑβρισμένον, καὶ ταύτην ἔχοντα μόνον παραμυθίαν τῶν οἰκείων κακῶν κατὰ τοῦ λελυπηκότος. Ὁ δὲ τῇ πενιχρᾷ συζῶν ἀργυροκόποις μὲν οὐ διαλέξεται (οὐ γὰρ ἀφίησιν ἡ πενία), οὐδὲ προσεδρεύει μυροπώ-

στικὰ καὶ μόνον γυναικεῖα. Διότι δὲν θὰ διστάσουν νὰ τοῦ παραγγείλουν καὶ σκεύη γυναικεῖα νὰ φέρῃ καὶ θὰ μεταβοῦν εἰς τὸν ἀργυροκόπον πολλὰς φορὰς ἐρωτῶντές τον, ἐὰν ὁ καθρέπτης τῆς κυρίας εἶναι ἕτοιμος, ἐὰν κατεσκεύασαν τὸν κουβᾶν, ἐὰν ἐπέστρεψαν τὸ μυροδοχεῖον· καθ' ὅσον εἰς αὐτὸ τὸ σημεῖον διαφθορᾶς ἔφθασε τὸ πρᾶγμα, ὥστε πολλαὶ παρθένοι νὰ χρησιμοποιοῦν αὐτὰ τὰ σκεύη περισσότερον καὶ ἀπὸ τὰ πιὸ βιωτικὰ πράγματα. Ἀπὸ τὸν ἀργυροκόπον πάλιν ἔρχεται εἰς τὸν ἀρωματοπώλην διὰ νὰ τὸν ἐρωτήσῃ διὰ τὰ ἀρώματα τῆς κυρίας του καὶ πολλὰς φορὰς ἀπὸ ὑπερβολικὸν ἐνδιαφέρον δὲν θὰ διστάσῃ καὶ νὰ περιφρονήσῃ τὸν πτωχόν. Καθ' ὅσον αἱ παρθένοι καὶ ἀρώματα χρησιμοποιοῦν καὶ πολυτελῆ. Ἐν συνεχείᾳ ἔρχεται ἀπὸ τὸν ἀρωματοπώλην πρὸς αὐτὸν ποὺ πωλεῖ τὰ σενδόνια καὶ ἀπὸ αὐτὸν πάλιν πρὸς τὸν σκηνοποιόν. Διότι οὔτε καὶ δι' αὐτὰ τὰ ἀσήμαντα ἐντρέπονται νὰ δίδουν διαταγάς, ἐπειδὴ τοὺς βλέπουν νὰ ὑπακούουν μὲ πάρα πολὺ προθυμίαν καὶ νὰ εὐχαριστοῦνται νὰ λαμβάνουν διαταγὰς ἀπὸ αὐτὰς παρὰ ἀπὸ ἄλλους ποὺ ὑπηρετοῦν. Καὶ ἀπὸ ἐκεῖ πάλιν, ὅταν χρειάζεται κάποια ἐπισκευὴ ἡ φορητὴ ἐκείνη σκηνή, μένουν νηστικοὶ καὶ μέχρις ἑσπέρας, καθὼς εἶναι προσηλωμένοι εἰς τὰ ἐργαστήρια.

Σκέψου λοιπὸν πόσαι κατηγορίαι προέρχονται ἀπὸ ὅλα αὐτά· διότι ὑπηρέτης ποὺ ὑβρίσθη, καὶ μάλιστα διὰ τέτοια πράγματα, ἐπειδὴ δὲν ἠμπορεῖ μὲ ἄλλον τρόπον νὰ ἀμυνθῇ πρὸς τὸν ὑβριστήν του, τὸ κάνει αὐτὸ μὲ τὴν γλῶσσαν του καὶ μὲ τὴν κρυφὴν κατηγορίαν, καὶ τίποτε δὲν διστάζει νὰ εἰπῇ ἀπὸ ἐκεῖνα ποὺ ἠμποροῦν νὰ ἱκανοποιήσουν τὸν θυμόν του, ἀλλὰ εἰς τόσον μεγάλον βαθμὸν χρησιμοποιεῖ αὐτὸν τὸν τρόπον τῆς ἀμύνης, μὲ ὅσον εἶναι φυσικόν, ἀφοῦ εἶναι ὑπηρέτης καὶ ἔχει ὑβρισθῆ τόσον πολύ, καὶ ἔχει αὐτὴν μόνον τὴν ἄμυναν ὡς παρηγορίαν ἐναντίον τοῦ ὑβριστοῦ του διὰ τὰ ἴδικά του κακά. Αὐτὸς ὅμως ποὺ ζῇ μὲ πτωχὴν παρθένον δὲν θὰ ἔλθῃ μὲν εἰς συνομιλίαν μὲ τοὺς ἀργυροκόπους (διότι δὲν τὸ ἐπιτρέπει ἡ πτώχεια), οὔτε θὰ μείνῃ ἐπὶ πολὺν χρόνον εἰς τοὺς ἀρωματοπώλας,

λοις ὑποδηματορράφοις δὲ καὶ ὑφάνταις καὶ ποικιλταῖς καὶ βαφεῦσιν ἐνοχλήσει πολλάκις. Καὶ τί δεῖ πᾶσαν καταλέγειν τὴν ἀσχημοσύνην, οἷον ὅταν εἰς οἰκήματα εἰσιῶσι στήμονα καὶ κρόκην πωλοῦντες, ὅταν εἰς τὴν ἀγορὰν περιίωσιν αὐτὰ ταῦτα πάλιν ζητοῦντες; Καὶ ταῦτα μὲν ἐν ταῖς οἰκίαις· ἐν δὲ ταῖς ἀγοραῖς καὶ τούτων πολὺ καταγελαστότερα ὑπομένουσιν.

Ἐπὶ δὲ τῆς ἐκκλησίας οὐδὲ εἰπεῖν ἐστι τὴν αἰσχύνην. Ὥσπερ γὰρ δέον μηδένα τόπον ἀγνοεῖν αὐτῶν τὴν ὕβριν καὶ τὴν ἀνελεύθερον ταύτην δουλείαν, οὕτω καὶ ἐν τῷ ἁγίῳ τῷδε καὶ φρικωδεστάτῳ χωρίῳ πᾶσαν αὐτῶν τὴν ἀκρασίαν ἀνακηρύττουσι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ καλλωπίζονται ἐφ᾽ οἷς ἐπαισχύνεσθαι ἔδει. Ἀπό τε γὰρ τῶν θυρῶν αὐτὰς ἔξωθεν δεχόμενοι, καὶ ἀντὶ τῶν εὐνούχων γινόμενοι σοβοῦσι, καὶ προηγούμενοι μέγα φρονοῦσιν, ὁρώντων ἁπάντων, καὶ οὐ καταδύονται, ἀλλὰ καὶ ἐπαγάλλονται· καὶ ἐν αὐτῷ δὲ τῷ τῶν φρικωδεστάτων μυστηρίων καιρῷ πολλὰ πρὸς τὴν ἐκείνων ἀρεσκείαν διακονοῦνται, πολλοῖς τῶν ὁρώντων λαβὰς παρέχοντες. Αἱ δὲ ἄθλιαι καὶ ταλαίπωροι, δέον ἀπείργειν αὐτοὺς τῆς τοιαύτης χάριτος, καὶ ἐναβρύνονται καὶ μέγα φρονοῦσι. Καίτοι τίς ἂν ταύταις ἢ ἐκείνοις εἴ γε ἤμελλέ τινα ἀρὰν ἐπαρᾶσθαι, ταύτης ἂν εὗρε χαλεπωτέραν, ἢ ὥστε μυρίους μάρτυρας ἔχειν τῆς ἀκολασίας αὐτῶν, καὶ ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς ἀσχημονεῖν; Τί δεῖ λέγειν ὅσα ἐν αὐταῖς ταῖς ἐκκλησίαις ἀνατρέπεται διὰ τὴν τούτων χάριν, ὅσα τῶν τοῦ Θεοῦ πραγμάτων ἀμελεῖται παρὰ πολλῶν, ὥστε μὴ παροξυνθῆναι ταύτας; Καὶ τί λέγω, μὴ παροξυνθῆναι; μόνον

ὅμως θὰ ἐνοχλήσῃ πολλὰς φορὰς τοὺς ὑποδηματοποιούς, τοὺς ὑφαντάς, τοὺς κεντητὰς καὶ τοὺς βαφεῖς. Καὶ διατί πρέπει ν' ἀναφέρω ὅλην τὴν ἀσχημοσύνην, ὅπως, ἐπὶ παραδείγματι, ὅταν εἰσέρχωνται εἰς τὰς οἰκίας καὶ πωλοῦν νήματα καὶ ὑφάδια, ὅταν περιφέρωνται εἰς τὴν ἀγορὰν καὶ ζητοῦν νὰ εὕρουν καὶ πάλιν αὐτὰ τὰ ἴδια; Καὶ αὐτὰ μὲν τὰ ὑποφέρουν εἰς τὰς οἰκίας, εἰς δὲ τὰς ἀγορὰς ὑπομένουν καὶ ἄλλα πολὺ περισσότερον γελοιότερα ἀπὸ αὐτά.

Τὴν ἐντροπὴν ὅμως εἰς τὴν Ἐκκλησίαν δὲν εἶναι δυνατὸν νὰ τὴν ἀναφέρῃ κανείς. Διότι ὡσὰν νὰ εἶναι ἀνάγκη κανεὶς τόπος νὰ μὴ ἀγνοῇ τὸν ἐξευτελισμόν των αὐτὸν καὶ τὴν μικροπρεπῆ αὐτὴν δουλείαν, ἔτσι λοιπὸν καὶ μέσα εἰς τὸν ἅγιον αὐτὸν καὶ τὸν πιὸ φρικιαστικὸν χῶρον διαλαλοῦν ὅλην τὴν χυδαιότητά των· καὶ τὸ πιὸ φοβερὸν βέβαια εἶναι, ὅτι καὶ καυχῶνται διὰ πράγματα ποὺ θὰ ἔπρεπε νὰ ἐντρέπωνται. Διότι τὰς ὑποδέχονται εἰς τὴν ἐξώθυραν τῆς ἐκκλησίας καὶ λαμβάνοντες τὴν θέσιν τῶν εὐνούχων τὰς ὁδηγοῦν μὲ κουνήματα τοῦ σώματός των καὶ μεγαλοφρονοῦν βαδίζοντες ἔμπροσθεν αὐτῶν ποὺ τοὺς βλέπουν ὅλοι, καὶ δὲν νοιώθουν καμμίαν ἐντροπήν, ἀλλ' ἀντιθέτως καὶ νοιώθουν μεγάλην εὐχαρίστησιν καὶ χαράν· καὶ κατὰ τὴν ὥραν δὲ τῶν πιὸ φρικιαστικῶν μυστηρίων, παρέχουν πρὸς αὐτὰς πολλὰς ὑπηρεσίας πρὸς ἀρέσκειάν των, δίδοντες πολλὰς ἀφορμὰς σκανδάλου εἰς αὐτοὺς ποὺ τοὺς βλέπουν. Αἱ ἄθλιαι πάλιν αὐταὶ καὶ ταλαίπωροι παρθένοι, ἐνῷ ἔπρεπε νὰ μὴ δέχωνται αὐτὴν τὴν φιλοφροσύνην, αὐταὶ καυχῶνται καὶ μεγαλοφρονοῦν. Ἂν καὶ βέβαια ποῖος, ἐὰν ἔπρεπε νὰ καταρασθῇ αὐτὰς ἢ ἐκείνας, θὰ εὕρισκεν ἄλλην φοβερωτέραν ἀπὸ αὐτήν, παρὰ τὸ νὰ ἔχουν ἀπείρους μάρτυρας τῆς ἀκολασίας των καὶ νὰ ἀσχημονοῦν παρουσίᾳ ὅλων; Τί δὲ νὰ εἴπῃ κανεὶς δι' ὅλα ἐκεῖνα ποὺ ἀνατρέπονται μέσα εἰς τὴν ἐκκλησίαν ἐξ αἰτίας αὐτῶν τῶν φιλοφρονήσεών καὶ δι' ὅσα πράγματα τοῦ Θεοῦ παραμελοῦνται ἀπὸ πολλούς, ὥστε νὰ μὴ παρογίσουν αὐτάς; Καὶ διατί λέγω διὰ νὰ μὴ τὰς παροργίσουν; καὶ μόνον ἐὰν κάποιος ἀπὸ αὐτοὺς διαπιστώσῃ κάτι τὸ σκυθρωπὸν εἰς

εἴ τις αὐτῶν σκυθρωπὸν εἰς αὐτὰς ἴδῃ καὶ ἀηδές, πάντα αἱροῦνται ὑπομένειν, ἢ τοῦτο παθοῦσαν ἐκείνην περιιδεῖν.

Ἀλλὰ μέχρι τίνος καὶ ἡμεῖς ἀσχημονοῦμεν τὰ ἐκείνων διηγούμενοι πάντα; Οὐ γὰρ δὴ τοῦτο προειλόμεθα, ἐπεὶ πολλῶν ἂν καὶ μακρῶν ἡμῖν ἐδέησε λόγων πάντα διεξιοῦσι· μᾶλλον δὲ πάντα μὲν οὐδὲ βουλομένοις δυνατὸν εἰπεῖν, ὀλίγα δὲ ἐκ πολλῶν συνθέντας, καὶ οὕτως ἱκανὸν ἦν ἐργάσασθαι τὸ μῆκος· ἀλλ' οὐκ εἰς τοῦτο ἥκομεν, ἀλλὰ καὶ τούτων ἄκοντες ἐμνημονεύσαμεν, ὥστε μικρὸν ἐπιστύψαι τοὺς νοῦν ἔχοντας τῶν ἀκροωμένων· λοιπὸν δὲ παρακαλεῖν χρὴ καὶ ἱκετεύειν. Δέομαι δὴ καὶ ἀντιβολῶ, καὶ τῶν γονάτων προκυλινδοῦμαι τῶν ὑμετέρων, καὶ πᾶσαν ἱκετηρίαν τίθημι, πείσθητε, καὶ ἀνενέγκωμεν ἀπὸ ταύτης τῆς μέθης, καὶ ἑαυτῶν γενώμεθα, καὶ τὴν τιμὴν ἐπιγνῶμεν, ἣν δέδωκεν ὁ Θεὸς ἡμῖν, καὶ τοῦ Παύλου βοῶντος ἀκούσωμεν· «Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων», καὶ πανσώμεθα γυναιξὶ δουλεύοντες ἐπὶ τῷ κοινῷ πάντων ἡμῶν ὀλέθρῳ.

Στρατιώτας ἡμᾶς ὁ Χριστὸς εἶναι βούλεται γενναίους καὶ ἀθλητάς. Οὐ διὰ τοῦτο ἡμᾶς ὥπλισεν ἐν τοῖς ὅπλοις τοῖς πνευματικοῖς, ἵνα κορῶν τριοβολιμαίων ἀναδεξώμεθα ὑπηρεσίαν, ἵνα περὶ ἔρια καὶ ἱστοὺς καὶ τὰς τοιαύτας στρεφώμεθα διακονίας, ἵνα νηθούσαις καὶ ὑφαινούσαις παρακαθώμεθα γυναιξίν, ἵνα διατελῶμεν πᾶσαν ἡμέραν καὶ ἤθη καὶ ῥήματα γυναικεῖα εἰς τὴν ἑαυτῶν ἐναποματτόμενοι ψυχήν· ἀλλ' ἵνα βάλλωμεν τὰς ἀοράτους δυνάμεις τὰς ἀντικειμένας ἡμῖν, ἵνα πλήττωμεν τὸν στρατηγοῦντα αὐταῖς διάβολον, ἵνα ἐλαύνωμεν τὰς ἀγρίας τῶν δαιμόνων φάλαγγας, ἵνα κατασκάπτωμεν αὐτῶν τὰ ὀχυρώματα, ἵνα τὰς ἐξουσίας τοῦ κοσμοκράτορος τοῦ

---

29. Α' Κορ. 7, 23.

αὐτὰς καὶ τὸ δυσάρεστον, προτιμᾷ ὅλα νὰ τὰ ὑποφέρῃ, παρὰ νὰ παραβλέψῃ ἐκεῖνο ποὺ συμβαίνει εἰς ἐκείνην.

Ἀλλ' ὅμως μέχρι πότε καὶ ἡμεῖς θὰ ἀσχημονοῦμεν διηγούμενοι ὅλα ἐκεῖνα ποὺ πράττουν αὐτοί. Διότι βέβαια δὲν ἦτο αὐτὴ ἡ διάθεσίς μας, ἐπειδὴ θὰ ἐχρειάζοντο πολλοὶ καὶ μακροὶ λόγοι διὰ νὰ τὰ ἀναφέρωμεν ὅλα· μᾶλλον δὲ δὲν εἶναι δυνατὸν νὰ τὰ ἀναφέρωμεν ὅλα καὶ ἂν ἀκόμη τὸ θέλωμεν, ἀλλ' ὀλίγα μόνον ἐὰν ἠθέλομεν ἀναφέρει ἀπὸ τὰ πολλά, θὰ ἦσαν ἱκανὰ καὶ αὐτὰ μόνον νὰ ἀντικαταστήσουν τὸ μῆκος αὐτῶν. Ὅμως δὲν εἶναι αὐτὸς ὁ σκοπός μας, ἀλλὰ καὶ αὐτὰ ποὺ ἀνεφέραμεν τὰ ἀνεφέραμεν χωρὶς νὰ τὸ θέλωμεν, ὥστε νὰ προβληματίσωμεν ὀλίγον ἀπὸ τοὺς ἀκροατάς μας αὐτοὺς ποὺ σκέπτονται ὑγιῶς. Εἰς τὴν συνέχειαν δὲ πρέπει νὰ σᾶς ὑποβάλω μίαν παράκλησιν καὶ ἱκεσίαν. Σᾶς παρακαλῶ λοιπὸν καὶ σᾶς ἱκετεύω καὶ γονατίζω ἐμπρὸς εἰς τὰ πόδια σας καὶ σᾶς ἀπευθύνω κάθε ἱκεσίαν· πεισθῆτε δι' ὅλα αὐτὰ ποὺ σᾶς λέγω καὶ ἂς συνέλθωμεν ἀπὸ αὐτὴν τὴν μέθην καὶ ἂς ἔλθωμεν εἰς τοὺς ἑαυτούς μας καὶ ἂς ἀντιληφθῶμεν καὶ ἐκτιμήσωμεν τὴν τιμὴν ποὺ μᾶς ἔκαμεν ὁ Θεός, καὶ ἂς ἀκούσωμεν τὸν Παῦλον ποὺ διακηρύσσει, «Μὴ γίνεσθε δοῦλοι τῶν ἀνθρώπων»[29], καὶ ἂς παύσωμεν νὰ εἴμεθα δοῦλοι τῶν γυναικῶν, πρᾶγμα ποὺ συντελεῖ εἰς τὴν καταστροφὴν ὅλων μας.

Ὁ Χριστὸς μᾶς θέλει νὰ εἴμεθα στρατιῶται γενναῖοι καὶ ἀθληταί. Δὲν μᾶς ὥπλισε μὲ τὰ πνευματικὰ ὅπλα δι' αὐτὸν τὸν σκοπόν, διὰ νὰ γίνωμεν ὑπηρέται νεαρῶν γυναικῶν ποὺ δὲν ἀξίζουν τίποτε, διὰ ν' ἀσχολούμεθα μὲ μαλλιὰ καὶ ἀργαλειοὺς καὶ τὰ παρόμοια αὐτῶν, διὰ νὰ καθώμεθα πλησίον γυναικῶν ποὺ γνέθουν καὶ ὑφαίνουν, διὰ νὰ περνῶμεν ὅλην τὴν ἡμέραν μας γεμίζοντες τὴν ψυχήν μας μὲ συνηθείας καὶ γυναικεῖα λόγια, ἀλλὰ διὰ νὰ πολεμῶμεν τὰς ἀοράτους δυνάμεις ποὺ μᾶς πολεμοῦν, διὰ νὰ φέρωμεν θανάσιμα κτυπήματα ἐναντίον τοῦ στρατηγοῦ αὐτῶν διαβόλου, διὰ νὰ καταδιώκωμεν τὰς ἀγρίας φάλαγγας τῶν δαιμόνων, διὰ νὰ κατασκάπτωμεν τὰ ὀχυρώματά των, διὰ νὰ ὁδηγήσωμεν αἰχμαλώτους, ἀφοῦ τοὺς

σκότους δήσαντες αἰχμαλώτους ἀγάγωμεν, ἵνα τὰ πνευματικὰ τῆς πονηρίας φυγαδεύσωμεν, ἵνα πῦρ πνέωμεν, ἵνα πρὸς καθημερινοὺς θανάτους ἕτοιμοι ὦμεν καὶ παρεσκευασμένοι. Διὰ τοῦτο ἐνέδυσεν ἡμᾶς τὸν θώρακα τῆς δικαιοσύνης, διὰ τοῦτο ἔζωσε τῇ ζώνῃ τῆς ἀληθείας, διὰ τοῦτο περιέθηκε τὴν περικεφαλαίαν τοῦ σωτηρίου, διὰ τοῦτο ὑπέδησε τοὺς πόδας ἡμῶν τῇ ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης καὶ τὴν μάχαιραν ἐνεχείρισε τοῦ πνεύματος, διὰ τοῦτο πῦρ ἀφῆκεν εἰς τὰς ἡμετέρας ψυχάς.

Εἴ τινα οὖν, εἰπέ μοι, τῶν στρατιωτῶν μετὰ τὸ περιθέσθαι τὸ κράνος, τὰς κνημῖδας, τὸν θώρακα, μετὰ τὸ λαβεῖν τὸ ξίφος, τὸ δόρυ, τὴν ἀσπίδα, τὰ τόξα, τὰ βέλη, τὴν φαρέτραν, τῆς σάλπιγγος λαμπρὸν ἠχούσης καὶ πάντας ἔξω καλούσης, τῶν τε πολεμίων σφοδρῶς πνεόντων, καὶ τὴν πόλιν ἐκ βάθρων ἀνασπάσαι παρεσκευασμένων, εἶδες οὐκ ἐπὶ τὴν παράταξιν ἔξω τρέχοντα, ἀλλ' εἰς οἰκίαν εἰσιόντα καὶ γυναικὶ παρακαθήμενον μετὰ τῶν ὅπλων ἐκείνων, ἆρ' οὐκ ἄν, εἴ γε ἐξῆν, μέσον τὸ ξίφος διήλασας, μηδὲ λόγου μεταδούς; Εἰ δὲ οὐ τοσαύτης ἂν ἐπλήσθης ὀργῆς, πῶς οἴει τὸν Θεὸν ἐπὶ τοῖς πολὺ τούτων ἀτοπωτέροις διακεῖσθαι; Τοσούτῳ γὰρ αἰσχρότερα ταῦτα ἐκείνων καὶ ἀτοπώτερα, ὅσῳ καὶ ὁ πόλεμος χαλεπώτερος, καὶ οἱ πολέμιοι σφοδρότεροι, καὶ τὰ ἔπαθλα περὶ ὧν ὁ πόλεμος μείζω, καὶ πάντα ἁπλῶς τοσοῦτον ἐξήλλακται, ὅσον ἀληθείας καὶ σκιᾶς τὸ μέσον.

Μὴ δὴ καταμαλάττωμεν ἡμῶν τὴν ἰσχύν, μηδὲ ἐκκόπτωμεν τὰ νεῦρα ταῖς ὁμιλίαις ταύταις, καὶ γὰρ ἄφατος καὶ πολλὴ ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν εἰσρεῖ κακία. Τί γάρ, εἰ καὶ μὴ αἰσθανώμεθα τῇ φιλίᾳ μεθύοντες; τοῦτο γὰρ αὐτὸ πάν-

δέσωμεν, τοὺς κοσμοκράτορας τοῦ σκότους, διὰ νὰ τρέψωμεν εἰς φυγὴν τὰ πνεύματα τῆς πονηρίας, διὰ νὰ εἴμεθα γεμᾶτοι ἀπὸ τὴν φλόγα τῆς πίστεως πρὸς τὸν Θεόν, διὰ νὰ εἴμεθα ἕτοιμοι καὶ προετοιμασμένοι πρὸς καθημερινοὺς θανάτους. Διὰ τοῦτο μᾶς περιέβαλε μὲ τὸν θώρακα τῆς δικαιοσύνης, διὰ τοῦτο μᾶς ἔζωσε μὲ τὴν ζώνην τῆς ἀληθείας, διὰ τοῦτο μᾶς ἔθεσε τὴν περικεφελαίαν τῆς σωτηρίας, διὰ τοῦτο ἔθεσεν εἰς τὰ πόδια μας τὸ θεμέλιον τῆς εἰρήνης τοῦ Εὐαγγελίου, καὶ ἔδωσεν εἰς τὰ χέρια μας τὴν μάχαιραν τοῦ πνεύματος, διὰ τοῦτο ἄφησεν εἰς τὰς ψυχάς μας ἀναμμένην τὴν φλόγα τῆς πίστεως.

Εἰπέ μου λοιπόν, σὲ παρακαλῶ, ἐὰν κάποιον ἀπὸ τοὺς στρατιώτας, ἀφοῦ ἐφόρεσε τὸ κράνος, τὰς κνημῖδας, τὸν θώρακα καὶ ἔλαβε τὸ ξίφος, τὸ δόρυ, τὴν ἀσπίδα, τὰ τόξα, τὰ βέλη, τὴν θήκην τῶν βελῶν, καὶ ἐνῷ ἀκούεται λαμπρὸς ὁ ἦχος τῆς σάλπιγγος καὶ καλεῖ ὅλους ἔξω καὶ οἱ ἐχθροὶ ἐπιτίθενται μὲ πολλὴν ὁρμὴν καὶ μανίαν καὶ εἶναι ἕτοιμοι νὰ καταστρέψουν ἀπὸ τὰ θεμέλια τὴν πόλιν, τὸν ἔβλεπες νὰ μὴ τρέχῃ ἔξω πρὸς τὴν παράταξιν, ἀλλὰ νὰ εἰσέρχεται εἰς τὴν οἰκίαν καὶ νὰ κάθηται μὲ τὰ ὅπλα ἐκεῖνα δίπλα εἰς τὴν γυναῖκα του, ἆρά γε, ἐὰν σοῦ ἦτο δυνατόν, δὲν θὰ τὸν κατέσφαζες μὲ τὸ ξίφος χωρὶς νὰ τοῦ εἰπῇς τίποτε; Ἐὰν δὲ σὺ ἤθελες κυριευθῇ ἀπὸ τόσην ὀργήν, ποία νομίζεις ὅτι εἶναι ἡ διάθεσις τοῦ Θεοῦ δι' ὅλα αὐτὰ ποὺ εἶναι πολὺ πιὸ ἀηδιαστικὰ ἀπὸ ἐκεῖνα; Διότι αὐτὰ εἶναι τόσον αἰσχρότερα καὶ φρικωδέστερα ἀπὸ ἐκεῖνα, ὅσον φοβερώτερος εἶναι καὶ ὁ πόλεμος καὶ σφοδρότεροι οἱ ἐχθροὶ καὶ μεγαλύτερα τὰ ἔπαθλα διὰ τὰ ὁποῖα γίνεται ὁ πόλεμος, καὶ γενικῶς ὅλα τόσον πολὺ διαφέρουν μεταξύ των, ὅση διαφορὰ ὑπάρχει μεταξὺ τῆς ἀληθείας καὶ τῆς σκιᾶς.

Ἂς μὴ λοιπὸν ἐξασθενοῦμεν τὴν δύναμίν μας, οὔτε νὰ μειώνωμεν μὲ τὰς συναναστροφὰς αὐτὰς τὴν δύναμιν τῶν νεύρων μας, καθ' ὅσον ἀπὸ αὐτὰ εἰσχωρεῖ εἰς τὴν ψυχήν μας ἀπερίγραπτος καὶ πολλὴ κακία. Τί λοιπόν, ἐάν, καθὼς εἴμεθα μεθυσμένοι ἀπὸ τὸν πόθον μας αὐτόν, δὲ τὰ αἰσθανώμεθα ὅλα αὐτά; διότι αὐτὸ εἶναι τὸ φοβερώτερον

των ἐστὶ δεινότατον, ὅτι οὐδὲ ἴσμεν ὅπως ἐκνευριζώμεθα καὶ κηροῦ παντὸς γινώμεθα μαλακώτεροι. Καθάπερ γάρ τις λέοντα γαῦρον καὶ βλοσυρὸν βλέποντα λαβών, εἶτα ἀποκείρας μὲν τὴν κόμην, ἀνελὼν δὲ τοὺς ὀδόντας καὶ περιελὼν τοὺς ὄνυχας, αἰσχρὸν ποιεῖ καὶ καταγέλαστον καὶ παιδίοις εὐκαταγώνιστον τὸν φοβερὸν καὶ ἀφόρητον, καὶ ἀπὸ μόνου τοῦ βρυχήματος πάντα σείοντα, οὕτω δὴ καὶ αὗται πάντας ὅσους ἐὰν λάβωσιν εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσι, μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους, ἀκροχόλους, θρασεῖς, ἀκαίρους, ταπεινούς, ἀγεννεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμούς, φλυάρους, καὶ ἁπλῶς πάντα τὰ γυναικεῖα ἤθη τὰ διεφθαρμένα φέρουσαι εἰς τὰς τούτων ἐναπομάττονται ψυχάς.

Καὶ γὰρ ἀμήχανον τὸν γυναιξὶ συνοικοῦντα μετὰ συμπαθείας τοσαύτης, καὶ ταῖς ἐκείνων ἐνστρεφόμενον ὁμιλίαις, μὴ ἀγύρτην τινὰ εἶναι καὶ ἀγοραῖον καὶ συρφετώδη. Κἂν γὰρ φθέγγηταί τι, πάντα ἀπὸ τῶν ἱστῶν καὶ τῶν ἐρίων φθέγγεται, τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων· κἂν ποιῇ τι, μετὰ πολλῆς τοῦτο ἐργάσεται δουλοπρεπείας, πόρρω τῆς χριστιανοῖς πρεπούσης ἐλευθερίας ἑαυτὸν ἀποικίσας, καὶ πρὸς οὐδὲν τῶν μεγάλων κατορθωμάτων γενόμενος χρήσιμος. Καὶ γάρ, εἰ πρὸς τὰ βιωτικὰ καὶ πολιτικὰ πράγματα ἄχρηστος ὁ τοιοῦτος, πολλῷ μᾶλλον πρὸς τὸ τῶν πνευματικῶν μέγεθος, ἃ τοσούτῳ δεῖται γενναιοτέρων ἀνδρῶν, ὡς μηδὲ ἅπτεσθαι αὐτῶν δύνασθαι τοὺς μέλλοντας αὐτὰ μετιέναι, εἰ μὴ ἄγγελοι φένοιντο ἐξ ἀνθρώπων. Οὐκ αὐτοὶ δὲ μόνον κακίαν ὑποδέχονται τοσαύτην, ἀλλὰ καὶ ἐκείναις ἠθῶν διεφθαρμένων αἴτιοι γίνονται. Καθάπερ γὰρ οὐ-

ἀπὸ ὅλα, τὸ ὅτι δὲν ἀντιλαμβανόμεθα πῶς χάνεται ἡ δύναμις τῶν νεύρων μας καὶ γινόμεθα ἔτσι μαλακώτεροι ἀπὸ ὁποιοδήποτε κηρί. Διότι, ὅπως ἀκριβῶς, ἐὰν κάποιος συλλάβῃ ἕνα λεοντάρι ὑπερήφανον καὶ μὲ βλέμμα ποὺ προκαλεῖ φόβον καὶ ἐν συνεχείᾳ ἀφοῦ κόψῃ τὴν χαίτην καὶ βγάλῃ τὰ δόντια του καὶ ἀφαιρέσῃ τὰ νύχια του, τὸ κάνει ἀηδιαστικὸν καὶ τὸ γελοιοποιεῖ καὶ τὸ κάνει εὐκολονίκητον καὶ ἀπὸ τὰ παιδιὰ τὸ φοβερὸν καὶ ἀνυπόφορον αὐτὸ ποὺ καὶ μόνον μὲ τὸν βρυχηθμόν του κάνει τὰ πάντα νὰ τρέμουν, ἔτσι λοιπὸν καὶ αὐταὶ ὅσους συλλάβουν τοὺς κάνουν εὐκολοκαταβλήτους εἰς τὸν διάβολον, μαλθακωτέρους, πιὸ εὐκολοερεθίστους, ἀδιαντρόπους, ἀνοήτους, ὀργίλους, θρασεῖς φορτικούς, ἀσημάντους, ἀγενεῖς, σκληρούς, δουλοπρεπεῖς, ἀνελευθέρους, φλυάρους καὶ γενικῶς φέρουν καὶ ἐναποθέτουν εἰς τὰς ψυχάς των ὅλας τὰς διεφθαρμένας γυναικείας συνηθείας.

Καθ' ὅσον εἶναι ἀδύνατον, αὐτὸς ποὺ συγκατοικεῖ μὲ γυναῖκα καὶ μὲ τόσην συμπάθειαν δι' αὐτὴν καὶ λαμβάνει μέρος εἰς τὰς συναναστροφὰς ἐκείνων, νὰ μὴ εἶναι ἀπατεὼν καὶ χυδαῖος καὶ πρόστυχος. Διότι καὶ ἂν ἀκόμη λέγῃ κάτι, ὅλα τὰ λόγια του στρέφονται γύρω ἀπὸ τοὺς ἀργαλειοὺς καὶ τὰ μαλλιά, καὶ ἡ γλῶσσα του ἔχει λάβει τὸ χρῶμα τοῦ λεξιλογίου τῶν γυναικῶν: καὶ ἂν κάνῃ κάτι θὰ τὸ κάνῃ μὲ πολλὴν δουλοπρέπειαν, ἀπομακρύνας πάρα πολὺ τὸν ἑαυτόν του ἀπὸ τὴν πρέπουσαν χριστιανικὴν ἐλευθερίαν καὶ καταστήσας αὐτὸν ἄχρηστον δι' ὁποιουδήποτε μεγάλο κατόρθωμα. Καθ' ὅσον, ἐὰν αὐτὸς ὁ ἄνθρωπος εἶναι ἄχρηστος διὰ τὰ κοσμικὰ καὶ πολιτικὰ πράγματα, πολὺ περισσότερον εἶναι διὰ τὰ μεγάλα πνευματικὰ κατορθώματα, τὰ ὁποῖα χρειάζονται τόσον περισσότερον γενναιοτέρους ἄνδρας, ὥστε νὰ μὴ ἠμποροῦν οὔτε κἂν νὰ τὰ πλησιάσουν αὐτοὶ ποὺ θὰ θελήσουν νὰ τὰ ἀναλάβουν, ἐὰν δὲν μετεβάλλοντο ἀπὸ ἄνθρωποι ποὺ εἶναι εἰς ἀγγέλους. Καὶ δὲν δέχονται μόνον αὐτοὶ οἱ ἴδιοι τόσον μεγάλην βλάβην, ἀλλὰ καὶ δι' ἐκείνους γίνονται αἴτιοι διὰ τὴν διαφθορὰν τῶν ἠθῶν. Διότι ὅπως ἀκριβῶς αὐτοί, ἐπειδὴ θέλουν πάρα πολὺ

τοι σφόδρα αὐταῖς ἀρέσκειν βουλόμενοι τῆς ἁρμοττούσης πολιτείας ἐκβαίνουσιν, οὕτω καὶ αὗται τῆς προσηκούσης αὐταῖς ὁδοῦ δι' ἐκείνους ἐκπίπτουσι, τὴν πονηρὰν αὐτοῖς καὶ ὀλεθρίαν παρέχουσαι ταύτην ἀντίδοσιν. Καὶ γὰρ καὶ καλλωπίζονται περιεργότερον, καὶ σχήματος καὶ βαδίσματος τεθρυμμένου πολλὴν ποιοῦνται πρόνοιαν, καὶ τὰ μὴ προσήκοντα διὰ πάσης φλυαροῦσιν ἡμέρας· ἐπειδὴ γὰρ ὁρῶσι τερπομένους τοῖς ἀκολάστοις τούτοις ἤθεσι καὶ ῥήμασι, πάντα ἐπιτηδεύουσι, δι' ὧν κατέχειν αὐτοὺς αἰχμαλώτους δυνήσονται. Ἀλλ' ἂν θελήσωμεν μικρὸν ἀνενεγκόντες ἡμῶν αὐτῶν γενέσθαι, ἐκείνας τε κερδανοῦμεν καὶ ἡμᾶς αὐτοὺς καὶ τοὺς ἄλλους ἅπαντας· καὶ ὥσπερ νῦν τῆς τῶν πολλῶν ἀπωλείας κατέστημεν ὑπεύθυνοι, οὕτω τότε τῆς πάντων σωτηρίας ἀποληψόμεθα τὸν μισθόν, καὶ ὧν ἀπολαύομεν νῦν αἰσχρῶν, τότε μετὰ πολλῆς ἀπολαύσομεν τῆς τιμῆς.

Τί γάρ, εἰπέ μοι, βούλει τιμᾶσθαι παρὰ γυναικῶν; Μάλιστα μὲν ἀνάξιον τοῦτο ἀνδρὸς πνευματικοῦ τὸ τιμῆς τοιαύτης ἐρᾶν· πλὴν ἀλλὰ καὶ τοῦτο τότε παρέσται, ὅταν μὴ ζητῶμεν αὐτό. Πέφυκε γὰρ ἄνθρωπος τῶν μὲν θεραπευόντων ὑπερορᾶν, τοὺς δὲ μὴ κολακεύοντας θαυμάζειν· τὸ δὲ πάθος τοῦτο πλέον ἡ γυναικεία φύσις ὑπομένειν εἴωθεν. Ἀφόρητός τε γάρ ἐστι κολακευομένη, θαυμάζεται δὲ μάλιστα πάντων τοὺς οὐκ ἀνεχομένους εἴκειν καὶ ὑποκλίνεσθαι ταῖς ἀκαίροις αὐτῆς ἐπιθυμίαις· καὶ τοῦτο ὑμεῖς μοι μαρτυρήσετε. Νῦν μὲν γὰρ οὐχ οἱ ἔξωθεν μόνον, ἀλλὰ καὶ αὐταὶ καταγελῶσιν ὑμῶν αἱ συνοικοῦσαι, εἰ καὶ μὴ φανερῶς, ἀλλ' ἐν τῷ συνειδότι, καὶ ἐγκαλλωπίζονται τῇ χαλεπῇ ταύτῃ τυραννίδι, τότε δὲ θαυμάσονται πάντας ὑμᾶς, καὶ ἐκπλαγήσονται τὴν ἐλευθερίαν ὑμῶν. Εἰ δὲ ἀπιστεῖτε τοῖς ἡμετέροις λόγοις, αὐτὰς ἔρεσθε ἐκείνας, τίνας μᾶλλον ἐπαινοῦσι καὶ ἀποδέχον-

ν' ἀρέσουν εἰς αὐτάς, ἐκτρέπονται ἀπὸ τὸν πρέποντα βίον, ἔτσι καὶ αὐταὶ παρεκκλίνουν ἐξ αἰτίας ἐκείνων ἀπὸ τὴν πρέπουσαν εἰς αὐτὰς ὁδόν, παρέχουσαι εἰς αὐτοὺς τὴν κακὴν αὐτὴν καὶ καταστρεπτικὴν ἀνταπόδοσιν. Καθ' ὅτι καὶ καλλωπίζονται ἐπιμελέστερα καὶ καταβάλλουν πολλὴν φροντίδα διὰ τὴν ἐξεζητημένην ἐμφάνισίν των καὶ τὸ βάδισμά των καὶ ὅλην τὴν ἡμέραν φλυαροῦν δι' ἀπρεπῆ πράγματα· διότι, ἐπειδὴ τοὺς βλέπουν νὰ εὐχαριστοῦνται μὲ τοὺς ἀκολάστους αὐτοὺς τρόπους των καὶ τὰ λόγια των, τὰ πάντα μετέρχονται, μὲ τὰ ὁποῖα θὰ ἠμπορέσουν νὰ τοὺς ἔχουν αἰχμαλώτους των. 'Αλλ' ἐὰν θελήσωμεν νὰ συνέλθωμεν ὀλίγον καὶ νὰ εὕρωμεν τὸν ἀληθινὸν ἑαυτόν μας καὶ ἐκείνας θὰ ὠφελήσωμεν καὶ τοὺς ἑαυτούς μας καὶ ὅλους τοὺς ἄλλους. Καὶ ὅπως ἀκριβῶς τώρα ἐγίναμεν ὑπεύθυνοι τῆς ἀπωλείας τῶν πολλῶν, ἔτσι τότε θὰ λάβωμεν τὸν μισθὸν τῆς σωτηρίας ὅλων, καὶ ἔναντι τῶν αἰσχρῶν ποὺ ἀπολαμβάνομεν τώρα, θ' ἀπολαύσωμεν τότε πολὺ μεγάλης τιμῆς.

Τί λοιπόν, εἰπέ μου· θέλεις νὰ τιμᾶσαι ἀπὸ τὰς γυναῖκας; Μὰ αὐτὸ κατ' ἐξοχὴν εἶναι ἀνάξιον διὰ τὸν ἄνδρα τὸν πνευματικόν· τὸ νὰ ἐπιθυμῇ αὐτὴν τὴν τιμήν· πλὴν ὅμως καὶ αὐτὸ τότε θὰ συμβῇ, ὅταν δὲν τὸ ἐπιδιώκωμεν. Διότι ἐκ φύσεως ὁ ἄνθρωπος περιφρονεῖ αὐτοὺς ποὺ τὸν ὑπηρετοῦν διπλοπρεπῶς, ἐνῷ θαυμάζει ἐκείνους ποὺ δὲν τὸν κολακεύουν· καὶ τὸ πάθος αὐτὸ συνήθως ἐκδηλώνεται πολὺ περισσότερον εἰς τὴν γυναικείαν φύσιν. Διότι καταντᾷ ἀνυπόφορος ὅταν κολακεύεται, θαυμάζει δὲ περισσότερον ἀπὸ ὅλους ἐκείνους ποὺ δὲν ἀνέχονται νὰ προβαίνουν εἰς ὑποχωρήσεις καὶ νὰ ὑποκλίνωνται εἰς τὰς φορτικὰς ἐπιθυμίας της· καὶ αὐτὸ θὰ μοῦ τὸ ἐπιβεβαιώσετε σεῖς. Διότι τώρα ὄχι μόνον οἱ ἐκτὸς τῆς οἰκίας, ἀλλὰ καὶ αὐταὶ ποὺ συγκατοικοῦν μαζί σας σᾶς περιγελοῦν, καὶ ἂν ἀκόμη ὄχι φανερά, ὁπωσδήποτε ὅμως εἰς τὴν συνείδησίν των καὶ κατευχαριστοῦνται μὲ τὴν φοβερὰν αὐτὴν δουλοπρέπειαν, ἐνῷ τότε θὰ σᾶς θαυμάσουν ὅλους καὶ θὰ ἐκπλαγοῦν ἀπὸ τὴν ἐλευθερίαν σας. 'Εὰν ὅμως δὲν πιστεύετε εἰς τὰ λόγια μου, ἐρωτήσατε αὐτὰς τὰς ἰδίας, ποίους ἐπαινοῦν περισσό-

ται, τοὺς δουλεύοντας, ἢ τοὺς κρατοῦντας αὐτῶν· τοὺς ὑποκειμένους καὶ πάντα ποιοῦντας καὶ πάσχοντας διὰ τὴν εἰς ἐκείνας χάριν, ἢ τοὺς οὐδὲν τούτων ἀνεχομένους, ἀλλὰ ἐπαισχυνομένους αὐτῶν τοῖς πονηροῖς ἐπιτάγμασι· κἂν ἐθελήσωσιν εἰπεῖν τἀληθές, πάντως ἐκείνους ἐροῦσι· μᾶλλον δὲ οὐδὲ ἀποκρίσεως χρεία, τῶν πραγμάτων τοῦτο βοώντων.

Ἀλλ' ἡδονῆς ἕνεκεν ὁ συνοικῶν πλεονεκτεῖ, τοὺς ὀφθαλμοὺς εὐωχῶν ταῖς τῶν παρθένων ὄψεσι. Μάλιστα μὲν εἰ καὶ τοῦτο οὕτως εἶχε, δι' αὐτὸ μὲν οὖν τοῦτο φυγεῖν ἐχρῆν· νῦν δὲ ὑμῖν ἱκανῶς ἀπιδέδεικται, ὅτι οὐχ ἡδὺ τὸ τοιοῦτον, ἀλλὰ τοὐναντίον, τὸ μὴ ταύτης ἀπολαύειν τῆς θεωρίας· σὺ δέ μοι προστίθει καὶ τὴν ἀπὸ τοῦ συνειδότος εὐφροσύνην. Οὐδὲν γὰρ ἡμᾶς οὕτως εὐφραίνειν εἴωθεν, ὡς συνειδὸς χρηστόν, καὶ ἐλπίδες ἀγαθαί. Ἀλλ' ἀναπαύσεως ἕνεκεν τοῦτο ἐπιζητεῖς; Ἀλλ' ἀποδέδεικται καὶ τοῦτο εὐκολώτερον ὄν, ὅταν ἀδελφὸς συνοικῇ. Νῦν μὲν γὰρ οὐδὲν δούλου διενήνοχας, καὶ ζητῶν ἀνάπαυσιν δουλείαν εὗρες χαλεπωτάτην· τότε δὲ ταύτης ἐκτὸς ἕστηκας τῆς λειτουργίας, καὶ τῶν ἐπιταττόντων, οὐ τῶν ἐπιτασσομένων ἔσῃ. Ὅταν οὖν ἐκεῖ μὲν ἀνθ' ἡδονῆς λύπη, καὶ ἀντὶ δόξης αἰσχύνη, καὶ ἀντὶ ἐλευθερίας δουλεία, καὶ πόνος ἀντὶ ἀναπαύσεως, πρόσκειται δὲ καὶ τὸ βλασφημεῖσθαι τὸν Θεόν, καὶ ἀπώλεια τοσαύτη, καὶ σκάνδαλα, καὶ κόλασις ἀθάνατος, καὶ μυρίων ἔκπτωσις ἀγαθῶν, ἐνταῦθα δὲ τἀναντία ἅπαντα, δόξα, τιμή, ἡδονή, παρρησία, ἐλευθερία, σωτηρία ψυχῶν, βασιλείας κληρονομία, κολάσεως ἀπαλλαγή, τίνος ἕνεκεν οὐκ ἀνταλλαξόμεθα ταῦτα ἐκείνων; Ἐγὼ μὲν οὐκ οἶδα, πλὴν εἴ τις ἑαυτὸν ἁπλῶς ἀπολλύναι ἐπι-

τερον καὶ παραδέχονται· αὐτοὺς ποὺ εἶναι δοῦλοι των, ἢ αὐτοὺς ποὺ τὰς ἔχουν ὑπὸ τὴν κυριαρχίαν των· αὐτοὺς ποὺ ἔχουν ὑπὸ τὰς διαταγάς των καὶ ὅλα τὰ κάνουν καὶ τὰ ὑποφέρουν διὰ νὰ τὰς εὐχαριστήσουν, ἢ αὐτοὺς ποὺ δὲν ἀνέχονται τίποτε ἀπὸ αὐτά, ἀλλ' ἐντρέπονται μὲ τὰ πονηρὰ προστάγματά των. Ἐὰν θελήσουν νὰ εἰποῦν τὴν ἀλήθειαν, ὁπωσδήποτε θὰ εἰποῦν ἐκείνους· μᾶλλον ὅμως δὲν χρειάζεται οὔτε κἂν ἀπάντησις, διότι τὰ πράγματα φωνάζουν μόνα των.

Ἀλλὰ λέγεις ὅτι αὐτὸς ποὺ συγκατοικεῖ μὲ παρθένον εὑρίσκεται εἰς πλεονεκτικὴν θέσιν ἐξ αἰτίας τῆς ἡδονῆς, καθ' ὅτι χορταίνει τοὺς ὀφθαλμούς του μὲ τὴν θέαν τῶν παρθένων. Μὰ ἀκριβῶς δι' αὐτὸ κατ' ἐξοχὴν ἔπρεπεν λοιπόν, ἐὰν καὶ αὐτὸ ἔχῃ ἔτσι, νὰ τὸ ἀποφύγῃ αὐτό· τώρα σᾶς ἀπεδείχθη ἐπαρκῶς, ὅτι εὐχάριστον δὲν εἶναι τὸ παρόμοιον θέαμα, ἀλλὰ τὸ ἀντίθετον, δηλαδὴ τὸ νὰ μὴ ἀπολαμβάνῃ κανεὶς αὐτὸ τὸ θέαμα, ἐνῷ σὺ μοῦ προσθέτεις καὶ τὴν εὐφροσύνην ποὺ προέρχεται ἀπὸ τὴν συνείδησίν του. Διότι συνήθως τίποτε δὲν μᾶς εὐχαριστεῖ τόσον, ὅσον ἡ ἀγαθὴ συνείδησις καὶ αἱ ἀγαθαὶ ἐλπίδες. Μήπως ὅμως τὸ ἐπιδιώκεις αὐτὸ διὰ νὰ ἔχῃς μεγαλυτέραν ἄνεσιν; Ἀλλ' ἔχει ἀποδειχθῆ καὶ αὐτὸ ὅτι εἶναι εὐκολώτερον, ὅταν δηλαδὴ συγκατοικῇς μὲ ἀδελφόν. Διότι τώρα ὡς πρὸς τίποτε δὲν διαφέρεις ἀπὸ δοῦλον καὶ ἐπιζητῶν ἄνεσιν, εὗρες τὴν πιὸ φοβερὰν μορφὴν δουλείας, ἐνῷ τότε θ' ἀπομακρυνθῇς ἀπὸ αὐτὴν τὴν κακὴν θέσιν ὑπηρεσίας καὶ θὰ εἶσαι ἀπὸ ἐκείνους ποὺ δίδουν ἐντολὰς καὶ ὄχι ἀπὸ ἐκείνους ποὺ παίρνουν. Ὅταν λοιπὸν εἰς ἐκείνην μὲν τὴν περίπτωσιν ὑπάρχῃ ἀντὶ ἡδονῆς λύπη καὶ ἀντὶ δόξης ἐντροπὴ καὶ ἀντὶ ἐλευθερίας δουλεία καὶ ἀντὶ ἀνέσεως κόπος, καὶ ἐπὶ πλέον ὑπάρχει καὶ ἡ βλασφημία τοῦ Θεοῦ καὶ τόσον μεγάλη ἀπώλεια καὶ σκάνδαλα καὶ κόλασις αἰώνιος καὶ ἀπώλεια ἀπείρων ἀγαθῶν, ἐνῷ εἰς αὐτὴν τὴν περίπτωσιν ὅλα τὰ ἀντίθετα, ὅπως δόξα, τιμή, ἡδονή, παρρησία, ἐλευθερία, σωτηρία ψυχῶν, κληρονομία βασιλείας, ἀπαλλαγὴ κολάσεως, διατί νὰ μὴ ἀνταλλάξωμεν αὐτὰ μὲ ἐκεῖνα; Ἐγὼ δὲν γνω-

θυμοίη· οὐδὲ γὰρ ἀπολογία ἔσται ἡμῖν λοιπὸν οὐδὲ συγγνώμη. Εἰ γὰρ καὶ μηδενὸς ὄντος τούτων, πάντα ὑπομένειν ἐχρῆν ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης, ὅταν καὶ τὰ ἐνταῦθα καρποῦσθαι παρῇ καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ἡμεῖς δὲ πρὸς τὸ τὴν τοῦ Θεοῦ βλασφημεῖσθαι δόξαν, καὶ ἑαυτοὺς προσαπολλύωμεν, τίς ἡμᾶς ἐξαιρήσεται καὶ ἀπαλλάξει τῆς τιμωρίας τῆς ἐπὶ τούτοις κειμένης; Οὐκ ἔστιν οὐδείς.

Ταῦτα οὖν ἅπαντα συναγαγόντες πρὸς ἑαυτούς, καταλλαγῶμεν ὀψὲ γοῦν ποτε τῇ σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν. Εἰ δὲ δοκεῖ τινα δυσκολίαν ἔχειν τὸ συνήθειαν ἀποσπασθῆναι μακράν, τῇ δυνάμει τοῦ λογισμοῦ μετὰ τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν ἐπιτρέψαντες, κἀκεῖνο πείσαντες ἑαυτούς, ὅτι, ἂν ἀρχὴν μόνον ἐπιθῶμεν τῷ πράγματι, οὐκ ἔτι ὀψόμεθα δυσχερές· οὕτω κατατολμήσομεν τῆς συνηθείας. Ἂν γὰρ δέκα ἡμέρας σαυτὸν ἀποστήσῃς, εὐκολώτερον τὰς εἴκοσιν οἴσεις, καὶ δὶς τοσαύτας πάλιν· εἶτα ὁδῷ προβαίνων οὐδὲ αἴσθησιν λήψῃ λοιπὸν τῆς ἐν ἀρχῇ δυσκολίας, ἀλλὰ τὸ σφόδρα δυσκαταγώνιστον εὐκολώτατον ὄψει γινόμενον, καὶ εἰς ἑτέραν πάλιν καταστήσεις σεαυτὸν συνήθειαν, καὶ ῥᾳδίαν εὑρήσεις τὴν μετάθεσιν οὖσαν οὐ διὰ συνήθειαν μόνον, ἀλλὰ καὶ διὰ τὰς χρηστὰς ἐλπίδας. Οὕτω σε κἀκεῖναι θαυμάσονται μειζόνως, καὶ ὁ Θεὸς ἀποδέξεται πρὸ ἐκείνων, καὶ πάντες ἄνθρωποι στεφανώσουσι, καὶ βίον βιώσῃ πολλὴν μὲν ἔχοντα ἐλευθερίαν, πολλὴν δὲ τὴν ἡδονήν.

Τί γὰρ ἂν γένοιτο ἥδιον τοῦ τοῦ πονηροῦ συνειδότος ἀπαλλαγῆναι καὶ τὸν διηνεκῆ τῆς ἐπιθυμίας καταλῦσαι πόλε-

ρίζω, ἐκτὸς βέβαια ἐὰν κάποιος ἁπλῶς ἐπιθυμῇ νὰ ὁδηγηθῇ εἰς τὴν ἀπώλειαν· διότι δὲν θὰ ὑπάρχῃ δι' ἡμᾶς πλέον οὔτε ἀπολογία οὔτε συγχώρησις. Διότι ἐὰν ἔπρεπε, καὶ χωρὶς νὰ ὑπάρχῃ τίποτε ἀπὸ αὐτά, ὅλα νὰ τὰ ὑπομένωμεν χάριν τῆς δόξης τοῦ Θεοῦ, ὅταν ὑπάρχῃ δυνατότης καὶ τὰ ἐδῶ ἀγαθὰ ν' ἀπολαύσωμεν καὶ νὰ ἐπιτύχωμεν καὶ τὰ μελλοντικὰ ἀγαθά, ἡμεῖς ὅμως, μαζὶ μὲ τὸ ὅτι βλασφημεῖται ἡ δόξα τοῦ Θεοῦ, ὁδηγοῦμεν εἰς τὴν ἀπώλειαν καὶ τοὺς ἑαυτούς μας, ποῖος θὰ μᾶς ἐξαιρέσῃ καὶ θὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν τιμωρίαν ποὺ ἐπιφυλάσσεται δι' ὅλα αὐτά; Δὲν ὑπάρχει κανείς.

Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ τὰ συνειδητοποιήσωμεν ἂς τὰ ἀνταλλάξωμεν κάποτε, ἔστω καὶ ἀργά, μὲ τὴν σωτηρίαν τῶν ψυχῶν μας. Ἐὰν δὲ φαίνεται ὅτι ὑπάρχει κάποια δυσκολία τὸ νὰ ἀπομακρυνθῶμεν ἀπὸ μίαν συνήθειαν μακροχρόνιον, ἀφοῦ ἀναθέσωμεν τὸ πᾶν εἰς τὴν δύναμιν τοῦ λογισμοῦ καὶ εἰς τὴν χάριν τοῦ Θεοῦ καὶ πείσωμεν τοὺς ἑαυτούς μας εἰς ἐκεῖνο, ὅτι δηλαδὴ ἐὰν θελήσωμεν νὰ κάμωμεν ἀρχὴν μόνον εἰς τὸ πρᾶγμα αὐτό, δὲν θὰ τὸ βλέπωμεν πλέον εἰς τὸ ἑξῆς δύσκολον· αὐτὸ τὸ τολμηρὸν διάβημα ἂς κάμωμεν κατὰ τῆς συνηθείας. Διότι ἐὰν ἀπομακρύνῃς τὸν ἑαυτόν σου δέκα ἡμέρας, εὐκολώτερον θὰ ὑποφέρῃς τὰς εἴκοσι καὶ ἐκ νέου πάλιν ἄλλας τόσας. Εἰς τὴν συνέχειαν προχωρῶν ὀλίγον κατ' ὀλίγον δὲν θὰ αἰσθάνεσαι πλέον τὴν ἀρχικὴν δυσκολίαν, ἀλλὰ τὸ πάρα πολὺ δυσκολονίκητον θὰ ἰδῇς νὰ γίνεται εὐκολονίκητον, καὶ θὰ ἀντικαταστήσῃς αὐτὴν τὴν συνήθειάν σου μὲ ἄλλην συνήθειαν καὶ θὰ εὕρῃς τὴν μετάθεσιν αὐτὴν εὔκολον ὄχι μόνον ἐξ αἰτίας τῆς συνηθείας, ἀλλὰ καὶ ἐξ αἰτίας τῶν ἀγαθῶν ἐλπίδων. Ἔτσι καὶ ἐκεῖναι θὰ σὲ θαυμάσουν περισσότερον καὶ ὁ Θεὸς θὰ σὲ ἀποδεχθῇ πρὶν ἀπὸ ἐκείνας, καὶ ὅλοι οἱ ἄνθρωποι θὰ σὲ στεφανώσουν καὶ θὰ κάμῃς μίαν ζωὴν ποὺ θὰ ἔχῃ πολλὴν μὲν ἐλευθερίαν, πολλὴν δὲ ἡδονήν.

Πράγματι, τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ εὐχάριστον ἀπὸ τὸ ν' ἀπαλλαγῇ κανεὶς ἀπὸ τὴν πονηρὰν συνείδησιν καὶ νὰ καταπαύσῃ τὸν διαρκῆ πόλεμον τῆς ἐπιθυμίας καὶ μὲ

μον καὶ μετὰ πολλῆς τῆς εὐκολίας τὸν καλὸν τῆς σωφροσύνης πλέκειν στέφανον, καὶ ἐλευθέροις μὲν ὀφθαλμοῖς πρὸς τὸν οὐρανὸν βλέπειν, καθαρᾷ δὲ φωνῇ καὶ καρδίᾳ τῶν ἁπάντων Δεσπότην καλεῖν; Οὐδεὶς οὕτω δεσμώτης ἁλύσεως ἀπαλλαγεὶς καὶ αὐχμοῦ καὶ τῆς ἄλλης τῆς ἐν τῷ δεσμωτηρίῳ ταλαιπωρίας, μᾶλλον δὲ οὐδεὶς οὕτω τὰς ὄψεις πεπηρωμένος ἀναβλέψας, καὶ τὸ γλυκὺ τοῦτο φῶς ἰδὼν ἀγάλλεται καὶ γάννυται καὶ σκιρτᾷ, ὡς ὁ τῆς δουλείας ταύτης ἐλευθερωθῆναι δυνηθείς. Καὶ γὰρ τοῦ φωτὸς γλυκυτέρα πολλῷ τῆς τυραννίδος ταύτης ἡ ἀπαλλαγή, καὶ ζόφου παντὸς τούτου χαλεπωτέρα τῆς δουλείας ἐκείνης καὶ τῶν δεσμῶν ἡ ταλαιπωρία.

Ἀλλὰ γὰρ τί χρὴ ταῦτα μηκύνειν ἑκατέρου βίου; τοῦ μὲν τὴν ἐλευθερίαν καὶ τὴν ἀθυμίαν καὶ τὴν βλάβην καὶ τὴν πολλὴν τηκεδόνα, τοῦ δὲ τὴν ἐλευθερίαν καὶ τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν καὶ τὴν πολλὴν παραδεικνύντος σωφροσύνην; λόγος γὰρ οὐδεὶς αὐτὰ παραστῆσαι δυνήσεται, μόνη δὲ τῶν πραγμάτων ἡ πεῖρα. Καὶ τότε εἴσεσθε καλῶς τίνων μὲν ἀπηλλάγητε κακῶν, ποίας δὲ ἐπετύχετε ζωῆς, ὅταν ἡμῖν διὰ τῶν πραγμάτων βουληθῆτε πεισθῆναι· πεισθήσεσθε τοίνυν, ὅταν διὰ τῶν ἔργων αὐτῶν τὰ εἰρημένα μάθητε. Εἰ δὲ ἔτι δυσαναοχετεῖτε καὶ τοῖς ἡμετέροις ἀπιστεῖτε λόγοις, ἔρεσθέ τινας τῶν ταύτην ποτὲ δουλευσάντων τὴν δουλείαν, εἶτα ἀθρόον ἀπαλλαγέντων καὶ πρὸς τὴν καλὴν ἀναδραμόντων ἐλευθερίαν, καὶ τότε γνώσεσθε τῆς παραινέσεως ταύτης τὸ κέρδος. Ἐπεὶ καὶ ὁ Σολομὼν ἡνίκα μὲν τῇ τῶν βιωτικῶν ἐπιθυμίᾳ πραγμάτων κατείχετο, μεγάλα τε αὐτὰ ἐνόμιζεν εἶναι καὶ θαυμαστὰ καὶ πολλὴν περὶ αὐτὰ τὴν φιλοπονίαν ἐπεδείκνυτο, λαμπράς τε οἰκοδομούμενος οἰκίας καὶ χρυσίον

πολλὴν εὐκολίαν νὰ πλέκῃ τὸν καλὸν στέφανον τῆς σωφροσύνης, καὶ ἀφ' ἑνὸς μὲν νὰ βλέπῃ μὲ ἐλευθέρους ὀφθαλμοὺς πρὸς τὸν οὐρανόν, ἀφ' ἑτέρου δὲ νὰ καλῇ μὲ καθαρὰν φωνὴν καὶ καρδίαν τὸν Κύριον τῶν πάντων; Κανεὶς φυλακισμένος ποὺ ἀπηλλάγη ἀπὸ τὰς ἀλυσίδας καὶ τὴν ρυπαρότητα καὶ τὴν ἄλλην ταλαιπωρίαν ποὺ εἶχε μέσα εἰς τὴν φυλακήν, ἢ καλύτερα, κανείς, ποὺ εἶχε χαμένον τὸ φῶς τῶν ὀφθαλμῶν του καὶ τὸ ἐπανεῦρε καὶ εἶδε τὸ γλυκὺ αὐτὸ φῶς, δὲν ἀγάλλεται καὶ δὲν λάμπει ἀπὸ χαρὰν καὶ δὲν σκιρτᾷ ἡ καρδία του τόσον, ὅσον αὐτὸς ποὺ κατώρθωσε νὰ ἐλευθερωθῇ ἀπὸ αὐτὴν τὴν δουλείαν. Καθ' ὅσον ἡ ἀπαλλαγὴ αὐτὴ ἀπὸ τὴν δουλείαν αὐτὴν εἶναι πολὺ πιὸ γλυκυτέρα ἀπὸ τὸ φῶς καὶ ἀπὸ ὅλον τὸ σκότος αὐτὸ εἶναι φοβερωτέρα ἡ ταλαιπωρία τῆς δουλείας ἐκείνης καὶ τῶν δεσμῶν.

Ἀλλ' ὅμως διατί πρέπει νὰ ὁμιλῶμεν ἐν ἐκτάσει δι' ὅλα τὰ ὑπὲρ καὶ κατὰ καὶ τῶν δύο βίων; διὰ τὴν ἀνελευθερίαν καὶ τὴν λύπην καὶ τὴν βλάβην καὶ τὴν πολλὴν σαπίλαν ποὺ παρουσιάζει ὁ ἕνας καὶ διὰ τὴν ἐλευθερίαν καὶ τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν καὶ τὴν πολλὴν σωφροσύνην ποὺ παρουσιάζει ὁ ἄλλος; διότι κανεὶς λόγος δὲν θὰ ἠμπορέσῃ νὰ τὰ παραστήσῃ, παρὰ μόνον ἡ πεῖρα τῶν πραγμάτων. Καὶ τότε θὰ γνωρίσετε πολὺ καλὰ ἀπὸ ποῖα κακὰ ἀπηλλάγητε καὶ ποίαν ζωὴν ἐπετύχατε, ὅταν θελήσετε νὰ πεισθῆτε ἀπὸ τὰ ἴδια τὰ πράγματα· καὶ θὰ πεισθῆτε ὁπωσδήποτε, ὅταν διαπιστώσετε διὰ τῶν ἔργων σας τὴν ἀλήθειαν τῶν λόγων μου. Ἐὰν ὅμως ἀκόμη δυσανασχετῆτε καὶ δὲν πιστεύετε εἰς τὰ λόγια μου, ἐρωτήσατε μερικοὺς ποὺ κάποτε ἐδούλευσαν αὐτὴν τὴν δουλείαν καὶ ἐν συνεχείᾳ ἀπηλλάγησαν διὰ μιᾶς καὶ ἔτρεξαν πρὸς τὴν καλὴν ἐλευθερίαν, καὶ τότε θὰ γνωρίσεται τὸ κέρδος αὐτῆς τῆς συμβουλῆς. Διότι καὶ ὁ Σολομὼν ὅσον καιρὸν διακατείχετο ἀπὸ τὴν ἐπιθυμίαν τῶν κοσμικῶν πραγμάτων, τὰ ἐθεώρει αὐτὰ μεγάλα καὶ θαυμαστὰ καὶ ἔδειχνε δι' αὐτὰ πολλὴν φιλοπονίαν, καὶ κτίζων λαμπρὰς οἰκίας καὶ συγκεντρώνων ἀμέτρητον χρυσάφι, καὶ συγκεντρώνων ἀπὸ παντοῦ τοὺς μου-

συνάγων ἄπειρον, μουσικῶν τε χοροὺς καὶ τραπεζοποιῶν γένη παντοδαπὰ καὶ μαγείρων πάντοθεν συναθροίζων, καὶ τὴν ἀπὸ τῶν κήπων χάριν καὶ τὴν ἀπὸ τῶν λαμπρῶν σωμάτων ἡδονὴν δαψιλῶς παρασκευάζων τῇ τῆς ψυχῆς ἐπιθυμίᾳ, καὶ πᾶσαν, ὡς εἰπεῖν, ὁδὸν ψυχαγωγίας καὶ τέρψεως ἑαυτῷ τέμνων, ἐπειδὴ δὲ μικρὸν ἐκεῖθεν ἀνήνεγκε καὶ καθάπερ ἐξ ἀβύσσου τινὸς ζοφερᾶς ἀναβλέψαι πρὸς τὸ τῆς φιλοσοφίας ἴσχυσε φῶς, τηνικαῦτα τὴν ὑψηλὴν ἐκείνην καὶ τὴν τῶν οὐρανῶν ἀξίαν ἀφῆκε φωνήν· «Ματαιότης ματαιοτήτων», λέγων, «τὰ πάντα ματαιότης».

Ταύτην καὶ ὑμεῖς, καὶ ταύτης ὑψηλοτέραν, ἂν ἐθελήσητε, ψῆφον οἴσετε περὶ τῆς ἀκαίρου ταύτης ἡδονῆς, ἐὰν μικρὸν ἑαυτοὺς τῆς πονηρᾶς ἀποστήσητε συνηθείας. Καίτοι γε ὁ Σολομὼν ἐν τοῖς ἄνω γενόμενος χρόνοις οὐδὲ πολλὴν ἀπῃτεῖτο φιλοσοφίας ἀκρίβειαν· οὔτε γὰρ τρυφᾶν ὁ παλαιὸς ἐκώλυε νόμος, οὔτε τῶν ἄλλων ἀπολαύσεων ἀπολαύειν περιττὸν ἔφησεν εἶναι καὶ μάταιον· ἀλλ' ὅμως καὶ οὕτω τῶν πραγμάτων ἐχόντων ἠδυνήθη συνιδεῖν τὸ ἐν αὐτοῖς ἀνόνητον, καὶ πολλὴν αὐτῶν καταγνῶναι ματαιότητα. Ἡμεῖς δε ἐπὶ μείζονα καλούμεθα πολιτείαν, καὶ πρὸς ὑψηλοτέραν ἀναβαίνομεν κορυφήν, καὶ πρὸς μείζονα ἀπεδυσάμεθα σκάμματα. Καὶ τί γὰρ ἕτερον ἀλλ' ἢ κατὰ τὰς ἄνω δυνάμεις τὰς νοερὰς καὶ ἀσωμάτους ἐκείνας πολιτεύεσθαι κελευόμεθα; Πῶς οὖν οὐκ αἰσχρὸν καὶ πολλῆς ἄξιον κολάσεως ἐλάττους ἐκείνου φανῆναι πολλῷ, καὶ μὴ μόνον τῶν συγκεχωρημένων μὴ γίνεσθαι ὑψηλοτέρους, καθάπερ ἐκεῖνος, ἀλλὰ καὶ τῶν κεκωλυμένων καὶ τιμωρίαν ἐχόντων ἀφόρητον ἅπτεσθαι;

Τὸ γὰρ ἔρωτα ἐν τῇ ψυχῇ πονηρὸν τρέφειν, καὶ πρὸς ἐπιθυμίαν ὁρᾶν γυναῖκα, καὶ καταμανθάνειν κάλλος ἀλλότριον, καὶ καταισχύνειν μὲν ἑαυτόν, βλάπτειν δὲ τοὺς ἀσθενεστέρους, καὶ πολλὰς μὲν Ἕλλησι παρέχειν λαβάς, πολλὰς

---

30. Ἐκκλησ. 1, 2.

σικοὺς χοροὺς καὶ τοὺς τραπεζοποιοὺς καὶ τοὺς μαγείρους καὶ ἱκανοποιῶν πλουσίως τὴν ἐπιθυμίαν τῆς ψυχῆς του ἀπὸ τὴν ὡραιότητα τῶν κήπων καὶ τὴν ἡδονὴν τῶν ὡραίων σωμάτων, καὶ διανοίγων διὰ τὸν ἑαυτόν, ὅπως θὰ ἐλέγαμεν, κάθε ὁδὸν ψυχαγωγίας καὶ εὐχαριστήσεως, ὅταν ὅμως ἐπανεῦρε πρὸς στιγμὴν τὸν ἀληθῆ ἑαυτόν του καὶ κατώρθωσε νὰ ἀναβλέψῃ, ὡσὰν ἀκριβῶς ἀπὸ κάποιαν σκοτεινὴν ἄβυσσον, πρὸς τὸ φῶς τῆς εὐσεβείας, τὴν ἰδίαν ἐκείνην στιγμὴν ἄφησε νὰ βγῇ ἡ ὑψηλὴ ἐκείνη καὶ ἀξία τῶν οὐρανῶν φωνή· «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»[30].

Αὐτὴν καὶ σεῖς τὴν ἀπόφασιν καὶ ὑψηλοτέραν ἀπὸ αὐτήν, ἐὰν θελήσετε, θὰ ἠμπορέσετε νὰ λάβετε περὶ τῆς χυδαίας αὐτῆς ἡδονῆς, ἐὰν πρὸς στιγμὴν ἀπομακρύνετε τοὺς ἑαυτούς σας ἀπὸ τὴν πονηρὰν αὐτὴν συνήθειαν. Ἂν καὶ βέβαια ὁ Σολομών, ζήσας κατὰ τὴν παλαιὰν ἐκείνην περίοδον, δὲν ἐχρειάζετο καὶ τόσην πολλὴν αὐστηρότητα εὐσεβείας· διότι ὁ παλαιὸς νόμος οὔτε ἠμπόδιζε τὴν τρυφηλὴν ζωήν, οὔτε ἔλεγεν ὅτι εἶναι περιττὸν καὶ μάταιον τὸ ν' ἀπολαμβάνῃ κανεὶς τὰς ἄλλας ἀπολαύσεις· ἀλλ' ὅμως ἂν καὶ εἶχαν ἔτσι τὰ πράγματα κατώρθωσε ν' ἀντιληφθῇ τὸ ἀνώφελον αὐτῶν καὶ νὰ καταλογίσῃ εἰς αὐτὰ πολλὴν ματαιότητα. Ἡμεῖς ὅμως καλούμεθα πρὸς ἀνωτέραν ζωὴν καὶ ἀναβαίνομεν πρὸς ὑψηλοτέραν κορυφὴν καὶ ἀνελάβαμεν μεγαλυτέρους ἀγῶνας. Διότι ποίαν ἄλλην ἐντολὴν λαμβάνομεν παρὰ νὰ ρυθμίζωμεν τὴν ζωήν μας σύμφωνα μὲ τὰς οὐρανίους καὶ νοερὰς καὶ ἀσωμάτους ἐκείνας δυνάμεις; Πῶς λοιπὸν δὲν εἶναι αἰσχρὸν καὶ ἄξιον πολλῆς κολάσεως νὰ φανῶμεν κατὰ πολὺ κατώτεροι ἐκείνου καὶ ὄχι μόνον νὰ μὴ ἀποδειχθῶμεν ἀνώτεροι εἰς αὐτὰ ποὺ ἐπιτρέπονται, ὅπως ἀκριβῶς ἐκεῖνος, ἀλλὰ καὶ νὰ διαπράττωμεν τὰ ἀπηγορευμένα καὶ ἄξια δι' ἀνυπόφορον τιμωρίαν;

Πράγματι τὸ νὰ τρέφῃ κανεὶς πονηρὸν ἔρωτα εἰς τὴν ψυχήν του καὶ νὰ βλέπῃ τὴν γυναῖκα μὲ τὴν σαρκικὴν ἐπιθυμίαν, καὶ νὰ περιεργάζεται τὴν ξένην ὡραιότητα καὶ νὰ κατεντροπιάζῃ μὲν τὸν ἑαυτόν του νὰ βλάπτῃ δὲ τοὺς ἀσθενεστέρους εἰς τὴν πίστιν καὶ νὰ δίδῃ πολλὰς ἀφορμὰς

δὲ Ἰουδαίοις, καὶ τούς τε οἰκείους τούς τε ἀλλοτρίους ὑποσκελίζειν, καὶ πολλὴν τῆς τοῦ Θεοῦ δόξης καταοκεδάζειν βλασφημίαν, καὶ δουλοπρεπεῖς ἀναδέχεσθαι διακονίας, καὶ πρὸς τὸν τῶν βιωτικῶν πραγμάτων θόρυβον ἑαυτοὺς εἰσωθεῖν, καὶ τὴν δωρηθεῖσαν ἡμῖν ἐλευθερίαν προπίνειν τῷ διαβόλῳ, καὶ ταύτης χαλεπωτάτων ἀντικαταλλάττεσθαι τυραννίδα, καὶ καταγέλαστον μὲν φίλοις, ἐπονείδιστον δὲ ἐχθροῖς εἶναι, καὶ πονηρὰν μὲν τῷ κοινῷ τῆς Ἐκκλησίας προστρίβεσθαι δόξαν, καταισχύνειν δὲ τὸ σεμνὸν τῆς παρθενίας ἀξίωμα, καὶ τοῖς ἀσελγαίνειν βουλομένοις πολλὰς παρέχειν προφάσεις, καὶ ἕτερα πλείονα τούτων κατασκευάζειν δεινὰ (ἅπαντα γὰρ οὔτε συνιδεῖν, οὔτε λόγῳ παραστῆσαι δυνατόν, ὅσα διὰ τῶν πραγμάτων αὐτῶν ὑπομένουσι), καὶ τῶν σφόδρα κεκωλυμένων ἐστί, καὶ τῶν κόλασιν ἐχόντων ἀφόρητον.

Ὥστε εἰ καὶ μικρά τίς ἐστιν ἡδονή, ταῦτα πάντα ἀντιτιθέντες ἐκείνῃ, τὸν γέλωτα, τὴν αἰσχύνην, τὴν τῶν πολλῶν ὑποψίαν, τὰς κατηγορίας, τὰ σκώμματα, τὰ ὀνείδη, τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸ σκότος τὸ ἐξώτερον, τὸ πῦρ τὸ ἄσβεστον, τὴν θλῖψιν, τὴν στενοχωρίαν, τὸ βρύγμα τῶν ὀδόντων, τὰ δεσμὰ τὰ ἄλυτα, καὶ καθάπερ ἐν πλάστιγγι ὀψὲ γοῦν ποτε τῆς χαλεπωτάτης καὶ ὀλεθρίας νόσου, ἵνα μετὰ λαμπρῶν ἀπέλθωμεν ἐκεῖ στεφάνων, καὶ δυνηθῶμεν ἐλευθέροις στόμασι πρὸς τὸν Χριστὸν εἰπεῖν, ὅτι ʽΔιὰ δὲ καὶ τὴν δόξαν τὴν σὴν καὶ συνηθείας κατεφρονήσαμεν καὶ ἡδονῆς ἐκρατήσαμεν, καὶ τὴν ψυχὴν ἐθλίψαμεν τὴν ἡμετέραν, καὶ πᾶσαν φιλίαν ἐκβαλόντες καὶ πρόληψιν, σὲ καὶ τὸν εἰς σὲ πόθον ἁπάντων προτετιμήκαμεν πραγμάτων᾽.

διὰ κατηγορίαν εἰς τοὺς ἐθνικοὺς καὶ εἰς τοὺς Ἰουδαίους καὶ νὰ παραγκωνίζῃ καὶ ὑπονομεύῃ καὶ τοὺς συγγενεῖς καὶ τοὺς ξένους καὶ νὰ διασκορπίζῃ πολλὴν βλασφημίαν κατὰ τῆς δόξης τοῦ Θεοῦ καὶ νὰ δέχεται νὰ κάνῃ δουλοπρεπεῖς ὑπηρεσίας καὶ νὰ σπρώχνῃ τὸν ἑαυτόν του πρὸς τὸν θόρυβον τῶν κοσμικῶν πραγμάτων καὶ νὰ παραδίδῃ εἰς τὸν διάβολον τὴν ἐλευθερίαν ποὺ μᾶς ἐδωρήθη καὶ ν' ἀνταλλάσσῃ αὐτὴν μὲ τὴν πιὸ χειροτέραν μορφὴν δουλείας καὶ νὰ γίνεται καταγέλαστος μὲν εἰς τοὺς φίλους, ἄξιος κατηγορίας δὲ ἀπὸ τοὺς ἐχθροὺς καὶ νὰ γίνεται μὲν ἀφορμὴ κακῆς φήμης διὰ τὸ πλήρωμα τῆς ἐκκλησίας, νὰ κατεντροπιάζῃ δὲ τὸ σεβαστὸν ἀξίωμα τῆς παρθενίας, καὶ νὰ παρέχῃ πολλὰς ἀφορμὰς εἰς αὐτοὺς ποὺ θέλουν νὰ ἀσελγοῦν καὶ νὰ δημιουργῇ ἄλλα, πολὺ περισσότερα ἀπὸ αὐτά, δεινὰ (διότι δὲν εἶναι δυνατὸν οὔτε νὰ τὰ σκεφθῇ κανεὶς οὔτε νὰ τὰ ἐκφράσῃ μὲ λόγια ὅλα ἐκεῖνα ποὺ ὑπομένουν ἐξ αἰτίας αὐτῶν τῶν πραγμάτων), ὅλα αὐτὰ εἶναι καὶ ἀπὸ τὰ πάρα πολὺ ἀπηγορευμένα καὶ ἀπὸ ἐκεῖνα ποὺ συνεπάγονται ἀνυπόφορον τιμωρίαν.

Ὥστε καὶ ἂν ἀκόμη ὑπάρχῃ εἰς αὐτὰ κάποια μικρὰ ἡδονή, ὅλα αὐτὰ ἐὰν τὰ θέσωμεν ἀπέναντι εἰς ἐκείνην, τὸν γέλωτα, τὴν ἐντροπήν, τὴν ὑποψίαν τῶν πολλῶν, τὰς κατηγορίας, τὰς κοροϊδίας, τοὺς ὀνειδισμούς, τὸν σκώληκα τὸν χωρὶς τέλος, τὸ σκότος τὸ ἐξώτερον, τὸ πῦρ τὸ ἄσβεστον, τὴν θλῖψιν, τὴν στενοχωρίαν, τὸν τρυγμὸν τῶν ὀδόντων, τὰ δεσμὰ τὰ ἄλυτα, καὶ ἀφοῦ τὰ τοποθετήσωμεν ὡσὰν ἀκριβῶς ἐπάνω εἰς πλάστιγκας καὶ τὰ ἀντιπαραβάλωμεν, ἂς ἀπομακρυνθῶμεν κάποτε, ἔστω καὶ ἀργά, ἀπὸ τὴν φοβερωτάτην καὶ ὀλεθρίαν αὐτὴν νόσον, ὥστε νὰ ἀπέλθωμεν ἐκεῖ μὲ λαμπρὰ στεφάνια καὶ νὰ ἠμπορέσωμεν μὲ ἐλεύθερον στόμα νὰ εἰποῦμεν εἰς τὸν Χριστόν, ὅτι 'Δι' ἐσένα καὶ τὴν δόξαν σου καὶ τὰς συνηθείας περιεφρονήσαμεν καὶ ἐκυριαρχήσαμεν τῆς ἡδονῆς καὶ τὴν ψυχήν μας ἐστενοχωρήσαμεν καί, ἀπορρίψαντες κάθε φιλίαν καὶ πρόληψιν, ἐπροτιμήσαμεν ἐσένα καὶ τὸν πόθον μας δι' ἐσένα ἀπὸ ὅλα τὰ ἄλλα πράγματα'.

Οὕτω γὰρ κερδανοῦμεν ἡμᾶς αὐτούς, κερδανοῦμεν δὲ τὰς ἀθλίας ἐκείνας, κερδανοῦμεν μὲ τοὺς σκανδαλιζομένους, καὶ παρ' αὐτοὺς στησόμεθα τοὺς μάρτυρας, καὶ τὴν πρώτην ληψόμεθα τάξιν. Τῶν γὰρ τὴν μεγίστην ἀθλησάντων ἄθλησιν ἐκείνην, καὶ τὰς καρτερικὰς ἐνεγκόντων ὀδύνας, οὐκ ἐλάττονα τίθεμαι ἄνθρωπον τὸν ἐπιθυμίᾳ κατεχόμενον παλαιᾷ, καὶ ἐν ἡδίστῃ τινὶ καὶ ἀρχαίᾳ προκατειλημμένον συνηθείᾳ, εἶτα διὰ τὸν τοῦ Θεοῦ φόβον διακόπτοντα τὰ δεσμὰ καὶ πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἀνατρέχοντα. Καὶ γὰρ τῶν σφόδρα ἐστὶ χαλεποτάτων, συμπάθειάν τε καὶ φιλοστοργίαν ἐκβαλεῖν ἀρχαίαν καὶ τὰς πολυπλόκους διακόψαι λαβάς, καὶ πτεροφυῆσαι, καὶ πρὸς τὰς οὐρανίους ἁψῖδας ἀναδραμεῖν. Καὶ καθάπερ ἐκείνοις δριμὺς ὁ πόνος, οὕτω καὶ τούτοις μακροτέρα ἡ ὀδύνη. Διὸ καὶ οἱ στέφανοι πάλιν ἴσοι, ἐπειδὴ καὶ τὰ παλαίσματα αὐτοῖς παράλληλα κεῖται.

Εἰ γὰρ ὁ ἐξαγαγὼν τίμιον ἐξ ἀναξίου ὡς στόμα τοῦ Θεοῦ ἔσται, ὁ καὶ ἑαυτὸν ἐλευθερώσας καὶ μυρίους ἄλλους ἀπαλλάξας κατηγορίας, ἐννόησον ὅσον λήψεται τὸν μισθόν, καὶ τῇ τῶν ἐπάθλων ἐλπίδι κουφιζόμενος καταφρόνησον συνηθείας πονηρᾶς, ἵνα κατὰ τὸ τῷ Θεῷ δοκοῦν διαδραμὼν τὸν παρόντα βίον, μετὰ καθαροῦ συνειδότος αὐτὴν ἴδῃς ἐκεῖ καὶ τῆς ἁγιωτάτης αὐτῆς ἀπολαύσῃς ὁμιλίας. Τῶν γὰρ σωματικῶν λυθέντων παθῶν καὶ τῆς τυραννικῆς σβεσθείσης ἐπιθυμίας, οὐδὲν τὸ κωλύον ἄνδρας τε ὁμοῦ καὶ γυναῖκας εἶναι ἐκεῖ, πάσης μὲν ἐκποδὼν πονηρᾶς οὔσης ὑποψίας, τὴν δὲ τῶν ἀγγέλων πολιτείαν καὶ τῶν νοερῶν δυνάμεων ἐκείνων δυναμένων διασώζειν, τῶν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσαγομένων ἁπάντων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

31. Ἱερ. 15, 19.

Ἔτσι λοιπὸν θὰ κερδίσωμεν τοὺς ἑαυτούς μας, θὰ κερδίσωμεν τὰς δυστυχεῖς ἐκείνας παρθένους, θὰ κερδίσωμεν τοὺς σκανδαλιζομένους καὶ θὰ σταθῶμεν πλησίον τῶν μαρτύρων καὶ θὰ λάβωμεν τὴν πρώτην θέσιν. Διότι δὲν θεωρῶ κατώτερον, ἀπὸ ἐκείνους ποὺ ἐπέτυχον τὸν μέγιστον ἐκεῖνον ἀγῶνα καὶ ὑπέφεραν μὲ ὑπομονὴν μεγάλην τὰς ὀδύνας ἐκείνας, τὸν ἄνθρωπον ἐκεῖνον, ποὺ κατείχετο ἀπὸ παλαιὰν ἐπιθυμίαν καὶ εἶχε κυριευθῆ ἀπὸ κάποιαν πολὺ γλυκεῖαν καὶ ἀρχαίαν συνήθειαν, καὶ ἐν συνεχείᾳ διὰ τὸν φόβον τοῦ Θεοῦ διακόπτει τὰ δεσμὰ καὶ τρέχει πρὸς αὐτὸ ποὺ εἶναι ἀρεστὸν εἰς τὸν Θεόν. Καθ' ὅσον εἶναι ἀπὸ τὰ πιὸ δυσκολώτερα πράγματα τὸ ν' ἀποβάλῃ κανεὶς παλαιὰν συνήθειαν καὶ συμπάθειαν καὶ νὰ διακόψῃ τὰ πολύπλοκα δεσμὰ καὶ ν' ἀποκτήσῃ πτερὰ καὶ νὰ τρέξῃ πρὸς τὰς οὐρανίους ἀψῖδας. Καὶ ὅπως ἀκριβῶς εἰς ἐκείνους ὁ κόπος εἶναι σκληρός, ἔτσι καὶ εἰς αὐτοὺς μεγαλυτέρα ἡ ὀδύνη. Διὰ τοῦτο καὶ οἱ στέφανοι εἶναι ἴσοι, ἐπειδὴ καὶ τὰ ἀγωνίσματα ποὺ εὑρίσκονται ἔμπροσθέν των, εἶναι παράλληλα.

Ἐὰν λοιπὸν αὐτὸς ποὺ κάτι ἀπὸ ἀνάξιον τὸ καθιστᾷ τίμιον, θὰ γίνῃ ὡς στόμα τοῦ Θεοῦ[31], αὐτὸς ποὺ ἠλευθέρωσε τὸν ἑαυτόν του καὶ ἀπήλλαξεν ἄλλους ἀπὸ μυρίας κατηγορίας, σκέψου πόσον μισθὸν θὰ λάβῃ, καὶ ἔτσι, ἐνδυναμούμενος ἀπὸ τὴν ἐλπίδα τῶν ἐπάθλων, περιφρόνησε τὴν κακὴν συνήθειαν, ὥστε ἀφοῦ διανύσῃς τὴν παροῦσαν ζωὴν σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, νὰ ἴδῃς αὐτὴν ἐκεῖ μὲ καθαρὰν συνείδησιν καὶ ν' ἀπολαύσῃς τὴν ἁγιωτάτην ἐκείνην συνομιλίαν μὲ αὐτήν. Διότι ὅταν καταργηθοῦν τὰ σωματικὰ πάθη καὶ σβεσθῇ ἡ τυραννικὴ ἐπιθυμία, δὲν ἐμποδίζει τίποτε νὰ εἶναι ἐκεῖ οἱ ἄνδρες μὲ τὰς γυναῖκας, ἀφοῦ θὰ ἔχῃ ἐκλείψει κάθε πονηρὰ ὑποψία, καὶ θὰ ζοῦν τὴν ἀγγελικὴν ἐκείνην ζωὴν καὶ τῶν νοερῶν ἐκείνων δυνάμεων ὅλοι ἐκεῖνοι ποὺ εἰσέρχονται εἰς τὴν οὐράνιον βασιλείαν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἀνήκει δόξα, τιμὴ καὶ ἐξουσία εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΤΟΥ ΤΑΣ ΚΑΝΟΝΙΚΑΣ ΜΗ ΣΥΝΟΙΚΕΙΝ ΑΝΔΡΑΣΙ

1. Οἴμοι, ψυχή· μετὰ γὰρ τοῦ προφήτου καὶ ἐμοὶ νῦν εὔκαιρον τοῦτο εἰπεῖν, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, Οἴμοι, ψυχή· πρᾶγμα ἡλίκον καὶ ὅσης γέμον φιλοσοφίας. Ἡ παρθενία καθύβρισται καὶ τὸ διεῖργον αὐτὴν ἀπὸ τοῦ γάμου καταπέτασμα ἀνῄρηται ὑπὸ ἀναισχύντων κατασπασθὲν χειρῶν, καὶ τὰ ἅγια τῶν ἁγίων πεπάτηται, καὶ τὰ σεμνὰ καὶ φρίκης γέμοντα γέγονε βέβηλα καὶ πᾶσι βατά, καὶ ἡ τοῦ γάμου σεμνοτέρα τοσοῦτον καθειλκύσθη καὶ κατηνέχθη κάτω, ὡς τὰς γεγαμημένας μακαρίζεσθαι μᾶλλον. Ἀεὶ μὲν γὰρ ἡ παρθενία μετὰ τοῦ γάμου ταττομένη τὰ πρωτεῖα εἶχε καὶ τὴν προεδρίαν ἅπασαν, νυνὶ δὲ οὐδὲ ἐν τῇ δευτέρᾳ τάξει μένειν δεδύνηται, ἀλλὰ πόρρω που καὶ πρὸς τὴν ἐσχάτην ἀπελήλαται τάξιν· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ πολέμιοί τινες οὐδὲ ἐχθροί, ἀλλ' αἱ δοκοῦσαι μάλιστα θεραπεύειν αὐτὴν οὕτως αὐτὴν διέθηκαν, καὶ αἱ παρέχουσαι μάλιστα πάντων ἡμῖν πρὸς τοὺς ἀπίστους ἐλευθεροστομεῖν, αὗται μάλιστα πάντων ἡμῖν ἀπέρραψαν ἡμῶν τὰ στόματα καὶ πολλὴν κατεσκέδασαν αἰσχύνην.

Χρημάτων μὲν ἕνεκεν ὀλίγους μέν, εἶχον δὲ ὅμως δεῖξαί τινας Ἕλληνες παρ' αὐτοῖς φιλοσοφήσαντας, καὶ ὀργῆς δέ τινες ἐν ἐκείνοις περιεγένοντο, παρθενίας δὲ ἄνθος οὐδαμοῦ

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ ΝΑ ΣΥΓΚΑΤΟΙΚΟΥΝ ΜΕ ΤΟΥΣ ΑΝΔΡΑΣ ΑΙ ΑΦΙΕΡΩΜΕΝΑΙ ΕΙΣ ΤΟΝ ΘΕΟΝ ΠΑΡΘΕΝΑΙ

1. «Ἀλλοίμονον, ψυχή!». Πράγματι εἶναι κατάλληλος καιρὸς τώρα νὰ ἀναφωνήσω καὶ ἐγὼ μαζὶ μὲ τὸν προφήτην αὐτὰ τὰ λόγια μίαν καὶ δύο καὶ πολλὰς φοράς· «Ἀλλοίμονον, ψυχή»· πόσον μεγάλο πρᾶγμα εἶναι καὶ γεμᾶτον ἀπὸ πόσην φιλοσοφίαν. Ἡ παρθενία ἔχει περιφρονηθῆ καὶ τὸ παραπέτασμα ποὺ τὴν ἐχώριζεν ἀπὸ τὸν γάμον ἔχει ἀφαιρεθῆ, κατακομματιασθὲν ἀπὸ ἀναίσχυντα χέρια, καὶ τὰ ἅγια τῶν ἁγίων ἔχουν καταπατηθῆ, καὶ αὐτὰ ποὺ ἦσαν ἀξιοσέβαστα καὶ γεμᾶτα ἀπὸ φρίκην ἔχουν γίνει βέβηλα καὶ διαβατὰ ἀπὸ ὅλους, καὶ ἡ παρθενία, ποὺ ἦτο σεμνοτέρα ἀπὸ τὸν γάμον, τόσον πολὺ διεσύρθη καὶ ὑπεβιβάσθη, ὥστε νὰ μακαρίζωνται πολὺ περισσότερον αἱ ἔγγαμοι. Διότι πάντοτε μὲν ἡ παρθενία, συγκρινομένη μὲ τὸν γάμον, εἶχε τὰ πρωτεῖα καὶ τὴν πρώτην θέσιν ἐν γένει, τώρα ὅμως οὔτε εἰς τὴν δευτέραν θέσιν ἠμπορεῖ νὰ παραμείνῃ, ἀλλ' ἀπεμακρύνθη πάρα πολὺ μακρυά, πρὸς τὴν τελευταίαν σχεδὸν θέσιν· καὶ τὸ φοβερώτερον βέβαια εἶναι, ὅτι δὲν τὴν ἔφεραν εἰς αὐτὸ τὸ φοβερὸν κατάντημα ὡρισμένοι ἀντίπαλοι καὶ ἐχθροί της, ἀλλ' αὐταὶ ποὺ πρὸ πάντων ἐθεωροῦντο ὅτι τὴν ὑπηρετοῦσαν, καὶ αὐταὶ ποὺ περισσότερον ἀπὸ ὅλους μᾶς παρεῖχον τὴν δυνατότητα νὰ ὁμιλῶμεν μὲ παρρησίαν πρὸς τοὺς ἀπίστους, αὐταὶ περισσότερον ἀπὸ ὅλους τοὺς Χριστιανοὺς μᾶς ἔρραψαν τὰ στόματα καὶ μᾶς ἐγέμισαν ἀπὸ πολλὴν ἐντροπήν.

Βέβαια καὶ οἱ Ἕλληνες εἶχον νὰ ἐπιδείξουν μεταξύ των ὡρισμένους ποὺ ἐφιλοσόφησαν περὶ χρημάτων καὶ μερισμοὺς ποὺ κατενίκησαν τὸ πάθος τῆς ὀργῆς, εἰς καμμίαν ὅμως περίπτωσιν μεταξὺ αὐτῶν δὲν θὰ εὕρῃς τὸ ἄνθος

παρ' αὐτοῖς, ἀλλ' ἀεὶ παρεχώρουν ἐνταῦθα τῶν πρωτείων ἡμῖν, ὁμολογοῦντες ἀνωτέρω τῆς φύσεως εἶναι τὸ κατόρθωμα, καὶ οὐκ ἀνθρώπινον. Διὰ τοῦτο σφόδρα ἡμῶν τὸ πᾶν ἔθνος ἐθαύμαζον, ἀλλὰ νῦν οὐκέτι, ἀλλὰ καταγελῶσι καὶ κωμῳδοῦσι. Διὰ τοῦτο καὶ ὁ διάβολος τοσοῦτον κατὰ ταύτης ἐνέπνευσε τῆς ἀγέλης, ἐπειδὴ μάλιστα ἀπὸ ταύτης ἑώρα τῆς φάλαγγος λαμπρὸν τοῦ Χριστοῦ τὸ στρατόπεδον, καὶ οὕτως αὐτὴν ἐπεχείρησε καταισχῦναι, ὡς βέλτιον εἶναι λοιπὸν μηδὲ παρθένους εἶναι τὰς οὕτω τὸ πρᾶγμα μετιέναι ἐπιχειρούσας. Τὸ δὲ αἴτιον τῶν κακῶν ἁπάντων, ὅτι μέχρι προσηγορίας τὸ πρᾶγμα ἕστηκε, καὶ ἐν τῷ στόματι τὸ πᾶν περιγέγραπται, ὅπερ ἐλάχιστον μέρος παρθενίας ἐστί, τὰ δὲ ἀναγκαιότερα καὶ μάλιστα αὐτὴν δεικνύντα ἠμέληται, καὶ οὔτε στολῆς κοσμίας λόγος αὐταῖς, οὐχ ἡσυχίας παρθένοις πρεπούσης, οὐ κατανύξεως, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός· ἀλλὰ καὶ φθέγγονται εὐκόλως ἅπαντα καὶ γελῶσιν ἀκαίρως, καὶ κατακλῶνται καὶ θρύπτονται μᾶλλον τῶν ἐπὶ τοῦ τέγους μαλακιζομένων γυναικῶν, πάντοθεν μηχανήματα τοῖς ὁρῶσιν ἐνιεῖσαι, καὶ εἰς τὴν τῶν πορνευομένων γυναικῶν ἀσχημοσύνην εἰσωθεῖν ἑαυτὰς βιάζονται, καθάπερ ἁμιλλώμεναι πρὸς ἐκείνας καὶ φιλονεικοῦσαι τὰ πρωτεῖα εἰς αἰσχύνης δόξαν λαβεῖν.

Πόθεν γάρ, εἰπέ μοι, λοιπὸν δυνησόμεθα τὴν τοιαύτην παρθένον τῆς τάξεως ἐξελέσθαι τῆς ἐκείνων καὶ τῆς κοινωνίας, ὅταν καὶ αὐτὴ τὸ αὐτὸ ποιῇ ἐκείναις, νέων ἐξαπατῶσα καρδίας, ὅταν ἀνεπτερωμένη ᾖ καὶ ἄσωτος, ὅταν τὰ αὐτὰ φάρμακα τρίβῃ καὶ τὰ αὐτὰ κεραννύῃ ποτήρια καὶ τὸ αὐτὸ κατασκευάζῃ κώνειον; Ἀλλ' οὐ λέγει· «Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι», οὐδέ, «Ἔρραγκα τὴν κοίτην μου κρόκῳ, καὶ τὴν

1. Παρμ. 7, 18.

τῆς παρθενίας, ἀλλὰ πάντοτε παρεχώρουν, ὡς πρὸς τὸ θέμα αὐτό, εἰς ἡμᾶς τὰ πρωτεῖα, ὁμολογοῦντες ὅτι τὸ κατόρθωμα αὐτὸ εὑρίσκεται ὑπεράνω τῆς ἀνθρωπίνης φύσεως καὶ δὲν εἶναι ἀνθρώπινον. Διὰ τοῦτο ἐθαύμαζον πάρα πολὺ ἡμᾶς τοὺς Χριστιανούς, τώρα ὅμως ὄχι πιά, ἀλλὰ μᾶς καταγελοῦν καὶ μᾶς διακωμωδοῦν. Διὰ τοῦτο καὶ ὁ διάβολος τόσον μεγάλην μανίαν ἐπέδειξεν ἐναντίον αὐτῆς τῆς ἀγέλης, ἐπειδὴ ἔβλεπεν ἀπὸ αὐτὴν κατ' ἐξοχὴν τὴν φάλαγγα ν' ἀκτινοβολῇ τὸ στρατόπεδον τοῦ Χριστοῦ, καὶ τόσον πολὺ ἐπεχείρησε νὰ καταισχύνῃ αὐτήν, ὥστε πλέον εἶναι προτιμότερον νὰ μὴ εἶναι οὔτε κἂν παρθένοι αὐταὶ ποὺ ἐπιχειροῦν ν' ἀσκήσουν τὴν παρθενίαν μὲ τὸν τρόπον αὐτόν. Τὸ δὲ αἴτιον ὅλων τῶν κακῶν εἶναι, τὸ ὅτι αὐτὴ κατήντησε μόνον κατ' ὄνομα παρθενία καὶ κατήντησε τὸ ὅλον πρᾶγμα νὰ περιγράφεται μόνον ἀπὸ τὸ στόμα, πρᾶγμα ποὺ εἶναι τὸ ἐλάχιστον μέρος τῆς παρθενίας, ἐνῷ ἔχουν παραμεληθῆ τὰ σημαντικώτερα καὶ αὐτὰ ποὺ κατ' ἐξοχὴν τὴν ἀναδεικνύουν, καὶ δὲν δίδουν σημασίαν οὔτε διὰ στολὴν κοσμίαν, οὔτε διὰ τὴν πρέπουσαν εἰς τὰς παρθένους ἡσυχίαν, οὔτε διὰ τὴν συντριβὴν τῆς καρδίας, οὔτε διὰ τίποτε ἄλλο παρόμοιον, ἀλλὰ καὶ λέγουν χωρὶς νὰ σκεφθοῦν τὰ πάντα καὶ γελοῦν χωρὶς αἰτίαν καὶ κάμνουν καμώματα, καὶ καλλωπίζονται περισσότερον καὶ ἀπὸ τὰς γυναῖκας ποὺ συχνάζουν εἰς τοὺς οἴκους ἀνοχῆς, ἀπὸ παντοῦ προκαλοῦν αὐτοὺς ποὺ τὰς βλέπουν καὶ βιάζονται νὰ σπρώχνουν τὸν ἑαυτόν των καὶ εἰς τὴν ἀσχημοσύνην τῶν γυναικῶν καὶ πορνεύουν, ὡσὰν νὰ συναγωνίζωνται ἐκείνας ποὺ φιλονεικοῦν πῶς νὰ λάβουν τὰ πρωτεῖα εἰς τὴν δόξαν τῆς ἐντροπῆς.

Εἰπέ μου λοιπὸν σὲ παρακαλῶ, πῶς θὰ ἠμπορέσωμεν νὰ ξεχωρίσωμεν τὴν παρόμοιον παρθένον ἀπὸ τὴν τάξιν καὶ τὴν κοινωνίαν τῶν γυναικῶν ἐκείνων, ὅταν καὶ αὐτὴ κάμνῃ τὸ ἴδιον μὲ αὐτάς, ἐξαπατῶσα τὰς καρδίας τῶν νέων, ὅταν εἶναι προκλητικὴ καὶ ἄσωτος, ὅταν παρασκευάζῃ τὰ ἴδια φάρμακα καὶ προσφέρει τὰ ἴδια ποτήρια καὶ ἑτοιμάζει τὸ ἴδιο δηλητήριον; Ἀλλ' ὅμως δὲν λέγει ἡ Γραφή, «Ἔλα καὶ νὰ ἐπιδοθῶμεν εἰς τὸν ἔρωτα»[1], οὔτε «Ἐράντι-

κλίνην μου κινναμώμῳ»· εἴτε τὴν κοίτην καὶ τὴν κλίνην, καὶ μὴ τὰ ἱμάτια καὶ τὸ σῶμα. Ἐκεῖναι μὲν γὰρ οἴκοι τὸ δέλεαρ κατακρύπτουσι, σὺ δὲ πανταχοῦ περιφέρεις τὴν παγίδα, καὶ ἀναπετάσασα τῆς ἡδονῆς τὰ πτερὰ περιάγεις ἐπὶ τῆς ἀγορᾶς. Ἀλλ' οὐ διελέχθης, οὐδὲ εἶπες ἐκεῖνα τὰ πορνικὰ ῥήματα, «Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι»· οὐκ εἶπες τῇ γλώττῃ, ἀλλ' εἶπες τῷ σχήματι· οὐκ ἐφθέγξω τῷ στόματι, ἀλλ' ἐφθέγξω τῷ βαδίσματι· οὐκ ἐκάλεσας τῇ φωνῇ, ἀλλ' ἐκάλεσας φωνῆς λαμπρότερον διὰ τῶν ὀφθαλμῶν. Ἀλλὰ καλέσασα οὐκ ἔδωκας σεαυτήν. Οὐδὲ οὕτως ἀπήλλαξαι τῆς ἁμαρτίας. Καὶ γὰρ καὶ τοῦτο ἕτερον εἶδος πορνείας· καθαρὰ τῆς ὕβρεως ἔμεινας, ἀλλὰ τῆς σωματικῆς, οὐ τῆς ψυχικῆς· καὶ ἀπήρτισταί σοι τὰ τῆς ἁμαρτίας πάντα, εἰ καὶ μὴ διὰ τῆς μίξεως, ἀλλὰ διὰ τῆς ὄψεως.

Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, καλεῖς τοὺς παριόντας; τί δὲ ἐξάπτεις τὸ πῦρ; πῶς δὲ νομίζεις εἶναι καθαρὰ τῆς ἁμαρτίας, πᾶσαν αὐτὴν ἐργασαμένη; Καὶ γὰρ τέλειον εἰργάσω μοιχὸν τὸν ἁλόντα σου τῷ σχήματι τούτῳ· πῶς οὖν δύνασαι μὴ εἶναι μοιχαλίς, ὅταν τὸ ἔργον σου μοιχείας ἁλίσκηται; ἡ γὰρ ἐκείνου μανία σὸν ἔργον ἐστί. Ὅτι γὰρ ἡ κατασκευάζουσα μοιχοὺς μοιχείας διαφυγεῖν τιμωρίαν οὐκ ἂν δυνηθείη ποτὲ παντί που δῆλόν ἐστι. Σὺ τὸ ξίφος ἠκόνησας, σὺ τὴν δεξιὰν ὥπλισας, σὺ τὴν ὡπλισμένην δεξιὰν κατὰ τῆς ἀθλίας ὤθησας ψυχῆς· πῶς οὖν δύνασαι τῆς ἐπὶ τῷ φόνῳ τούτῳ τιμωρίας ἀπαλλάττεσθαι; Εἰπὲ γάρ μοι, τίνας μισοῦμεν καὶ ἀποστρεφόμεθα ἡμεῖς; τίνας δὲ οἱ νομοθέται καὶ δικασταὶ κολάζουσι; τοὺς πίνοντας τὰ δηλητήρια φάρμακα, ἢ τοὺς κεραννύντας τὴν κύλικα, καὶ κατασκευάζοντας αὐτά, καὶ διὰ

2. Παρμ. 7, 17.

σα τὴν κοίτην μου μὲ κρόκον καὶ τὴν κλίνην μου μὲ κιννάμωμον»[2]· μακάρι νὰ ἐρράντιζε τὴν κοίτην καὶ τὴν κλίνην της καὶ ὄχι τὰ ἐνδύματά της καὶ τὸ σῶμα της. Διότι ἐκεῖναι μὲν κρύπτουν τὸ δόλωμα εἰς τὴν οἰκίαν, ἐνῷ σὺ παντοῦ περιφέρεις τὴν παγίδα καὶ ἀφοῦ ἤνοιξες τὰ πτερὰ τῆς ἡδονῆς τριγυρίζεις μέσα εἰς τὴν ἀγοράν. Ἀλλὰ θὰ μοῦ εἰπῇς, ὅτι δὲν συνωμίλησες μὲ κανένα, οὔτε εἶπες ἐκεῖνα τὰ πορνικὰ λόγια, «Ἔλα καὶ νὰ ἐπιδοθοῦμεν εἰς ἔρωτα»· δὲν τὸ εἶπες μὲ τὴν γλῶσσαν, ἀλλὰ τὸ εἶπες μὲ τὴν ὅλην ἐμφάνισίν σου· δὲν τὸ εἶπες μὲ τὸ στόμα, ἀλλὰ τὸ εἶπες μὲ τὸ βάδισμά σου· δὲν τὸν ἐκάλεσες μὲ τὴν φωνήν, ἀλλὰ τὸν ἐκάλεσες καταφανέστερον τῆς φωνῆς μὲ τοὺς ὀφθαλμούς σου. Ἀλλὰ ναὶ μὲν τὸν ἐκάλεσες, ἀλλ' ὅμως δὲν τοῦ ἐδόθης. Οὔτε ἔτσι εἶσαι ἀπηλλαγμένη ἀπὸ τὴν ἁμαρτίαν. Καθ' ὅσον καὶ αὐτὸ εἶναι ἄλλο εἶδος πορνείας· ἔμεινες καθαρὰ ἀπὸ τὴν προσβολήν, ἀλλ' ὅμως τὴν σωματικὴν καὶ ὄχι τὴν ψυχικήν· καὶ ἐπετελέσθησαν ἀπὸ ἐσένα ὅλα τὰ σχετικὰ μὲ τὴν ἁμαρτίαν, ἂν καὶ ὄχι διὰ τῆς ἐπαφῆς, ἀλλὰ διὰ τῆς ὄψεως.

Εἰπέ μου σὲ παρακαλῶ· πρὸς ποῖον σκοπὸν προκαλεῖς τοὺς διερχομένους; διατί ἀνάπτεις τὴν φωτιάν; πῶς νομίζεις ὅτι εἶσαι καθαρὰ ἀπὸ ἁμαρτίαν, τὴν στιγμὴν ποὺ τὴν ἔχεις διαπράξει ἐξ ὁλοκλήρου; Καθ' ὅσον ἔκαμες τέλειον μοιχὸν αὐτὸν ποὺ συνέλαβες μὲ τὴν ὅλην ἐμφάνισίν σου· πῶς λοιπὸν ἠμπορεῖς νὰ μὴ εἶσαι μοιχαλίς, ὅταν αἱ πράξεις συνίστανται εἰς μοιχείας; διότι ἡ μανία ἐκείνου εἶναι ἰδικόν σου ἔργον. Τὸ ὅτι βέβαια αὐτὴ ποὺ δημιουργεῖ μοιχοὺς δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ διαφύγῃ τὴν τιμωρίαν τῆς μοιχείας εἶναι εἰς τὸν καθένα φανερόν. Σὺ ἠκόνισες τὸ ξίφος, σὺ ὥπλισες τὴν δεξιάν, σὺ ἔσπρωξες τὴν ὡπλισμένην δεξιὰν ἐναντίον τῆς δυστυχισμένης ψυχῆς· πῶς λοιπὸν ἠμπορεῖς ν' ἀπαλλαγῇς ἀπὸ τὴν τιμωρίαν διὰ τὸν φόνον αὐτόν; Διότι εἰπέ μου σὲ παρακαλῶ· ποίους μισοῦμεν καὶ ἀποστρεφόμεθα; ποίους τιμωροῦν οἱ νομοθέται καὶ οἱ δικασταί; αὐτοὺς ποὺ πίνουν τὰ δηλητηριώδη φάρμακα ἢ ἐκείνους ποὺ ἀναμειγνύουν καὶ τὰ παρασκευάζουν μέσα

τῆς τέχνης ἀπολλύντας τῆς αὐτῶν; οὐχὶ τοὺς πίνοντας μὲν καὶ ἐλεοῦμεν ἅτε ἠδικημένους, ἐκείνους δὲ πάσαις καταδικάζομεν ψήφοις; Καὶ οὐκ ἀρκεῖ πρὸς ἀπολογίαν αὐτοῖς τὸ λέγειν, ὅτι οὐκ ἐμαυτὸν ἔβλαψα, ἀλλ' ἕτερον ἀπώλεσα· ἀλλὰ καὶ δι' αὐτὸ μὲν τοῦτο χαλεπωτέραν διδόασι δίκην.

Σὺ δὲ ἀθλία καὶ ταλαίπωρε, κεράσασα τὴν κύλικα τὴν ὀλεθρίαν ταύτην, καὶ ὀρέξασα καὶ δοῦσα τὸ φάρμακον, μετὰ τὸ πιεῖν ἐκεῖνον καὶ ἀπολέσθαι ἀπολογίαν σαυτῇ νομίζεις ὑπολελεῖφθαι, τὸ μὴ αὐτὴ πιεῖν, ἀλλ' ἑτέρῳ παρασχεῖν τὸ δηλητήριον; Καίτοι γε ὑμεῖς τῶν φαρμακοπωλῶν ἐκείνων τοσούτῳ χαλεπωτέραν δώσετε δίκην, ὅσῳ καὶ ὁ θάνατος χαλεπώτερος. Οὐ γὰρ σῶμα μόνον, ἀλλὰ καὶ ψυχὴν ἀναιρεῖτε· κἀκεῖνοι μὲν πολλάκις ἢ θυμῷ, ἢ ὀργῇ τοῦτο πράττουσιν, ἢ χρημάτων δεόμενοι, ὑμεῖς δὲ οὐδὲ εἰς ταύτην ἔχετε καταφυγεῖν τὴν πρόφασιν. Οὔτε γὰρ ἐχθροὺς ὄντας, οὔτε ἠδικηκότας, οὔτε χρημάτων δεόμεναι τοῦτο ποιεῖτε, ἀλλ' ὑπὲρ κενοδοξίας μόνης εἰς τὰς ἀλλοτρίας παίζετε ψυχάς, τέρψιν οἰκείαν τὸν ἑτέρων ποιούμεναι θάνατον.

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἐξηνέχθην ταῦτα εἰπεῖν ἑτέρωσε ὁρμῶν· διόπερ ἐπανιτέον, ὅθεν ἐξέβην. Ὥσπερ γὰρ οὐκ ἀρκούντων τούτων καταισχῦναι τὸ πᾶν ἔθνος, καὶ ἄλλο τι πλέον ἐπενόησαν. Ἀλλὰ μηδεὶς περὶ πασῶν ταῦτα εἰρῆσθαι νομιζέτω· οὐ γὰρ οὕτως ἄθλιός εἰμι, ὡς ὁμοῦ πάντα φύρειν καὶ συγχεῖν. Περὶ γὰρ τῶν ὑπευθύνων καὶ ταῦτα εἴρηται, καὶ τὰ μετὰ ταῦτα εἰρήσεται. Ὥσπερ γὰρ οὐκ ἀρκούντων τούτων εἰς βλάβην, ἄνδρας τινὰς οὐδαμόθεν αὐταῖς προσή-

εἰς τὸ ποτήρι καὶ ὁδηγοῦν μὲ τὴν τέχνην των εἰς τὸν θάνατον; δὲν συμβαίνει νὰ δείχνωμεν εὐσπλαγχνίαν μὲν δι' αὐτοὺς ποὺ τὰ πίνουν, ἐπειδὴ ἔχουν ἀδικηθῆ, νὰ καταδικάζωμεν δὲ παμψηφεὶ ἐκείνους ποὺ τὰ ἑτοιμάζουν; Καὶ δὲν ἀρκεῖ διὰ τὴν ἀπολογίαν των αὐτὸ ποὺ λέγουν, ὅτι δηλαδὴ δὲν ἔβλαψα τὸν ἑαυτόν μου, ἀλλ' ἄλλον ὡδήγησα εἰς ἀπώλειαν, ἀλλ' ἀκριβῶς δι' αὐτὸ τὸ πρᾶγμα ὑφίστανται βαρυτέραν τιμωρίαν.

Σὺ ὅμως, ἀθλία καὶ ταλαίπωρε, ποὺ ἡτοίμασες τὸ ὀλέθριον αὐτὸ ποτήρι καὶ ἥπλωσες τὸ χέρι καὶ προσέφερες τὸ φάρμακον καὶ ἐκεῖνος τὸ ἔπιε καὶ ὡδηγήθη εἰς τὴν ἀπώλειαν, νομίζεις ὅτι ἔχει ἐναπομείνει δι' ἐσένα δικαιολογία τὸ ὅτι δὲν τὸ ἔπιες ἐσὺ τὸ δηλητήριον, ἀλλὰ τὸ προσέφερες εἰς ἄλλον; Ἂν καὶ σεῖς βέβαια τόσον φοβερωτέραν τιμωρίαν θὰ ὑποστῆτε ἀπὸ τοὺς φαρμακοπώλας ἐκείνους, ὅσον φοβερώτερος εἶναι ὁ θάνατος. Διότι δὲν θανατώνετε μόνον τὸ σῶμα, ἀλλὰ καὶ τὴν ψυχήν. Καὶ ἐκεῖνοι μὲν πολλὰς φορὰς τὸ κάνουν αὐτὸ ἀπὸ θυμὸν καὶ ὀργὴν ἢ ἐπειδὴ ἔχουν ἀνάγκην ἀπὸ χρήματα, σεῖς ὅμως δὲν ἔχετε οὔτε καὶ αὐτὴν τὴν δικαιολογίαν νὰ προβάλετε. Διότι αὐτὸ τὸ κάμνετε καὶ χωρὶς νὰ εἶναι ἐχθροί σας καὶ χωρὶς νὰ σᾶς ἔχουν ἀδικήσει καὶ μὴ ἔχουσαι ἀνάγκην ἀπὸ χρήματα, ἀλλὰ παίζετε μὲ τὰς ψυχὰς τῶν ξένων ἁπλῶς καὶ μόνον ἀπὸ ματαιοδοξίαν, διότι μεταβάλλετε εἰς εὐχαρίστησίν σας τὸν θάνατον τῶν ἄλλων.

Ἀλλὰ βέβαια δὲν γνωρίζω πῶς, ὁρμώμενος ἀπὸ ἄλλην αἰτίαν, ἔφθασα νὰ εἰπῶ αὐτά· διὰ τοῦτο λοιπὸν πρέπει νὰ ἐπιστρέψω ἐκεῖ, ἀπὸ ὅπου ἔκαμα τὴν παρέκβασιν. Διότι, ὡσὰν ἀκριβῶς νὰ μὴ ἀρκοῦσαν αὐτὰ διὰ νὰ γεμίσουν μὲ αἰσχύνην ὁλόκληρον τὸ φῦλον των, ἐπενόησαν καὶ κάτι ἐπὶ πλέον. Ἀλλὰ κανεὶς νὰ μὴ νομίζῃ ὅτι αὐτὰ ἐλέχθησαν δι' ὅλας· διότι δὲν εἶμαι τόσον ἄθλιος, ὥστε ὅλα νὰ τὰ ἀναμειγνύω καὶ νὰ τὰ συγχέω. Καὶ αὐτὰ λοιπὸν ἐλέχθησαν περὶ τῶν ὑπευθύνων καὶ περὶ αὐτῶν θὰ λεχθοῦν καὶ τὰ ἐν συνεχείᾳ. Διότι, ὡσὰν νὰ μὴ ἀρκοῦσαν αὐτὰ διὰ νὰ δημιουργήσουν τὴν βλάβην, παίρνουν καὶ κλείουν μαζί των ὡρισμέ-

κοντας λαβοῦσαι συγκατακλείουσι, καὶ τὸν πάντα συνοικίζουσι χρόνον, καθάπερ ἐνδεικνύμεναι καὶ διὰ τούτων καὶ διὰ τῶν εἰρημένων, ὅτι ἄκουσαι ἐπὶ τὴν παρθενίαν εἰλκύσθησαν καὶ βίαν ὑπομείνασαι τὴν ἐσχάτην· καὶ ταύτῃ παραμυθοῦνται τὴν βίαν καὶ τὴν ἀνάγκην.

Τί γάρ; οὐχὶ τούτων χείρω παρὰ πάντων, ὅταν ταῦτα γίνηται, λέγεται καὶ παρὰ φίλων καὶ οἰκείων; Ταύτας δὲ ζῆν ἢ ἀναπνεῖν ὅλως ἔδει, ἀλλὰ μὴ διαπρίεσθαι μέσας, ἢ κατορύττεσθαι ζώσας μετ' ἐκείνων αὐτῶν; Καὶ γὰρ καὶ ταῦτα καὶ τούτων πολλῷ πλείονα ἅπαντες λέγουσι· καὶ δρόμος λοιπὸν ταῖς μαίαις καθ' ἑκάστην ἡμέραν ἐπὶ τὰς τῶν παρθένων οἰκίας, καθάπερ πρὸς τὰς ὠδινούσας, οὐχ ὥστε λοχεῦσαι τίκτουσαν (γέγονε μὲν γὰρ καὶ ἐπί τινων καὶ τοῦτο), ἀλλ' ὥστε διαγνῶναι καθάπερ ἐπὶ τῶν ὠνουμένων θεραπαινίδων, τίς μὲν ἡ διεφθαρμένη, τίς δὲ ἡ ἀνέπαφος. Καὶ ἡ μὲν ὑπήκουσε ῥᾳδίως τῇ δοκιμασίᾳ, ἡ δὲ ἀντεῖπε, καὶ αὐτῷ τούτῳ καταισχυνθεῖσα ἀπῆλθεν, εἰ καὶ μὴ διέφθαρτο· καὶ ἡ μὲν ἑάλω, ἡ δὲ ἑάλω, καὶ αὐτὴ δὲ πάλιν οὐχ ἧττον ἐκείνης αἰσχύνεται, μὴ δυνηθεῖσα ἀξιόπιστος ἀπὸ τοῦ τρόπου φανῆναι, ἀλλὰ μαρτυρίας τῆς ἀπὸ τῆς ἐξετάσεως δεηθεῖσα. Πόσων οὐκ ἄξια ταῦτα δακρύων; πόσων οὐκ ἄξια θανάτων; Τίς δὲ οὕτω λίθινος καὶ ἀσυμπαθής, ὡς μὴ πυρωθῆναι καὶ τὰ τοῦ Φινεὲς παθεῖν; Ἀλλ' ἐκεῖνος μέν, εἰ κατὰ τὸν καιρὸν ἐκεῖνον ταύτην οἶδε γινομένην τὴν ἀσχημοσύνην, οὐκ ἂν αὐτῶν ἐφείσατο, ἀλλ' ἐποίησεν ἂν ταὐτό, ὅπερ καὶ ἐπὶ τῆς Μαδιανίτιδος

2α. Ἀριθμ. 25, 7 - 15.

νους ἄνδρας ποὺ δὲν ἔχουν καμμίαν σχέσιν μὲ αὐτὰς καὶ συγκατοικοῦν μαζί των καθ' ὅλον τὸν χρόνον, ὡσὰν νὰ θέλουν νὰ δείξουν μὲ τὴν ἐνέργειάν των αὐτὴν καὶ μὲ τὰ ὅσα λέγουν, ὅτι παρεσύρθησαν πρὸς τὴν παρθενίαν χωρὶς τὴν θέλησίν των καὶ μετὰ ἀπὸ πάρα πολὺ ἐξαναγκασμόν, καὶ μὲ τὸν τρόπον αὐτὸν παρηγοροῦνται διὰ τὴν βίαν καὶ τὸν ἐξαναγκασμόν.

Τί λοιπόν; Δὲν λέγονται ἀπὸ ὅλους, καὶ φίλους καὶ συγγενεῖς, χειρότερα ἀπὸ αὐτά, ὅταν συμβαίνουν αὐτὰ τὰ πράγματα; Μὰ ἔπρεπεν αὐταὶ νὰ ζοῦν ἀκόμη καὶ ν' ἀναπνέουν; δὲν ἔπρεπε νὰ κατακομματιάζωνται ἢ νὰ παραχώνωνται ζωνταναὶ μαζὶ μὲ ἐκείνους; Καθ' ὅσον καὶ αὐτὰ τὰ λέγουν ὅλοι καὶ πολὺ πιὸ χειρότερα ἀπὸ αὐτά. Καὶ τρέχουν λοιπὸν αἱ μαῖαι καθημερινῶς πρὸς τὰς οἰκείας τῶν παρθένων, ὅπως ἀκριβῶς πρὸς ἐκείνας ποὺ πρόκειται νὰ γεννήσουν, ὄχι μὲ σκοπὸν νὰ βοηθήσουν αὐτὴν ποὺ γεννᾶ (βέβαια συνέβη καὶ αὐτὸ εἰς ὡρισμένας ἀπὸ αὐτάς), ἀλλὰ διὰ νὰ κάμουν διάγνωσιν, ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν ἀγοραζομένων ὑπηρετριῶν, ποία εἶναι ἡ διεφθαρμένη καὶ ποία εἶναι ἀνέπαφος. Καὶ συμβαίνει, ἄλλη μὲν νὰ ὑπακούσῃ εὔκολα εἰς τὴν δοκιμασίαν, ἄλλη δὲ προβάλλει ἀντίρρησιν καί, αἰσθανθεῖσα ἐντροπὴν ἀπὸ αὐτὸ τὸ πρᾶγμα, φεύγει, καὶ ἂν ἀκόμη δὲν διεφθάρη. Καὶ ἄλλη μὲν εὑρίσκεται νὰ ἔχῃ διαφθαρῆ, ἄλλη δὲ ὄχι, ἀλλὰ καὶ αὐτὴ πάλιν ποὺ δὲν εὑρέθη διεφθαρμένη ἐντρέπεται ὄχι ὀλιγώτερον ἀπὸ τὴν διεφθαρμένην, ἐπειδὴ δὲν κατώρθωσε νὰ φανῇ ἀξιόπιστος ἀπὸ τὴν ὅλην συμπεριφοράν της, ἀλλ' ἐχρειάσθη νὰ βεβαιωθῇ αὐτὸ κατόπιν ἐξετάσεως. Πόσων δακρύων δὲν εἶναι ἄξια αὐτά; πόσους θανάτους δὲν ἀξίζουν; Ποῖος εἶναι τόσον σκληρὸς ὡσὰν τὴν πέτραν καὶ τόσον ἀσυγκίνητος, ὥστε νὰ μὴ ἀνάψῃ ἀπὸ μανίαν καὶ νὰ μὴ πάθῃ αὐτὸ ποὺ ἔπαθεν ὁ Φινεές; Ἀλλ' ἐκεῖνος μέν, ἂν διεπίστωνε νὰ διαπράττεται αὐτὴ ἡ ἀσχημοσύνη κατὰ τοὺς χρόνους ἐκείνους, δὲν θὰ τὰς ἐλυπεῖτο, ἀλλὰ θὰ ἦτο δυνατὸν νὰ κάμῃ τὸ ἴδιο ἀκριβῶς ποὺ ἔκαμε τότε εἰς τὴν περίπτωσιν τῆς Μαδιανίτιδος[2α], ἡμεῖς ὅμως (διότι δὲν ἐπιτρέπεται ν' ἁρπά-

τότε εἰργάσατο, ἡμεῖς δὲ (οὐ γὰρ ἐφεῖται ἁρπάσαι μάχαιραν, οὐδὲ κεντῆσαι τῷ σειρομάστῃ τοὺς τὰ τοιαῦτα πλημμελοῦντας) πάσχομεν μὲν ταὐτά, ἅπερ ἐκεῖνος ἔπαθεν ὁ ἅγιος, οὐ δρῶμεν δὲ ταὐτά, ἀλλ' ἑτέρως παραμυθούμεθα τὴν ὀδύνην, δι' ὀδυρμῶν καὶ θρήνων.

Δεῦρο οὖν, συναλγήσατέ μοι καὶ συστενάξατε ὅσαι ταύτης ἐκτός ἐστι τῆς αἰσχύνης· αἱ γὰρ ἄθλιαι καὶ ταλαίπωροι ἐκεῖναι καὶ ἀναλγησίαν ἴσως μετὰ τῶν ἄλλων νοσοῦσι κακῶν. Ἀλλ' ὑμεῖς αἱ τοῦτον ἀναδεξάμεναι τὸν βίον καὶ τοῦ νυμφῶνος καταξιούμεναι καὶ τοῦ νυμφίου καὶ φαιδρὰς ἔχουσαι τὰς λαμπάδας καὶ τῷ τιμίῳ τῆς παρθενίας παντὸς διαδήματος βασιλικοῦ μᾶλλον κοσμούμεναι στεφάνῳ, δακρύσατε σὺν ἡμῖν, καὶ πικρῶς ἀνοιμώξατε· οὐ μικρὸν τοῦτό ἐστι φάρμακον καὶ εἰς διόρθωσιν τῶν τὰ ἀνίατα νοσούντων καὶ εἰς παραμυθίαν τῶν τὰ ἐκείνων ὀδυρομένων· τοῦτο καὶ ὁ νυμφίος ὁ ὑμέτερος πεποίηκε ποτέ. Τὴν γὰρ Ἱερουσαλὴμ πρς ἔσχατον ἀπωλείας κατενεχθεῖσαν ἰδὼν καὶ οὐκέτι δυναμένην ἀνενεγκεῖν ἀπὸ τῆς ἀρρωστίας, ἐδάκρυσε, καὶ ἐπὶ τῆς Βηθσαϊδᾶ συμβουλαῖς μὲν οὐκ ἐχρήσατο λοιπόν, οὐδὲ σημείοις, ταλανισμῷ δὲ μόνον, τὸ «Οὐαὶ» συνεχῶς ἐπιλέγων ταῖς πόλεσι, καθάπερ ἐπὶ τῶν ψυχορραγούντων ποιοῦμεν ἡμεῖς.

Καὶ ὁ μακάριος δὲ Παῦλος, τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος, οὐκ ἐπαύσατο πάντα τὸν βίον, τοὺς πεσόντας καὶ ἐν αὐτῷ τῷ πτώματι μένοντας καὶ οὐκ ἐθέλοντας ἀναστῆναι λοιπὸν ὀλοφυρόμενος οὕτω πικρῶς, ὡς καὶ μετὰ διορισμοῦ τινος ἰσχυροτέρου τοῖς Ῥωμαίοις αὐτὸ δὴ τοῦτο ἐπιστέλλειν καὶ λέγειν, «Ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου· ηὐχόμην γὰρ ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται». Εἶδες ὅσην ἔχει τὰ

---

3. Λουκᾶ 19, 21.
4. Ρωμ. 9, 2-4.

σωμεν τὴν μάχαιραν, οὔτε νὰ τρυπήσωμεν μὲ τὸ ξίφος αὐτοὺς ποὺ διαπράττουν αὐτὰ τὰ πλημμελήματα) παθαίνομεν τὸ ἴδιο ἀκριβῶς ποὺ ἔπαθεν ἐκεῖνος ὁ ἅγιος, δὲν κάμνομεν ὅμως τὰ ἴδια, ἀλλὰ μὲ ἄλλον τρόπον παρηγοροῦμεν τὴν λύπην μας, μὲ ὀδυρμοὺς καὶ θρήνους.

Ἐμπρὸς λοιπόν, συμπονέσατε καὶ συστενάξατε μαζὶ μὲ ἐμένα ὅσαι εἶσθε ἀμέτοχοι αὐτῆς τῆς ἐντροπῆς· διότι αἱ δυστυχεῖς ἐκεῖνοι καὶ ταλαίπωροι ἐνδεχομένως νὰ πάσχουν μαζὶ μὲ ὅλα τὰ ἄλλα κακὰ καὶ ἀπὸ ἀναλγησίαν. Ἀλλὰ σεῖς ποὺ ἐδέχθητε ν' ἀκολουθήσετε αὐτὴν τὴν ζωὴν καὶ εἶσθε ἄξιαι τοῦ νυμφῶνος καὶ τοῦ νυμφίου καὶ ἔχετε φαιδρὰς τὰς λαμπάδας σας καὶ εἶσθε στολισμέναι μὲ τὸν ἔνδοξον στέφανον τῆς παρθενίας λαμπρότερα ἀπὸ ὁποιοδήποτε βασιλικὸν διάδημα, δακρύσατε μαζὶ μὲ ἐμένα καὶ θρηνήσατε πικρά· δὲν εἶναι αὐτὸ μικρὸν φάρμακον καὶ πρὸς διόρθωσιν αὐτῶν ποὺ ὑποφέρουν ἀπὸ ἀθεράπευτα νοσήματα καὶ πρὸς παρηγορίαν ἐκείνων ποὺ θρηνοῦν διὰ τὸ κατάντημα ἐκείνων· αὐτὸ κάποτε ἔκαμε καὶ ὁ νυμφίος σας. Διότι ὅταν εἶδε τὴν Ἱερουσαλὴμ νὰ ὁδηγῆται πρὸς τὸν γκρεμὸν τῆς ἀπωλείας καὶ νὰ μὴ ἠμπορῇ νὰ συνέλθῃ πλέον ἀπὸ τὴν ἀσθένειάν της, ἐδάκρυσε[3]· καὶ εἰς τὴν περίπτωσιν τῆς Βηθσαϊδᾶ δὲν ἐχρησιμοποίησε συμβουλὰς οὔτε θαύματα, ἀλλὰ μόνον ταλανισμούς, ἀπευθύνων συνεχῶς πρὸς τὰς πόλεις τὸ «Οὐαί», ὅπως ἀκριβῶς ἡμεῖς κάμνομεν ἐπὶ τῶν ἑτοιμοθανάτων.

Καὶ ὁ μακάριος δὲ Παῦλος, μιμούμενος τὸν διδάσκαλόν του, δὲν ἔπαυσεν εἰς ὅλην τὴν ζωήν του, αὐτοὺς ποὺ εἶχον πέσει ἀπὸ τὴν πίστιν καὶ ἐξηκολούθουν νὰ μένουν εἰς τὴν πτῶσιν των καὶ δὲν ἤθελον πλέον νὰ σηκωθοῦν, τόσον πολὺ νὰ τοὺς θρηνῇ πικρά, ὥστε μὲ κάποιαν ἐντονωτέραν ἔμφασιν, γράφων πρὸς τοὺς Ρωμαίους, αὐτὸ ἀκριβῶς τὸ ἴδιο νὰ λέγῃ· «Μεγάλη λύπη καὶ ἀδιάκοπος ὀδύνη ὑπάρχει μέσα εἰς τὴν καρδίαν μου· θὰ ηὐχόμουν μάλιστα νὰ γίνω ἐγὼ ἀνάθεμα καὶ νὰ εὑρεθῶ μακρυὰ ἀπὸ τὸν Χριστὸν χάριν τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, ποὺ εἶναι οἱ Ἰσραηλῖται»[4]. Βλέπεις πόσην ἔμφασιν περιέ-

ρήματα ἔμφασιν, ὅσον πόνον καρδίας παρίστησι; Καὶ τῶν πιστῶν δὲ τοὺς χωλεύοντας καὶ κλυδωνιζομένους οὕτω πενθεῖ, ὡς αὐτὸς ἐν ἐκείνοις τυγχάνων τοῖς κακοῖς· «τίς» γάρ, φησίν, «ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;». Καὶ οὐκ εἶπε, 'λυποῦμαι', ἀλλὰ «πυροῦμαι», τὸ ἀφόρητον καὶ ἀνήκεστον τῆς ὀδύνης διὰ τῆς πυρώσεως παραστῆσαι βουλόμενος.

Μιμησώμεθα τοίνυν καὶ ἡμεῖς καὶ τὸν Δεσπότην τὸν ἡμέτερον καὶ τὸν ὁμόδουλον. Καὶ γὰρ οὐδὲ μικρὸς ἡμῖν κείσεται μισθὸς τῶν ὀδυρμῶν τούτων καὶ τῶν θρήνων, ὥσπερ οὐδὲ ἡ τυχοῦσα ἕπεται μέμψις παρὰ τοῦ Θεοῦ τοῖς τὰ τῶν οἰκείων μελῶν κακὰ ἀσυμπαθῶς παρατρέχουσι. Καὶ τούτων τὸ μὲν ἀπὸ τοῦ καρτερικωτάτου ἀνδρὸς Ἰεζεκιὴλ ἔστιν ἰδεῖν, τὸ δὲ ἀπὸ τοῦ μακαρίου Μιχαίου. Ὁ μὲν γάρ φησιν ὅτι, τῶν Ἰουδαίων εἰς ἔσχατον κακίας ἐληλακότων καὶ πρὸς τὴν τῶν εἰδώλων κακίαν αὐτομολησάντων, προσέταξεν ὁ Θεὸς δοῦναι σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων καὶ κατοδυνωμένων ἐπὶ τοῖς γινομένοις. Οὐδὲ γὰρ ἁπλῶς στένειν χρή, ἀλλὰ καὶ κατοδυνᾶσθαι· καίτοι γε οὐδὲν εἶπον οὔτε ἔπραξαν ἐκεῖνοι πρὸς τὴν τῶν γινομένων διόρθωσιν, ἀλλ' ἐπειδὴ τὰ παρ' ἑαυτῶν εἰσήνεγκαν μόνον, τοσαύτῃ τετίμηνται τιμῇ παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ὡς καὶ ἀσφαλείας καὶ δόξης ἀξιωθῆναι πολλῆς.

Ὁ δὲ Μιχαίας μετὰ τῶν ἄλλων ἐγκλημάτων, τῆς γαστριμαργίας λέγω καὶ τῆς μέθης καὶ τῆς τῶν μύρων ἀλοιφῆς, καὶ τοῦτο ἐπήγαγε τὸ κατηγόρημα τὸ τῆς ἀσυμπαθείας οὕτω λέγων· «Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ». Καὶ τοὺς τὴν Αἰνὰν οἰκοῦντας πόλιν ἐκ τούτου διέβαλε πάλιν εἰπών, ὅτι «Οὐκ ἐξῆλθε κόψασθαι οἶκον ἐχόμενον

5. Β' Κορ. 11, 29.
6. Ἀμὼς 6, 6.

χουν τὰ λόγια του καὶ πόσον πόνον καρδίας ἐκφράζουν; Καὶ ἀπὸ τοὺς πιστούς, αὐτοὺς ποὺ ἔδειχναν ἀτελείας ὡς πρὸς τὴν πίστιν των καὶ ἐκλυδωνίζοντο, τόσον πολὺ τοὺς πενθεῖ, ὥστε νὰ εἶναι ὡσὰν νὰ εὑρίσκετο ὁ ἴδιος μέσα εἰς ἐκεῖνα τὰ δεινά. Διότι λέγει· «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ; ποῖος σκανδαλίζεται καὶ ἐγὼ δὲν καίομαι ἀπὸ τὸν πόνον;»[5]. Καὶ δὲν εἶπε 'λυποῦμαι', ἀλλὰ «πυροῦμαι», θέλων νὰ παρουσιάσῃ διὰ τῆς πυρώσεως τὸ ἀνυπόφορον καὶ τὸ ἀθεράπευτον τῆς ὀδύνης του.

Ἂς μιμηθῶμεν λοιπὸν καὶ ἡμεῖς καὶ τὸν Κύριόν μας καὶ τὸν σύνδουλόν μας. Καθ' ὅσον δὲν θὰ εἶναι μικρὸς ὁ μισθὸς ποὺ θὰ μᾶς ἀποδοθῇ διὰ τοὺς ὀδυρμούς μας αὐτοὺς καὶ τοὺς θρήνους, ὅπως πάλιν δὲν θὰ εἶναι τυχαία ἡ κατηγορία ποὺ ἐπιφυλάσσεται ἐκ μέρους τοῦ Θεοῦ πρὸς ἐκείνους ποὺ προσπερνοῦν ἀσυγκίνητοι τὰς συμφορὰς τῶν ἰδικῶν των μελῶν. Καὶ ἀπὸ αὐτὰ τὸ μὲν ἕνα εἶναι δυνατὸν νὰ τὸ διαπιστώσωμεν ἀπὸ τὸν ὑπομονητικώτατον Ἰεζεκιήλ, τὸ δὲ ἄλλο ἀπὸ τὸν μακάριον Μιχαίαν. Διότι ὁ μὲν Ἰεζεκιὴλ λέγει, ὅτι, ἐπειδὴ οἱ Ἰουδαῖοι εἶχον φθάσει εἰς τὸν ἔσχατον βαθμὸν κακίας καὶ εἶχον μεταπηδήσει πρὸς τὴν κακίαν τῶν εἰδώλων, διέταξεν ὁ Θεὸς νὰ δοθῇ σημεῖον δι' αὐτοὺς ποὺ ἐστέναζον καὶ ἦσαν γεμᾶτοι ἀπὸ ὀδύνην δι' αὐτὰ ποὺ συνέβαινον. Διότι δὲν πρέπει ἁπλῶς κανεὶς νὰ στενάζῃ, ἀλλὰ καὶ νὰ εἶναι πλήρης ἀπὸ ὀδύνην. Μολονότι βέβαια ἐκεῖνοι δὲν εἶπον τίποτε οὔτε ἔπραξαν πρὸς διόρθωσιν αὐτῶν ποὺ εἶχον συμβῆ, ὅμως, ἐπειδὴ προσέφερον ὅτι ἐξηρτᾶτο ἀπὸ αὐτοὺς τοὺς ἰδίους, μὲ τόσην τιμὴν ἐτιμήθησαν ἀπὸ τὸν φιλάνθρωπον Θεόν, ὥστε καὶ ν' ἀξιωθοῦν μεγάλης ἀσφαλείας καὶ δόξης.

Ὁ Μιχαίας πάλιν μαζὶ μὲ τὰς ἄλλας κατηγορίας, δηλαδὴ τῆς γαστριμαργίας καὶ τῆς μέθης καὶ τῆς ἀλοιφῆς τῶν μύρων, καὶ αὐτὴν τὴν κατηγορίαν προσέθεσε, τῆς ἀσυγκινησίας, λέγων τὰ ἑξῆς· «Δὲν ἐσυγκινοῦντο καθόλου ἀπὸ τὴν συντριβὴν τοῦ Ἰωσήφ»[6]. Καὶ τοὺς κατοικοῦντας τὴν πόλιν Αἰνὰν διὰ τὸν αὐτὸν λόγον πάλιν τοὺς ἐκατηγόρει, λέγων, «Δὲν ἐξῆλθε νὰ θρηνήσῃ αὐτοὺς ποὺ ἐκατοι-

αὐτῆς». Εἰ δέ, ἔνθα ὁ Θεὸς ὀργίζεται, ὁ μὴ συμπάσχων τοῖς κολαζομένοις ἐγκαλεῖται, ὁ τοῖς εἰς κακίαν καταπίπτουσι μὴ συναλγῶν τίνος ἔσται συγγνώμης ἄξιος; Καὶ μὴ θαυμάσῃς εἰ τοῦ Θεοῦ κολάζοντος ἡμᾶς συναλγεῖν τοῖς κολαζομένοις δεῖ· οὐδὲ γὰρ αὐτὸς ὁ Θες κολάζων βούλεται τοῦτο ποιεῖν· «Οὐδὲ γὰρ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ», φησίν. Εἰ τοίνυν ὁ τιμωρούμενος οὐ βούλεται τιμωρεῖσθαι πολλῷ μᾶλλον ἡμᾶς συναλγεῖν χρὴ τοῖς κολαζομένοις· ἴσως αὐτοὺς ἐκκαλεσόμεθα τούτῳ τῷ τρόπῳ, ἴσως αὐτοὺς ἀνακτησόμεθα. Εἰ γὰρ καὶ ἀπολώλασιν, ἀλλ' ὅμως τὴν λειπομένην παράσχωμεν θεραπείαν, καὶ θρηνήσωμεν καὶ ὀλοφυρώμεθα, οὐ χοροὺς περιστήσαντες γυναικῶν, ἀλλ' ἕκαστος ἰδίᾳ καὶ καθ' ἑαυτὸν οὐ παρόντων ἐκείνων. Εἰ δὲ βούλεσθε, καὶ ἐγὼ κατάρξομαι τοῦ μέλους ὑμῖν τούτου τοῦ γοεροῦ· οὐδὲ γὰρ αἰσχύνομαι μετὰ Ἱερεμίου τοῦτο ποιῶν καὶ Ἠσαΐου καὶ Παύλου, καὶ πρό γε πάντων τούτων τοῦ Δεσπότου.

Ἀρξώμεθα οὖν ὡς ὁ Χριστὸς ἤρξατο πρῶτον καὶ εἴπωμεν· Οὐαί σοι, ψυχή· ἐπὶ ποίαν κληθεῖσα τιμὴν διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ποίαν λήψῃ χώραν διὰ τὴν ῥαθυμίαν τὴν σήν; Οὐαί σοι, ὅτι αὐτὸς μέν σε ἐπὶ τὰς παστάδας εἵλκυσε τὰς πνευματικάς, σὺ δὲ ἑαυτὴν ἀπορρήξασα τῆς δόξης ἐκείνης εἰς τὸ τοῦ διαβόλου κατηνέχθης πῦρ καὶ πρὸς τὰς ἀνηκέστους κολάσεις, ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ἔνθα οὐδεὶς ὁ παραμυθησόμενος, οὐδὲ χεῖρα ὀρέξων, ἀλλὰ σκότος πάντα καὶ ἀπορία καὶ θόρυβος καὶ κακὰ παραμυθίαν οὐκ ἔχοντα οὐδὲ πέρας· ταῦτά μοι πάντα ἡ τοῦ κόσμου φιλία πεποίηκε καὶ τὸ προτιμῆσαι τοῦ οὐρανοῦ τὴν γῆν καὶ

---

7. Μιχ. 1, 11.
8. Ἰεζ. 18, 23.

κοῦσαν εἰς αὐτήν»[7]. Ἐὰν δέ, ὅπου ὁ Θεὸς ὀργίζεται, κατηγορῆται αὐτὸς ποὺ δὲν πάσχει μαζὶ μὲ τοὺς τιμωρουμένους, ποίας συγγνώμης ἄξιος θὰ εἶναι αὐτὸς ποὺ δὲν ὑποφέρει μαζὶ μὲ ἐκείνους ποὺ ὑποπίπτουν εἰς τὴν ἁμαρτίαν; Καὶ μὴ θαυμάσῃς, ἐὰν πρέπει ἡμεῖς νὰ συμπάσχωμεν, ὅταν ὁ Θεὸς τιμωρῇ, μαζὶ μὲ ἐκείνους ποὺ τιμωροῦνται· καθ' ὅσον οὔτε καὶ ὁ ἴδιος ὁ Θεός, ὅταν τιμωρῇ, θέλει νὰ τὸ κάμνῃ αὐτό. Διότι λέγει· «Δὲν θέλω ἐγώ, χωρὶς αἰτίαν, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ»[8]. Ἐὰν λοιπὸν ὁ τιμωρούμενος δὲν θέλῃ νὰ τιμωρῆται, πολὺ περισσότερον ἡμεῖς πρέπει νὰ πάσχωμεν μαζὶ μὲ αὐτοὺς ποὺ τιμωροῦνται· ἴσως τοὺς παρακινήσωμεν πρὸς ἐπιστροφὴν μὲ τὸν τρόπον αὐτόν, ἴσως τοὺς ἐπανακτήσωμεν. Διότι ἂν καὶ ἔχουν χαθῆ, ἀλλ' ὅμως ἂς τοὺς προσφέρωμεν τὴν θεραπείαν ποὺ ἐναπομένει, ἂς θρηνήσωμεν, ἂς κλαύσωμεν πικρῶς, χωρὶς φυσικὰ νὰ στήσωμεν γύρω ἀπὸ αὐτοὺς χοροὺς θρηνουσῶν γυναικῶν, ἀλλ' ὁ καθένας κατ' ἰδίαν καὶ μόνος του χωρὶς ἐκεῖνοι νὰ εἶναι παρόντες. Ἐὰν δὲ θέλετε ἐγὼ ὁ ἴδιος θὰ κάνω τὴν ἀρχὴν αὐτοῦ τοῦ θλιβεροῦ μέλους· διότι δὲν ἐντρέπομαι νὰ τὸ κάνω αὐτὸ μαζὶ μὲ τὸν Ἱερεμίαν καὶ τὸν Ἠσαΐαν καὶ τὸν Παῦλον, καὶ πρὶν ἀπὸ ὅλους αὐτούς, μαζὶ μὲ τὸν Κύριόν μου.

Ἂς ἀρχίσωμεν λοιπὸν πρῶτα ὅπως ἤρχισεν ὁ Χριστὸς καὶ ἂς εἴπουμεν· Ἀλλοίμονόν σου ψυχή· διὰ ποίαν τιμὴν ἐκλήθης, ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ποίαν θέσιν ὅμως θὰ λάβῃς ἐξ αἰτίας τῆς ραθυμίας σου; Ἀλλοίμονόν σου διότι αὐτὸς μὲν σὲ ἐκάλεσε πρὸς τοὺς πνευματικοὺς νυμφικοὺς θαλάμους, σὺ ὅμως ἀπέκοψες τὸν ἑαυτόν σου ἀπὸ τὴν δόξαν ἐκείνην καὶ τὸν ὡδήγησες εἰς τὸ πῦρ τοῦ διαβόλου καὶ πρὸς τὰς ἀφορήτους τιμωρίας, ὅπου ὑπάρχει ὁ κλαυθμὸς καὶ ὁ τρυγμὸς τῶν ὀδόντων, ὅπου δὲν θὰ ὑπάρχῃ κανεὶς νὰ σὲ παρηγορήσῃ, οὔτε νὰ σὲ βοηθήσῃ, ἀλλὰ τὰ πάντα εἶναι σκοτάδι καὶ δυσκολία παντοῦ καὶ θόρυβος καὶ κακὰ ποὺ δὲν ἔχουν παρηγορίαν οὔτε τέλος. Ὅλα αὐτὰ σοῦ τὰ ἔκαμεν ἡ ἀγάπη σου διὰ τὸν κόσμον καὶ ἐπειδὴ ἐπροτίμησες τὴν γῆν ἀπὸ τὸν οὐρανὸν

τὸ μὴ θελῆσαι ἀκοῦσαι τῆς τοῦ νυμφίου φωνῆς συνεχῶς παραινούσης μηδὲν ἡμᾶς κοινὸν πρὸς τὰ παρόντα ἔχειν πράγματα.

Τίς σε, ἀθλία καὶ ταλαίπωρε, λοιπὸν ἐλεῆσαι δυνήσεται; Κἂν γὰρ αὐτὸν ἴδῃς τὸν Νῶε τὸν ἐν τῷ κοινῷ τῆς οἰκουμένης κλυδωνίῳ τὴν οἰκίαν ὁλόκληρον διασώσαντα, καὶ πρὸς τοσαύτην στάντα ὀργήν, κἂν τὸ Ἰώβ, καὶ τὸν Δανιήλ, καὶ μετ' ἐκείνων τὸν Μωσέα καὶ τὸν Σαμουήλ, κἂν τὸν πατριάρχην Ἀβραάμ, οὐδείς σοι χεῖρα ὀρέξει, κἂν γένει προσήκουσα ᾖς, κἂν θυγάτηρ, κἂν ἀδελφή, κἂν ἱκετηρίαν θῇς, καθάπερ ὁ πλούσιος ἐκεῖνος, πάντα εἰκῇ καὶ μάτην ἐργάσῃ. Πῶς ἐξέπεσας ἐκ τοῦ οὐρανοῦ οὐχ ἑωσφόρος οὖσα, οὐδὲ πρωῒ ἀνατέλλουσα, ἀλλ' αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων λάμψαι δυναμένη μᾶλλον; πῶς ἐκάθισας ἔρημος; Καὶ τοὺς πλείονας δὲ τῶν θρήνων τῶν ἐπὶ τῇ πόλει λεχθέντων ἐκείνῃ οὐκ ἄν τις ἁμάρτοι μεταφέρων ἐπὶ τὴν αἰχμαλωσίαν ταύτην ψυχήν, τὴν μᾶλλον ἐκείνης αἰχμάλωτον.

Ἀλλὰ τάχα τῶν θρήνων ἅλις, ἅλις δὲ ὡς ἐν γραφῇ καὶ βιβλίῳ· ἐπεὶ τούτων χωρὶς οὐδ' ἂν ὁ πᾶς ἡμῖν ἀρκέσειε χρόνος, ὥστε κατ' ἀξίαν ὀδύρασθαι τὴν τὰ τοιαῦτα παθοῦσαν ψυχήν. Τί γὰρ ἄν τις ὠλοφύρετο πρῶτον; ὅτι τὸ τίμιον καὶ ἅγιον καὶ μέγα ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι καὶ ἡ δόξα αὐτοῦ βεβηλοῦται; ἀλλ' ὅτι πρᾶγμα οὕτω σεμνὸν καὶ μέγα διαβέβληται; ἀλλ' ὅτι ψυχαὶ πολλαὶ διὰ τῶν σκανδάλων καταπίπτουσι τούτων; ἀλλ' ὅτι καὶ τὸ ὑγιαῖνον τοῦ χοροῦ μέρος τῇ τῆς ὑμετέρας δόξης ἀναχρώννυται κηλῖδι; ἀλλ' ὅτι τὸ ἄσβεστον καὶ ὑμῖν αὐταῖς καὶ τοῖς συνοικοῦσιν ἀνάπτετε πῦρ;

Καὶ πῶς ταῦτα ἀνάγκη συμβῆναι, φησίν, ὅταν ἔχωμεν

καὶ δὲν ἠθέλησες ν' ἀκούσῃς τὴν φωνὴν τοῦ νυμφίου ποὺ συνεχῶς συμβουλεύει νὰ μὴ ἔχωμεν τίποτε τὸ κοινὸν μὲ τὰ πράγματα τοῦ παρόντος κόσμου.

Ποῖος λοιπόν, ἀθλία καὶ ταλαίπωρε, θὰ ἠμπορέσῃ νὰ σὲ εὐσπλαγχνισθῇ; Διότι καὶ ἂν ἀκόμη ἴδῃς τὸν Νῶε, πού, κατὰ τὸν γενικὸν κατακλυσμὸν τῆς Οἰκουμένης, διέσωσεν ὁλόκληρον τὴν οἰκίαν του καὶ ποὺ ὑπέμεινε τὴν τόσην ὀργήν, καὶ ἂν ἀκόμη συναντήσῃς τὸν Ἰώβ, τὸν Δανιὴλ καὶ μαζὶ μὲ ἐκείνους τὸν Μωϋσῆν καὶ τὸν Σαμουήλ, καὶ ἂν ἀκόμη τὸν πατριάρχην Ἀβραάμ, κανεὶς δὲν θὰ σὲ βοηθήσῃ τότε, καὶ ἂν ἀκόμη εἶσαι συγγενής του, θυγατέρα του, ἀδελφή του, καὶ τὸν παρακαλέσῃς ὅπως ἐκεῖνος ὁ πλούσιος· ὅλα θὰ τὰ κάνῃς ἄδικα καὶ ἄσκοπα. Πῶς ἐξέπεσες ἀπὸ τὸν οὐρανὸν τὴν στιγμὴν ποὺ δὲν εἶσαι ἑωσφόρος, οὔτε ἀνατέλλεις τὸ πρωΐ, ἀλλ' ἠμπορεῖς ν' ἀκτινοβολήσῃς περισσότερον καὶ ἀπὸ αὐτὰς τὰς ἡλιακὰς ἀκτῖνας; πῶς ὑστέρησες τὸν ἑαυτόν σου ἀπὸ ὅλα αὐτά; Καὶ τοὺς περισσοτέρους ἀπὸ τοὺς θρήνους ποὺ ἐλέχθησαν διὰ τὴν πόλιν ἐκείνην δὲν θὰ ἤθελε σφάλλει κανείς, ἐὰν τοὺς μεταφέρῃ διὰ τὴν αἰχμάλωτον αὐτὴν ψυχὴν ποὺ εἶναι περισσότερον αἰχμάλωτος ἀπὸ ἐκείνην.

Ἀλλ' ἴσως εἶναι ἀρκετοὶ αὐτοὶ οἱ θρῆνοι, εἶναι ἀρκετοί, ὥστε νὰ παρουσιάσωμεν μὲ λέξεις γραμμένας εἰς βιβλίον τὸ μέγεθος τῆς συμφορᾶς, ὥστε νὰ θρηνήσωμεν ἐπαξίως τὴν ψυχὴν ποὺ ἔπαθεν ὅλα αὐτά. Διότι τί θὰ ἠμποροῦσε κανεὶς νὰ θρηνήσῃ πρῶτα; μήπως τὸ ὅτι τὸ τίμιον καὶ ἅγιον καὶ μέγα ὄνομα τοῦ Θεοῦ βλασφημεῖται ἐξ αἰτίας σας ἀπὸ τοὺς ἐθνικοὺς καὶ βεβηλώνεται ἡ δόξα του; μήπως τὸ ὅτι κατηγορεῖται ἕνα πρᾶγμα τόσον σεβαστὸν καὶ μέγα; μήπως τὸ ὅτι πολλαὶ ψυχαὶ ὁδηγοῦνται εἰς τὴν πτῶσιν ἀπὸ τῆς πίστεως ἐξ αἰτίας αὐτῶν τῶν σκανδάλων; μήπως τὸ ὅτι καὶ τὸ ὑγιὲς μέρος τῆς ὁμάδος σας ἠμαυρώθη ἀπὸ τὴν κηλῖδα τῆς κακῆς φήμης σας; ἢ μήπως τὸ ὅτι ἀνάπτετε τὸ ἄσβεστον πῦρ καὶ διὰ τὸν ἑαυτόν σας καὶ δι' αὐτοὺς ποὺ συγκατοικοῦν μαζί σας;

Καὶ πῶς πρέπει νὰ συμβῇ αὐτὸ ὁπωσδήποτε, θὰ εἴπῃ

δεῖξαι τὸ σῶμα ἡμῖν μὴ διεφθαρμένον, μηδὲ πεπορνευμένον; Μάλιστα μὲν αὕτη ἡ ἐπίδειξις οὐχὶ νῦν, ἀλλὰ τότε ἔσται δήλη κατὰ τὴν ἡμέραν ἐκείνην. Μαίας μὲν γὰρ σοφία καὶ τέχνη τοσοῦτον δύναται μόνον ἰδεῖν, εἰ μίξιν ἀνδρὸς οὐκ ἐδέξατο τὸ σῶμα· εἰ δὲ καὶ ἁφὴν ἀνελεύθερον καὶ τὴν ἀπὸ τῶν φιλημάτων, καὶ τὴν τῶν περιπλοκῶν μοιχείαν διέφυγε καὶ φθοράν, ἡ ἡμέρα δηλώσει τότε ἐκείνη, ὅταν ὁ ζῶν τοῦ Θεοῦ Λόγος, ὁ τὰ κρυπτὰ τῶν ἀνθρώπων εἰς μέσον ἄγων, καὶ τοῖς λάθρα γινομένοις παρών, πάντα γυμνὰ καὶ τετραχηλισμένα πρὸ τῶν ἁπάντων ὀφθαλμῶν θῇ· τότε εἰσόμεθα καλῶς, εἰ τούτων ἐστὶ καθαρόν σου τὸ σῶμα καὶ πάντοθεν ἄφθορον.

Πλὴν ἀλλ' οὐδὲν ὑπὲρ τούτων ἀκριβολογούμεθα, οὐδὲ φιλονεικοῦμεν, ἀλλὰ κείσθω τέως αὐτὸ πάντων τούτων ὑπερενηνέχθαι τῶν δικτύων καὶ εἴη πάντοθεν καθαρόν, καὶ πάσης ἠλευθερώσθω βλάβης, καὶ μενέτω παρθένος ἡ παρθένος· τί τοῦτο πρὸς τὰ εἰρημένα παρ' ἡμῶν; Καὶ γὰρ τὸ δεινότατον τοῦτό ἐστι καὶ μυρίων γέμον δακρύων, ὅτι τοσοῦτον ὑπέμεινε πόνον πάντοθεν τὸ σῶμα διατηροῦσα ἀκριβῶς, καὶ πάντα τὸν πόνον ἐξεκένωσε, καὶ τὸν μόχθον ἐξέχεε διὰ τῆς εἰς Χριστὸν βλασφημίας, καὶ τῆς σαρκὸς φεισαμένη τῆς δόξης οὐκ ἐφείσατο τοῦ Θεοῦ, ἀλλὰ ὅπως μὲν ἀνέπαφον αὐτῇ μείνῃ τὸ σῶμα, πάντα ἐποίησεν, ὅπως δὲ ἐκεῖνος μὴ ὑβρίζοιτο μηδὲ καταισχύνοιτο παρὰ τοῖς πολλοῖς, οὐδὲ λόγον ἔσχε τινά. Εἴθε μὲν οὖν μὴ πάντα ἔπραττε καὶ ἐπετήδευεν, ἐξ ὧν ἡ τοῦ Θεοῦ διαβάλλεται δόξα.

Καὶ πῶς τοῦτο ποιῶ; φησίν. Ἄνδρας ἀποκλείουσα μετὰ σαυτῆς ἐπὶ τῆς οἰκίας καὶ διαπαντός σοι παρακαθίζουσα.

κάποιος, ὅταν ἔχωμεν νὰ παρουσιάσωμεν τὸ σῶμα μας ἀδιάφθορον καὶ καθαρὸν ἀπὸ πορνείαν; Βέβαια αὐτὴ ἡ ἀπόδειξις τῆς παρθενίας δὲν θὰ γίνῃ φανερὴ τώρα, ἀλλὰ κατὰ τὴν ἡμέραν ἐκείνην. Διότι ἡ σοφία τῆς μαίας καὶ ἡ τέχνη, αὐτὸ μόνον ἠμπορεῖ νὰ διαπιστώσῃ, ἐὰν δὲν ἦλθε τὸ σῶμα εἰς ἐπαφὴν μὲ τὸ σῶμα τοῦ ἀνδρός, τὸ ἐὰν ὅμως τὸ διετήρησε καθαρὸν καὶ ἀπὸ τὴν δουλοπρεπῆ ἀφὴν καὶ ἀπὸ τὰ φιλήματα καὶ ἀπέφυγε καὶ τὴν μοιχείαν καὶ τὴν φθορὰν ποὺ προέρχεται ἀπὸ τὰ ἀγκαλιάσματα, θὰ τὸ φανερώσῃ τότε ἡ ἡμέρα ἐκείνη, ὅταν ὁ Ζωντανὸς Λόγος τοῦ Θεοῦ, ποὺ φέρει εἰς τὸ φῶς τὰ κρυφὰ ἔργα τῶν ἀνθρώπων καὶ εἶναι παρὼν εἰς ὅσα διαπράττονται κρυφά, τὰ παρουσιάσῃ ὅλα γυμνὰ καὶ ὁλοφάνερα ἐμπρὸς εἰς τοὺς ὀφθαλμοὺς ὅλων· τότε θὰ γνωρίσωμεν καλῶς, ἐὰν εἶναι τὸ σῶμα σου καθαρὸν ἀπὸ ὅλα αὐτὰ καὶ ἀδιάφθορον ἀπὸ κάθε πλευράν.

Πλὴν ὅμως δὲν θέλομεν ν' ἀκριβολογοῦμεν καθόλου δι' αὐτά, οὔτε καὶ νὰ φιλονεικοῦμεν, ἀλλ' ἂς ὑποθέσωμεν κατ' ἀρχὴν ὅτι τὸ σῶμα διέφυγεν ὅλα αὐτὰ τὰ δίκτυα καὶ διετηρήθη καθαρὸν ἀπὸ κάθε ἄποψιν καὶ ἐλεύθερον ἀπὸ κάθε βλάβην καὶ παραμένει ἡ παρθένος παρθένος· ποίαν σχέσιν ἔχει αὐτὸ πρὸς ὅσα ἐλέχθησαν ἀπὸ ἡμᾶς; Καθ' ὅσον αὐτὸ εἶναι τὸ πιὸ φοβερὸν καὶ τὸ ἄξιον πολλῶν δακρύων, τὸ ὅτι ἐκοπίασε τόσον πολὺ ἀπὸ κάθε ἄποψιν διὰ νὰ διατηρήσῃ καθαρὸν τὸ σῶμα, καὶ ὅλος αὐτὸς ὁ κόπος ἐχάθη καὶ ὁ μόχθος ἐπῆγε χαμένος ἐξ αἰτίας τῆς βλασφημίας τοῦ ὀνόματος τοῦ Χριστοῦ, καὶ μολονότι ἐσεβάσθη τὴν σάρκα, δὲν ἐσεβάσθη τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἔκαμε μὲν τὸ πᾶν διὰ νὰ παραμείνῃ τὸ σῶμα της ἀνέπαφον, δὲν ἔκαμεν ὅμως καμμίαν προσπάθειαν διὰ νὰ μὴ περιφρονῆται ὁ Θεὸς καὶ νὰ μὴ κατεντροπιάζεται ἀπὸ τοὺς πολλούς. Εἴθε λοιπὸν νὰ μὴ ἔκαμνεν ὅλα ἐκεῖνα καὶ νὰ μὴ ἔδειχνε τόσην φροντίδα διὰ πράγματα ἐξ αἰτίας τῶν ὁποίων διαβάλλεται ἡ δόξα τοῦ Θεοῦ.

Καὶ πῶς, λέγει, τὸ κάμνω αὐτό; Μὲ τὸ νὰ κλείῃς μαζί σου μέσα εἰς τὴν οἰκίαν σου ἄνδρας καὶ νὰ κάθεσαι μαζὶ

Εἰ γὰρ ἄνδρας ἐπιθυμεῖς ἔχειν συνοικοῦντας, οὐκ ἔδει παρθενίαν ἑλέσθαι, ἀλλ' ἐπὶ τὸν γάμον ἐλθεῖν· πολλῷ γὰρ βέλτιον γαμεῖν ἐκείνως ἢ παρθενεύειν οὕτως. Τὸν μὲν γὰρ τοιοῦτον γάμον οὔτε ὁ Θεὸς καταδικάζει, οὔτε ἄνθρωποι διαβάλλουσι· τίμιον γάρ ἐστι τὸ πρᾶγμα, οὐδένα ἀδικοῦν, οὐδὲ πλῆττον· ἡ δὲ παρθενία αὕτη ἡ μετὰ ἀνδρῶν πορνείας χαλεπώτερον παρὰ πᾶσι διαβέβληται· καὶ τὴν οἰκείαν ἀπολέσασα τάξιν, κάτω που καὶ παρ' αὐτὸ τῆς πορνείας ἐξεκυλίσθη τὸ βάραθρον. Οὔτε γὰρ μετὰ τῶν παρθένων ἀνάσχοιτό τις ἂν ἀριθμῆσαι τὴν μὴ τὰ τοῦ Κυρίου μεριμνῶσαν, ἀλλὰ μυρίους ἐργαζομένην μοιχούς, οὔτε μετὰ τῶν γεγαμημένων. Ἐκείνη μὲν γὰρ φροντίζει, ὅπως ἀρέσει ἑνὶ ἀνδρί, σὺ δὲ μυρίοις, καὶ τούτοις οὐ νόμῳ γάμου γνωρίμοις, ἀλλ' ἑτέρῳ τινὶ τρόπῳ διαβεβλημένῳ καὶ κατεγνωσμένῳ παρὰ πάντων.

Ὅθεν δέδοικα μὴ τῆς χώρας ἑκατέρας ἐκβληθεῖσα μετὰ τῶν ἠτιμωμένων γυναικῶν φανῇς ταττομένη. Καὶ γὰρ καὶ ἀπὸ τῆς προσηγορίας αὐτῆς, εἴ τις ταῦτα ψηφίσασθαι βούλοιτο, οὐδὲ ἐνταῦθα πάλιν ἀντειπεῖν τι δυνησόμεθα. Ὅταν γὰρ ἢ εἰς ἀγορὰν ἐμβάλωσιν, ἢ λόγος τις οἴκοι περὶ αὐτῶν γίνηται, οἱ διαλεγόμενοι περὶ τῆς ἀτόπου συζυγίας ταύτης, δηλῶσαι βουλόμενοι τὴν τοῦ δεῖνος, οὐ τὴν μητέρα καλοῦσιν, οὐδὲ γὰρ αὐτὸν ἔτεκεν, οὐδὲ τὴν ἀδελφήν, οὐδὲ γὰρ τὰς αὐτὰς ἔλυσεν ὠδῖνας, οὐδὲ τὴν γαμετήν, οὐδὲ γὰρ νόμῳ γάμου συνῴκησεν, οὐδὲ ἄλλο τι συγγενείας ὄνομα τῶν συγκεχωρημένων καὶ κατὰ νόμον κειμένων, ἀλλὰ τὸ αἰσχρὸν καὶ καταγέλαστον. Οὐδὲ γὰρ ἂν ἔγωγε ἀνεχοίμην αὐτὸ εἰπεῖν· οὕτω μισῶ καὶ τὴν προσηγορίαν αὐτὴν καὶ ἀποστρέφομαι, καὶ

μὲ αὐτοὺς συνεχῶς. Διότι ἐὰν ἐπιθυμῇς νὰ ἔχῃς ἄνδρας διὰ νὰ συγκατοικῇς μὲ αὐτούς, δὲν ἔπρεπε νὰ προτιμήσῃς τὴν παρθενίαν, ἀλλ' ἔπρεπε νὰ ὑπανδρευθῇς· καθ' ὅσον εἶναι πολὺ προτιμοτέρα ἡ κατ' ἐκεῖνον τὸν τρόπον ἔγγαμη ζωή, παρὰ ἡ κατ' αὐτὸν τὸν τρόπον παρθενία. Διότι τὸν μὲν γάμον αὐτοῦ τοῦ εἴδους οὔτε ὁ Θεὸς τὸν καταδικάζει, οὔτε οἱ ἄνθρωποι τὸν κατηγοροῦν· καθ' ὅσον εἶναι ἀξιοσέβαστον πρᾶγμα, χωρὶς νὰ ἀδικῇ κανένα, οὔτε καὶ νὰ πληγώνῃ· ἡ παρθενία ὅμως αὐτοῦ τοῦ εἴδους μὲ συγκατοίκησιν ἀνδρῶν, κατηγορεῖται ἀπὸ ὅλους πολὺ πιὸ βαρύτερα ἀπὸ τὴν πορνείαν, καί, ἀφοῦ αὐτὴ ἔχασε τὴν κοσμιότητά της, κατρεκύλησε πιὸ κάτω καὶ ἀπὸ αὐτὸ τὸ βάραθρον τῆς πορνείας. Διότι οὔτε μὲ τὰς παρθένους θὰ ἐδέχετο κανεὶς ν' ἀριθμήσῃ αὐτὴν ποὺ δὲν μεριμνᾷ διὰ τὰ τοῦ Κυρίου, ἀλλὰ δημιουργεῖ ἀπείρους μοιχούς, οὔτε μὲ τὰς ἐγγάμους. Καθ' ὅσον ἐκείνη μὲν φροντίζει πῶς ν' ἀρέσῃ εἰς ἕνα ἄνδρα, ἐνῷ σὺ εἰς ἀπείρους, καὶ δὲν ἔχεις σχέσιν μὲ αὐτοὺς βάσει τοῦ νόμου τοῦ γάμου, ἀλλὰ μὲ κάποιον ἄλλον τρόπον ποὺ κατηγορεῖται καὶ καταδικάζεται ἀπὸ ὅλους.

Ὡς ἐκ τούτου φοβοῦμαι μήπως ἐκδιωχθεῖσα καὶ ἀπὸ τὰς δύο αὐτὰς περιοχάς, εὑρεθῇς εἰς τὴν τάξιν τῶν περιφρονημένων γυναικῶν. Πράγματι καὶ ἀπὸ τὴν προσωνυμίαν της, ἐὰν κάποιος θελήσῃ νὰ ἐκφράσῃ αὐτὴν τὴν γνώμην, οὔτε καὶ εἰς τὴν περίπτωσιν αὐτὴν θὰ ἠμπορέσωμεν πάλιν νὰ προβάλωμεν ἀντίρρησιν. Διότι, ὅταν τὰς βλέπουν νὰ γυρίζουν εἰς τὴν ἀγορὰν ἢ γίνεται κάποια συζήτησις περὶ αὐτῶν εἰς τὴν οἰκίαν, αὐτοὶ ποὺ συζητοῦν περὶ τῆς παραλόγου αὐτῆς συζυγίας, θέλοντες νὰ δηλώσουν τίνος εἶναι αὐτή, δὲν λέγουν, ὅτι εἶναι ἡ μητέρα τοῦ τάδε, διότι δὲν ἐγέννησεν αὐτήν, οὔτε ἡ ἀδελφὴ τοῦ τάδε, διότι δὲν ἐγεννήθη ἀπὸ τὴν ἰδίαν κοιλίαν, οὔτε ἡ σύζυγος τοῦ τάδε, διότι δὲν συγκατοίκησε μὲ αὐτὸν βάσει τοῦ νόμου τοῦ γάμου, οὔτε τὴν ἀναφέρουν μὲ κάποιο ἄλλο ὄνομα ἀπὸ τὰ παραδεδειγμένα καὶ νόμιμα, ἀλλὰ μὲ τὸ αἰσχρὸν καὶ καταγέλαστον. Οὔτε ἐγὼ βέβαια θὰ ἀνεχόμουν νὰ τὸ ἀναφέρω· τόσον πολὺ μισῶ καὶ τὴν ὀνομασίαν αὐτὴν καὶ τὴν ἀποστρέ-

προσίσταταί μοι καὶ ἡ ἐπωνυμία τῆς συνοικήσεως. Ἀλλ' οὐκ ἔτεκες, οὐδὲ ὠδίνησας. Καὶ τί ταύτης τῆς ἀπολογίας αἰσχρότερον; τί δὲ ἀθλιώτερον, ὅταν ἀπὸ τούτων βούληται φαίνεσθαι παρθένος ἡ παρθένος, εἰς ἃ καὶ τῶν πορνευομένων πολλαὶ γυναῖκες ἔχουσι καταφυγεῖν;

Ἀλλ' ἐκεῖναι ἑτέρωθεν ἐλέγχονται, φησίν, ἀσελγαίνουσαι. Πόθεν ἑτέρωθεν, εἰπέ μοι; Ἀπὸ τοῦ σχήματος, ἀπὸ τοῦ βλέμματος, ἀπὸ τοῦ βαδίσματος, ἀπὸ τῶν ἐραστῶν τῶν ἁλισκομένων ταύταις. Καλῶς μὲν ἡμῖν ὑπέγραψας τὸν χαρακτῆρα τῆς πόρνης γυναικός· ἀλλ' ὅρα, μὴ σαυτὴν πρὸ ἐκείνης ἕλῃς τούτοις τοῖς τεκμηρίοις καὶ τοῖς ἐλέγχοις· καὶ γὰρ σὺ τοιούτους σαυτῇ πολλοὺς κατασκευάζεις ἐραστάς, καὶ διὰ τῶν αὐτῶν δικτύων. Εἰ δὲ μὴ ἵστασαι ἐπὶ τοῦ οἰκήματος καλοῦσα τοὺς παριόντας, ἀλλ' ἔχεις ἔνδον συγκεκλεισμένους διαπαντός, πολὺ χαλεπώτερον, δι' ἕτερον μὲν οὐδέν, ἵνα δὲ ἡδονὴν πληρώσῃς ἄτοπον τὴν ἐκείνου καὶ τὴν σαυτῆς, οὐ τὴν διὰ τῆς μίξεως λέγω. Ἀλλὰ τί τὸ κέρδος, ὅταν καὶ ἡ διὰ τῶν ὀφθαλμῶν συνουσία τὸ αὐτὸ τοῦτο ἐργάζηται; ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, μηδὲ ταύτην μοιχεύετε τὴν μοιχείαν, τίνος ἕνεκεν ἔχεις οἴκοι; ποίαν αἰτίαν δικαίαν καὶ εὔλογον ἡμῖν ἐρεῖς; Ἡ μὲν γὰρ γεγαμημένη τὸν γάμον ἐρεῖ, ἡ δὲ πορνευομένη τὴν ἀσέλγειαν· σὺ δὲ ἡ παρθένος ποίαν ἡμῖν προβαλῇ πρόφασιν εὐπρόσωπον καὶ δικαίαν;

Τί γὰρ τοῦτο περιεργάζῃ, φησίν, ὅταν μὴ συγκαθεύδωσι, μηδὲ συγγένωνται ἡμῖν οἱ συνοικοῦντες, καθάπερ ἐκείναις ἐκεῖνοι; Μάλιστα μὲν καὶ τοῦτο πολλοὶ λέγουσι. Καὶ τί τοῦτο; φησί· κατὰ τῆς ἑαυτῶν κεφαλῆς. Εἰ μὲν κατὰ τῆς ἑαυ-

φομαι καὶ ἀκόμη μὲ στενοχωρεῖ καὶ ἡ ὀνομασία τῆς συγκατοικήσεως. Ἀλλὰ δὲν ἐγέννησες οὔτε ἔνοιωσες τοὺς πόνους τοῦ τοκετοῦ. Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ αἰσχρότερον ἀπὸ αὐτὴν τὴν δικαιολογίαν; τί δὲ ἀθλιώτερον, ὅταν ἡ παρθένος ἀπὸ αὐτὰ θέλῃ νὰ φαίνεται παρθένος, πρὸς τὰ ὁποῖα ἠμποροῦν νὰ προσφύγουν καὶ πολλαὶ ἀπὸ τὰς γυναῖκας ποὺ πορνεύουν;

Ἀλλά, λέγει, ἐκεῖναι κατηγοροῦνται ὅτι ἀσελγοῦν ἀπὸ ἄλλα γνωρίσματα. Εἰπέ μου· ἀπὸ ποῖα ἄλλα γνωρίσματα; Ἀπὸ τὴν ἐμφάνισιν, ἀπὸ τὸ βλέμμα, ἀπὸ τὸ βάδισμα, ἀπὸ τοὺς ἐραστὰς ποὺ συλλαμβάνουν μὲ τὰ δίκτυά των. Πολὺ ὡραῖα μᾶς περιέγραψες τὸν χαρακτῆρα τῆς πόρνης γυναικός, ἀλλὰ πρόσεχε μήπως μὲ τὰς ἀποδείξεις αὐτὰς καὶ τοὺς ἐλέγχους πρὶν ἀπὸ ἐκείνην ἀποδείξεις ἔνοχον τὸν ἑαυτόν σου· καθ' ὅσον σὺ δημιουργεῖς διὰ τὸν ἑαυτόν σου πολλοὺς τέτοιους ἐραστὰς καὶ μὲ τὰ ἴδια δίκτυα. Ἐὰν ὅμως δὲν ἵστασαι ἔμπροσθεν τῆς οἰκίας, καλοῦσα τοὺς διερχομένους, ἀλλ' ἔχεις ἄλλους μέσα κλεισμένους μαζί σου διαρκῶς, αὐτὸ εἶναι πολὺ χειρότερον, διότι δὲν τὸ κάνεις διὰ τίποτε ἄλλο, παρὰ διὰ νὰ ἱκανοποιῇς τὴν παράλογον ἡδονὴν καὶ ἐκείνου καὶ τοῦ ἑαυτοῦ σου, χωρὶς φυσικὰ νὰ ἐννοῶ τὴν ἡδονὴν ποὺ προέρχεται ἀπὸ τὴν σαρκικὴν ἐπαφήν. Ἀλλὰ ποῖο τὸ κέρδος, ὅταν καὶ ἡ συνουσία μὲ τοὺς ὀφθαλμοὺς ἔχῃ τὸ ἴδιο ἀποτέλεσμα; διότι ἐὰν δὲν συμβαίνῃ αὐτό, οὔτε κάμνετε αὐτὴν τὴν μοιχείαν, διὰ ποῖον λόγον τὸν ἔχεις εἰς τὴν οἰκίαν σου; ποίαν αἰτίαν θὰ μοῦ παρουσιάσῃς δικαιολογημένην καὶ εὔλογον; Διότι ἡ μὲν ἔγγαμος θὰ παρουσιάσῃ τὸν γάμον, αὐτὴ ποὺ πορνεύει, τὴν ἀσέλγειαν, σὺ ὅμως ἡ παρθένος ποίαν πρόφασιν θὰ μᾶς προβάλῃς εὔσχημον καὶ δικαιολογημένην;

Διατί λοιπόν, λέγει, ἀσχολεῖσαι μὲ αὐτό, τὴν στιγμὴν ποὺ δὲν κοιμοῦνται μαζί μας οὔτε ἔρχονται εἰς συνουσίαν αὐτοὶ ποὺ συγκατοικοῦν μαζί μας, ὅπως ἀκριβῶς κάνουν ἐκεῖνοι μὲ ἐκείνας; Μάλιστα δὲ καὶ αὐτὸ λέγουν πολλοί. Καὶ τί σημασία, λέγει, ἔχει αὐτό; κάμνουν κακὸν εἰς τὸν ἑαυτόν του. Ἐὰν μὲν κάμνουν κακὸν μόνον εἰς τὸν ἑαυ-

τῶν κεφαλῆς μόνον, ὕστερον τοῦτο ζητήσομεν. Καὶ ἤδη μὲν γὰρ σαφῶς ἀποδέδεικται, ἡνίκα τοῖς ἀνδράσι διαλεγόμεθα, ὅτι οὐχ οἱ κακῶς λέγοντες νόμον, ἀλλὰ καὶ οἱ τὰς αἰτίας παρέχοντες εἰκῇ, τῆς ἐπὶ τῇ κατηγορίᾳ κειμένης εἰσὶν ὑπεύθυνοι τιμωρίας· πλὴν ἀλλὰ τοῦτο μὲν καὶ αὖθις ἀποδείξομεν πάλιν· τέως δ' οὖν σε ἔρωμαι τῆς ὁμοσκηνίας τὴν πρόφασιν ταύτης, τίνα ἂν ἔχοις εἰπεῖν. Ἀσθενής εἰμι, φησί, καὶ γυνή, καὶ οὐχ ἱκανὴ μόνη ταῖς χρείαις ἀρκέσαι ταῖς ἐμαυτῆς. Καὶ μήν, ὅτε τοῖς συνοικοῦσιν ὑμῖν ἐνεκαλοῦμεν, τἀναντία λεγόντων ἠκούομεν, ὅτι διὰ τὴν αὐτῶν διακονίαν ὑμᾶς κατέχουσι. Πῶς οὖν αἱ καὶ τοὺς ἄνδρας ἀναπαῦσαι δυνάμεναι ἐκ περιουσίας, ἑαυταῖς γυναιξὶν οὔσαις οὐ δυνήσεσθε βοηθεῖν, ἀλλ' ἑτέρων δεήσεσθε; Καθάπερ γὰρ ἀνδρὶ ἀνήρ, οὕτω καὶ γυναικὶ γυνὴ ῥᾷον καὶ εὐκολώτερον συνοικήσειεν ἄν· ὅταν δὲ καὶ ἀνδράσιν ἐπιτηδειότεραι πρὸς ὑπηρεσίαν γίνησθε, πολλῷ μᾶλλον ὑμῖν αὐταῖς.

Ποῦ γάρ, εἰπέ μοι, χρήσιμος καὶ ἀναγκαία γένοιτ' ἂν ἡ τοῦ ἀνδρὸς κοινωνία; ποίαν δὲ οὗτος ὑμῖν παρέξει λειτουργίαν, ἣν γυναῖκα οὐ δυνατὸν γυναικὶ παρασχεῖν; ἱστὸν ὑφᾶναι μετὰ σοῦ καὶ νῆσαι κρόκην καὶ στήμονα, οὗτος τῆς γυναικὸς δυνήσεται μᾶλλον. Καὶ μὴν τοὐναντίον ἐστίν. Ὁ μὲν γάρ, οὐδ' ἂν ἐθέλῃ, μεταχειρίσαι τι τούτων οὐδ' ἂν εἴσεται, πλὴν εἰ μὴ νῦν καὶ τοῦτο αὐτοὺς ἐδιδάξατε, ἀλλὰ τῆς γυναικὸς μόνης τὸ ἔργον ἐστίν. Ἀλλ' ἱμάτιον πλῦναι καὶ πῦρ ἀνακαῦσαι καὶ χύτραν ἑψεῖν; Καὶ μὴν ταῦτα οὐκ ἔλαττον, ἀλλὰ

---

9. Ἀνάγνωθι σχετικὰ εἰς προηγουμένην ὁμιλίαν

τόν των, αὐτὸ θὰ τὸ συζητήσωμεν ἀργότερα. Ἤδη λοιπὸν ἔχει ἀποδειχθῆ σαφῶς, ὅταν ὡμιλούσαμεν περὶ τῶν ἀνδρῶν[9], ὅτι ὄχι μόνον αὐτοὶ ποὺ κακολογοῦν, ἀλλὰ καὶ αὐτοὶ ποὺ παρέχουν χωρὶς λόγον τὰς ἀφορμάς, εἶναι ὑπεύθυνοι τῆς τιμωρίας ποὺ ἐπιφυλάσσεται δι' ὅσους κατηγοροῦν· πλὴν ὅμως θὰ τὸ ἀποδείξωμεν αὐτὸ καὶ πάλιν ἐξ ἀρχῆς· καὶ σὲ ἐρωτῶ λοιπὸν κατ' ἀρχὴν διὰ τὴν αἰτίαν αὐτῆς τῆς συγκατοικήσεως· ποίαν θὰ ἠμποροῦσες νὰ μοῦ παρουσιάσῃς; Εἶμαι, λέγει, ἀδύναμος καὶ γυναῖκα καὶ δὲν εἶμαι ἱκανὴ νὰ φέρω εἰς πέρας μόνη μου τὰς ἀνάγκας μου. Καὶ ὅμως, ὅταν ἐκατηγορούσαμεν αὐτοὺς ποὺ συγκατοικοῦν μὲ ἐσᾶς, ἠκούομεν νὰ μᾶς λέγουν τὰ ἀντίθετα, ὅτι δηλαδὴ σᾶς κρατοῦν μαζί των διὰ τὴν ὑπηρεσίαν των. Πῶς λοιπὸν σεῖς, ποὺ εἶσθε εἰς θέσιν ν' ἀναπαύσετε μὲ ἀφθονίαν καὶ τοὺς ἄνδρας, δὲν θὰ ἠμπορέσετε, ὡσὰν γυναῖκες ποὺ εἶσθε, νὰ βοηθήσετε τὸν ἑαυτόν σας, ἀλλὰ θὰ χρειασθῆτε ἄλλους; Διότι, ὅπως ἀκριβῶς εἶναι πολὺ πιὸ φυσικὸν καὶ εὐκολώτερον εἰς τὸν ἄνδρα νὰ συγκατοικῇ μὲ ἄνδρα, ἔτσι ἀκριβῶς καὶ εἰς τὴν γυναῖκα μὲ γυναῖκα· καὶ τὴν στιγμὴν ποὺ εἶσθε καταλληλότεραι νὰ προσφέρετε τὴν ὑπηρεσίαν σας εἰς τοὺς ἄνδρας, πολὺ περισσότερον θὰ εἶσθε καταλληλότεραι διὰ τὸν ἑαυτόν σας.

Εἰπέ μου λοιπόν· εἰς τί θὰ ἠμποροῦσε νὰ σᾶς εἶναι χρήσιμος καὶ ἀναγκαία ἡ συναναστροφὴ τοῦ ἀνδρός; ποίαν ὑπηρεσίαν θὰ σᾶς προσφέρῃ αὐτός, ποὺ δὲν εἶναι δυνατὸν νὰ προσφέρῃ ἡ γυναῖκα εἰς τὴν γυναῖκα; μήπως θὰ ἠμπορέσῃ καλύτερα ἀπὸ τὴν γυναίκα νὰ ὑφάνῃ εἰς τὸν ἀργαλειὸν καὶ νὰ γνέσῃ τὸ ὑφάδι καὶ τὸ στημόνι; Καὶ ὅμως τὸ ἀντίθετον συμβαίνει. Διότι ὁ μὲν ἄνδρας καὶ ἂν ἀκόμη θέλῃ δὲν θὰ ἠμπορέσῃ νὰ χρησιμοποιήσῃ κάτι ἀπὸ αὐτά, οὔτε καὶ θὰ μάθῃ τὴν χρῆσιν των, ἐκτὸς φυσικὰ ἐὰν τοὺς τὴν διδάξετε καὶ αὐτὴν ἐσεῖς, ἀλλ' αὐτὸ εἶναι ἀποκλειστικὰ καὶ μόνον ἔργον τῆς γυναικός. Μήπως θὰ ἠμπορέσῃ καλύτερα νὰ πλύνῃ τὰ ἐνδύματα, ν' ἀνάψῃ τὴν φωτιὰν καὶ νὰ μαγειρέψῃ εἰς τὴν χύτραν; Καὶ ὅμως αὐτὰ εὐκολώτερα ἀπὸ τὸν ἄνδρα καὶ καλύτερα καὶ ὄχι χειρότε-

καὶ βέλτιον ἀνδρὸς γυνὴ μεταχειρίζεσθαι δύναται. Ποῦ οὖν σοι χρήσιμος ὁ ἀνήρ, εἰπέ μοι; ὅταν ἀποδόσθαι τι δέῃ καὶ πρίασθαι πάντως; Ἀλλ' οὐδὲ ἐνταῦθα ἔλαττον ἔχει τοῦ ἀνανδρὸς ἡ γυνή· καὶ μαρτυρήσειεν ἂν ἡ ἀγορά, καὶ πάντες δὲ ὅσοι ἱμάτια ὠνεῖσθαι βούλονται, παρὰ γυναικῶν τὰ πλείω τούτων ὠνούμενοι. Εἰ δὲ αἰσχρὸν παρθένον ἐπ' ἀγορᾶς ἑστάναι ἐπὶ συναλλάγμασι τοιούτοις, ὥσπερ οὖν καὶ αἰσχρόν, πόσῳ μᾶλλον μὲν τὸ συνοικεῖν ἀνδράσιν αἰσχρότερον; Πλὴν ἀλλὰ καὶ τοῦτο τὸ ἔλαττον ἐκείνου διαφυγεῖν δυνατόν· ἢ γὰρ κόρῃ τῇ διακονουμένῃ, ἢ γραϊδίοις τοῖς πρὸς ταῦτα ἐπιτηδείοις τὸ πᾶν ἐπιτρέψαιμι ἄν· ὅθεν δῆλον, ὅτι πρόφασις ταῦτα καὶ σκῆψίς εἰσι καὶ προκαλύμματα ἀσθενείας.

Ποίας προκαλύμματα ἀσθενείας; φησίν. Εἰ γὰρ ἐπεθύμουν ἀνδρὸς καὶ γάμου καὶ τῆς τοιαύτης διαγωγῆς, τίς ὁ κωλύων ἦν; οὐκ ἐφικτὸν μετὰ παρρησίας τοῦτο ἐργάσασθαι, καὶ μήτε προσκροῦσαι Θεῷ, μήτε παρὰ ἀνθρώπων κατηγορεῖσθαι καὶ διαβάλλεσθαι; Καὶ γὰρ καὶ ἐγὼ τοῦτό φημι, καὶ οὐ τὰ μᾶλλον ἢ ἐμὰ ταῦτά ἐστι τὰ ῥήματα. Ἢ γὰρ ἀνάγκη εἰπεῖν, ποῦ σοι τἀνδρὸς ἡ χρεία γένοιτ' ἂν ἀναγκαία, ἢ τοῦτο δεῖξαι μὴ δυναμένην, ἐκπέμπειν τὸν συνοικοῦντα κακῶς· ἑτέρως γάρ σε ἀπαλλαγῆναι τῆς ὕβρεως ταύτης οὐκ ἔνι· ταῦτα γάρ, ἅπερ ἔφης, οὐχὶ σὰ μᾶλλον ἢ τῶν ὑπὲρ τῆς σῆς ἀσχημοσύνης ἀλγούντων ἐστίν. Ἔδει μὲν οὖν, εἰ καὶ μυριάκις χρήσιμος ἦν ἡ διακονία τἀνδρός, μηδ' οὕτως αὐτὴν μετὰ τοσαύτης προσίεσθαι τῆς λοιδορίας· ὅταν γὰρ ἡ τοῦ Θεοῦ ὑβρίζηται δόξα, μηδεμία οὕτως ἔστω πρόφασις ἀναγκαία, ὡς πεῖσαι τοσοῦτον κακὸν παριδεῖν. Καὶ γὰρ εἰ

ρα ἠμπορεῖ νὰ τὰ μεταχειρίζεται ἡ γυναῖκα. Ποῦ λοιπόν, εἰπέ μου, θὰ σοῦ εἶναι χρήσιμος ὁ ἄνδρας; ὁπωσδήποτε ὅταν θὰ χρειασθῇς νὰ δώσῃς κάτι ἢ ν' ἀγοράσῃς; Ἀλλ' ὅμως οὔτε καὶ ὡς πρὸς αὐτὸ μειονεκτεῖ ἡ γυναῖκα τοῦ ἀνδρός· καὶ αὐτὸ θὰ ἠμποροῦσε νὰ τὸ ἐπιβεβαιώσῃ ἡ ἀγορά, καθ' ὅσον ὅλοι, ὅσοι θέλουν ν' ἀγοράσουν ἐνδύματα, ἀγοράζουν τὰ περισσότερα ἀπὸ αὐτὰ ἀπὸ τὰς γυναῖκας. Ἐὰν δὲ εἶναι αἰσχρόν, ὅπως βέβαια καὶ εἶναι αἰσχρόν, νὰ ἵσταται ἡ παρθένος εἰς τὴν ἀγορὰν διὰ παρομοίας συναλλαγάς, πόσον περισσότερον αἰσχρότερον εἶναι τὸ νὰ συγκατοικῇ μὲ ἄνδρας; Πλὴν ὅμως εἶναι δυνατὸν καὶ αὐτό, ποὺ εἶναι μικρότερον ἀπὸ ἐκεῖνο, νὰ τὸ ἀποφύγῃ· ἢ ν' ἀναθέσῃ ὅλα αὐτὰ εἰς τὴν κόρην ποὺ τὴν ὑπηρετεῖ, ἢ εἰς τὰς γραίας ποὺ εἶναι κατάλληλαι δι' ὅλα αὐτά. Ὅθεν εἶναι φανερόν, ὅτι αὐτὰ εἶναι δικαιολογία καὶ πρόσχημα καὶ προφάσεις ἀδυναμίας.

Ποίας, λέγει, ἀδυναμίας προφάσεις; Διότι ἐὰν ἐπεθύμουν ἄνδρα καὶ γάμον καὶ τὴν ζωὴν αὐτοῦ τοῦ εἴδους, ποῖος θὰ μὲ ἠμπόδιζε; δὲν ἠμποροῦσα νὰ τὸ κάνω αὐτὸ μὲ παρρησίαν καὶ νὰ μὴ ἔλθω οὔτε εἰς ἀντίθεσιν μὲ τὸν Θεόν, οὔτε νὰ κατηγοροῦμαι ἀπὸ τοὺς ἀνθρώπους καὶ νὰ συκοφαντοῦμαι; Μὰ καὶ ἐγὼ αὐτὸ λέγω καὶ δὲν εἶναι τὰ λόγια αὐτὰ τόσον ἰδικά σου, ὅσον εἶναι ἰδικά μου. Διότι ἢ πρέπει νὰ μᾶς εἰπῇς εἰς τί θὰ ἠμποροῦσε νὰ σοῦ εἶναι ἀπαραίτητη ἡ ὑπηρεσία τοῦ ἀνδρός, ἤ, ἐὰν δὲν ἠμπορῇς αὐτὸ νὰ μᾶς τὸ ἀποδείξῃς, πρέπει νὰ διώξῃς αὐτὸν ποὺ συγκατοικεῖ μαζί σου κακῶς· καθ' ὅσον δὲν ὑπάρχει ἄλλος τρόπος ν' ἀπαλλαγῇς ἀπὸ αὐτὴν τὴν προσβολήν· διότι αὐτὰ ποὺ εἶπες δὲν εἶναι περισσότερον ἰδικά σου, ἀπὸ ὅ,τι εἶναι αὐτῶν ποὺ ὑποφέρουν ἐξ αἰτίας τοῦ ἰδικοῦ σου ἐξευτελισμοῦ. Ἔπρεπε λοιπόν, καὶ ἂν ἀκόμη ἦτο μυριάκις χρήσιμος ἡ ὑπηρεσία τοῦ ἀνδρός, οὔτε καὶ ἔτσι ἔπρεπε νὰ τὴν ἀνεχθῇς, τὴν στιγμὴν ποὺ ἐπισύρει τόσην κατηγορίαν· διότι, ὅταν περιφρονῆται ἡ δόξα τοῦ Θεοῦ, καμμία πρόφασις δὲν εἶναι τόσον ἐπαρκής, ὥστε νὰ μᾶς πείσῃς νὰ παραβλέψωμεν ἕνα τόσον μεγάλο κακόν. Καθ' ὅσον καὶ ἐὰν

μυριάκις ἀποθανεῖν τῆς ἡμέρας ὑπὲρ τοῦ μὴ γενέσθαι τοῦτο προὔκειτο, μετὰ πολλῆς ἔδει τῆς ἡδονῆς ὑπομεῖναι τοῦτο, μήτι γε ἀναπαύσεως ἕνεκεν καὶ κοσμικῆς χρείας τοσοῦτον παραδραμεῖν κακόν.

Ἄκουσον γοῦν πῶς αὐτὸ δέδοικεν ὁ Παῦλος καὶ τρέμει, καὶ ἐξ ὅσης τῆς περιουσίας. «Καλὸν γάρ μοι», φησίν, «ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ». Εἶτα ἐκεῖνος μέν, ἵνα μὴ κενωθῇ αὐτοῦ τὸ καύχημα, ἀποθανεῖν εἵλετο, ἡμεῖς δὲ ἵνα σκάνδαλα ἀνέλωμεν, οὐδὲ μικρᾶς καταφρονοῦμεν ἀνέσεως; καὶ πῶς δυνησόμεθα σωθῆναί ποτε; Καίτοι οὐκ ἴσον ἐστίν, οὐδὲ κατὰ μικρὸν ἐγγύς, ἐγκωμίου τε ἀποστερηθῆναι καὶ κατηγορίᾳ περιπεσεῖν. Ἐκεῖνος μὲν γάρ, εἰ καὶ τοῦτο ἐγένετο, οὐκ ἂν προσέκρουσε τῷ Θεῷ (αὐτὸς γὰρ αὐτῷ προσέταξεν ἐκ τοῦ εὐαγγελίου ζῆν· ἀλλ' ὅμως ἡρεῖτο μᾶλλον ἀποθανεῖν ἢ τὸ κατόρθωμα προδοῦναι), ἡμεῖς δὲ τὰ προστεταγμένα πανταχοῦ ταράττοντες καὶ εἰδότες ὅτι μεγίστην ὑπὲρ τούτων τίσομεν δίκην, οὐδὲ συνηθείας ἀκαίρου καὶ ψυχρᾶς ὑπεριδεῖν ἀνεχόμεθα; καὶ τίς ἡμῖν ἔσται συγγνώμη; Ἔδει μὲν οὖν, ὅπερ ἔφθην εἰπών, εἰ καὶ ἄνδρα μόνον αἱ πολλαὶ τῶν χρειῶν ἐπεζήτουν, τοσαύτη δὲ ἀπὸ τοῦ πράγματος ἐτίκτετο ὕβρις, ἑλέσθαι μᾶλλον ἀποθανεῖν, ἢ τοῦτο γενόμενον περιιδεῖν, ὅταν δὲ καὶ διὰ γυναικὸς εὐκολώτερον ᾖ καὶ ῥᾷστον πάντα ἀνύειν τίς ὑμῖν ἔσται συγγνώμη θρυπτομέναις οὕτω καὶ εἰς τὴν ὑμετέραν ἐνυβριζούσαις σωτηρίαν;

Εἰπὲ δή μοι, ὅταν σοι ταῦτα ἐκεῖνος παρέχῃ οὐ παρέξεις τινὰ καὶ αὐτὴ διακονίαν αὐτῷ; Παντί που δῆλον. Καὶ πόσῳ βέλτιον μήτε ἀντιδιδόναι τὰ τοιαῦτα, μήτε ἀντιλαυ-

---

10. Α' Κορ. 9, 15.

ἀκόμη ἐπρόκειτο ν' ἀποθάνωμεν μυρίας φορὰς τὴν ἡμέραν, ὥστε νὰ μὴ συμβῇ αὐτό, ἔπρεπε μὲ πολλὴν εὐχαρίστησιν νὰ τὸ ὑπομείνωμεν αὐτό, μὴ τυχόν, χάριν ἀνέσεως καὶ κοσμικῆς ἀνάγκης, ἀφήσωμεν νὰ μᾶς διαφύγῃ ἕνα τόσον μεγάλο κακόν.

Ἄκουσε λοιπὸν πῶς φοβεῖται αὐτὸ ἐδῶ ὁ Παῦλος καὶ τρέμει καὶ μάλιστα εἰς ὑπερβολικὸν βαθμόν. Διότι λέγει· «Μοῦ εἶναι προτιμότερον ν' ἀποθάνω, παρὰ νὰ μοῦ ἀφαιρέσῃ κανεὶς αὐτὸ ποὺ εἶναι τὸ καύχημά μου»[10]. Καὶ ἐκεῖνος μέν, διὰ νὰ μὴ χαθῇ τὸ καύχημά του, ἐπροτίμα ν' ἀποθάνῃ, ἡμεῖς ὅμως, προκειμένου νὰ ἐξαλείψωμεν σκάνδαλα, νὰ μὴ περιφρονοῦμεν οὔτε μικρὰν ἄνεσιν; καὶ πῶς θὰ ἠμπορέσωμεν ποτὲ νὰ σωθῶμεν; Ἂν καὶ βέβαια δὲν εἶναι ἴσον, οὔτε καὶ κατ' ἐλάχιστον ἐγγύς, τὸ νὰ στερηθῇ κανεὶς ἐγκωμίου καὶ τὸ νὰ καταστῇ ἄξιος κατηγορίας. Διότι ὁ μὲν Παῦλος, καὶ ἂν ἀκόμη συνέβαινεν αὐτό, δὲν θὰ ἤρχετο εἰς ἀντίθεσιν μὲ τὸν Θεὸν (διότι ὁ ἴδιος παρήγγειλε νὰ ζῇ κανεὶς ἀπὸ τὸ εὐαγγέλιον· ἀλλ' ὅμως ἐπροτίμα ν' ἀποθάνῃ μᾶλλον, παρὰ νὰ προδώσῃ τὸν ἀγῶνα), ἡμεῖς ὅμως, συγχέοντες εἰς κάθε περίπτωσιν τὰ προστάγματα καὶ μολονότι γνωρίζομεν ὅτι θὰ ὑποστῶμεν πάρα πολὺ μεγάλην τιμωρίαν δι' αὐτά, δὲν ἀνεχόμεθα ν' ἀποβάλωμεν μίαν συνήθειαν μὴ πρέπουσαν καὶ ἐπιβλαβῆ; καὶ ποίαν συγχώρησιν θὰ ἔχωμεν; Ἔπρεπε λοιπόν, ὅπως καὶ προανέφερα, καὶ ἂν ἀκόμη αἱ πιὸ πολλαὶ ἀνάγκαι ἐχρειάζοντο μόνον ἄνδρα, προέκυπτεν ὅμως ἀπὸ τὸ πρᾶγμα αὐτὸ τόσον μεγάλη προσβολή, ἔπρεπε νὰ προτιμῶμεν μᾶλλον ν' ἀποθάνωμεν, παρὰ νὰ παραβλέψωμεν βλέποντες νὰ συμβαίνῃ αὐτό, ὅταν ὅμως εἶναι καὶ εὐκολώτερον καὶ πολὺ πιὸ καταλληλότερον νὰ ἐκτελῇς αὐτὰ διὰ τῆς γυναικός, ποίας συγγνώμης θὰ εἶσθε ἄξιαι, ὅταν ἀμαυρώνετε ἔτσι τὸν ἑαυτόν σας καὶ περιφρονῆτε τὴν σωτηρίαν σας;

Εἰπέ μου λοιπόν· ὅταν ἐκεῖνος σοῦ προσφέρῃ αὐτά, δὲν θὰ τοῦ προσφέρῃς καὶ σὺ κάποιαν ὑπηρεσίαν; Εἶναι φανερὸν βέβαια εἰς τὸν καθένα. Καὶ πόσον καλύτερον θὰ ἦτο οὔτε ν' ἀνταποδίδῃς τὰς παρομοίου εἴδους ὑπηρεσίας,

βάνειν, ἀλλὰ τὸν καιρὸν τῶν πόνων, ὃν εἰς τὴν ἀνάπαυσιν ἀναλίσκεις ἐκείνου, τοῦτον εἰς τὴν σαυτῆς δαπανᾶν, ἢ χαλεπώτερα πονουμένην ἔτι καὶ καταισχύνειν ἑαυτῆς τὴν ὑπόληψιν; Ἀλλ' οὐδεμίαν αὐτῷ παρέχεις διακονίαν. Οὐκοῦν αὐτὸν αὐτῷ πάντα ὑπηρετεῖν ἀνάγκη, καὶ στρωννύναι, καὶ ἑψεῖν, καὶ πῦρ ἀνακαίειν, καὶ τὰ ἄλλα δὴ τὰ τοιαῦτα ποιεῖν. Ταῦτα δὲ οὐδ' ἂν οἰκέτης ἀνάσχοιτο μηδὲν παρὰ τοῦ δεσπότου καρπούμενος ὑπηρετεῖν.

Ἀλλ' οὗτος ἀνέχεται πάντα, φησί, διὰ τὸν τοῦ Θεοῦ φόβον καὶ τὸν ἀποκείμενον ὑπὲρ τῆς διακονίας ταύτης μισθόν, καὶ χάριν εἴσεται ἐπιταττόμενος, πρὸς τὸ μηδὲν καρποῦσθαι παρ' ἡμῶν. Πόθεν οὖν λοιπὸν ἐμφράξομεν τὰ τῶν ἀναισχύντων στόματα; Εἰ γὰρ τοσαύτην αὐτῷ μαρτυρεῖς εὐλάβειαν, καὶ οὕτω τρέμει καὶ δέδοικε τοῦ Θεοῦ τὰ προστάγματα, ὡς ἀνδραπόδου παντὸς εὐτελέστερον ἑαυτὸν καθορᾶν, καὶ πάντα ὑφίστασθαι μηδὲν καρπούμνεον παρὰ σοῦ, πρὸ πάντων τούτων τῆς δόξης αὐτὸν καὶ τῆς εὐφημίας ἔδει φροντίσαι τοῦ Θεοῦ· νῦν δὲ οὐκ ἔτι τῆς αὐτῆς ψυχῆς ὁμοῦ καὶ κατὰ τὸν αὐτὸν χρόνον τοσαύτην πειθώ τε καὶ ὑπεροψίαν ἐπιδείκνυσθαι περὶ τὰ προστάγματα τοῦ Θεοῦ, καὶ νῦν μὲν αὐτὰ τρέμειν, νῦν δὲ μηδένα λόγον ποιεῖσθαι αὐτοῦ τοῦ θέντος τοὺς νόμους ὑβριζομένου.

Τὸ μὲν γὰρ ἡδονῆς καθαρεύοντα καὶ μηδὲν ὅλως ἀνθρώπινον πάσχοντα, κόπτεσθαι καὶ ταλαιπωρεῖσθαι καὶ ταπεινοῦν ἑαυτὸν καὶ τοῖς οἰκείοις μόχθοις ἑτέροις παρασκευάζειν ἀνάπαυσιν, φιλοσόφου σφόδρα ψυχῆς καὶ ἐπτερωμένης, τὸ δὲ μὴ ὑβρίζειν εἰς τὴν τοῦ Θεοῦ δόξαν, μηδὲ ταῦτα ποιεῖν, δι' ὧν ἂν βλασφημηθείη παρὰ πολλῶν, καὶ τῶν οὐ σφό-

οὔτε νὰ δέχεσαι ἄλλας ἔναντι αὐτῶν, ἀλλὰ τὸν χρόνον τῶν κόπων ποὺ ἐξοδεύεις διὰ τὴν ἄνεσιν ἐκείνου, αὐτὸν νὰ τὸν δαπανᾷς διὰ τὸν ἑαυτόν σου, παρὰ νὰ κοπιάζῃς πολὺ πιὸ χειρότερα ἀκόμη καὶ νὰ κατεντροπιάζῃς τὴν ὑπόληψίν σου; Ἔστω ὅμως ὅτι δὲν τοῦ παρέχεις καμμίαν ὑπηρεσίαν. Ἐπομένως εἶναι ἀνάγκη ὁ ἴδιος νὰ ὑπηρετῇ τὸν ἑαυτόν του εἰς ὅλα καὶ νὰ στρώνῃ δηλαδὴ καὶ νὰ μαγειρεύῃ καὶ ν' ἀνάπτῃ φωτιὰν καὶ νὰ κάμνῃ φυσικὰ καὶ ὅλα τὰ σχετικά. Αὐτὰ ὅμως δὲν θὰ ἦτο δυνατὸν ν' ἀνεχθῇ οὔτε ὁ ὑπηρέτης καὶ τὰ κάμνῃ ἐὰν δὲν ἐκαρποῦτο κάτι ἀπὸ τὸν κύριόν του.

Ἀλλ' αὐτός, λέγει, ἀνέχεται τὰ πάντα ἐξ αἰτίας τοῦ φόβου του πρὸς τὸν Θεὸν καὶ τοῦ μισθοῦ ποὺ ἐπιφυλάσσεται διὰ τὴν ὑπηρεσίαν αὐτήν, καὶ μαζὶ μὲ τὸ ὅτι δὲν ἀποκομίζει κανὲν κέρδος ἀπὸ ἡμᾶς θεωρεῖ τὰς διαταγὰς ὡς ἀξίας καὶ εὐγνωμοσύνης. Πῶς λοιπὸν θὰ κλείσωμεν τότε τὰ στόματα τῶν ἀναισχύντων; Διότι ἐὰν ἐπιβεβαιώνῃς εἰς αὐτὸν τόσον μεγάλην εὐλάβειαν καὶ τρέμῃ τόσον πολὺ καὶ φοβεῖται τὰ προστάγματα τοῦ Θεοῦ, ὥστε νὰ θεωρῇ τὸν ἑαυτόν του εὐτελέστερον ἀπὸ ὁποιονδήποτε δοῦλον, καὶ νὰ τὰ ὑπομένῃ ὅλα χωρὶς ν' ἀποκομίζῃ τίποτε ἀπὸ ἐσένα, ἔπρεπε πρὶν ἀπὸ ὅλα αὐτὰ νὰ φροντίσῃ διὰ τὴν δόξαν καὶ τὴν καλὴν φήμην τοῦ Θεοῦ. Τώρα ὅμως δὲν εἶναι δυνατὸν ἡ ἰδία ψυχὴ καὶ κατὰ τὸν ἴδιον χρόνον νὰ δείχνῃ συγχρόνως τόσην ὑπακοὴν καὶ τόσην ἀδιαφορίαν διὰ τὰ προστάγματα τοῦ Θεοῦ, καὶ ἄλλοτε μὲν νὰ τρέμῃ αὐτά, ἄλλοτε δὲ νὰ μὴ δείχνῃ κανὲν ἐνδιαφέρον ποὺ ὑβρίζεται αὐτὸς ποὺ ἔθεσεν αὐτοὺς τοὺς νόμους. Πράγματι τὸ νὰ εἶναι κανεὶς καθαρὸς ἀπὸ ἡδονήν, καὶ νὰ μένῃ μακρυὰ ἀπὸ τὰ ἀνθρώπινα πάθη, καὶ νὰ κοπιάζῃ καὶ νὰ ταλαιπωρῆται καὶ νὰ ταπεινώνῃ τὸν ἑαυτόν του καὶ νὰ παρέχῃ ἄνεσιν εἰς ἄλλους μὲ τοὺς ἰδικούς του κόπους, εἶναι γνώρισμα πάρα πολὺ εὐσεβοῦς ψυχῆς καὶ διεγειγερμένης, τὸ νὰ μὴ ἀφήνῃ δὲ νὰ ὑβρίζεται ἡ δόξα τοῦ Θεοῦ, οὔτε νὰ κάμνῃ ἐκεῖνα, διὰ τῶν ὁποίων θὰ ἦτο δυνατὸν νὰ βλασφημηθῇ ὁ Θεὸς ἐκ μέρους πολλῶν, εἶναι κάτι ποὺ τὸ ἐπέτυχον καὶ πολλοὶ ἀπὸ τοὺς

δρα μεγάλων πολλοὶ κατωρθώκασι. Πῶς οὖν σοι πιστεύομεν, ὅτι τοῦτο διὰ τὸν Θεὸν καὶ τὸν τῆς ἀσκήσεως τόνον ποιεῖς, ὃ μεγάλης καὶ νεανικῆς δεῖται ψυχῆς, ὅταν ἐκεῖνο, ὅπερ ἐλάττονός ἐστι καὶ τῆς τυχούσης, ὑπερορᾶν οὐκ ἀνέχῃ; Οὐδ' ἀποστῆναι τούτων ἐθέλεις, ἐξ ὧν ὁ Θεὸς ὑβρίζεται, καὶ τὸ σῶμα καὶ πάντα προδίδως ὑπὲρ τῶν μὴ δοκοντων αὐτῷ; Καὶ τίς ἂν ταῦτα πεισθῆναι ἀνάσχοιτο; Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἀπὸ τῶν παρθένων πρὸς τοὺς συνοικοῦντας αὐταῖς ἐξέβην· διὸ δὴ πάλιν πρὸς αὐτὰς ἐπανιτέον ἡμῖν.

Πόθεν οὖν τοὺς ταῦτα κατηγοροῦντας καὶ συλλογιζομένους ἡμεῖς δυνησόμεθα πεῖσαι; Καὶ μὴ πειθέσθωσαν, φησί. Καὶ ποῦ τοῦτο ψυχῆς εὐλαβοῦς; Τῶν γὰρ κακῶς λεγόντων τότε χρὴ καταφρονεῖν, ὅταν ἡμεῖς αὐτοῖς μὴ παρέχωμεν λαβάς· μᾶλλον δὲ οὐδὲ τότε, ἐπειδὰν δυνώμεθα ἐπιστομίζειν αὐτούς· ὅταν δὲ ἐξ ἡμῶν γίνηται τὸ πᾶν, ἐπὶ τὴν ἡμετέραν στρέφεται κεφαλὴν ἅπαν τὸ πῦρ. «Οὕτω γὰρ ἁμαρτάνοντες», φησίν, «εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε». Ἤδει γάρ, ᾔδει σαφῶς, ὅτι οὐκ ἀρκεῖ πρὸς ἀπολογίαν ἡμῖν ἡ τῶν πληττομένων ἀσθένεια, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο καὶ μάλιστά ἐστι τὸ καταδικάζον ἡμᾶς. Ὅσῳ γὰρ ἂν καθαρεύωμεν τῆς πληττούσης αἰτίας, τοσούτῳ δίκαιοι μᾶλλον ἂν εἴημεν φείδεσθαι τῆς ἀσθενείας αὐτῶν. Καὶ οὔπω λέγω, ὅτι ἐνταῦθα οὐδὲ ἀπεικότως πλήττονται, ἀλλὰ κείσθω ἀλόγως αὐτοὺς ὑπομένειν τοῦτο· οὐδὲ γὰρ οὕτως αὐτῶν περιιδεῖν χρή. Καὶ ταῦτα Ρωμαίοις ἐπιστέλλων ὁ Παῦλος ἡμᾶς ἐπαίδευσεν, οὕτω λέγων·

---

11. Α΄ Κορ. 8, 12.

μὴ πάρα πολὺ μεγάλους ἄνδρας. Πῶς λοιπὸν θὰ σὲ πιστεύσωμεν, ὅτι αὐτὸ τὸ κάμνεις διὰ τὸν Θεὸν καὶ διὰ ν' αὐξήσῃς τὴν ἄσκησίν σου, τὴν στιγμὴν ποὺ εἶναι ἕνα πρᾶγμα ποὺ χρειάζεται μεγάλην καὶ ρωμαλέαν ψυχήν, ὅταν ἐκεῖνο δὲν ἠμπορεῖς νὰ περιφρονήσῃς, ποὺ ἀπαιτεῖ πάρα πολὺ μικρὰν καὶ συνηθισμένην ψυχήν; ὅταν δὲν θέλῃς ν' ἀποφύγῃς πράξεις, διὰ τῶν ὁποίων περιφρονεῖται ὁ Θεός, προδίδων τὸ σῶμα καὶ ὅλα γενικῶς διὰ πράγματα ποὺ δὲν ἐπιθυμεῖ ὁ Θεός; Καὶ ποῖος θὰ ἠμποροῦσε νὰ πιστεύσῃ ὅλα αὐτά; Ἀλλ' ὅμως δὲν γνωρίζω πῶς ἀπὸ τὰς παρθένους μετέφερα τὸν λόγον εἰς αὐτοὺς ποὺ συγκατοικοῦν μὲ αὐτάς· διὰ τοῦτο λοιπὸν πρέπει πάλιν νὰ ἐπιστρέψω εἰς αὐτάς.

Πῶς λοιπὸν θὰ ἠμπορέσωμεν νὰ πείσωμεν αὐτοὺς ποὺ κάμνουν αὐτὰς τὰς σκέψεις καὶ ἐξαπολύουν αὐτὰς τὰς κατηγορίας; Ἂς μὴ πεισθοῦν, λέγει. Καὶ πῶς αὐτὸ θὰ θεωρηθῇ δεῖγμα ψυχῆς εὐσεβοῦς; Διότι αὐτοὺς ποὺ κατηγοροῦν, τότε πρέπει νὰ τοὺς περιφρονοῦμεν, ὅταν ἡμεῖς οἱ ἴδιοι δὲν δίδωμεν ἀφορμὰς διὰ κατηγορίαν· μᾶλλον δὲ οὔτε καὶ τότε, ὅταν δηλαδὴ ἠμποροῦμεν νὰ κλείωμεν τὰ στόματα αὐτῶν· ὅταν ὅμως τὰ πάντα προέρχωνται ἀπὸ ἡμᾶς, ὅλον τὸ πῦρ στρέφεται ἐναντίον τῆς κεφαλῆς μας. Διότι, λέγει, «Ἁμαρτάνοντες κατ' αὐτὸν τὸν τρόπον εἰς τοὺς ἀδελφούς σας καὶ πληγώνοντες τὴν ἀσθενῆ συνείδησίν των, ἁμαρτάνετε εἰς τόν Χριστόν»[11]. Διότι ἐγνώριζεν, ἐγνώριζε πάρα πολὺ καλά, ὅτι δὲν ἀρκεῖ πρὸς ἀπολογίαν μας ἡ ἀδυναμία αὐτῶν ποὺ δέχονται τὰ πλήγματα, ἀλλ' ἀκριβῶς αὐτὸ εἶναι κατ' ἐξοχὴν ἐκεῖνο ποὺ μᾶς καταδικάζει. Καθ' ὅσον, ὅσον περισσότερον καθαροὶ θὰ ἠμποροῦμεν νὰ διατηρούμεθα ἀπὸ τὴν αἰτίαν ποὺ πληγώνει αὐτούς, τόσον περισσότερον δίκαιοι θὰ ἠμπορούσαμεν νὰ εἴμεθα ἐὰν σεβώμεθα τὴν ἀδυναμίαν των αὐτήν. Καὶ δὲν λέγω κατ' οὐδένα τρόπον, ὅτι εἰς τὴν περίπτωσιν αὐτὴν δέχονται δικαίως τὰ πλήγματα, ἀλλ' ἂς ὑποθέσωμεν ὅτι ἄδικα ὑπομένουν αὐτό· καθ' ὅσον οὔτε καὶ ἔτσι πρέπει νὰ τοὺς περιφρονήσωμεν. Καὶ αὐτὰ μᾶς τὰ ἐδίδαξεν ὁ Παῦλος γράφων εἰς τοὺς Ρωμαίους καὶ λέγων τὰ ἑξῆς· «Μὴ καταστρέφῃς

«Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ». Καίτοιγε ἄλογος ἦν ἡ πληγή, ἀλλ' ὅμως οὐ τῷ πληττομένῳ, ἀλλὰ τῷ τὴν πληγὴν ἐπάγοντι ταύτην ἐπιτιμᾷ.

Ὅπερ γὰρ ἔφην ἤδη, τοῦτο καὶ νῦν ἐρῶ· ὅταν μὲν γὰρ μέγα τι γένηται κέρδος, καὶ τῆς πληγῆς μεῖζον, δεῖ τῶν σκανδαλιζομένων ὑπερορᾶν, ὅταν δὲ μηδὲν ᾖ πλέον, ἢ τοὺς ἀσθενεῖς καταβάλλεσθαι, κἂν μυριάκις ἐξ ἀλογίας τοῦτο πάσχωσιν ἐκεῖνοι, φείδεσθαι χρή· ἐπεὶ καὶ ὁ Θεὸς τοὺς ὠθοῦντας καὶ καταβάλλοντας ὑπὸ τὴν ἀπόφασιν ἄγει τῆς τιμωρίας. Τὸ γὰρ μηδὲν κερδαίνοντα ἕτερον πλήττειν, τῆς ἐσχάτης πονηρίας ἐστί. Καὶ ἡμεῖς δὲ ὅταν ἴδωμέν τινα δυσάρεστον ἀπὸ μακρᾶς ἀρρωστίας γενόμενον, τοὺς παροξύνοντας αὐτὸν ἀκαίρως τῆς οἰκίας ἀπελαύνομεν, καὶ οὐκ ἀκριβολογούμεθα, εἴτε δικαίως, εἴτε ἀδίκως ἐκεῖνοι τοῦτο ποιοῦσιν, ἀλλὰ πάσης αὐτοὺς ἀπολογίας ἐκβαλόντες, καὶ πολλὴν τούτῳ δόντες συγγνώμην διὰ τὴν ἀσθένειαν, κἂν ἀδίκως παροξύνηται, ἐλεοῦμεν. Εἰ δὲ ἡμεῖς τοσαύτῃ καὶ περὶ τοὺς οἰκέτας καὶ περὶ τοὺς παῖδας προνοίᾳ κεχρήμεθα, καὶ υἱὸν πολλάκις τοιαῦτα πλημμελοῦντα μαστιγοῦμεν, πολλῷ μᾶλλον ὁ ἀγαθὸς Θεὸς καὶ χρηστὸς καὶ ἐπιεικὴς τοῦτο ἐργάσεται.

Τί λέγεις; ἀσθενής ἐστιν ὁ πληττόμενος; Οὐκοῦν φειδοῦς, οὐ πληγῆς ἐστιν ἄξιος. Τραύματα ἔχει; Μὴ τοίνυν ἐπιτρίψωμεν, ἀλλ' ἰασώμεθα. Ὑποπτεύει πονηρῶς καὶ ἀλογίστως; Οὐκοῦν ἀνέλωμεν τὴν ὑποψίαν, μὴ ἐπιτείνωμεν· εἰς γὰρ Χριστὸν αὐτὸν ἁμαρτάνεις τοιαῦτα φιλονεικοῦσα. Ἢ οὐκ ἀκούεις συνεχῶς ἐν μὲν τῇ Παλαιᾷ τοῦ Μωϋσέως λέγοντος, ὅτι «Θεός ἐστι ζηλωτής»; αὐτοῦ δέ, ὅτι «Ἐζήλωκα τὴν Ἰε-

12. Ρωμ. 14, 20.
13. Ἐξ. 20, 5.

τὸ ἔργον τοῦ Θεοῦ ἐξ αἰτίας τῆς τροφῆς»[12]. Μολονότι βέβαια ἦτο ἄδικος ἡ πληγή, ἀλλ' ὅμως δὲν ἐπιτιμᾷ αὐτὸν ποὺ δέχεται τὸ πλήγμα, ἀλλ' ἐκεῖνον ποὺ προκαλεῖ τὸ πλῆγμα αὐτό.

Αὐτὸ λοιπὸν ποὺ εἶπα ἤδη, αὐτὸ καὶ τώρα θὰ εἰπῶ· ὅταν δηλαδὴ προκύπτῃ κάποιο μεγάλο κέρδος, μεγαλύτερον ἀπὸ τὴν πληγήν, πρέπει νὰ παραβλέπωμεν τοὺς σκανδαλιζομένους, ὅταν ὅμως δὲν προκύπτῃ τίποτε ἐπὶ πλέον, παρὰ μόνον ἡ πτῶσις τῶν ἀσθενῶν ἀπὸ τὴν πίστιν, καὶ ἂν ἀκόμη τὸ ὑφίστανται αὐτὸ ἐκεῖνοι μυρίας φορὰς ἄδικα, πρέπει νὰ μὴ δείχνωμεν ἀδιαφορίαν δι' αὐτούς· καθ' ὅτι καὶ ὁ Θεὸς θεωρεῖ ἀξίους τῆς τιμωρίας καὶ αὐτοὺς ποὺ σύρουν καὶ ὁδηγοῦν εἰς πτῶσιν τοὺς ἄλλους. Διότι τὸ νὰ πληγώνῃ κανεὶς χωρὶς κανὲν κέρδος, εἶναι δεῖγμα τῆς πιὸ χειροτέρας κακίας. Καὶ ἡμεῖς δὲ ὅταν ἰδοῦμεν κάποιον νὰ ἐνοχλῆται ἐξ αἰτίας τῆς μακροχρονίου ἀσθενείας του, ἀπομακρύνομεν ἀπὸ τὴν οἰκίαν αὐτοὺς ποὺ τὸν ἐνοχλοῦν χωρὶς λόγον καὶ δὲν ἐξετάζομεν λεπτομερῶς ἐὰν τὸ κάνουν αὐτὸ ἐκεῖνοι δικαίως ἢ ἄδικα, ἀλλὰ στεροῦντες αὐτοὺς ἀπὸ κάθε ἀπολογίαν καὶ συγχωροῦντες αὐτὸν πλήρως ἐξ αἰτίας τῆς ἀσθενείας του, τοῦ δείχνομεν συμπόνιαν καὶ ἂν ἀκόμη ἄδικα παροργίζεται. Ἐὰν δὲ ἡμεῖς ἐπιδεικνύωμεν τόσον μεγάλην φροντίδα καὶ διὰ τοὺς ὑπηρέτας μας καὶ διὰ τὰ παιδιά των, καὶ πολλὰς φορὰς καὶ τὸν υἱόν μας τὸν μαστιγώνομεν ποὺ διαπράττει τέτοια πλημμελήματα, πολὺ περισσότερον ὁ ἀγαθὸς καὶ ἐλεήμων καὶ ἐπιεικὴς Θεὸς θὰ τὸ πράξῃ αὐτό.

Τί λέγεις; ὅτι εἶναι ἀσθενὴς αὐτὸς ποὺ δέχεται τὰ πλήγματα; Ἄρα λοιπὸν εἶναι ἄξιος λύπης καὶ ὄχι πλήγματος. Ἔχει τραύματα; Ἂς μὴ τὰ ἐξερεθίσωμεν λοιπόν, ἀλλ' ἂς τὰ θεραπεύσωμεν. Ἔχει πονηρὰς ὑποψίας καὶ ἀπερισκέπτους; Ἂς τοῦ ἀφαιρέσωμεν λοιπὸν τὴν ὑποψίαν καὶ ὄχι νὰ τὴν αὐξήσωμεν· διότι ἁμαρτάνεις εἰς τὸν ἴδιον τὸν Χριστόν, ὅταν προβαίνῃς εἰς τέτοιου εἴδους φιλονεικίας. Ἢ δὲν ἀκούεις συνεχῶς εἰς μὲν τὴν Παλαιὰν Διαθήκην τὸν Μωϋσῆν νὰ λέγῃ ὅτι «Εἶναι Θεὸς Ζηλωτής»[13], τὸν ἴδιον δὲ τὸν Θεὸν «Ἔχω ἀγαπήσει ὑπερβολικὰ τὴν Ἱερουσα-

ρουσαλήμ»; ἐν δὲ τῇ Καινῇ τοῦ Παύλου βοῶντος· «Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ». Τοῦτο, εἰ καὶ μηδὲν ἕτερον ἄλλο, ἱκανὸν ἦν τὴν μὴ σφόδρα νοσοῦσαν καὶ ἀπηλγημένην ἐπιτρέψαι ψυχήν· οὕτω γὰρ φοβερὸν ὄν, ἡδὺ μᾶλλόν ἐστιν, ἢ φοβερόν. Οὐ γὰρ ἂν ζῆλός ποτε γένοιτο, μὴ θερμῆς τινος καὶ ζεούσης προϋποκειμένης ἀγάπης· ὥστε σφοδρᾶς καὶ πεπυρωμένης ἀγάπης τοῦ Θεοῦ καὶ φιλίας τεκμήριον τοῦτό ἐστιν. Οὐδὲ γὰρ πάθος ἐστὶν ὁ ζῆλος ἐπὶ Θεοῦ, ἀλλὰ τὴν ἄφατον αὐτοῦ φιλοστοργίαν ἑρμηνεῦσαι βουλόμενος, τούτῳ πολλάκις ἀποκέχρηται τῷ ὀνόματι. Ἀλλ' ὅμως ἡμεῖς οἱ σφόδρα ἀναίσθητοι πρὸς τὰς ἀνθρωπίνας καταπίπτομεν συμπαθείας, καὶ τὸν μὲν οὕτως ἡμῶν σφοδρῶς ἐρῶντα καθυβρίζομεν, τοὺς δὲ οὐδὲν δυναμένους ὠφελῆσαι παντὶ τρόπῳ θεραπεύομεν.

Τί γάρ σε, ὦ ταλαίπωρε, τοσοῦτον ὀνῆσαι δυνήσεται ἡ ψυχρὰ αὕτη συνοίκησις, ὅσων ἐκβάλλει σε θησαυρῶν; Σκόπει δέ· κατάγει σε ἐκ τῶν οὐρανῶν, τοῦ νυμφῶνος ἀπελαύνει τοῦ πνευματικοῦ, διαζεύγνυσί σε τοῦ οὐρανίου νυμφίου, προξενεῖ τὴν ἀθάνατον κόλασιν, τὰ βασανιστήρια τὰ τέλος οὐκ ἔχοντα. Ἀντὶ τούτων, εἰ τὰ μέταλλα χρυσίου παρεῖχεν ὁ συνοικῶν μυρία, εἰ τῶν ἀργυρωνήτων σοι μᾶλλον ὑπέκειτο ἀνδραπόδων, εἰ τῆς βασιλίδος αὐτῆς ἐν πλείονί σε καὶ τιμῇ καὶ ἀναπαύσει καθίστη, ἆρα οὐχ ὡς λυμεῶνα καὶ ἐχθρὸν καὶ μείζονα ἀφαιρούμενον ἢ διδόντα, οὕτω μισεῖν καὶ ἀποστρέφεσθαι ἔδει; Περὶ τῶν ἐν τοῖς οὐρανοῖς ὁ λόγος σοι πρόκειται, περὶ τῆς ἐκεῖ βασιλείας, περὶ τῆς ἀθανάτου ζωῆς, περὶ τῆς ἀπορρήτου δόξης, σὺ δὲ γηΐνων μνημονεύεις πραγμάτων, καὶ τὸν ἐν ἐκείνοις χρήσιμον εἶναι δοκοῦντα θερα-

14. Ζαχ. 1, 14.
15. Β' Κορ. 11, 2.

λήμ»[14]; εἰς δὲ τὴν Καινὴν Διαθήκην τὸν Παῦλον νὰ διακηρύσσῃ· «Διότι ζηλεύω ἐσᾶς μὲ θεῖον ζῆλον»[15]; Αὐτό, καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε τίποτε ἄλλο, ἦτο ἱκανὸν νὰ ὁδηγήσῃ εἰς ἐπιστροφὴν τὴν ψυχὴν ποὺ δὲν εἶναι ὑπερβολικὰ ἀσθενὴς καὶ δὲν εἶναι πολὺ ταραγμένη ἀπὸ τοὺς πόνους· καθ' ὅσον, ἂν καὶ εἶναι τόσον φοβερὸν πρᾶγμα, καταντᾷ νὰ εἶναι εὐχάριστον παρὰ φοβερόν. Διότι δὲν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ποτὲ ζῆλος, ἐὰν δὲν προϋπάρχῃ κάποια μορφὴ θερμῆς καὶ φλογερᾶς ἀγάπης· ὥστε αὐτὸ εἶναι ἀπόδειξις σφοδρᾶς καὶ φλογερᾶς ἀγάπης καὶ φιλίας τοῦ Θεοῦ. Διότι ὁ ζῆλος τοῦ Θεοῦ δὲν εἶναι πάθος, ἀλλὰ θέλων νὰ δείξῃ τὴν ἀπερίγραπτον φιλοστοργίαν του, πολλὰς φορὰς χρησιμοποιεῖ αὐτὸ τὸ ὄνομα. Ἀλλ' ὅμως ἡμεῖς ποὺ εἴμεθα εἰς ὑπερβολικὸν βαθμὸν ἀναίσθητοι, καταφερόμεθα πρὸς τὰς ἀνθρωπίνους συμπαθείας, καὶ αὐτὸν μὲν ποὺ μᾶς ἀγαπᾷ μὲ τόσον σφοδρὸν ἔρωτα, τὸν περιφρονοῦμεν, ἐκείνους δὲ ποὺ δὲν ἠμποροῦν εἰς τίποτε νὰ μᾶς ὠφελήσουν τοὺς φροντίζομεν μὲ κάθε τρόπον.

Ἀλήθεια, εἰς τί θὰ ἠμπορέσῃ, ταλαίπωρε, νὰ σὲ ὠφελήσῃ τόσον πολὺ ἡ ψυχρὰ αὐτὴ συγκατοίκησις, παρὰ μόνον ἀπὸ τὸ νὰ σὲ ἀπομακρύνῃ ἀπὸ τοὺς θησαυρούς; Πρόσεχε δέ· σὲ κατεβάζει ἀπὸ τὸν οὐρανόν, σὲ ἐκδιώκει ἀπὸ τὸν πνευματικὸν νυμφῶνα, σὲ ἀποχωρίζει ἀπὸ τὸν οὐράνιον νυμφίον, σοῦ προξενεῖ τὴν ἀθάνατον κόλασιν καὶ τὰ βασανιστήρια ποὺ δὲν ἔχουν τέλος. Ἔναντι αὐτῶν, ἐὰν ὁ συγκάτοικός σου σοῦ ἔδιδεν ἄπειρα μέταλλα χρυσοῦ, ἐὰν σοῦ ἦτο περισσότερον ὑποτακτικὸς ἀπὸ τοὺς ἀγορασμένους δούλους, ἐὰν σοῦ προσέφερε περισσοτέραν τιμὴν καὶ ἄνεσιν καὶ ἀπὸ αὐτὴν τὴν ἰδίαν τὴν βασίλισσαν, ἆρά γε δὲν ἔπρεπε νὰ τὸν μισῇς καὶ νὰ τὸν ἀποστρέφεσαι ὡσὰν διαφθορέα καὶ ἐχθρὸν καὶ ὁ ὁποῖος σοῦ ἀφαιρεῖ πάρα πολλά, παρὰ σοῦ δίδει; Σοῦ γίνεται λόγος περὶ τῶν οὐρανίων ἀγαθῶν, περὶ τῆς οὐρανίου βασιλείας, περὶ τῆς ἀθανάτου ζωῆς, περὶ τῆς ἀπεριγράπτου δόξης, καὶ σὺ μνημονεύεις τὰ γήϊνα πράγματα καὶ φροντίζεις ὡσὰν κύριόν σου αὐτὸν ποὺ νομίζεις ὅτι θὰ σοῦ φανῇ χρήσιμος εἰς αὐτά, καὶ δὲν

πεύεις ὥσπερ δεσπότην, καὶ οὐ καταδύῃ, οὐδὲ εὔχῃ διαστῆναί σοι τὴν γῆν, καὶ οὕτως ἐνθένδε ἀπελθεῖν;

Ἀλλ' ἀσθένειάν μοι προβάλλῃ γυναικείας φύσεως, καὶ χρειῶν ἀνθρωπίνων οἰκονομίαν, καὶ ἀνάπαυσιν τὴν κατὰ τὴν οἰκίαν, πλάττουσα καὶ συντιθεῖσα τὰς οὐκ οὔσας προφάσεις. Ἀλλ' οὐδ' οὕτως λήσεις τοὺς νοῦν ἔχοντας. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀνάπαυσις ἡ καταναγκάζουσα τοσαῦτα ἀσχημονεῖν. Γυνὴ γάρ, εἰ βουληθείη, οὐχ ἑαυτῇ μόνον, ἀλλὰ καὶ ἑτέροις ἀρκέσει πλείοσιν εἰς διακονίαν· ἐπεὶ καὶ ἐξ ἀρχῆς τοῦ ἀνδρὸς τὰ πολιτικὰ πράγματα λαχόντος, τὸ οἰκουρεῖν αὐτὴ καὶ οἰκονομεῖν τὰ ἔνδον ἅπαντα ἐκληρώσατο. Οὐ τοίνυν ἀναπαύσεως δεόμεναι ἕλκετε τοὺς ἄνδρας ἔνδον. Ἀλλὰ τί, φησί; πορνείας ἕνεκεν καὶ ἀσελγείας; Ἐγὼ μὲν οὐκ ἂν εἴποιμι τοῦτο, μὴ γένοιτο, ἀλλὰ καὶ τοῖς λέγουσιν ἐπιτιμῶν οὐ παύομαι· εἴθε δὲ καὶ πεῖσαι δυνατὸν ἦν. Τίς οὖν ἐστιν ἡ πρόφασις ἡ ποθεινὸν ἡμῖν τὸ πρᾶγμα ποιοῦσα; φησί. Κενοδοξίας ἔρως. Καὶ καθάπερ ἀνδράσιν ἡδονὴ ψυχρὰ καὶ ταλαίπωρος, οὕτω καὶ ταύταις φιλοτιμίας ἐπιθυμία τὴν ὁμοσκηνίαν ταύτην ἐργάζεται. Κενόδοξον μὲν ἅπαν, ὡς εἰπεῖν, τὸ τῶν ἀνθρώπων γένος, μάλιστα δὲ τὸ γυναικεῖον· ὅταν γὰρ μήτε ἀναπαύσεως δέωνται, καθάπερ ἀποδέδεικται, μήτε διαφθείρωνται μετ' αὐτῶν, εὔδηλον ὅτι τοῦτο λείπεται ὑποπτεύειν μόνον.

Ἐπεὶ οὖν αὐτὴν τοῦ κακοῦ τὴν ῥίζαν εὑρήκαμεν, φέρε λοιπὸν τὸ ἐγκαλεῖν ἀφέντες, παραινῶμεν καὶ πείθωμεν, ὅτι καθάπερ τῶν ἀνδρῶν οἱ συνοικοῦντες αὐταῖς δοκοῦσι μὲν ἡ-

πηγαίνεις νὰ χαθῇς καὶ δὲν εὔχεσαι νὰ σὲ καταπιῇ ἡ γῆ καὶ ἔτσι νὰ φύγῃς ἀπὸ ἐδῶ;

Ἀλλὰ μοῦ προβάλλεις τὴν ἀδυναμίαν τῆς γυναικείας φύσεως, τὴν ρύθμισιν τῶν ἀνθρωπίνων ἀναγκῶν, καὶ τὴν ἄνεσιν εἰς τὴν οἰκίαν, πλάθουσα καὶ ἐπινοοῦσα τὰς προφάσεις ποὺ δὲν εὐσταθοῦν. Ὅμως οὔτε καὶ ἔτσι θὰ διαφύγῃς αὐτοὺς ποὺ σκέπτονται ὑγιῶς. Διότι δὲν εἶναι, δὲν εἶναι ἄνεσις αὐτὴ ποὺ σὲ καταναγκάζει νὰ διαπράττῃς τέτοιου εἴδους ἀσχημοσύνας. Διότι ἡ γυναῖκα, ἐὰν θελήσῃ, ὄχι μόνον τὸν ἑαυτόν της, ἀλλὰ θὰ ἐπαρκέσῃ καὶ πολλοὺς ἄλλους νὰ ὑπηρετήσῃ. Διότι καὶ ἀπὸ τὴν ἀρχὴν εἰς μὲν τὸν ἄνδρα ἔπεσεν ὁ κλῆρος ν' ἀσχολῆται μὲ τὰς πολιτικὰς ὑποθέσεις, εἰς δὲ τὴν γυναῖκα νὰ παραμένῃ εἰς τὴν οἰκίαν καὶ νὰ διαχειρίζεται ὅλας τὰς ἐσωτερικὰς ὑποθέσεις. Ἑπομένως δὲν παίρνετε τοὺς ἄνδρας μέσα εἰς τὴν οἰκίαν ἐπειδὴ ἔχετε ἀνάγκην ἀπὸ ἄνεσιν. Ἀλλὰ ἐξ αἰτίας τίνος; λέγει· μήπως ἐξ αἰτίας τῆς πορνείας καὶ τῆς ἀσελγείας; Ἐγὼ μὲν δὲν θὰ ἠμποροῦσα νὰ τὸ εἰπῶ αὐτό, μὴ γένοιτο, ἀλλὰ καὶ δὲν σταματῶ νὰ ἐπιτιμῶ καὶ αὐτοὺς ποὺ τὸ λέγουν· μακάρι δὲ νὰ ἦτο δυνατὸν καὶ νὰ τοὺς πείσω. Ποία λοιπόν, λέγει, εἶναι ἡ αἰτία ποὺ κάμνει τὸ πρᾶγμα τόσον πολὺ ποθητὸν ἀπὸ ἡμᾶς; Ὁ ἔρως τῆς ματαιοδοξίας. Καὶ ὅπως ἀκριβῶς τοὺς ἄνδρας τοὺς προσελκύει ἡ ψυχρὰ καὶ ἀθλία ἡδονή, ἔτσι καὶ εἰς αὐτὰς τὴν συγκατοίκησιν αὐτὴν τὴν παρακινεῖ ἡ ἐπιθυμία τῆς ματαιοδοξίας. Καὶ εἶναι μὲν ματαιόδοξον, ὅπως θὰ ἐλέγαμεν, ὅλον τὸ ἀνθρώπινον γένος, κατ' ἐξοχὴν ὅμως εἶναι τὸ γυναικεῖον· διότι, ὅταν δὲν ἔχουν ἀνάγκην οὔτε ἀνέσεως, ὅπως ἀκριβῶς ἔχει ἀποδειχθῆ, οὔτε καταστρέφονται μαζὶ μὲ αὐτούς; εἶναι ὁλοφάνερον ὅτι αὐτὸ μόνον ὑπολείπεται νὰ ὑποψιαζώμεθα.

Ἀφοῦ λοιπὸν εὑρήκαμεν αὐτὴν τὴν ἰδίαν ρίζαν τοῦ κακοῦ, ἐμπρὸς λοιπόν, ἀφοῦ ἀφήσωμεν κατὰ μέρος τὰς κατηγορίας, ἂς τὰς συμβουλεύωμεν καὶ ἂς προσπαθῶμεν νὰ τὰς πείσωμεν, ὅτι, ὅπως ἀκριβῶς συμβαίνει μὲ τοὺς ἄνδρας ποὺ συγκατοικοῦν μὲ τὰς παρθένους, ποὺ νομίζουν μὲν ὅτι καρποῦνται κάποιαν ἡδονήν, ἀλλ' ὅμως περιβάλ-

δονὴν καρποῦσθαι, πλείονι δὲ περιβάλλονται βασάνῳ (καὶ γὰρ ἐκείνη μόνη καθαρὰ γένοιτ' ἂν ἡδονὴ καὶ μόνιμος, ἡ τοῦ χωρισμοῦ), οὕτω δὴ καὶ ταύταις. Δοκεῖ μέν, ὡς αὗται νομίζουσι, δόξα τις ἐντεῦθεν καὶ περιφάνεια τίκτεσθαι, εἰ δὲ ἀκριβῶς τις ἐξετάσειε, γέλωτος καὶ αἰσχύνης καὶ ὀνειδῶν καὶ τῆς ἐσχάτης ἐμπίπλαται ἀδοξίας. Καὶ ὑπὲρ τούτων εἴρηται μὲν ἡμῖν καὶ ἐν ἀρχῇ βραχέα, εἰρήσεται δὲ καὶ νῦν.

Ἔστω γὰρ ὁ συνοικῶν, εἰ βούλει, μὴ τῶν εὐτελῶν τις, μηδὲ τῶν ἀπερριμένων, ἀλλὰ τῶν πολλὴν ἐν Ἐκκλησίᾳ δύναμιν ἐχόντων, καὶ ἐπὶ γένους δὲ λαμπρότητι, καὶ ἐπὶ λόγων δυνάμει, καὶ εὐλαβείᾳ θαυμαζέσθω παρὰ πᾶσι, καὶ πανταχόθεν ἔστω λαμπρός· οὐδὲ οὕτω δυνήσεται ταύτην ποιῆσαι περιφανῆ καὶ εὐδόκιμον. Τὸν γὰρ μέλλοντα καρποῦσθαι δόξαν ἐκ τῆς πρός τινα φιλίας, τὴν ἐκείνου δόξαν πρότερον φυλάττειν δεῖ τοῦ παρέχοντος τὸ δοξάζεσθαι· ὡς εἴγε ταύτῃ λυμήναιτο, πολλῷ μᾶλλον ἂν τὴν ἑαυτοῦ καταβάλοι. Ὥσπερ γὰρ πηγῆς διαφθειρομένης καὶ τὰ προχεόμενα κοινωνεῖ νάματα τοῦ μολυσμοῦ, καὶ ῥίζης σηπομένης πολλῷ μᾶλλον ὁ καρπὸς τοῦτο πείσεται, οὕτω καὶ νῦν, τοῦ μέλλοντος τὴν παρθένον δεικνύναι λαμπράν, γενομένου καταγελάστου διὰ τῆς συνοικήσεως, αὐτὴ πρὸ ἐκείνου μετ' ἐκείνου κοινωνήσει τοῦ γέλωτος· κἂν τύχῃ τις τῇ γυναικὶ χρηστὴ παρὰ πολλοῖς προϋπάρχουσα δόξα, καὶ ταύτην εἰσελθὼν ἐκεῖνος ἀπελάσει τῆς οἰκίας, τοσοῦτον ἀπέχει καὶ ἑτέραν προσθεῖναι αὐτῇ· κἂν αὐτὸς ἔσῃ πάλιν τοιαύτην ὑπόληψιν, τοῦτο καὶ αὐτὸς πείσεται. Οὐκ ἄρα δόξαν ὑμῖν χρηστὴν προστίθησιν αὕτη ἡ κοινωνία τῆς συνοικήσεως, ἀλλὰ καὶ τὴν οὖσαν ἀναιρεῖ, καὶ τὴν οὐκ

λονται ἀπὸ περισσότερα βάσανα (καθ' ὅσον ἐκείνη μόνον ἡ ἡδονὴ θὰ ἠμποροῦσε νὰ εἶναι καθαρὰ καὶ μόνιμος, ἡ τοῦ χωρισμοῦ), τὸ ἴδιο συμβαίνει καὶ μὲ αὐτάς. Φαίνεται μέν, ὅπως αὐταὶ νομίζουν, ὅτι γεννᾶται ἀπὸ αὐτὸ τὸ γεγονός κάποια δόξα καὶ περιφάνεια, ἐὰν ὅμως ἤθελεν ἐξετάσει κάποιος ἀκριβῶς τό πρᾶγμα, θὰ εὕρῃ ὅτι εἶναι γεμᾶτον ἀπὸ γέλωτα καὶ ἐντροπὴν καὶ κατηγορίας καὶ ἀπὸ τὴν πιὸ χειροτέραν μορφὴν ἀδοξίας. Καὶ ἐλέχθησαν μὲν εἰς τὴν ἀρχὴν δι' αὐτὰ ἀρκετά, θὰ λεχθοῦν ὅμως καὶ τώρα.

Ἄς ὑποθέσωμεν λοιπόν, ἐὰν θέλῃς, ὅτι αὐτὸς ποὺ συγκατοικεῖ μαζί σου, δὲν εἶναι κάποιος ἀσήμαντος, οὔτε κάποιος ἀπὸ τοὺς περιφρονημένους, ἀλλὰ κάποιος ἀπὸ ἐκείνους ποὺ ἔχουν πολλὴν δύναμιν εἰς τὴν Ἐκκλησίαν καὶ θαυμάζεται ἀπὸ ὅλους διὰ τὴν λαμπρότητα τῆς καταγωγῆς του, τὴν δύναμιν τῶν λόγων του καὶ τὴν εὐλάβειάν του καὶ ὅτι εἶναι λαμπρὸς ἀπὸ κάθε ἄποψιν· οὔτε καὶ ἔτσι θὰ ἠμπορέσῃ νὰ τὴν κάμῃ περίφημον καὶ ὑπολήψιμον. Διότι αὐτὸς ποὺ προσμένει νὰ κερδίσῃ δόξαν ἀπὸ τὴν φιλίαν πρὸς κάποιον, πρέπει νὰ φυλάττῃ προηγουμένως τὴν δόξαν ἐκείνου ποὺ τοῦ παρέχει τὴν δυνατότητα νὰ δοξάζεται· καθ' ὅσον ἐὰν ἤθελε καταστρέψει αὐτήν, πολὺ περισσότερον θὰ κατέστρεφε τὴν ἰδικήν του. Διότι ὅπως ἀκριβῶς, ὅταν μία πηγὴ μολυνθῇ, μολύνονται καὶ τὰ νερὰ ποὺ προέρχονται ἀπὸ αὐτήν, καὶ ὅταν σαπίσῃ ἡ ρίζα, πολὺ περισσότερον θὰ τὸ πάθῃ αὐτὸ καὶ ὁ καρπός, ἔτσι καὶ τώρα· ἐπειδὴ αὐτὸς ποὺ πρόκειται ν' ἀναδείξῃ λαμπρὰν τὴν παρθένον, ἔγινε καταγέλαστος μὲ τὴν συγκατοίκησιν αὐτήν, αὐτὴ ἡ ἰδία, πρὶν ἀπὸ ἐκεῖνον, θὰ μετάσχῃ μαζὶ μὲ ἐκεῖνον τοῦ γέλωτος. Καὶ ἂν τύχῃ νὰ προϋπάρχῃ εἰς τὴν γυναῖκα κάποια καλὴ ὑπόληψις ἐκ μέρους τῶν πολλῶν, καὶ αὐτὴν θὰ τὴν ἀπομακρύνῃ ἐκεῖνος ἀπὸ τὴν οἰκίαν μόλις εἰσέλθῃ εἰς αὐτήν· τόσον πολὺ ἀπέχει ἀπὸ τὸ νὰ τῆς προσθέσῃ καὶ ἄλλην· καὶ ἂν συμβῇ πάλιν αὐτὸς νὰ ἔχῃ παρομοίαν ὑπόληψιν, τὸ ἴδιο θὰ πάθῃ καὶ αὐτός. Ἐπομένως δὲν προσθέτει εἰς ἐσᾶς αὐτὴ ἡ συγκατοίκησις καλὴν ὑπόληψιν, ἀλλ' ἀφαιρεῖ καὶ τὴν ὑπάρχουσαν καὶ προσθέτει καὶ εἰς

οὖσαν ἐπάγει τὴν πονηρὰν ἀμφοτέροις. Καὶ ὃ περὶ τῶν Ἰουδαίων ὁ προφήτης εἶπεν, εὔκαιρον νῦν εἰπεῖν· «Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς», καὶ οἱ ταύταις συνοικοῦντες τὴν κηλῖδα ἀποθήσονταί ποτε ταύτην· οὕτω, καθάπερ τις καυτὴρ σώματι, ταῖς ἀμφοτέρων ὑπολήψεσιν ἐγκαίεται ἐπισκοποῦσα πᾶσιν αὐτῶν τοῖς καλοῖς.

Ἀλλ' ἴσως δόξαν ἡγοῦνται αὐτὸ τοῦτο τὸ κεκρατηκέναι τῶν ἀνδρῶν. Ἀλλ' οὗτός ἐστιν ὁ πολὺς γέλως, καὶ ᾧ μάλιστα αἱ ἑταιριζόμεναι ἐγκαλλωπίζονται μόναι. Οὐδὲ γὰρ γυναικῶν ἐλευθέρων οὐδὲ σωφρόνων τὸ τούτοις ἐναβρύνεσθαι τοῖς δικτύοις. Ἐπεὶ καὶ αὕτη πάλιν ἑτέρα ἀτιμίας ὑπόθεσις, καὶ ὅσῳπερ ἂν κρατῶσι τῶν ἀνδρῶν καὶ χαλεπώτερα ἐπιτάττωσι, τοσούτῳ μᾶλλον ἑαυτὰς καταισχύνουσι μετ' ἐκείνων. Οὐδὲ γὰρ ἡ δουλουμένη τοὺς ἄνδρας γυνή, ἀλλ' ἡ αἰδουμένη, αὕτη πᾶσίν ἐστιν αἰδέσιμός τε καὶ ἐπίδοξος. Εἰ δὲ οὐκ ἀνέχοιντο τῶν ρημάτων τῶν ἡμετέρων, ὁ τοῦ Θεοῦ νόμος αὐτὰς ἐπιστομίσαι δυνήσεται, λέγων οὕτως· «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· κεφαλὴ γὰρ γυναικὸς ὁ ἀνήρ». Καὶ ἑτέρωθεν δὲ εὕροι τις ἂν πολλαχόθεν τοῦτο οὕτω νενομισμένον, καὶ ταύτην ἄνωθεν οὖσαν τὴν τάξιν. Ὥστε ἀσχημοσύνη μεγάλη, ὅταν τὰ ἄνω κάτω γένηται, κάτω μὲν ἡ κεφαλή, τὸ δὲ σῶμα ἄνω. Εἰ δὲ ἐπὶ γάμου τοῦτο αἰσχρόν, πολλῷ μᾶλλον ἐπὶ ταύτης τῆς συζυγίας, ἔνθα οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι νόμου παράβασίς ἐστι τὸ γινόμενον θεῖον, ἀλλ' ὅτι πονηροτέραν καὶ ἑαυτῷ καὶ τῇ γυναικὶ

16. Ἰερ. 13, 23.
17. Γεν. 3, 16.
18. Α΄ Κορ. 11, 3.

τοὺς δύο τὴν κακὴν φήμην ποὺ δὲν ὑπάρχει. Καὶ αὐτὸ ποὺ εἶπεν ὁ προφήτης περὶ τῶν Ἰουδαίων, εἶναι κατάλληλος στιγμὴ νὰ τὸ ἀναφέρωμεν τώρα· «Ἐὰν ἀλλάξῃ ὁ Αἰθίοψ τὸ δέρμα του καὶ ἡ πάρδαλις τὰ ποικίλματα τοῦ δέρματός της»[16], θὰ ἐξαλείψουν κάποτε τὴν κηλῖδα αὐτὴν καὶ αὐτοὶ ποὺ συγκατοικοῦν μὲ αὐτά· κατὰ κάποιον τρόπον, ὅπως ἀκριβῶς κάποιος καυστὴρ προκαλεῖ ἐγκαύματα εἰς τὰ σώματα, ἔτσι καὶ ἡ συγκατοίκησις αὐτὴ κατακαίει τὰς ὑπολήψεις καὶ τῶν δύο καὶ ἐπισκιάζει ὁ,τιδήποτε καλὸν ὑπάρχει εἰς αὐτούς.

Ἐνδεχομένως ὅμως θεωροῦν δόξαν αὐτὴν ἀκριβῶς τὴν κυριαρχίαν των ἐπὶ τῶν ἀνδρῶν. Ἀλλ' αὐτὸ εἶναι τὸ πιὸ ἀξιογέλαστον καὶ μὲ τὸ ὁποῖον κατ' ἐξοχὴν καυχῶνται μόνον αὐταὶ ποὺ εἶναι ἑταῖραι. Διότι δὲν εἶναι γνώρισμα οὔτε τῶν ἐλευθέρων γυναικῶν οὔτε τῶν φρονίμων τὸ νὰ σεμνύνωνται διὰ τὰ δίκτυα αὐτά. Καθ' ὅσον καὶ αὐτὴ εἶναι ἄλλη αἰτία ἀτιμίας καὶ ὅσον μεγαλυτέρα συμβῇ νὰ εἶναι ἡ κυριαρχία των ἐπὶ τῶν ἀνδρῶν καὶ βαρύτερα τὰ προστάγματά των, τόσον περισσότερον καταισχύνουν τὸν ἑαυτόν των μαζὶ μὲ ἐκείνους. Διότι σεβαστὴ εἰς ὅλους καὶ ἔνδοξος δὲν εἶναι ἡ γυναῖκα ποὺ ἔχει δούλους τοὺς ἄνδρας, ἀλλ' αὐτὴ ποὺ σέβεται αὐτούς. Ἐὰν ὅμως δὲν ἤθελον παραδεχθῆ τὰ λόγια μου, τότε ὁ νόμος τοῦ Θεοῦ θὰ ἠμπορέσῃ νὰ τὰς κλείσῃ τὰ στόματα, ὁ ὁποῖος λέγει· «Ὁ ἄνδρας θὰ εἶναι τὸ καταφύγιόν σου καὶ αὐτὸς θὰ σὲ ἐξουσιάζῃ»[17]· διότι ὁ ἄνδρας εἶναι κεφαλὴ τῆς γυναικός»[18]. Καὶ ἀπὸ πολλὰς ἄλλας περιπτώσεις θὰ ἠμποροῦσε κανεὶς νὰ εὕρῃ νὰ εἶναι αὐτὸ ἔτσι νομοθετημένον καὶ ἡ τάξις αὐτὴ ἔχει τὴν ἀρχήν της εἰς τὸν οὐρανόν. Ὥστε εἶναι μεγάλη ἀσχημοσύνη, ὅταν τὰ ἄνω λαμβάνουν τὴν θέσιν τῶν κάτω καὶ εἶναι ἡ μὲν κεφαλὴ κάτω, τὸ δὲ σῶμα ἐπάνω. Ἐὰν δὲ αὐτὸ εἶναι αἰσχρὸν διὰ τὸν γάμον πολὺ περισσότερον αἰσχρὸν εἶναι εἰς τὴν περίπτωσιν αὐτὴν τῆς συγκατοικήσεως, ὅπου δὲν εἶναι μόνον αὐτὸ τὸ φοβερόν, ὅτι δηλαδὴ ἀποτελεῖ αὐτὸ ποὺ γίνεται παράβασιν τοῦ θείου νόμου, ἀλλ' ὅτι προσδίδει καὶ εἰς τὸν ἑαυτόν του καὶ εἰς τὴν γυ-

περιτίθησι δόξαν. Εἰ γὰρ τὸ συνοικεῖν αἰσχρόν, πολλῷ μᾶλλον τὸ συνοικοῦσαν δουλοῦσθαι· οὐδὲ γὰρ πανταχοῦ τὸ κρατεῖν ἔπαινον φέρει, ἀλλ' ἔστι καὶ μὴ κρατοῦντα εὐδοκιμεῖν, καὶ κρατοῦντα ἀσχημονεῖν.

Ὥστε, εἰ βούλει θαυμάζεσθαι παρὰ ἀνδράσι, μηδέν σοι κοινὸν ἔστω πρὸς αὐτούς· πόρρω καὶ συνουσίας καὶ ὄψεως καὶ συνοικήσεως γίνου τῆς ἐκείνων. Τότε σε καὶ γυναῖκες ἐκπλαγήσονται, καὶ ἄνδρες θαυμάσονται πάντες ὁμοῦ ἅτε παρθένον οὖσαν καὶ τῷ νυμφίῳ προσεδρεύουσαν ἀπερισπάστως· τότε σε οὐχ οἱ οἰκεῖοι μόνον, ἀλλὰ καὶ Ἕλληνες καὶ Ἰουδαῖοι καὶ πᾶν τὸ τῶν ἀνθρώπων ἀποδέξεται γένος. Ὥστε εἰ δόξαν ζηλοῖς, ταύτην ὅδευε τὴν ὁδόν, μὴ τὴν ἐναντίαν· τότε σε οὐκέτι τὴν τοῦ δεῖνος καλέσουσι καὶ τοῦ δεῖνος, ἀλλὰ τὴν τοῦ Χριστοῦ· τούτου δὲ κόσμος ἕτερος ἴσος οὐκ ἄν σοι ποτε γένηται παρ' οὐδενός. Ἢ μικρὰ ταῦτα, εἰπέ μοι, καθ' ἑκάστην ᾀδόμενά τε καὶ περιφερόμενα τὴν ἡμέραν καὶ ἐν ἀγορᾷ καὶ ἐν οἰκίαις καὶ ἐν ἑτέραις πόλεσιν· ἡ δεῖνα, κόρη τε οὖσα καὶ νέα κομιδῇ καὶ σφόδρα εὐπρόσωπος, πολλούς, εἴ γε ἤθελεν, ἐπισπάσασθαι δυναμένη προστάτας, οὐκ ἠθέλησεν, ἀλλ' εἵλετο πᾶν ὁτιοῦν ὑπομεῖναι καὶ παθεῖν, ἢ τὴν τοῦ Χριστοῦ προδοῦναι φιλίαν, καὶ τὸ τῆς σωφροσύνης ἄνθος ἀφανίσαι; Μακαρία εἶ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις· ὅσων ἀπολαύσεται ἀγαθῶν, οἷον δέξεται στέφανον, ὅσον καρπώσεται μισθόν, πρὸς αὐτὰς ἁμιλλωμένη τὰς ἀσωμάτους δυνάμεις;

Ταῦτα καὶ τὰ τοιαῦτα περὶ αὐτῆς πάντες ἐροῦσι καὶ εἰς ζῆλον ταῖς ἑαυτῶν θυγατράσι προθήσουσι· κἂν κοσμίως βιοῦσάν τις προτρέψαι καὶ διεφθαρμένην σωφρονίσαι βουληθείη, τὰ ταύτης ἐγκώμια πάλιν ἅπαντες εἰς μέσον οἴσουσιν· οὐκ

ναῖκα τὴν πιὸ κακὴν φήμην. Διότι, ἐὰν εἶναι αἰσχρὸν πρᾶγμα ἡ συγκατοίκησις, πολὺ περισσότερον εἶναι τὸ νὰ σὲ κάμνῃ δοῦλον της ἡ συγκατοικοῦσα· καθ' ὅσον δὲν προσδίδει ἔπαινον εἰς ὅλας τὰς περιπτώσεις ἡ κυριαρχία ἐπὶ κάποιου, ἀλλ' εἶναι δυνατὸν νὰ ἔχῃ κανεὶς καλὴν ὑπόληψιν καὶ χωρὶς τὴν κυριαρχίαν ἐπὶ κάποιου, καὶ ἀσκῶν τὴν κυριαρχίαν αὐτὴν νὰ διαπράττῃ ἀπρεπείας.

Ὥστε, ἐὰν θέλῃς νὰ θαυμάζεσαι ἀπὸ τοὺς ἄνδρας, νὰ μὴ ἔχῃς τίποτε τὸ κοινὸν μὲ αὐτούς· διάκοψε καὶ τὴν συναστροφήν σου μὲ αὐτοὺς καὶ τὸ νὰ βλέπῃς αὐτοὺς καὶ νὰ συγκατοικῇς μαζί των. Τότε καὶ αἱ γυναῖκες θὰ ἐκπλαγοῦν καὶ ὅλοι οἱ ἄνδρες θὰ σὲ θαυμάσουν, ποὺ εἶσαι παρθένος καὶ ὑπηρετεῖς μὲ ζῆλον πολὺν καὶ ἀπερίσπαστον τὸν νυμφίον· τότε θὰ σὲ παραδεχθοῦν ὄχι μόνον οἱ Χριστιανοί, ἀλλὰ καὶ οἱ Ἐθνικοὶ καὶ οἱ Ἰουδαῖοι καὶ ὅλον τὸ ἀνθρώπινον γένος. Ὥστε, ἐὰν ποθῇς μὲ πολὺν ζῆλον τὴν δόξαν, βάδιζε αὐτὸν τὸν δρόμον καὶ ὄχι τὸν ἀντίθετον· τότε δὲν θὰ εἰποῦν πιὰ ὅτι εἶσαι τοῦ τάδε ἢ τοῦ τάδε, ἀλλὰ τοῦ Χριστοῦ· καὶ ποτὲ δὲν θ' ἀποσπάσῃς ἀπὸ κανένα ἄλλον ἄλλον ἔπαινον ἴσον μὲ αὐτόν. Ἤ, εἰπέ μου, εἶναι μικρὰ αὐτὰ καθημερινῶς νὰ λέγωνται καὶ νὰ διαδίδωνται καὶ εἰς τὴν ἀγορὰν καὶ εἰς τὰς οἰκίας καὶ εἰς ἄλλας πόλεις, ὅτι δηλαδὴ ἡ τάδε, ἂν καὶ εἶναι κόρη καὶ πολὺ νέα καὶ πάρα πολὺ ὡραία, καὶ ἠμποροῦσε νὰ ἀποσπάσῃ, ἐὰν ἤθελε, πολλοὺς προστάτας, δὲν ἠθέλησεν, ἀλλ' ἐπροτίμησεν ὁ,τιδήποτε ἄλλο νὰ ὑπομείνῃ καὶ νὰ πάθῃ, παρὰ νὰ προδώσῃ τὴν ἀγάπην τοῦ Χριστονῦ καὶ νὰ καταστρέψῃ τὸ ἄνθος τῆς σωφροσύνης; Μακαρία εἶναι καὶ δύο καὶ τρεῖς καὶ πολλὰς φοράς· πόσα ἀγαθὰ δὲν θ' ἀπολαύσῃ, ποῖον στέφανον δὲν θὰ δεχθῇ, ποίαν ἀμοιβὴν δὲν θὰ καρπωθῇ συναγωνιζομένη πρὸς τὰς ἰδίας τὰς ἀσωμάτους δυνάμεις;

Ὅλοι θὰ εἰποῦν δι' αὐτὴν αὐτὰ καὶ τὰ παρόμοια καὶ θὰ τὰ ὑποδείξουν πρὸς μίμησιν εἰς τὰς θυγατέρας των, καὶ ἂν κανεὶς θελήσῃ νὰ συμβουλεύσῃ κάποιαν νὰ ζῇ φρόνιμον ζωὴν καὶ νὰ σωφρονίσῃ μίαν παραστρατημένην, ὅλοι θὰ προβάλουν καὶ πάλιν τοὺς ἐπαίνους αὐτῆς. Καὶ ὄχι μόνον

ἐνταῦθα δὲ μόνον, ἀλλὰ κἂν ἁπλῶς περὶ παρθενίας γίνηται λόγος, καὶ οὕτως αὐτὴν ἅπαντες ἐπαινέσονται, οὐχ οἱ κοσμίως ζῶντες μόνον, ἀλλὰ καὶ ἐκεῖνοι οἱ σπουδάσαντες καὶ πάντα πράξαντες, ὥστε αὐτὴν ἑλεῖν, εἶτα καταφρονηθέντες καὶ ὑπεροφθέντες. Καὶ αὕτη μὲν τοσαύτης καὶ πολλῷ πλείονος τῆς εἰρημένης ἀπολαύσεται δόξης, ἡ δὲ ἔχουσα τοὺς συνοικοῦντας τῶν ἐναντίων ἁπάντων.

Καὶ πρῶτον μέν, ὅταν κατηγορῆται παρά τινων ἡ παρθενία μιαρῶν, ἥξουσι μὲν εἰς μνήμην ἀμφότεραι ἐν τοῖς τοιούτοις συλλόγοις, ἀλλ' ἡ μὲν τὰ τῶν ἀπολογουμένων, ἡ δὲ τὰ τῶν κατηγορούντων ἀνοίγουσα στόματα. Ἔπειτα, ὅταν σωφρονισθῆναί τινα καὶ ῥυθμισθῆναι δέῃ, αὕτη μὲν καθάπερ φάρμακον ἐπιστύφον, καὶ σηπεδόνα ἀναστέλλειν δυνάμενον, εἰς μέσον ἄγεται, καὶ τὸ τοῦ διδασκάλου στόμα κοσμεῖ, ἐκείνη δὲ μετὰ τῆς καταισχυνθείσης ἕστηκε, κἂν μὴ παρῇ, κολαζομένη καὶ καταισχυνομένη. Ἀνάγκη γὰρ καθ' ἑκάστην διαμαρτάνουσαν κατηγορεῖσθαι ταύτην καὶ καταισχύνεσθαι πάλιν. Καὶ ὅπου περ ἂν περὶ τοῦ πράγματος τούτου γίνηται λόγος, ὥσπερ ἐκείνη μακαρία, οὕτως ἀθλία αὕτη καὶ ταλαίπωρος, καὶ πάντα τὰ τοιαῦτα ἀκούσεται· καὶ ὥσπερ ἐκείνην οὐχ οἱ εἰδότες μόνον, ἀλλὰ καὶ οἱ ἀγνοοῦντες καὶ μηδὲν εὐεργετηθέντες ᾄδουσι καὶ ἀνυμνοῦσιν, οὕτω καὶ ταύτην οἵ τε εἰδότες, οἵ τε ἀγνοοῦντες, οἵ τε μηδὲν παθόντες κακὸν κακίζουσι καὶ διαβάλλουσιν.

Οἱ μὲν γὰρ ὀρθῶς βιοῦντες, οὐ παρὰ τῶν γνωρίμων μόνον, ἀλλὰ καὶ παρὰ τῶν ἀγνώστων, καὶ παρ' αὐτῶν δὲ τῶν ἐχθρῶν ἐπαινοῦνται καὶ θαυμάζονται, οἱ δὲ διεφθαρμένοι καὶ φαῦλοι καὶ παρὰ τῶν φίλων κακίζονται. Καὶ τοῦτο δὲ τῆς

εἰς αὐτὰς τὰς περιπτώσεις, ἀλλά, καὶ ἂν ἀκόμη γίνεται ἁπλῶς λόγος περὶ παρθενίας, καὶ τότε ὅλοι αὐτὴν θὰ ἐπαινέσουν, ὄχι μόνον αὐτοὶ ποὺ κάμνουν σεμνὴν ζωήν, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ ἐπεδίωξαν καὶ ἔκαμαν τὸ πᾶν, ὥστε νὰ τὴν θέσουν ὑπὸ τὴν κυριαρχίαν των, ἀλλὰ περιεφρονήθησαν καὶ παρεβλέφθησαν. Καὶ αὐτὴ μὲν θ' ἀπολαύσῃ τόσον μεγάλην καὶ πολὺ πιὸ μεγαλυτέραν, ἀπὸ τὴν προαναφερθεῖσαν, ὑπόληψιν, ἐνῷ ἐκείνη ποὺ ἔχει τοὺς συγκατοικοῦντας ἄνδρας ὅλα τὰ ἀντίθετα.

Καὶ πρῶτον μέν, ὅταν θὰ κατηγορῆται ἀπὸ μερικοὺς μιαροὺς ἡ παρθενία, θὰ ἔρχωνται μὲν κατὰ τὰς συναθροίσεις αὐτὰς εἰς τὴν μνήμην των καὶ αἱ δύο, ἀλλ' ἡ μὲν μία θ' ἀνοίγῃ τὰ στόματα αὐτῶν ποὺ θὰ ὑπερασπίζωνται τὴν παρθενίαν, ἡ δὲ ἄλλη αὐτῶν ποὺ θὰ τὴν κατηγοροῦν. Ἔπειτα, ὅταν θὰ χρειάζεται νὰ σωφρονισθῇ κάποια καὶ νὰ διορθωθῇ, ἡ μὲν μία θὰ προβάλλεται ὡσὰν φάρμακον θεραπευτικὸν ποὺ καὶ τὴν σῆψιν ἠμπορεῖ νὰ προλαμβάνῃ καὶ νὰ κοσμῇ τὸ στόμα τοῦ διδασκάλου, ἡ δὲ ἄλλη θὰ προβάλλεται δίπλα εἰς τὴν κατεντροπιασμένην, καὶ ἂν ἀκόμη δὲν εἶναι παροῦσα, καὶ θὰ κατηγορῆται καὶ θὰ κατεξευτελίζεται. Διότι πρέπει, ὅπως ἀκριβῶς καθημερινῶς ἁμαρτάνει, ἔτσι καὶ καθημερινῶς νὰ κατηγορῆται καὶ νὰ κατεξευτελίζεται. Καὶ ὅπου θὰ συμβαίνῃ νὰ γίνεται λόγος δι' αὐτὸ τὸ θέμα, ὅπως ἀκριβῶς ἐκείνη θὰ μακαρίζεται, ἔτσι αὐτὴ θὰ θεωρῆται ἀθλία καὶ δυστυχὴς καὶ θ' ἀκούῃ ὅλας τὰς παρομοίας κατηγορίας· καὶ ὅπως ἀκριβῶς ἐκείνην, ὄχι μόνον ἐκεῖνοι ποὺ τὴν γνωρίζουν, ἀλλὰ καὶ αὐτοὶ ποὺ τὴν ἀγνοοῦν καὶ δὲν ἔτυχον καμμίας εὐεργεσίας, τὴν τραγουδοῦν καὶ τὴν ἐξυμνοῦν, ἔτσι καὶ αὐτήν, καὶ αὐτοὶ ποὺ τὴν γνωρίζουν καὶ αὐτοὶ ποὺ τὴν ἀγνοοῦν καὶ αὐτοὶ ποὺ δὲν ἔπαθον κανὲν κακὸν ἀπὸ αὐτὴν τὴν κακίζουν καὶ τὴν κατηγοροῦν.

3. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν, ἐὰν μὲν κάποιος ὀργισθῇ ἐναντίον τοῦ ἀδελφοῦ του χωρὶς κανένα λόγον καὶ αἰτίαν καὶ τὸν ἀποκαλέσῃ 'μωρόν'[2], τὸν ἠπείλησε μὲ τὴν γέενναν. Ὅμως δὲν ὑπεσχέθη καὶ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς αὐτοὺς ποὺ δὲν ὀργίζονται χωρὶς λόγον καὶ δὲν ἐκτρέπονται εἰς ὕβρεις, ἀλλ' ἐζήτησε κάτι ἄλλο, περισσότερον ἀπὸ αὐτὸ καὶ μεγαλύτερον, εἰπών, «Ἀγαπᾶτε τοὺς ἐχθρούς σας»[3]. Καὶ ἐπιθυμῶν νὰ δείξῃ πόσον πολὺ ἀσήμαντον καὶ εὐτελὲς καὶ χωρὶς καμμίαν ἀξίαν εἶναι τὸ νὰ μὴ μισῇ κανεὶς τοὺς ἀδελφούς του, ἀφοῦ ἔθεσε τὸ πολὺ σπουδαιότερον ἀπὸ αὐτό, τὸ ν' ἀγαπᾷ αὐτοὺς καὶ νὰ ἐπιδεικνύῃ συμπάθειαν δι' αὐτούς, δὲν εἶπεν· ὅτι αὐτὸ εἶναι ἀρκετὸν διὰ νὰ τύχωμεν κάποιας τιμῆς. Διότι πῶς θὰ ἠμποροῦσε νὰ συμβῇ αὐτό, ὅταν δὲν ἔχωμεν νὰ παρουσιάσωμεν τίποτε τὸ ἐπὶ πλέον ὡς πρὸς αὐτὸ ἀπὸ τοὺς εἰδωλολάτρας; Ὥστε χρειαζόμεθα μίαν ἄλλην προσθήκην πολὺ πιὸ μεγαλυτέραν ἀπὸ αὐτήν, ἐὰν βέβαια πρόκειται ν' ἀπαιτήσωμεν μισθόν. Διότι, λέγει, μὴ ἔχῃς τὴν ἀξίωσιν, ἐπειδὴ δὲν σὲ τιμωρῶ μὲ τὴν γέενναν, ποὺ δὲν ὑβρίζεις τὸν ἀδελφόν σου καὶ δὲν ὀργίζεσαι ἐναντίον του, νὰ τύχῃς ἀμέσως ἄξιος καὶ στεφάνων. Καθ' ὅσον ἐγὼ δὲν ἀπαιτῶ μόνον τόσον μέτρον φιλοφροσύνης, ἀλλὰ καὶ ἂν ἀκόμη, μαζὶ μὲ τὸ ὅτι δὲν τὸν ὑβρίζεις, λέγῃς ὅτι καὶ τὸν ἀγαπᾶς, σύρεσαι ἀκόμη χαμηλὰ καὶ τοποθετεῖς τὸν ἑαυτὸν κοντὰ εἰς τοὺς τελώνας. Ἀλλ' ἐὰν θέλῃς νὰ εἶσαι τέλειος καὶ ἄξιος τῶν οὐρανῶν, μὴ σταματήσῃς μέχρις ἐδῶ μόνον, ἀλλὰ ἀνέβα ἀκόμη πιὸ ὑψηλὰ καὶ σκέψου ἀνώτερα ἀπὸ

ἀλλ' ἀνάβηθι προσωτέρω καὶ τῆς φύσεως αὐτῆς μείζονα λαβὲ λογισμόν. Τοῦτο δέ ἐστι τοὺς ἐχθροὺς ἀγαπᾶν.

4. Ἐπεὶ οὖν πάντοθεν ἡμῖν τοῦτο συνωμολόγηται, παυσάσθωσαν μάτην οἱ ἀπὸ τῶν αἱρέσεων κόπτοντες ἑαυτούς· οὐδένα γὰρ λήψονται μισθόν. Οὐκ ἐπειδὴ ὁ Κύριος ἄδικος, ἄπαγε, ἀλλ' ἐπειδὴ αὐτοὶ ἀγνώμονες καὶ πονηροί. Πῶς; Ἀποδέδεικται τοίνυν μηδεμίαν κεῖσθαι δωρεὰν μόνῃ τῇ τῶν φαύλων φυγῇ. Τὸν δὲ γάμον αὐτοὶ φαῦλον νομίσαντες οὕτως ἔφυγον. Πῶς οὖν ὑπὲρ τῆς τῶν φαύλων ἀναχωρήσεως δυνήσονται μισθὸν ἀπαιτεῖν; Ὥσπερ γὰρ ἡμεῖς ὑπὲρ τοῦ μὴ μοιχεύειν στεφανοῦσθαι οὐκ ἀξιώσομεν, οὕτως οὐδὲ ὑπὲρ τοῦ μὴ γαμεῖν ἐκεῖνοι. Ἐρεῖ γὰρ πρὸς αὐτοὺς ὁ κατ' ἐκείνην κρίνων τὴν ἡμέραν· Ἐγὼ τὰς τιμὰς οὐ τοῖς τῶν πονηρῶν ἀπεσχημένοις τέθεικα μόνον - μικρὸν γὰρ παρ' ἐμοὶ τοῦτο τὸ μέρος -, ἀλλὰ τοὺς ἅπασαν ἐπελθόντας ἀρετὴν τούτους εἰς τὴν ἀγήρω τῶν οὐρανῶν εἰσάγω κληρονομίαν. Πῶς οὖν ὑμεῖς, πρᾶγμα ἀκάθαρτον καὶ ἐναγὲς εἶναι τὸν γάμον νομίσαντες, τῆς τῶν ἐναγῶν ἀπαλλαγῆς τὰ κείμενα τοῖς ἐργάταις τῶν ἀγαθῶν ἀπαιτεῖτε ἔπαθλα;

5. Διὰ τοῦτο γὰρ καὶ τὰ πρόβατα ἐκ δεξιῶν ἵστησιν ὁ Χριστὸς καὶ εὐλογεῖ καὶ εἰς τὴν βασιλείαν εἰσάγει, οὐχ ὅτι οὐχ ἥρπασαν τὰ ἀλλότρια, ἀλλ' ὅτι καὶ τὰ αὐτῶν ἑτέροις διένειμαν. Καὶ τὸν τὰ πέντε τάλαντα δὲ ἐγχειρισθέντα ἀποδέχεται, οὐχ ὅτι οὐκ ἐμείωσεν, ἀλλ' ὅτι ἐπλεόνασε τὸ δοθέν, καὶ διπλῆν τὴν παρακαταθήκην ἀπέδωκεν. Μέχρι τίνος οὖν οὐ στήσεσθε τρέχοντες εἰς κενὸν καὶ κοπιῶντες μάτην καὶ εἰκῇ πυκτεύοντες καὶ τὸν ἀέρα δέροντες; Καὶ εἴθε μόνον εἰκῇ. Καίτοι οὐδὲ τοῦτο μικρὸν εἰς κολάσεως λόγον, τὸ πολλὰ καμόντας καὶ μείζονα τῶν πόνων προσδοκήσαντας ἔπαθλα

4. Ματθ. 25, 32 - 33.

αὐτὴν τὴν ἀνθρωπίνην φύσιν. Αὐτὸ δὲ σημαίνει τὸ ν' ἀγαπᾷς τοὺς ἐχθρούς σου.

4. Ἐπειδὴ λοιπὸν ἀπὸ παντοῦ αὐτὸ συνομολογεῖται, ἄς παύσουν οἱ αἱρετικοὶ νὰ κοπιάζουν ἄδικα, διότι δὲν θὰ λάβουν κανένα μισθόν. Ὄχι ἐπειδὴ ὁ Κύριος εἶναι ἄδικος, μακρυὰ κάτι τέτοιον, ἀλλ' ἐπειδὴ αὐτοὶ εἶναι ἀχάριστοι καὶ πονηροί. Πῶς; Ἔχει ἀποδειχθῆ δηλαδὴ ὅτι δὲν ἐπιφυλάσσεται καμμία ἀμοιβὴ εἰς ἐκείνους ποὺ ἀποφεύγουν μόνον τὰ κακά. Τὸν δὲ γάμον θεωρήσαντες αὐτὸν ὡς κακόν, τὸν ἀπέφυγον δι' αὐτό. Πῶς λοιπὸν θὰ ἠμπορέσουν ν' ἀπαιτήσουν μισθὸν διὰ τὸ ὅτι ἀπέφυγον τὰ κακά; Διότι, ὅπως ἀκριβῶς ἡμεῖς δὲν θ' ἀξιωθῶμεν νὰ λάβωμεν στέφανον ἐπειδὴ ἀποφεύγομεν τὴν μοιχείαν, ἔτσι καὶ ἐκεῖνοι δὲν θ' ἀξιωθοῦν ἐπειδὴ ἀποφεύγουν τὸν γάμον. Διότι θὰ εἰπῇ πρὸς αὐτοὺς αὐτὸς ποὺ θὰ κρίνῃ κατὰ τὴν ἡμέραν ἐκείνην· Ἐγὼ δὲν ἔθεσα τὰς τιμὰς δι' ἐκείνους ποὺ ἀποφεύγουν μόνον τὰ κακὰ — διότι αὐτὸ εἶναι δι' ἐμὲ ἀσήμαντον —, ἀλλὰ αὐτοὺς ποὺ ἐπραγματοποίησαν ὅλην τὴν ἀρετήν, αὐτοὺς ὁδηγῶ εἰς τὴν αἰώνιον κληρονομίαν τῶν οὐρανῶν. Πῶς λοιπὸν σεῖς, θεωρήσαντες τὸν γάμον πρᾶγμα ἀκάθαρτον καὶ βδελυρόν, ἀπαιτεῖτε διὰ τὴν ἀποφυγὴν τῶν βδελυρῶν πραγμάτων τὰ ἔπαθλα ποὺ ἐπιφυλάσσονται διὰ τοὺς ἐργάτας τῶν ἀγαθῶν;

5. Διὰ τοῦτο λοιπὸν καὶ τὰ πρόβατα τὰ τοποθετεῖ ὁ Χριστὸς εἰς τὰ δεξιὰ καὶ τὰ εὐλογεῖ καὶ τὰ ὁδηγεῖ εἰς τὴν βασιλείαν[4], ὄχι ἐπειδὴ δὲν ἥρπασαν τὰ ξένα πράγματα, ἀλλ' ἐπειδὴ καὶ τὰ ἰδικά των τὰ ἐμοίρασαν εἰς τοὺς ἄλλους. Καὶ ἀποδέχεται αὐτὸν ποὺ τοῦ ἐνεπιστεύθη τὰ πέντε τάλαντα, ὄχι ἐπειδὴ δὲν τὰ ἐμείωσεν, ἀλλ' ἐπειδὴ ηὔξησεν αὐτὸ ποὺ τοῦ ἐδόθη, καὶ ἀπέδωσε διπλάσια αὐτὰ ποὺ τοῦ ἀνετέθησαν. Μέχρι πότε λοιπὸν δὲν θὰ παύσετε νὰ τρέχετε εἰς τὸ κενὸν καὶ νὰ κοπιάζετε ἄδικα καὶ εἰς τὰ χαμένα ν' ἀγωνίζεσθε καὶ τὸν ἀέρα νὰ δέρετε; Καὶ μακάρι νὰ τὸ ἐκάματε αὐτὸ ἄσκοπα. Ἂν καὶ βέβαια αὐτὸ δὲν εἶναι μικρὰ τιμωρία, τὸ νὰ τοποθετηθοῦν δηλαδὴ κατὰ τὸν καιρὸν τῆς ἀπονομῆς τῆς τιμῆς μεταξὺ τῶν ἀτίμων

κατὰ τὸν καιρὸν τῆς τιμῆς ἐν τοῖς ἀτίμοις τετάχθαι.

ϐ΄ Ὅτι καὶ κολάζονται οἱ αἱρετικοὶ διὰ τὸ παρθενεῦσαι.

1. Ἔστιν δὲ νῦν οὐ τοῦτο μόνον τὸ δεινόν, οὐδὲ μέχρι τοῦ μὴ κερδᾶναι τὰ τῆς ζημίας αὐτοῖς, ἀλλ' ἕτερα πολλῷ τούτων ἐκδέξεται χαλεπώτερα· τὸ πῦρ τὸ ἄσβεστον, ὁ σκώληξ ὁ ἀτελεύτητος, τὸ σκότος τὸ ἐξώτερον, ἡ θλῖψις, ἡ στενοχωρία. Ὥστε μυρίων ἡμῖν δεῖ στομάτων καὶ τῆς ἀγγέλων δυνάμεως, ἵνα δυνηθῶμεν τῆς εἰς ἡμᾶς κηδεμονίας εὐχαριστίαν ἀποδοῦναι τῷ Θεῷ τὴν ἀξίαν. Μᾶλλον δὲ οὐδὲ οὕτω δυνατόν. Πῶς γάρ; Ὁ μὲν γὰρ πόνος ὑπὲρ τῆς παρθενίας ἡμῖν καὶ τοῖς αἱρετικοῖς ἴσος, τάχα δὲ καὶ πολλῷ πλείων ἐκείνοις, ὁ δὲ καρπὸς τῶν πόνων οὐκ ἴσος, ἀλλ' ἐκείνοις μὲν δεσμὰ καὶ δάκρυα καὶ οἰμωγαὶ καὶ τὸ κολάζεσθαι ἀθάνατα, ἡμῖν δὲ αἱ τῶν ἀγγέλων λήξεις καὶ αἱ φαιδραὶ λαμπάδες καὶ τὸ πάντων κεφάλαιον τῶν ἀγαθῶν, ἡ μετὰ τοῦ νυμφίου διαγωγή.

2. Τί δήποτ' οὖν ἐναντία τῶν αὐτῶν πόνων τὰ ἐπίχειρα; Ὅτι ἐκεῖνοι μὲν ἵνα ἀντινομοθετήσωσι τῷ Θεῷ τὴν παρθενίαν εἵλοντο, ἡμεῖς δὲ ἵνα ἀνύσωμεν αὐτοῦ τὸ θέλημα τοῦτο πράττομεν. Ὅτι γὰρ ὁ Θεὸς βούλεται πάντας ἀνθρώπους ἀπέχεσθαι γάμου, μάρτυς ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα· «Βούλομαι» γάρ, φησίν, «πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν», ἐν ἐγκρατείᾳ δηλονότι. Φειδόμενος δὲ ἡμῶν ὁ Σωτὴρ καὶ εἰδὼς ὅτι «Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής», οὐκ εἰς ἐντολῆς ἀνάγκην τὸ πρᾶγμα κατέκλεισεν, ἀλλ' ἐπέστρεψεν αὐτοῦ τὴν αἵρεσιν ταῖς ἡμετέ-

---

5. Α' Κορ. 7, 7.
6. Ματθ. 26, 41.

αὐτοὶ ποὺ ἐκόπιασαν πάρα πολὺ καὶ ἐπερίμεναν νὰ λάβουν μεγαλύτερα ἔπαθλα ἀπὸ τοὺς κόπους των.

ϛ′ Περὶ τοῦ ὅτι τιμωροῦνται οἱ αἱρετικοὶ ἐξ αἰτίας τῆς παρθενίας.

1. Καὶ τώρα λοιπὸν δὲν εἶναι μόνον αὐτὸ τὸ κακόν, οὔτε φθάνει ἡ ζημία μέχρις εἰς τὸ νὰ μὴ κερδίσουν τίποτε, ἀλλὰ τοὺς ἐπιφυλάσσονται ἄλλα πολὺ φοβερώτερα ἀπὸ αὐτά· τὸ πῦρ τὸ ἄσβεστον, ὁ σκώληξ ὁ αἰώνιος, τὸ σκότος τὸ ἐξώτερον, ἡ θλῖψις, ἡ στενοχωρία. Ὥστε χρειαζόμεθα ἀμέτρητα στόματα καὶ τὴν δύναμιν τῶν ἀγγέλων διὰ νὰ ἠμπορέσωμεν νὰ εὐχαριστήσωμεν ἐπαξίως τὸν Θεὸν διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην του. Μᾶλλον δὲ οὔτε ἔτσι εἶναι δυνατόν. Πῶς δηλαδή; Διότι, ὁ μὲν κόπος διὰ τὴν παρθενίαν εἶναι ἴσος εἰς ἡμᾶς καὶ εἰς τοὺς αἱρετικούς, ἴσως δὲ καὶ πολὺ περισσότερον εἰς ἐκείνους, ὁ καρπὸς ὅμως τῶν κόπων δὲν εἶναι ἴσος, ἀλλ' ἐκείνους μὲν τοὺς ἀναμένουν τὰ δεσμά, τὰ δάκρυα, οἱ θρῆνοι καὶ ἡ αἰώνιος κόλασις, ἡμᾶς ὅμως ἡ κληρονομία τῶν ἀγγέλων καὶ αἱ φαιδραὶ λαμπάδες καὶ τὸ ἀποκορύφωμα ὅλων τῶν ἀγαθῶν, ἡ συναναστροφὴ μὲ τὸν νυμφίον.

2. Διατί λοιπὸν τέλος πάντων ἡ ἀμοιβὴ διὰ τοὺς ἰδίους κόπους εἶναι τόσον ἀντίθετος; Ἐπειδὴ ἐκεῖνοι μὲν ἐπροτίμησαν τὴν παρθενίαν διὰ νὰ νομοθετήσουν ἀντίθετα ἀπὸ τὰ τοῦ Θεοῦ, ἐνῷ ἡμεῖς τὸ κάμνομεν αὐτὸ διὰ νὰ ἐκτελέσωμεν τὸ θέλημα αὐτοῦ. Τὸ ὅτι βέβαια ὁ Θεὸς θέλει ὅλοι οἱ ἄνθρωποι ν' ἀπέχουν ἀπὸ τὸν γάμον, μάρτυς εἶναι αὐτὸς ποὺ ἔχει καὶ ὁμιλεῖ μέσα του ὁ Χριστός· διότι λέγει· «Θέλω ὅλους τοὺς ἀνθρώπους νὰ εἶναι ὅπως καὶ ἐγώ»[5], δηλαδὴ νὰ εἶναι ἐγκρατεῖς. Ἀπὸ ἄπειρον εὐσπλαγχνίαν ὅμως ὁ Σωτὴρ καὶ γνωρίζων ὅτι «Τὸ μὲν πνεῦμα εἶναι πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής»[6], δὲν ὥρισεν αὐτὸ τὸ πρᾶγμα ὡς ὑποχρεωτικὴν ἐντολήν, ἀλλ' ἄφησε τὴν ἐκλογὴν αὐτοῦ μέσα εἰς τὰς ψυχάς μας. Διότι ἐὰν ἦτο προσταγὴ καὶ νόμος, δὲν θὰ ἦτο δυνατὸν νὰ τύχουν τιμῆς ὅσοι

ραις ψυχαῖς. Εἰ γὰρ ἦν ἐπίταγμα καὶ νόμος, οὐκ ἂν οἱ κατορθώσαντες τιμῆς ἀπήλαυσαν, ἀλλ' ἤκουσαν ἄν· «Ὃ ὠφείλατε ποιῆσαι πεποιήκατε»· οὔτε οἱ διαμαρτάνοντες συγγνώμης ἔτυχον, ἀλλὰ τὴν τῶν παρανομούντων ἂν ὑπέστησαν δίκην. Νῦν δὲ εἰπών, «Ὁ δυνάμενος χωρεῖν χωρείτω», τοὺς μὲν μὴ δυναμένους οὐ κατέκρινε, τῶν δὲ δυναμένων πολὺν καὶ ὑπέρογκον τὸν ἀγῶνα ἀπέδειξε. Διὰ τοῦτο καὶ ὁ Παῦλος κατ' ἴχνος βαίνων τοῦ διδασκάλου, «Ἐπιταγὴν Κυρίου», φησίν, «οὐκ ἔχω, γνώμην δὲ δίδωμι».

γ' Ὅτι σατανικῆς ἀπανθρωπίας τὸ βδελύττεσθαι γάμον.

Ἀλλ' οὐδὲ Μαρκίων οὐδὲ Οὐαλεντῖνος οὐδὲ Μάνης ταύτης ἠνέσχοντο τῆς συμμετρίας. Οὐ γὰρ εἶχον ἐν ἑαυτοῖς λαλοῦντα τὸν Χριστόν, τὸν τῶν ἰδίων προβάτων φειδόμενον καὶ τὴν ψυχὴν αὐτοῦ τιθέντα ὑπὲρ αὐτῶν, ἀλλὰ τὸν ἀνθρωποκτόνον τὸν τοῦ ψεύδους πατέρα. Διά τοι τοῦτο καὶ τοὺς πειθομένους αὐτοῖς πάντας ἀπώλεσαν, ἐνταῦθα μὲν αὐτοὺς ἀνονήτοις καὶ ἀφορήτοις βαρύνοντες πόνοις, ἐκεῖ δὲ εἰς τὸ ἡτοιμασμένον ἐκείνοις πῦρ συγκατασπάσαντες ἑαυτοῖς.

δ' Ὅτι καὶ Ἑλλήνων ἀθλιώτεροι κατὰ τὴν παρθενίαν οἱ αἱρετικοί.

1. Ὦ καὶ Ἑλλήνων ὑμεῖς ἀθλιώτεροι. Ἕλληνας μὲν γὰρ εἰ καὶ τὰ τῆς γεέννης ἐκδέχεται δεινά, ἀλλ' ὅμως τὸ γοῦν ἐνταῦθα καρποῦνται ἡδύ, γάμοις ὁμιλοῦντες καὶ χρημάτων ἀπολαύοντες καὶ τῆς ἄλλης ἀνέσεως τῆς βιωτικῆς. Ὑμῖν δὲ τὸ βασανίζεσθαι καὶ ταλαιπωρεῖσθαι ἑκατέρωθεν, ἐνταῦθα μὲν ἑκοῦσιν, ἐκεῖ δὲ μὴ βουλομένοις. Καὶ Ἕλλησι μὲν ὑπὲρ

---

7. Λουκᾶ 17, 10.
8. Ματθ. 19, 12.
10. Α' Κορ. 7, 25.

θὰ κατώρθωναν αὐτήν, ἀλλὰ θὰ ἦτο δυνατὸν ν' ἀκούσουν· «Ἐκάματε αὐτὸ ποὺ ὠφείλατε νὰ κάμετε»[7]· οὔτε αὐτοὶ ποὺ θ' ἀπετύγχανον νὰ τὴν ἐκτελέσουν θὰ ἐλάμβανον συγχώρησιν, ἀλλὰ θὰ ὑφίσταντο τὴν τιμωρίαν αὐτῶν ποὺ παρανομοῦν. Ἐνῷ τώρα μὲ τὸ νὰ εἰπῇ, «Αὐτὸς ποὺ ἠμπορεῖ νὰ τὸ δεχθῇ καὶ νὰ τὸ ἐφαρμόσῃ ἂς τὸ δεχθῇ»[8], αὐτοὺς μὲν ποὺ δὲν ἠμποροῦν νὰ τὴν ἐφαρμόσουν δὲν τοὺς κατεδέκασεν, ἐνῷ αὐτοὺς ποὺ ἠμποροῦν νὰ τὴν ἐφαρμόσουν ἀπέδειξεν ὅτι εἶναι πάρα πολὺ μεγάλος καὶ ὑπέρογκος ὁ ἀγών των. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἀκολουθῶν τὸν διδάσκαλόν του λέγει· «Δὲν ἔχω ἐντολὴν τοῦ Κυρίου, ἀλλὰ σᾶς λέγω τὴν γνώμην μου»[9].

γ' Περὶ τοῦ ὅτι εἶναι σατανικῆς ἀπανθρωπίας ἡ ἀποστροφὴ πρὸς τὸν γάμον.

Ἀλλ' οὔτε ὁ Μαρκίων οὔτε ὁ Οὐαλεντῖνος οὔτε ὁ Μάνης ἐτήρησαν αὐτὸ τὸ μέτρον. Διότι δὲν εἶχον μέσα των τὸν Χριστὸν νὰ ὁμιλῇ, ποὺ ἀγαπᾷ τὰ πρόβατά του καὶ ἐθυσίασε τὴν ζωήν του χάριν αὐτῶν, ἀλλὰ τὸν ἀνθρωποκτόνον, τὸν πατέρα τοῦ ψεύδους. Διὰ τοῦτο λοιπὸν καὶ ὡδήγησαν εἰς τὴν ἀπώλειαν ὅλους ἐκείνους ποὺ ἐπίστευσαν εἰς αὐτούς, φορτώνοντες αὐτοὺς εἰς μὲν τὴν ἐδῶ ζωὴν μὲ ἀνωφελεῖς καὶ ἀφορήτους κόπους, εἰς δὲ τὴν ἄλλην ζωὴν συμπαρασύραντες τοὺς ἑαυτούς των εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον δι' ἐκείνους.

δ' Περὶ τοῦ ὅτι οἱ αἱρετικοὶ εἶναι ἀθλιώτεροι καὶ ἀπὸ τοὺς εἰδωλολάτρας ὡς πρὸς τὴν παρθενίαν.

1. Ὢ σεῖς ποὺ εἶσθε ἀθλιώτεροι καὶ ἀπὸ τοὺς εἰδωλολάτρας. Διότι οἱ μὲν εἰδωλολάτραι, ἂν καὶ τοὺς ἐπιφυλάσσονται τὰ δεινὰ τῆς γεέννης, ἀλλ' ὅμως καρποῦνται τὰ εὐχάριστα τῆς ἐδῶ ζωῆς, συνάπτοντες γάμους καὶ ἀπολαμβάνοντες τὰ χρήματα καὶ τὰς ἄλλας κοσμικὰς ἀνέσεις. Διὰ σᾶς ὅμως ἐπιφυλάσσονται καὶ εἰς τὰς δύο περιπτώσεις βάσανα καὶ ταλαιπωρίαι, εἰς μὲν τὴν ἐδῶ ζωὴν μὲ τὴν θέλησίν σας, εἰς δὲ τὴν ἄλλην χωρὶς νὰ τὸ θέλετε. Καὶ εἰς

νηστείας καὶ παρθενίας οὔτε μισθὸν δώσει τις οὔτε κόλασις ἀποκείσεται, ὑμεῖς δὲ ὑπὲρ ὧν μυρίους προσεδοκήσατε ἐπαίνους, ὑπὲρ τούτων τὴν ἐσχάτην δώσετε δίκην, καὶ μετὰ τῶν ἄλλων ἀκούσεσθε· «Ἀπέλθετε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ», ὅτι ἐνηστεύσατε, ὅτι ἐπαρθενεύσατε.

2. Ἡ γὰρ νηστεία καὶ ἡ παρθενία οὔτε καλὸν καθ' ἑαυτὸ οὔτε κακόν, ἀλλ' ἀπὸ τῆς τῶν μετιόντων προαιρέσεως ἑκάτερον γίνεται. Καὶ Ἕλλησι μὲν ἄκαρπος ἡ τοιαύτη ἀρετή, ἀπέχουσι γὰρ αὐτῶν τὸν μισθὸν ὅτι μὴ διὰ τὸν τοῦ Θεοῦ φόβον μετῆλθον αὐτήν, ὑμεῖς δὲ ὅτι τῷ Θεῷ μαχόμενοι καὶ διαβάλλοντες αὐτοῦ τὰ κτίσματα οὐ μόνον οὐκ ἀπέχετε τὸν μισθὸν ὑμῶν ἀλλὰ καὶ κολασθήσεσθε. Καὶ δογμάτων μὲν ἕνεκεν μετ' ἐκείνων τετάξεσθε, ὅτι ὁμοίως αὐτοῖς τὸν ὄντα Θεὸν ἀθετήσαντες πολυθεΐαν εἰσηγάγετε. Τῆς δὲ πολιτείας ἕνεκεν ἄμεινον ὑμῶν ἐκεῖνοι πράξουσιν. Τοῖς μὲν γὰρ ἡ ζημία μέχρι τοῦ μηδὲν λαβεῖν ἀγαθόν, ὑμῖν δὲ καὶ τοῦ κακὰ προσλαβεῖν. Καὶ τοῖς μὲν κατὰ τὸν παρόντα βίον ἀπολαῦσαι πάντων ὑπῆρξεν, ὑμεῖς δὲ ἀμφοτέρων στερήσεσθε.

3. Ἀρά τίς ἐστι ταύτης κόλασις χαλεπωτέρα, πόνων καὶ ἱδρώτων τιμωρίας ἀπολαμβάνειν τὰς ἀμοιβάς; Ὁ μοιχὸς καὶ πλεονέκτης καὶ ὁ τοῖς ἀλλοτρίοις ἐντρυφῶν καὶ τὰ τοῦ πλησίον ἁρπάζων ἔχουσί τινα παραμυθίαν, βραχεῖαν μέν, ἔχουσι δὲ ὅμως, τὸ ὑπὲρ τούτων κολάζεσθαι ὑπὲρ ὧν ἐνταῦθα ἀπέλαυσαν, ὁ δὲ πενίαν μὲν ἑκούσιον ὑποστάς, ἵνα ἐκεῖ πλουτῇ, καὶ τοὺς τῆς παρθενίας πόνους ἵνα ἐκεῖ μετ' ἀγγέλων χορεύῃ, εἶτα ἐξαίφνης καὶ παρὰ πᾶσαν προσδοκίαν ὑπὲρ

---

11. Ματθ. 25, 41.
12. Ματθ. 6, 5.

μὲν τοὺς εἰδωλολάτρας δὲν θ' ἀποδώση κανεὶς διὰ τὴν νηστείαν καὶ τὴν παρθενίαν των οὔτε μισθὸν οὔτε θὰ τοὺς ἐπιβληθῆ τιμωρία, σεῖς ὅμως δι' ἐκεῖνα ποὺ ἐπεριμένατε νὰ λάβετε ἐπαίνους, δι' αὐτὰ θὰ ὑποστῆτε τὴν πιὸ φοβερὰν τιμωρίαν καὶ θ' ἀκούσετε μαζὶ μὲ τοὺς ἄλλους· «Φύγετε ἀπὸ κοντά μου καὶ πηγαίνετε εἰς τὸ πῦρ ποὺ ἔχει ἑτοιμασθῆ διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του»[11], διότι ἐνηστεύσατε, διότι ἠσκήσατε τὴν παρθενίαν.

2. Διότι ἡ νηστεία καὶ ἡ παρθενία αὐτὰ καθ' ἑαυτὰ δὲν εἶναι οὔτε καλὸν οὔτε κακόν, ἀλλὰ γίνεται τὸ καθ' ἕνα καλὸν ἢ κακὸν ἀπὸ τὴν προαίρεσιν αὐτῶν ποὺ τὰ ἀσκοῦν. Καὶ εἰς μὲν τοὺς εἰδωλολάτρας ἡ ἀρετὴ αὐτοῦ τοῦ εἴδους εἶναι ἄκαρπος, διότι ἔλαβον τὸν μισθόν των[12], καθ' ὅσον δὲν ἤσκησαν αὐτὴν ἀπὸ φόβον πρὸς τὸν Θεόν, σεῖς ὅμως ἐπειδὴ μάχεσθε τὸν Θεὸν καὶ διαβάλλετε τὰ ἔργα αὐτοῦ ὄχι μόνον δὲν θ' ἀμειφθῆτε, ἀλλὰ καὶ θὰ τιμωρηθῆτε. Καὶ ἐξ αἰτίας μὲν τῶν διδασκαλιῶν σας, θὰ εὑρεθῆτε εἰς τὴν ἰδίαν θέσιν μὲ ἐκείνους, διότι εἰσηγάγετε ὅπως καὶ ἐκεῖνοι τὴν πολυθεΐαν, ἀρνηθέντες τὸν πραγματικὸν Θεόν, ἐξ αἰτίας δὲ τοῦ τρόπου ζωῆς των ἐκεῖνοι θὰ τύχουν καλυτέρας μεταχειρίσεως. Διότι δι' ἐκείνους μὲν ἡ ζημία φθάνει μέχρι τοῦ νὰ μὴ λάβουν κανὲν ἀγαθόν, διὰ σᾶς ὅμως εἰς τὴν ζημίαν θὰ προστεθοῦν καὶ τὰ κακά. Καὶ ἐκεῖνοι μὲν συνέβη ν' ἀπολαύσουν ὅλα τὰ ἀγαθὰ κατὰ τὴν παροῦσαν ζωήν, σεῖς ὅμως θὰ στερηθῆτε καὶ τὰ δύο.

3. Ποία ἆρά γε κόλασις εἶναι φοβερωτέρα ἀπὸ αὐτήν, τὸ νὰ ἀπολαμβάνετε δηλαδὴ ὡς ἀμοιβὴν διὰ τοὺς κόπους καὶ τοὺς ἱδρῶτας τὰς τιμωρίας; Ὁ μοιχὸς καὶ ὁ πλεονέκτης καὶ ὁ ἀπολαμβάνων τὰ ξένα ἀγαθὰ καὶ ὁ ἁρπάζων τὰ τοῦ πλησίον ἔχουν κάποιαν παρηγορίαν, σύντομον μέν, ἀλλ' ὁπωσδήποτε ἔχουν, τὸ ὅτι τιμωροῦνται δι' αὐτὰ ποὺ ἀπήλαυσαν εἰς τὴν ἐδῶ ζωήν, αὐτὸς ὅμως ποὺ ὑπέστη τὴν πτωχείαν μὲ τὴν θέλησίν του διὰ νὰ γίνῃ ἐκεῖ πλούσιος, καὶ ὑπέφερε τοὺς κόπους τῆς παρθενίας διὰ νὰ λάβῃ μέρος εἰς τὴν χορείαν τῶν ἀγγέλων, ἔπειτα τελείως ξαφνικὰ καὶ παρὰ πᾶσαν προσδοκίαν νὰ τιμωρῆται δι' αὐ-

τούτων καλοζόμενος ὑπὲρ ὧν μυρίων ἤλπισεν ἀπολαύσεσθαι καλῶν, οὐδὲ ἔστιν εἰπεῖν ὅσην ὑφίσταται τὴν ἀλγηδόνα τῷ παρ' ἐλπίδας, ταῦτα παθεῖν. Ἐγὼ γὰρ ἐξ ἴσης τοῦ πυρὸς ὑπὸ τοῦ συνειδότος οἶμαι μαστίζεσθαι αὐτόν, ὅταν ἐννοήσῃ τοὺς μὲν τὰ αὐτὰ αὐτῷ πεπονηκότας τῷ Χριστῷ συνόντας, αὐτὸν δὲ ὑπὲρ ὧν ἐκεῖνοι τῶν ἀπορρήτων ἀπολαύουσιν ἀγαθῶν, ὑπὲρ τούτων τὴν ἐσχάτην τίνοντα δίκην, καὶ τῶν ἀκολάστων καὶ λάγνων τὸν ἐν σεμνότητι διάγοντα χαλεπώτερα πάσχοντα.

ε΄ Ὅτι καὶ μοιχείας ἀκαθαρτοτέρα ἡ τῶν αἱρετικῶν παρθενία.

1. Καὶ γὰρ ἀσελγείας ἁπάσης ἡ τῶν αἱρετικῶν σωφροσύνη χείρων ἐστίν. Ἐκείνη μὲν γὰρ μέχρις ἀνθρώπων ἵστησι τὴν ἀδικίαν, αὕτη δὲ τῷ Θεῷ μάχεται καὶ τὴν ἄπειρον ὑβρίζει σοφίαν. Τοιαύτας τοῖς αὐτὸν θεραπεύουσιν ὁ διάβολος ἵστησι τὰς πάγας. Ὅτι γὰρ τῆς ἐκείνου πονηρίας ἐστὶν ἀκριβῶς εὕρημα ἡ τῶν αἱρετικῶν παρθενία, οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ τὰ νοήματα αὐτοῦ οὐκ ἀγνοοῦντος.

2. Τί οὖν οὗτός φησιν; «Τὸ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν». Πῶς οὖν παρθένος ἡ τῆς πίστεως ἀποστᾶσα, ἡ τοῖς πλάνοις προσέχουσα καὶ τοῖς δαίμοσι πειθομένη καὶ τιμῶσα τὸ ψεῦδος; Πῶς παρθένος ἡ κεκαυτηριασμένη τὴν συνείδησιν; Τὴν γὰρ παρθένον οὐ τῷ σώματι μόνον καθαρὰν

---

13. Α' Τιμ. 4, 1-5.

τὰ διὰ τὰ ὁποῖα ἤλπισε ν' ἀπολαύσῃ ἀμέτρητα ἀγαθά, δὲν εἶναι δυνατὸν οὔτε καὶ νὰ εἰπῇ κανεὶς πόσον πόνον δοκιμάζει, διὰ τὸ ὅτι ἔπαθεν αὐτὰ χωρὶς νὰ τὸ ἐλπίζῃ. Διότι ἐγὼ πιστεύω ὅτι θὰ μαστίζεται ἀπὸ τὴν συνείδησίν του ἐξ ἴσου μὲ τὸ πῦρ τῆς κολάσεως, ὅταν θὰ σκέπτεται ὅτι αὐτοὶ μὲν ποὺ ἐκοπίασαν τὸ ἴδιο μὲ αὐτὸν συναναστρέφονται τὸν Χριστόν, αὐτὸς δὲ ὅτι ὑφίσταται τὴν πιὸ φοβερωτέραν τιμωρίαν δι' αὐτὰ διὰ τὰ ὁποῖα ἐκεῖνοι ἀπολαμβάνουν τῶν ἀπορρήτων ἀγαθῶν καὶ ὅτι πάσχει χειρότερα ἀπὸ τοὺς ἀκολάστους καὶ φιληδόνους, αὐτὸς ποὺ ἔζησε μὲ σεμνότητα.

ε' Περὶ τοῦ ὅτι ἡ παρθενία τῶν αἱρετικῶν εἶναι πιὸ ἀκάθαρτος καὶ ἀπὸ τὴν μοιχείαν.

1. Πράγματι λοιπὸν ἡ σωφροσύνη τῶν αἱρετικῶν εἶναι χειροτέρα ἀπὸ ὅλην τὴν ἀσέλγειαν. Διότι ἐκείνη μὲν ἐπεκτείνει τὴν ἀδικίαν μεταξὺ τῶν ἀνθρώπων, ἐνῷ αὐτὴ μάχεται τὸν Θεὸν καὶ ὑβρίζει τὴν ἄπειρον σοφίαν. Τέτοιου εἴδους παγίδας στήνει ὁ διάβολος εἰς αὐτοὺς ποὺ τὸν ὑπηρετοῦν. Τὸ ὅτι λοιπὸν ἡ παρθενία τῶν αἱρετικῶν εἶναι πράγματι ἐφεύρημα τῆς πονηρίας τοῦ διαβόλου, δὲν εἶναι ἰδικός μου λόγος, ἀλλ' ἐκείνου ποὺ δὲν ἀγνοεῖ τὰς σκέψεις του.

2. Τί λέγει λοιπὸν αὐτός; «Τὸ πνεῦμα λέγει ρητῶς ὅτι κατὰ τοὺς ὑστερινοὺς χρόνους μερικοὶ θ' ἀποστατήσουν ἀπὸ τὴν πίστιν, διότι θὰ προσέχουν εἰς πνεύματα ποὺ πλανοῦν καὶ εἰς διδασκαλίας δαιμόνων μέσῳ τῆς ὑποκρισίας ψευδολόγων ἀνθρώπων ποὺ ἔχουν στιγματισμένην τὴν συνείδησίν των, ποὺ ἐμποδίζουν τὸν γάμον καὶ διατάσσουν ἀποχὴν ἀπὸ τὰς τροφάς, τὰς ὁποίας ὁ Θεὸς ἔδωσε διὰ νὰ τὰς τρώγουν οἱ ἄνθρωποι»[18]. Πῶς λοιπὸν νὰ εἶναι παρθένος αὐτὴ ποὺ ἀπεμακρύνθη ἀπὸ τὶν πίστιν, ποὺ προσέχει εἰς τὰ λόγια τῶν πλάνων καὶ πιστεύει εἰς τοὺς δαίμονας καὶ τιμᾷ τὸ ψεῦδος; Πῶς, νὰ εἶναι παρθένος αὐτὴ ποὺ ἔχει στιγματισμένην τὴν συνείδησίν της; Διότι

εἶναι δεῖ, ἀλλὰ καὶ τῇ ψυχῇ, εἴ γε μέλλοι τὸν ἅγιον ὑποδέχεσθαι νυμφίον. Αὕτη δὲ μετὰ τοσούτων καυτήρων πῶς ἂν εἴη καθαρά; Εἰ γὰρ καὶ φροντίδας βιωτικὰς ἀπελαύνειν τούτου χρὴ τοῦ νυμφῶνος ὡς οὐκ ἐνὸν μετ' ἐκείνων εὐσχήμονα εἶναι, πῶς φρονήματος ἀσεβοῦς ἔνδον στρεφομένου τὸ τῆς παρθενίας διασωθῆναι δυνήσεται κάλλος;

ϛ′ Ὅτι οἱ αἱρετικοὶ παρθενεύοντες οὐχὶ τὰς ψυχὰς μόνον ἀλλὰ καὶ τὰ σώματα μιαίνουσιν.

1. Εἰ γὰρ καὶ τὸ σῶμα αὐτῆς ἀκέραιον μένοι, ἀλλ' ὅμως τὸ κρεῖττον διέφθαρται τῆς ψυχῆς τὰ νοήματα. Τί οὖν ὄφελος ἀφανισθέντος τοῦ ναοῦ τοὺς περιβόλους ἑστάναι; ἢ ποῖον τὸ κέρδος τοῦ θρόνου μολυνθέντος καθαρὸν εἶναι τοῦ θρόνου τὸν τόπον; Μᾶλλον δὲ οὐδὲ οὕτως τοῦ ἄγους ἀπήλλακται. Ἡ γὰρ βλασφημία καὶ τὰ φαῦλα ῥήματα τίκτεται μὲν ἔνδον, οὐ μένει δὲ ἔνδον ἐν τῇ ψυχῇ, ἀλλὰ μιαίνει μὲν γλῶτταν διὰ στόματος προφερόμενα, μιαίνει δὲ τὴν δεχομένην ἀκοήν, καὶ καθάπερ δηλητήρια φάρμακα εἰς αὐτὴν ἐμπίπτοντα τὴν ψυχὴν παντὸς σητὸς χαλεπώτερον διατρώγει τὴν ῥίζαν καὶ μετ' ἐκείνης καὶ τὸ λοιπὸν ἅπαν ἀπόλλυσι σῶμα. Εἰ τοίνυν παρθενίας ὅρος τὸ καὶ σώματι καὶ πνεύματι εἶναι ἁγίαν, αὕτη δὲ ἐξ ἑκατέρων τῶν μερῶν ἐστι βέβηλος καὶ ἐναγής, πῶς ἂν δύναιτο εἶναι παρθένος; Ἀλλὰ πρόσωπόν μοι δείκνυσιν ὠχρὸν καὶ κατισχνωμένα μέλη καὶ στολὴν εὐτελῆ καὶ βλέμμα ἥμερον. Καὶ τί τὸ ὄφελος ὅταν τὸ ἔνδον ὄμμα ἰταμὸν ᾖ; Τί γὰρ ἂν γένοιτο τοῦ βλέμματος ἰ-

ἡ παρθένος δὲν πρέπει μόνον εἰς τὸ σῶμα νὰ εἶναι καθαρά, ἀλλὰ καὶ εἰς τὴν ψυχήν, ἐὰν βέβαια ἔχῃ σκοπὸν νὰ ὑποδεχθῇ τὸν ἅγιον νυμφίον. Αὐτὴ ὅμως μὲ τόσα στίγματα εἰς τὴν ψυχὴν πῶς θὰ ἠμποροῦσε νὰ εἶναι καθαρά; Διότι, ἐὰν πρέπει ν' ἀπομακρύνωμεν καὶ τὰς κοσμικὰς φροντίδας ἀπὸ αὐτὸν τὸν νυμφῶνα, διότι δὲν εἶναι δυνατὸν νὰ εἶναι ὡραῖος μὲ ἐκείνας, πῶς θὰ ἠμπορέσῃ νὰ διασωθῇ τὸ κάλλος τῆς παρθενίας, τὴν στιγμὴν ποὺ τὸ ἀσεβὲς φρόνημα στριφογυρίζει μέσα της;

ς' Περὶ τοῦ ὅτι οἱ αἱρετικοί, ὅταν ἀσκοῦν τὴν παρθενίαν, μολύνουν ὄχι μόνον τὰς ψυχάς των ἀλλὰ καὶ τὰ σώματά των.

1. Διότι καὶ ἂν ἀκόμη ἤθελε μείνει ἄθικτον τὸ σῶμα της, ἀλλ' ὅμως ἔχει διαφθαρεῖ τὸ πολυτιμότερον, τὰ φρονήματα τῆς ψυχῆς. Ποῖον τὸ ὄφελος λοιπὸν τὴν στιγμὴν ποὺ κατεστράφη ὁ ναὸς νὰ μένουν ὄρθιοι οἱ περίβολοί του; ἢ ποῖον τὸ κέρδος τοῦ θρόνου τὴν στιγμὴν ποὺ ἔχει μολυνθῇ ὁ θρόνος νὰ μένῃ καθαρὸς ὁ τόπος τοῦ θρόνου; Μᾶλλον δὲ οὔτε ἔτσι ἠμπορεῖ ν' ἀπαλλαγῇ τὸ σῶμα ἀπὸ τὸν μολυσμόν. Διότι ἡ βλασφημία καὶ τὰ αἰσχρὰ λόγια γεννῶνται μὲν μέσα εἰς τὴν ψυχήν, δὲν μένουν ὅμως μέσα εἰς τὴν ψυχήν, ἀλλὰ μολύνουν ἀφ' ἑνὸς μὲν τὴν γλῶσσαν προσφερόμενα διὰ τοῦ στόματος, ἀφ' ἑτέρου δὲ μολύνουν τὴν ἀκοὴν ποὺ τὰ δέχεται, καὶ ὡσὰν δηλητηριώδη φάρμακα χύνονται μέσα εἰς τὴν ἰδίαν ψυχὴν καὶ κατατρώγουν τὴν ρίζαν φοβερώτερα ἀπὸ κάθε σκώληκα καὶ μαζὶ μὲ ἐκείνην καταστρέφουν καὶ ὁλόκληρον τὸν ὑπόλοιπον σῶμα. Ἐὰν λοιπὸν ὅρος τῆς παρθενίας εἶναι νὰ εἶναι ἡ παρθένος καθαρὰ καὶ εἰς τὸ σῶμα καὶ εἰς τὸ πνεῦμα, ἐνῷ αὐτὴ εἶναι βέβηλος καὶ μολυσμένη καὶ εἰς τὰ δύο μέρη, πῶς θὰ ἠμποροῦσε νὰ εἶναι παρθένος; Ἀλλὰ μοῦ δείχνει πρόσωπον ὠχρὸν καὶ ἀδύνατα μέλη καὶ ἐνδυμασίαν πτωχικὴν καὶ βλέμμα ἥμερον. Καὶ ποῖον τὸ ὄφελος ὅταν τὸ ἐσωτερικὸν βλέμμα εἶναι βδελυρόν; Διότι τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ

ταμώτερον ἐκείνου τοῦ καὶ τοὺς ἔξωθεν πείθοντος ὀφθαλμοὺς ὡς πονηροῖς προσέχειν τοῖς τοῦ Θεοῦ κτίσμασι;

2. «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν». Αὕτη δὲ τοῦ λόγου τὴν ἀκολουθίαν ἀνέστρεψε, τὴν μὲν δόξαν ἔξωθεν περικειμένη, τὴν δὲ ἀτιμίαν ἅπασαν ἔνδον ἔχουσα. Τοῦτο γάρ ἐστι τὸ δεινόν, ὅτι πρὸς μὲν ἀνθρώπους ἐπιείκειαν ἐνδείκνυται πολλήν, πρὸς δὲ τὸν κτίσαντα αὐτὴν Θεὸν πολλῇ κέχρηται τῇ μανίᾳ, καὶ ἡ μηδὲ πρὸς ἄνδρα ἀντιβλέψαι ἀνεχομένη - εἴ γέ τινές εἰσιν ἐν αὐταῖς τοιαῦται - πρὸς τὸν τῶν ἀνθρώπων δεσπότην ἀναισχύντοις ὀφθαλμοῖς ὁρᾷ καὶ ἀδικίαν εἰς τὸ ὕψος λαλεῖ. Πύξινον αὐταῖς τὸ πρόσωπόν ἐστι καὶ νεκρῷ προσεοικός. Διὰ γὰρ τοῦτο δακρύων ἄξιαι καὶ θρήνων πολλῶν, ὅτι οὐκ εἰκῇ μόνον, ἀλλὰ καὶ ἐπ' ὀλέθρῳ καὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς τοσαύτην ἀνεδέξαντο ταλαιπωρίαν.

ζ' Ὅτι τὴν παρθενίαν οὐκ ἀπὸ ἱματίων ἀλλ' ἀπὸ ψυχῆς δοκιμάζειν χρή.

1. Εὐτελὴς ἡ στολή. Ἀλλ' οὐκ ἐν τοῖς ἱματίοις οὐδὲ ἐν τοῖς χρώμασιν ἡ παρθενία, ἀλλ' ἐν τῇ ψυχῇ καὶ τῷ σώματι. Πῶς γὰρ οὐκ ἄτοπον εἰ τὸν μὲν φιλόσοφον οὐκ ἀπὸ τῆς κόμης οὐδὲ ἀπὸ τῆς βακτηρίας οὐδὲ ἀπὸ τῆς ἐξωμίδος δοκιμάσομεν, ἀλλ' ἀπὸ τῶν τρόπων καὶ τῆς ψυχῆς, καὶ τὸν στρατιώτην οὐκ ἀπὸ τῆς χλανίδος οὐδὲ ἀπὸ τῆς ζώνης, ἀλλ' ἀπὸ τῆς ῥώμης καὶ τῆς ἀνδρείας, τὴν δὲ παρθένον, πρᾶγμα οὕτω θαυμαστὸν καὶ πάντα ὑπερβαῖνον τὰ ἐν ἀνθρώποις, διὰ τὸν τῶν τριχῶν αὐχμὸν καὶ τὴν τοῦ προσώπου κατήφειαν καὶ τὸ φαιὸν ἱμάτιον ἁπλῶς οὕτως καὶ παρέργως εἰς τὴν τοῦ πράγματος καταλέξομεν ἀρετήν, οὐκ ἀποδύσαντες αὐτῆς

---

14. Ψαλμ. 44, 14.

ἀναισχυντότερον ἀπὸ τὸ βλέμμα ἐκεῖνο ποὺ πείθει καὶ τοὺς ἐξωτερικοὺς ὀφθαλμοὺς νὰ θεωροῦν ὡς πονηρὰ τὰ ἔργα τοῦ Θεοῦ;

2. «Ὅλη ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως πηγάζει ἀπὸ τὸν ἐσωτερικόν της κόσμον»[14]. Αὐτὴ ὅμως ἀνέτρεψε τὴν ἀκολουθίαν αὐτοῦ τοῦ λόγου, καὶ περιβάλλεται τὴν μὲν δόξαν ἐξωτερικῶς, ἐνῷ ἐσωτερικῶς ἔχει ὅλην τὴν ἀτιμίαν. Διότι αὐτὸ εἶναι τὸ φοβερόν, ὅτι δηλαδὴ πρὸς μὲν τοὺς ἀνθρώπους ἐπιδεικνύει πολλὴν ἐπιείκειαν, πρὸς δὲ τὸν Θεὸν ποὺ τὴν ἔπλασε φέρεται μὲ πολλὴν μανίαν, καὶ αὐτὴ ποὺ δὲν ἀνέχεται νὰ σηκώσῃ τὸ βλέμμα της ἐπάνω εἰς ἄνδρα — ἐὰν φυσικὰ ὑπάρχουν μερικαὶ τέτοιαι μεταξύ των —, βλέπει πρὸς τὸν Κύριον τῶν ἀνθρώπων μὲ ἀναίσχυντα μάτια καὶ λέγει βδελυρὰ λόγια πρὸς τὸ ὕψος αὐτοῦ. Τὸ πρόσωπόν των εἶναι ὠχρὸν καὶ ὁμοιάζει μὲ νεκρόν. Διὰ τοῦτο εἶναι ἄξιαι πολλῶν δακρύων καὶ θρήνων, διότι ὑπεβλήθησαν εἰς τόσην ταλαιπωρίαν ὄχι μόνον εἰς τὰ χαμένα, ἀλλὰ καὶ πρὸς καταστροφὴν καὶ τῆς κεφαλῆς των.

ζ´ Περὶ τοῦ ὅτι πρέπει νὰ κρίνωμεν τὴν παρθενίαν ὄχι ἀπὸ τὴν ἐνδυμασίαν ἀλλὰ ἀπὸ τὴν ψυχήν.

1. Εἶναι εὐτελὴς ἡ ἐνδυμασία της. Ἀλλ' ἡ παρθενία δὲν εὑρίσκεται εἰς τὰ ἐνδύματα οὔτε εἰς τὰ χρώματα, ἀλλ' εἰς τὴν ψυχὴν καὶ τὸ σῶμα. Διότι πῶς δὲν εἶναι παράλογον τὸν μὲν φιλόσοφον νὰ μὴ τὸν κρίνωμεν ἀπὸ τὴν κόμην οὔτε ἀπὸ τὴν ράβδον οὔτε ἀπὸ τὴν ἐξωμίδα, ἀλλ' ἀπὸ τοὺς τρόπους του καὶ τὴν ψυχήν του, καὶ τὸν στρατιώτην νὰ μὴ τὸν κρίνωμεν ἀπὸ τὴν χλαμύδα οὔτε ἀπὸ τὴν ζώνην του, ἀλλ' ἀπὸ τὴν ρώμην καὶ τὴν ἀνδρείαν του, τὴν δὲ παρθένον, ποὺ εἶναι πρᾶγμα τόσον ἀξιοθαύμαστον καὶ ὑπερβαίνει ὅλα τὰ ἀνθρώπινα, ἐπειδὴ ἔχει ἀκτένιστα μαλλιὰ καὶ κατηφὲς πρόσωπον καὶ φορεῖ σκοῦρα ἐνδύματα, νὰ τὴν θεωρήσωμεν ἔτσι ἁπλῶς καὶ χωρὶς ἔλεγχον ὅτι

τὴν ψυχὴν καὶ τὴν ἕξιν αὐτῆς ἐντεῦθεν καταμαθόντες ἀκριβῶς;

2. Ἀλλ' οὐκ ἀφίησιν ὁ τοὺς τῆς ἀθλήσεως ταύτης νόμους διαταξάμενος. Οὐ γὰρ ἀπὸ τῶν ἱματίων τοὺς εἰς τοῦτον καθέντας ἑαυτοὺς τὸν ἀγῶνα δοκιμάζειν κελεύει, ἀλλ' ἀπὸ τῶν δογμάτων καὶ τῆς ψυχῆς. «Ὁ γὰρ ἀγωνιζόμενος», φησί, «πάντα ἐγκρατεύεται», πάντα τὰ διενοχλοῦντα τὴν τῆς ψυχῆς ὑγίειαν, καὶ «Οὐδεὶς στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ». Τίνες οὖν οἱ τῆς ἀθλήσεως ταύτης νόμοι; Ἄκουε πάλιν αὐτοῦ λέγοντος, μᾶλλον δὲ αὐτοῦ τοῦ τὸν ἀγῶνα θέντος Χριστοῦ· «Ἡ δὲ παρθένος ἵνα ἁγία τῷ σώματι καὶ τῷ πνεύματι»· καὶ πάλιν· «Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος».

η' Ὅτι βλάβη τῇ παρθένῳ τὸ τετυφῶσθαι κατὰ τῶν γαμουμένων.

1. Τί οὖν πρὸς ἐμὲ τοῦτο, φησί, τὴν πολλὰ χαίρειν εἰποῦσαν τῷ γάμῳ; Τοῦτο γάρ σέ, ὦ ταλαίπωρε, τοῦτο ἀπολώλεκεν, ὅτι μηδὲν οἴῃ σοι κοινὸν εἶναι πρὸς τοῦτο τὸ δόγμα. Διὰ τοῦτο ὑπεροψίᾳ ἀμέτρῳ κατὰ τοῦ πράγματος χρησαμένη εἰς τὴν τοῦ Θεοῦ σοφίαν ἐξύβρισας καὶ τὴν κτίσιν διέβαλες ἅπασαν. Εἰ γὰρ ἀκάθαρτον ὁ γάμος, ἀκάθαρτα μὲν ἅπαντα τὰ δι' αὐτοῦ τικτόμενα ζῶα, ἀκάθαρτοι δὲ καὶ ὑμεῖς, οὐ γὰρ ἂν εἴποιμι τὴν τῶν ἀνθρώπων φύσιν. Πῶς οὖν παρθένος ἡ ἀκάθαρτος; Οὗτος γὰρ δεύτερος, μᾶλλον δὲ καὶ τρίτος ὑμῖν μολυσμῶν καὶ ἀκαθαρσίας ἐπινενόηται τρόπος· καὶ αἱ τὸν γάμον ὡς ἐναγὲς φεύγουσαι αὐτῷ τούτῳ τῷ φεύγειν πάντων γεγόνατε ἐναγέστεραι, παρθενίαν εὑροῦσαι πορνείας μιαρωτέραν.

2. Ποῦ τοίνυν ὑμᾶς τάξομεν; Μετὰ τῶν Ἰουδαίων; Ἀλλ'

15. Α' Κορ. 9, 25.
16. Β' Τιμ. 2, 5.
17. Α' Κορ. 7, 34.
18. Ἑβρ. 13, 4.

ἀσκεῖ τὴν παρθενίαν, χωρὶς ν' ἀποκαλύψωμεν τὴν ψυχήν της καὶ νὰ γνωρίσωμεν ἐπακριβῶς τὸν τρόπον ζωῆς της;

2. Ἀλλὰ δὲν τὸ ἐπιτρέπει αὐτὸς ποὺ ὥρισε τοὺς νόμους αὐτῆς τῆς ἀθλήσεως. Διότι προστάζει νὰ κρίνωμεν αὐτοὺς ποὺ ἐπιδίδονται εἰς αὐτὸν τὸν ἀγῶνα ὄχι ἀπὸ τὰ ἐνδύματα, ἀλλὰ ἀπὸ τὰ δόγματα καὶ τὴν ψυχήν. Διότι, λέγει, «αὐτὸς ποὺ ἀγωνίζεται ἐγκρατεύεται εἰς ὅλα»[15], εἰς ὅλα ἐκεῖνα ποὺ ἐμποδίζουν τὴν ὑγείαν τῆς ψυχῆς, καὶ «Κανεὶς δὲν στεφανώνεται ἐὰν δὲν ἀγωνισθῇ σύμφωνα μὲ τοὺς νόμους»[16]. Ποῖοι λοιπὸν εἶναι οἱ νόμοι αὐτῆς τῆς ἀθλήσεως; Ἄκουε πάλιν αὐτὸν ποὺ λέγει, μᾶλλον δὲ τὸν ἴδιον τὸν Χριστὸν ποὺ ὥρισεν αὐτὸν τὸν ἀγῶνα νὰ ὁμιλῇ μέσῳ αὐτοῦ· «Ἡ δὲ παρθένος νὰ εἶναι καθαρὰ εἰς τὸ σῶμα καὶ τὴν ψυχήν»[17]· καὶ πάλιν· «Νὰ εἶναι ὁ γάμος τίμιος καὶ ἡ συζυγικὴ κλίνη ἀμόλυντος»[18].

η' Περὶ τοῦ ὅτι ἀποτελεῖ βλάβην διὰ τὴν παρθένον ποὺ ὑπερηφανεύεται ἔναντι τῶν ὑπανδρευμένων.

1. Ποίαν σχέσιν λοιπὸν ἔχει αὐτὸ πρὸς ἐμένα, λέγει, ποὺ ἀπέφυγα τελείως τὸν γάμον; Μὰ αὐτὸ πράγματι, ταλαίπωρη, αὐτὸ σὲ κατέστρεψε, ἐπειδὴ νομίζεις ὅτι δὲν ἔχεις τίποτε τὸ κοινὸν μὲ αὐτὸ τὸ δόγμα. Διὰ τοῦτο μὲ τὴν ἄμετρον ὑπεροψίαν ποὺ ἔδειξες, κατὰ τοῦ γάμου, ἐξύβρισες τὴν σοφίαν τοῦ Θεοῦ καὶ διέβαλες ὁλόκληρον τὴν δημιουργίαν. Διότι ἐὰν εἶναι ἀκάθαρτον πρᾶγμα ὁ γάμος, τότε εἶναι ἀκάθαρτα ὅλα τὰ ζῶα ποὺ γεννῶνται μέσῳ αὐτοῦ, ἀκάθαρτοι δὲ καὶ σεῖς, διότι δὲν θὰ ἠμποροῦσα νὰ τὸ εἰπῶ διὰ τὴν ἀνθρωπίνην φύσιν. Πῶς λοιπὸν θὰ εἶναι παρθένος ἡ ἀκάθαρτος; Διότι αὐτὸς εἶναι δεύτερος, μᾶλλον δὲ καὶ τρίτος τρόπος μολυσμοῦ καὶ ἀκαθαρσίας, ποὺ ἔχει ἐπινοηθῆ ἀπὸ σᾶς· καὶ σεῖς ποὺ ἀποφεύγετε τὸν γάμον ὡς μολυσμένον, μὲ αὐτὴν τὴν ἀποφυγὴν ἐγίνατε πιὸ ἀκάθαρτοι ἀπὸ ὅλους, ἐπινοήσασαι μίαν παρθενίαν μιαρωτέραν καὶ ἀπὸ τὴν πορνείαν.

2. Ποῦ λοιπὸν νὰ σᾶς κατατάξωμεν; Μαζὶ μὲ τοὺς

οὐκ ἀνέχονται ἐκεῖνοι· καὶ γὰρ τὸν γάμον τιμῶσι καὶ τοῦ Θεοῦ τὴν δημιουργίαν θαυμάζουσιν. Ἀλλὰ μεθ' ἡμῶν; Ἀλλ' οὐ θέλετε ἀκοῦσαι τοῦ Χριστοῦ λέγοντος διὰ τοῦ Παύλου· «Τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος». Λείπεται δὴ μετὰ τῶν Ἑλλήνων ὑμᾶς στῆναι λοιπόν. Ἀλλὰ κἀκεῖνοι παρώσονται πάλιν ὑμᾶς ὡς ἀσεβεστέρους. Πλάτων μὲν γάρ φησιν, 'ὅτι ἀγαθὸς ἦν ὁ τότε τὸ πᾶν συστησάμενος', καὶ 'ὅτι ἀγαθῷ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος'. Σὺ δὲ αὐτὸν πονηρὸν καλεῖς καὶ πονηρῶν ἔργων δημιουργόν. Ἀλλὰ μὴ δείσῃς· ἔχεις τοῦ δόγματος κοινωνοὺς τὸν διάβολον, τοὺς ἀγγέλους τοὺς ἐκείνου - μᾶλλον δὲ οὐδὲ ἐκείνους· μὴ γὰρ ἐπειδὴ σὲ τοιαῦτα ἀνέπεισαν μαίνεσθαι καὶ αὐτοὺς οὕτως διακεῖσθαι νόμιζε. Ὅτι γὰρ ἴσασι τὸν Θεὸν ἀγαθόν, ἄκουσον βοώντων αὐτῶν, νῦν μὲν «Οἴδαμεν ὅστις εἶ, ὁ ἅγιος τοῦ Θεοῦ», νῦν δέ, «Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ὑμῖν ὁδὸν σωτηρίας».

3. Ἔτ' οὖν παρθενίας μνησθήσεσθε καὶ ἐπὶ τῷ πράγματι φιλοτιμήσεσθε ἀλλ' οὐκ ἀπελθόντες κλαύσετε ἑαυτοὺς καὶ θρηνήσετε τῆς ἀνοίας δι' ἧς ὑμᾶς ὁ διάβολος ὥσπερ αἰχμαλώτους δήσας εἰς τὸ τῆς γεέννης εἵλκυσε πῦρ; Οὐχ ὡμιλήσας γάμοις; Ἀλλ' οὐδέπω τούτῳ παρθένος. Τὴν γὰρ κυρίαν τοῦ γαμηθῆναι γενομένην, εἶτα οὐχ ἑλομένην ταύτην ἂν εἴποιμι παρθένον ἐγώ. Ὅταν δὲ τῶν κεκωλυμένων τὸ πρᾶγμα εἶναι φῇς, οὐκέτι τῆς σῆς προαιρέσεως τὸ κατόρθωμα γίνεται ἀλλὰ τῆς ἀνάγκης τοῦ νόμου. Διὰ τοῦτο Πέρσας μὲν μὴ μητρογαμοῦντας θαυμάζομεν, Ρωμαίους δὲ οὐκέ-

19. Τίμαιος
20. Μαρκ. 1, 24.
21. Πράξ. 16, 17.

Ἰουδαίους; Ἀλλ' ἐκεῖνοι δὲν σᾶς ἀνέχονται· καθ' ὅσον τιμοῦν τὸν γάμον καὶ θαυμάζουν τὴν δημιουργίαν τοῦ Θεοῦ. Ἀλλὰ μεταξύ μας; Καὶ ὅμως δὲν θέλετε ν' ἀκούσετε τὸν Χριστὸν ποὺ λέγει μέσῳ τοῦ Παύλου· «Ὁ γάμος νὰ εἶναι τίμιος καὶ ἀμόλυντος ἡ συζυγικὴ κλίνη». Λοιπὸν ὑπολείπεται πλέον νὰ σᾶς κατατάξωμεν μεταξὺ τῶν εἰδωλολατρῶν. Ἀλλὰ καὶ ἐκεῖνοι πάλιν θὰ σᾶς ἀπομακρύνουν ἐπειδὴ εἴσθε ἀσεβέστεροι ἐκείνων. Διότι ὁ μὲν Πλάτων λέγει, 'ὅτι εἶναι ἀγαθὸς αὐτὸς ποὺ ἐδημιούργησε τὸ πᾶν'[19]· καὶ 'ὅτι κανεὶς φθόνος δὲν γεννᾶται μέσα εἰς τὸν ἀγαθὸν ἄνθρωπον'. Σὺ ὅμως ἀποκαλεῖς αὐτὸν πονηρὸν καὶ δημιουργὸν πονηρῶν ἔργων. Ἀλλὰ μὴ φοβεῖσαι· ἔχεις κοινωνοὺς τοῦ δόγματός σου τὸν διάβολον, τοὺς ἀγγέλους ἐκείνου — μᾶλλον δὲ οὔτε ἐκείνους· διότι μὴ νομίζῃς, ἐπειδὴ σὲ ἔπεισαν νὰ δείξῃς τέτοιαν μανίαν, ὅτι καὶ αὐτοὶ διάκεινται κατ' αὐτὸν τὸν τρόπον. Τὸ ὅτι δηλαδὴ ἀναγνωρίζουν, ὅτι ὁ Θεὸς εἶναι ἀγαθός, ἄκουσε αὐτοὺς βοῶντας, ἄλλοτε μέν, «Γνωρίζομεν ποῖος εἶσαι, ὁ ἅγιος τοῦ Θεοῦ»[20], ἄλλοτε δέ, «Αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ποὺ κηρύσσουν εἰς σᾶς ὁδὸν σωτηρίας»[21].

3. Ἀκόμη λοιπὸν θὰ ὁμιλῆτε διὰ τὴν παρθενίαν καὶ θὰ τὴν θεωρῆτε καύχημά σας καὶ δὲν θὰ ἀποσυρθῆτε διὰ νὰ κλαύσετε τοὺς ἑαυτούς σας καὶ νὰ θρηνήσετε διὰ τὴν ἀνοησίαν σας διὰ τῆς ὁποίας ὁ διάβολος, ἀφοῦ σᾶς ἔδεσεν ὡσὰν αἰχμαλώτους, σᾶς ἔσυρεν εἰς τὸ πῦρ τῆς γεέννης; Δὲν συνῆψες γάμον; Δὲν σημαίνει ὅμως αὐτὸ ὅτι εἶσαι καὶ παρθένος. Διότι ἐγὼ θὰ ἠμποροῦσα νὰ ὀνομάσω παρθένον ἐκείνην ποὺ εἶχε τὴν δυνατότητα νὰ συνάψῃ γάμον καὶ ὅμως ἀπέφυγεν αὐτόν. Ὅταν ὅμως λέγῃς ὅτι ὁ γάμος εἶναι κάτι τὸ ἀπηγορευμένον, τότε πλέον δὲν θεωρεῖται κατόρθωμα τῆς προαιρέσεώς σου, ἀλλ' εἶναι ἀποτέλεσμα τοῦ ἀναγκαστικοῦ νόμου. Διὰ τοῦτο τοὺς μὲν Πέρσας θαυμάζομεν ποὺ δὲν συνάπτουν γάμον μὲ τὰς μητέρας των, τοὺς Ρωμαίους ὅμως καθόλου. Διότι εἰς μὲν τὴν περίπτωσιν τῶν Ρωμαίων θεωρεῖται τὸ πρᾶγμα αὐτὸ ἀπὸ

τι. Ἐνταῦθα μὲν γὰρ ἅπασιν ἐφεξῆς τὸ πρᾶγμα βδελυρὸν εἶναι δοκεῖ, ἐκεῖ δὲ ἡ τῶν ταῦτα τολμώντων ἄδεια τοὺς τῶν τοιούτων ἀπεχομένους μίξεων ἐπαινεῖσθαι πεποίηκεν.

4. Κατὰ τὸν αὐτὸν δὴ λόγον καὶ ἐπὶ τοῦ γάμου τὴν ἐξέτασιν ποιήσασθαι χρή. Ἡμεῖς μὲν γὰρ ἐπειδὴ τὸ πρᾶγμα πᾶσιν ἐφεῖται παρ' ἡμῖν, εἰκότως τοὺς μὴ γαμοῦντας θαυμάζομεν, ὑμεῖς δὲ εἰς τὴν τῶν χειρόνων αὐτὸ τάξιν ὤσαντες, οὐκέτ' ἂν δύναισθε τῶν ἀπὸ τοῦ πράγματος ἀντιποιεῖσθαι ἐπαίνων. Τὸ γὰρ τῶν ἀπηγορευμένων ἀπέχεσθαι οὔπω γενναίας καὶ νεανικῆς ψυχῆς. Τελείας γὰρ ἀρετῆς οὐ τὸ ταῦτα μὴ πράττειν, ἃ πράξαντες παρὰ πᾶσιν εἶναι δόξομεν κακοί, ἀλλὰ τὸ ἐν τούτοις εἶναι λαμπρούς, ἃ μήτε τοὺς μὴ ἑλομένους ἀφίησι διὰ τοῦτο κακίζεσθαι, τούς τε ἑλομένους καὶ κατορθώσαντας οὐ μόνον τῆς τῶν φαύλων ἀπαλλάττει δόξης, ἀλλὰ καὶ εἰς τὴν τῶν ἀγαθῶν ἐγκρίνει τάξιν.

5. Ὥσπερ γὰρ τοὺς εὐνούχους οὐδεὶς ἂν ἐπαινέσειεν εἰς παρθενίας λόγον ὅτι μὴ γαμοῦσιν, οὕτως οὐδὲ ὑμᾶς. Ὃ γὰρ ἐκείνοις ἡ τῆς φύσεως ἀνάγκη, τοῦτο ὑμῖν ἡ τῆς πονηρᾶς συνειδήσεως πρόληψις γέγονε. Καὶ καθάπερ τοὺς εὐνούχους ἡ τοῦ σώματος πήρωσις τῆς ἐπὶ τῷ πράγματι φιλοτιμίας ἐξέβαλεν, οὕτως ὑμᾶς ὁ διάβολος, τῆς φύσεως ὑμῖν ἀκεραίου μενούσης, τοὺς ὀρθοὺς περικόψας λογισμοὺς καὶ οὕτως εἰς τὴν ἀνάγκην τοῦ μὴ γαμεῖν καταστήσας, κατατείνει μὲν τοῖς πόνοις, τιμᾶσθαι δὲ οὐκ ἀφίησιν. Κωλύεις γαμεῖν; Διὰ τοῦτο τοῦ μὴ γαμεῖν οὐ κείσεταί σοι μισθὸς ἀλλὰ καὶ τιμωρία καὶ κόλασις.

ὅλους ἀνεξαιρέτως βδελυρόν, εἰς τὴν περίπτωσιν ὅμως τῶν Περσῶν ἡ ἐλευθερία νὰ ἠμποροῦν νὰ τὸ κάνουν αὐτὸ συνετέλεσε νὰ ἐπαινοῦνται αὐτοὶ ποὺ ἀπέχουν ἀπὸ τέτοιου εἴδους σαρκικὰς μίξεις.

4. Κατ' ἀναλογίαν λοιπὸν πρέπει καὶ ἡμεῖς νὰ ἐξετάσωμεν τὸν γάμον. Πράγματι ἡμεῖς μέν, ἐπειδὴ ἐπιτρέπεται εἰς ἡμᾶς ὁ γάμος, εἶναι φυσικὸν νὰ θαυμάζωμεν αὐτοὺς ποὺ δὲν συνάπτουν γάμον, ἐνῷ σεῖς, ποὺ ἐθέσατε αὐτὸν εἰς τὴν θέσιν τῶν χειροτέρων κακῶν, δὲν θὰ ἠμπορούσατε πλέον νὰ ἐγείρετε ἀξιώσεις διὰ ἐπαίνους ἀπὸ τὴν ἄσκησιν τῆς παρθενίας. Διότι τὸ νὰ ἀπέχῃ κανεὶς ἀπὸ ἀπηγορευμένα πράγματα δὲν εἶναι γνώρισμα γενναίας καὶ νεανικῆς ψυχῆς. Καθ' ὅσον τελεία ἀρετὴ δὲν εἶναι τὸ νὰ μὴ πράττωμεν αὐτὰ ποὺ ἂν τὰ πράξωμεν θὰ θεωρηθῶμεν κακοὶ ἀπὸ ὅλους, ἀλλὰ τὸ νὰ εἴμεθα λαμπροὶ εἰς αὐτά, ποὺ οὔτε γίνονται αἰτία νὰ κακίζωνται αὐτοὶ ποὺ δὲν τὰ ἐπροτίμησαν, ἐνῷ αὐτοὺς ποὺ τὰ ἐπροτίμησαν καὶ τὰ ἐπέτυχον ὄχι μόνον ἀπαλλάσσουν ἀπὸ τὸ νὰ θεωρηθοῦν φαῦλοι, ἀλλὰ καὶ τοὺς τοποθετοῦν εἰς τὴν θέσιν τῶν ἀγαθῶν.

5. Διότι, ὅπως ἀκριβῶς τοὺς εὐνούχους κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ ἐπαινέσῃ διὰ παρθενίαν, καθ' ὅσον δὲν συνάπτουν γάμον, ἔτσι οὔτε σᾶς. Διότι αὐτὸ ποὺ γίνεται εἰς ἐκείνους κατ' ἀνάγκην τῆς φύσεως αὐτὸ εἰς ἐσᾶς ἔγινεν ἡ προκατάληψις τῆς πονηρᾶς συνειδήσεώς σας. Καὶ ὅπως ἀκριβῶς τοὺς εὐνούχους τοὺς ἐστέρησεν ἀπὸ τὴν δόξαν ἡ ἀναπηρία τοῦ σώματος, ἔτσι καὶ ἐσᾶς ὁ διάβολος, ἐνῷ παραμένει ἀκεραία ἡ φύσις σας, ἀφοῦ ἀπέκοψε τοὺς ὀρθοὺς λογισμούς σας καὶ σᾶς ἠνάγκασε μὲ αὐτὸν τὸν τρόπον νὰ μὴ συνάπτετε γάμον, σᾶς καταπιέζει μὲν μὲ κόπους, δὲν σᾶς ἀφήνει ὅμως νὰ ἀπολαύσετε τιμάς. Ἐμποδίζεις τὸν γάμον; Διὰ τοῦτο δὲν σοῦ ἐπιφυλάσσεται μισθός, ἐπειδὴ ἀποφεύγεις τὸν γάμον, ἀλλὰ καὶ τιμωρία καὶ κόλασις.

θ´ Ὅτι παραινεῖν παρθενεύειν οὐχὶ κωλύοντός ἐστι γαμεῖν.

1. Σὺ δέ, φησίν, οὐ κωλύεις; Ἄπαγε· μή ποτε τὰ αὐτά σοι μανείην. Πῶς οὖν, φησί, παρακαλεῖς μὴ γαμεῖν; Ὅτι πείθομαι πολλῷ τιμιωτέραν εἶναι τοῦ γάμου τὴν παρθενίαν· οὐ μὴν διὰ τοῦτο ἐν τοῖς πονηροῖς τὸν γάμον τίθεμαι, ἀλλὰ καὶ λίαν αὐτὸν ἐπαινῶ. Λιμὴν γάρ ἐστι σωφροσύνης τοῖς βουλομένοις αὐτῷ χρῆσθαι καλῶς, οὐκ ἀφιεὶς ἀγριαίνειν τὴν φύσιν. Ἀντὶ γὰρ προβόλων προστήσας τὴν ἔννομον μίξιν καὶ ταύτῃ τὰ τῆς ἐπιθυμίας δεχόμενος κύματα, ἐν γαλήνῃ πολλῇ καθίστησιν ἡμᾶς καὶ διατηρεῖ. Ἀλλ' εἰσί τινες οἱ μὴ δεόμενοι ταύτης τῆς ἀσφαλείας, ἀλλ' ἀντὶ ταύτης νηστείαις, ἀγρυπνίαις, χαμευνίαις, τῇ λοιπῇ σκληραγωγίᾳ τιθασσεύουσι τὴν τῆς φύσεως μανίαν. Τούτοις παραινῶ μὴ γαμεῖν, οὐ κωλύων γαμεῖν.

2. Πολὺ δὲ τούτου κἀκείνου τὸ μέσον, καὶ τοσοῦτον ὅσον ἀνάγκης καὶ προαιρέσεως τὸ διάφορον. Ὁ μὲν γὰρ συμβουλεύων ἀφίησι τὸν ἀκούοντα κύριον εἶναι τῆς τῶν πραγμάτων αἱρέσεως ὑπὲρ ὧν ποιεῖται τὴν συμβουλήν, ὁ δὲ κωλύων παραιρεῖται ταύτης τῆς ἐξουσίας αὐτόν. Πρὸς τούτοις ἐγὼ μὲν παραινῶν οὐ κακίζω τὸ πρᾶγμα οὐδὲ τοῦ μὴ πεισθέντος κατηγορῶ, σὺ δὲ διαβάλλων αὐτὸ καὶ φαῦλον εἶναι λέγων καὶ τὴν τοῦ νομοθετοῦντος ἀλλ' οὐ τὴν τοῦ συμβουλεύοντος τάξιν ἁρπάζων, εἰκότως τοὺς μὴ πειθομένους μισεῖς. Ἀλλ' οὐκ ἐγώ, ἀλλὰ θαυμάζω μὲν τοὺς εἰς τοῦτον ἀπογραψαμένους τὸν ἀγῶνα, οὐ κατηγορῶ δὲ τῶν ἔξω τῆς ἀθλήσεως μενόντων.

3. Κατηγορία γὰρ τότε ἂν γένοιτο δικαίως, ὅταν τις πρὸς τὸ ὡμολογημένον ῥέψῃ κακόν. Ὁ δὲ τὸ ἔλαττον μὲν ἔχων ἀγαθόν, τοῦ μείζονος δὲ οὐκ ἐφικνούμενος, τοῦ μὲν ἐπαινεῖ-

θ΄ Περὶ τοῦ ὅτι ὁ συμβουλεύων διὰ παρθενίαν δὲν ἐμποδίζει τὸν γάμον.

1. Σὺ ὅμως, λέγει, δὲν ἀπαγορεύεις; Κάθε ἄλλο· μὲ κανένα τρόπον δὲν θὰ κυριευθῶ ἀπὸ τὴν ἰδικήν σου μανίαν. Πῶς λοιπόν, λέγει, προτρέπεις τὴν ἀγαμίαν; Ἐπειδὴ πιστεύω ὅτι ἡ παρθενία εἶναι πολὺ πιὸ τιμιωτέρα ἀπὸ τὸν γάμον· ἀλλ' ὅμως ἐξ αἰτίας αὐτοῦ δὲν τοποθετῶ τὸν γάμον μεταξὺ τῶν πονηρῶν, ἀντιθέτως καὶ τὸν ἐπαινῶ πάρα πολύ. Διότι εἶναι λιμάνι σωφροσύνης δι' αὐτοὺς ποὺ θέλουν νὰ κάνουν καλὴν χρῆσιν αὐτοῦ, καθ' ὅσον δὲν ἀφήνει τὴν φύσιν νὰ ἐξαγριώνεται. Διότι στήσας ὡσὰν κυματοθραύστην τὴν νόμιμον σαρκικὴν μίξιν καὶ δεχόμενος μὲ αὐτὴν τὰ κύματα τῆς ἐπιθυμίας, μᾶς παρέχει πολλὴν γαλήνην καὶ μᾶς προφυλάσσει. Ὅμως ὑπάρχουν μερικοὶ ποὺ δὲν ἔχουν ἀνάγκην αὐτῆς τῆς ἀσφαλείας, ἀλλ' ἀντὶ ταύτης τιθασσεύουν τὴν μανίαν τῆς φύσεως μὲ νηστείας, ἀγρυπνίας, κοιμώμενοι κατὰ γῆς, καὶ μὲ ἄλλας σκληραγωγίας. Αὐτοὺς συμβουλεύω νὰ μὴ συνάψουν γάμον, ἀλλὰ δὲν τοὺς ἀπαγορεύω τὸν γάμον.

2. Ὑπάρχει δὲ μεγάλη διαφορὰ μεταξὺ αὐτοῦ καὶ ἐκείνου καὶ τόσον μεγάλη, ὅση διαφορὰ ὑπάρχει μεταξὺ ἀνάγκης καὶ προαιρέσεως. Διότι αὐτὸς μὲν ποὺ συμβουλεύει, ἐνῷ αὐτὸς ποὺ ἀπαγορεύει τοῦ ἀποκλείει αὐτὴν τὴν ἐξουσίαν. Πρὸς τούτοις ἐγὼ μὲν συμβουλεύων δὲν κατηγορῶ τὸν γάμον, οὔτε καὶ κατηγορῶ αὐτὸν ποὺ δὲν πείθεται, ἐνῷ σὺ κατηγορῶν τὸν γάμον καὶ λέγων ὅτι εἶναι φαῦλος καὶ ἐξαρπάζων ὄχι τὴν θέσιν τοῦ συμβουλεύοντος, ἀλλὰ τοῦ νομοθέτου, πολὺ φυσικὸν εἶναι νὰ μισῇς αὐτοὺς ποὺ δὲν πείθονται. Δὲν συμβαίνει ὅμως τὸ ἴδιο μὲ ἐμένα, ἀλλὰ θαυμάζω μὲν αὐτοὺς ποὺ ἀπεφάσισαν νὰ κάμουν αὐτὸν τὸν ἀγῶνα, δὲν κατηγορῶ ὅμως αὐτοὺς ποὺ μένουν ἔξω ἀπὸ τὴν ἄθλησιν.

3. Διότι τότε θὰ ἠμποροῦσε νὰ κατηγορηθῇ δικαίως, ὅταν κανεὶς κλίνῃ πρὸς τὸ ἀναγνωρισμένον κακόν. Ἐνῷ αὐτὸς ποὺ ἔχει μὲν τὸ μικρότερον ἀγαθόν, δὲν προχωρεῖ

σθαι μετ' ἐκείνου καὶ θαυμάζεσθαι ἀπεστέρηται, κατηγορεῖσθαι δὲ οὐκ ἂν εἴη δίκαιος. Πῶς οὖν κωλύω γαμεῖν τῶν γαμούντων μὴ κατηγορῶν; Πορνεύειν κωλύω καὶ μοιχεύειν, γαμεῖν δὲ οὐδέποτε. Καὶ τοὺς μὲν ἐκεῖνα τολμῶντας κολάζω καὶ τοῦ πληρώματος ἀπελαύνω τῆς ἐκκλησίας, τοὺς δὲ τοῦτο ποιοῦντας, εἰ σωφρονοῦσι, καὶ ἐπαινῶν διατελῶ. Οὕτω γὰρ δύο γίνεται τὰ κέρδη· ἓν μὲν τὸ μὴ διαβάλλειν τὴν τοῦ Θεοῦ δημιουργίαν, δεύτερον δὲ τὸ μὴ καθαιρεῖν τὸ τῆς παρθενίας ἀξίωμα, ἀλλὰ πολλῷ σεμνοτέραν ἀποφαίνειν αὐτήν.

ι' Ὅτι ὁ τὸν γάμον κακίζων τὴν παρθενίαν ἀδικεῖ.

1. Ὁ μὲν γὰρ τὸν γάμον κακίζων καὶ τὴν τῆς παρθενίας ὑποτέμνεται δόξαν, ὁ δὲ τοῦτον ἐπαινῶν μᾶλλον ἐκείνης ἐπαίρει τὸ θαῦμα καὶ λαμπρότερον ποιεῖ. Τὸ μὲν γὰρ τῇ πρὸς τὸ χεῖρον παραθέσει φαινόμενον καλὸν οὐκ ἂν εἴη σφόδρα καλόν, τὸ δὲ τῶν ὁμολογουμένων ἀγαθῶν ἄμεινον, τοῦτό ἐστι τὸ μεθ' ὑπερβολῆς καλόν, ὅπερ τὴν παρθενίαν ἀποδείκνυμεν οὖσαν ἡμεῖς. Ὥσπερ οὖν οἱ τὸν γάμον κακίζοντες τοῖς ταύτης ἐγκωμίοις λυμαίνονται, οὕτως ὁ διαβολῆς ἀπαλλάττων αὐτὸν οὐ τοῦτον μᾶλλον ἢ τὴν παρθενίαν ἐπήνεσε. Καὶ γὰρ ἐπὶ τῶν σωμάτων οὐχ ὅσα τῶν πεπηρωμένων ἀλλ' ὅσα τῶν ἀρτίων καὶ μηδεμίαν λώβην ἐχόντων ἐστὶν ἀμείνω, ταῦτα ὡραῖά φαμεν εἶναι.

2. Καλὸν ὁ γάμος; Οὐκοῦν διὰ τοῦτο ἡ παρθενία θαυμαστόν, ὅτι καλοῦ κρείττων ἐστὶ καὶ τοσούτῳ κρείττων, ὅσῳ τῶν ναυτῶν ὁ κυβερνήτης καὶ τῶν στρατιωτῶν ὁ στρατηγός.

ὅμως νὰ ἐπιτύχῃ τὸ μεγαλύτερον, στερεῖται μὲν τοῦ ἐπαίνου καὶ τοῦ θαυμασμοῦ, δὲν θὰ ἦτο δυνατὸν ὅμως καὶ νὰ κατηγορῆται. Πῶς λοιπὸν ἀπαγορεύω τὸν γάμον, τὴν στιγμὴν ποὺ δὲν κατηγορῶ αὐτοὺς ποὺ συνάπτουν γάμον; Ἀπαγορεύω τὴν πορνείαν καὶ τὴν μοιχείαν, οὐδέποτε ὅμως τὸν γάμον. Καὶ ἐκείνους μέν, ποὺ τολμοῦν νὰ πράξουν ἐκεῖνα, τοὺς τιμωρῶ καὶ τοὺς ἀπομακρύνω ἀπὸ τὸ πλήρωμα τῆς Ἐκκλησίας, ἐνῷ αὐτοὺς ποὺ συνάπτουν γάμον, ἐὰν σωφρονοῦν, καὶ τοὺς ἐπαινῶ ἀκόμη. Διότι ἔτσι δύο κέρδη προκύπτουν· τὸ ἕνα εἶναι, τὸ νὰ μὴ κατηγορῶμεν τὴν δημιουργίαν τοῦ Θεοῦ, τὸ δεύτερον δὲ τὸ νὰ μὴ μειώνωμεν τὸ ἀξίωμα τῆς παρθενίας, ἀλλὰ νὰ καθιστῶμεν αὐτὴν πολὺ πιὸ σεμνοτέραν.

ι΄ Περὶ τοῦ ὅτι αὐτός, ποὺ κατηγορεῖ τὸν γάμον, ἀδικεῖ τὴν παρθενίαν.

1. Διότι αὐτὸς μὲν ποὺ κατηγορεῖ τὸν γάμον, μειώνει καὶ τὴν δόξαν τῆς παρθενίας, ἐνῷ αὐτὸς ποὺ ἐπαινεῖ αὐτόν, ἐξυψώνει περισσότερον τὸ θαῦμα ἐκείνης καὶ τὸ καθιστᾷ λαμπρότερον. Καθ' ὅσον αὐτὸ ποὺ φαίνεται καλόν, συγκρινόμενον πρὸς τὸ χειρότερον, δὲν θὰ ἠμποροῦσε νὰ εἶναι πάρα πολὺ καλόν, ἐνῷ αὐτὸ ποὺ εἶναι καλύτερον ἀπὸ τὰ ἀναγνωρισμένα ἀγαθά, αὐτὸ εἶναι τὸ εἰς ὑπερβολικὸν βαθμὸν καλόν, καὶ ὡσὰν τέτοιο ἀποδεικνύομεν ἡμεῖς ὅτι εἶναι ἡ παρθενία. Ὅπως ἀκριβῶς λοιπὸν αὐτοί, ποὺ κατηγοροῦν τὸν γάμον, καταστρέφουν τὰ ἐγκώμια τῆς παρθενίας, ἔτσι καὶ αὐτὸς ποὺ τὸν ἀπαλλάσσει ἀπὸ τὴν κατηγορίαν, δὲν ἐπαινεῖ αὐτὸν τόσον πολύ, ὅσον τὴν παρθενίαν. Καθ' ὅσον καὶ ὅσον ἀφορᾷ τὰ σώματα δὲν λέγομεν ὅτι εἶναι ὡραῖα ὅσα εἶναι καλύτερα ἀπὸ τὰ ἀνάπηρα, ἀλλ' ὅσα εἶναι καλύτερα ἀπὸ τὰ ἄρτια καὶ δὲν ἔχουν κανένα ἀκρωτηριασμόν.

2. Εἶναι καλὸν πρᾶγμα ὁ γάμος; Λοιπὸν διὰ τοῦτο ἡ παρθενία εἶναι θαυμαστή, διότι εἶναι ἀνωτέρα ἀπὸ τὸ καλὸν καὶ τόσον ἀνωτέρα, ὅσον ἀνώτερος εἶναι ὁ κυβερνή-

Ἀλλ' ὥσπερ ἐπὶ τοῦ πλοίου τοὺς ἐρέττοντας ἂν ἀφέλῃς τὸ σκάφος κατέδυσας, καὶ ἐπὶ τοῦ πολέμου τοὺς στρατιώτας ἂν ἀποστήσῃς παρέδωκας δεδεμένον τοῖς πολεμίοις τὸν στρατηγόν, οὕτω καὶ ἐνταῦθα ἂν τῆς ἀρίστης τάξεως ἐκβάλῃς τὸν γάμον, τῆς παρθενίας τὴν δόξαν προύδωκας καὶ εἰς ἔσχατον ἤγαγες κακόν.

3. Καλὸν ἡ παρθενία; Σύμφημι κἀγώ. Ἀλλὰ τοῦ γάμου κρείττων; Καὶ τοῦτο συνομολογῶ· εἰ βούλει, καὶ τὸ ὅσον κρείττων προτίθημι ὅσον γῆς ὁ οὐρανός, ὅσον τῶν ἀνθρώπων οἱ ἄγγελοι, εἰ δὲ χρή τι καὶ βιασάμενον εἰπεῖν, καὶ πλέον. Ἄγγελοι μὲν γὰρ εἰ καὶ μὴ γαμοῦσιν μηδὲ γαμίζονται, ἀλλ' οὐκ εἰσὶ συμπεπλεγμένοι σαρκὶ καὶ αἵματι οὐδὲ ἐπὶ τῆς γῆς ἔχουσι τὰς διατριβὰς οὐδὲ ὄχλον ἐπιθυμιῶν ἀνέχονται, οὐδὲ σίτου δέονται καὶ ποτοῦ οὐδὲ μέλος αὐτοὺς ἡδὺ μαλάξαι δύναται οὐδὲ ὄψις ἐπικάμψαι λαμπρὰ οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ καθάπερ τὸν οὐρανὸν ἐν μεσημβρίᾳ σταθερᾷ μηδενὸς ἐνοχλοῦντος νέφους ἔστιν ἰδεῖν καθαρόν, οὕτω καὶ τὰς ἐκείνων φύσεις οὐδεμιᾶς ἐνοχλούσης ἐπιθυμίας μένειν ἀνάγκη διαυγεῖς καὶ λαμπράς.

ια' Ὅτι ἡ παρθενία τοὺς ὄντως αὐτὴν μετιόντας ἀγγέλους ἐξ ἀνθρώπων ποιεῖ.

1. Τὸ δὲ τῶν ἀνθρώπων γένος, τῶν μακαρίων ἐκείνων τῇ φύσει λειπόμενον, βιάζεται τὴν οἰκείαν ἰσχὺν καὶ φιλονεικεῖ διὰ τῆς σπουδῆς κατὰ δύναμιν ἐξισωθῆναι ἐκείνοις. Πῶς οὖν; Οὐ γαμοῦσιν οὐδὲ γαμίζονται ἄγγελοι, ἀλλ' οὐδὲ ἡ παρθένος. Παρεστήκασιν διὰ παντὸς καὶ λειτουργοῦσιν τῷ Θεῷ·

της τῆς ναυτῶν καὶ ὁ στρατηγὸς τῶν στρατιωτῶν. Ἀλλ' ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τοῦ πλοίου ἂν ἀφαιρέσῃς τοὺς κωπηλάτας κατεβύθισες τὸ σκάφος, καὶ εἰς τὴν περίπτωσιν τοῦ πολέμου ἂν ἀπομακρύνῃς τοὺς στρατιώτας παρέδωσες τὸν στρατηγὸν δεμένον εἰς τοὺς ἐχθρούς, ἔτσι καὶ εἰς τὴν περίπτωσιν αὐτήν, ἂν βγάλῃς τὸν γάμον ἀπὸ τὴν ἀρίστην θέσιν, ἐπρόδωσες τὴν δόξαν τῆς παρθενίας καὶ τὴν ὑπεβίβασες εἰς τὸ χειρότερον κακόν.

3. Εἶναι καλὸν πρᾶγμα ἡ παρθενία; Καὶ ἐγὼ συμφωνῶ. Ἀλλ' εἶναι ἀνωτέρα καὶ ἀπὸ τὸν γάμον; Καὶ αὐτὸ τὸ ἀποδέχομαι· ἐὰν θέλῃς προσθέτω καὶ τὸ πόσον ἀνωτέρα εἶναι, ὅσον ὁ οὐρανὸς ἀπὸ τὴν γῆν, ὅσον οἱ ἄγγελοι ἀπὸ τοὺς ἀνθρώπους, καὶ ἐὰν πρέπει νὰ εἰπῶ καὶ κάτι τὸ ἀναντίρρητον, καὶ περισσότερον. Διότι οἱ μὲν ἄγγελοι ἂν καὶ δὲν παίρνουν γυναῖκας οὔτε συνάπτουν γάμον, ἀλλ' ὅμως δὲν ἀποτελοῦνται ἀπὸ σάρκα καὶ αἷμα, οὔτε ἔχουν τὰς κατοικίας των ἐπὶ τῆς γῆς οὔτε ἐνοχλοῦνται ἀπὸ πληθώρα ἐπιθυμιῶν, οὔτε ἔχουν ἀνάγκην ἀπὸ τροφὰς καὶ ποτά, οὔτε μελωδικὸν ᾆσμα ἠμπορεῖ νὰ τοὺς ἐπηρεάσῃ, οὔτε ὄμορφη ὄψις νὰ τοὺς λυγίσῃ, οὔτε κανὲν ἄλλο ἀπὸ τὰ παρόμοια, ἀλλὰ ὅπως ἀκριβῶς εἶναι δυνατὸν νὰ ἴδῃς καθαρὸν τὸν οὐρανὸν κατὰ τὴν ὥραν τῆς μεσημβρίας, τότε ποὺ δὲν ἐνοχλεῖ κανένα σύννεφον, ἔτσι καὶ αἱ φύσεις ἐκείνων παραμένουν καθαραὶ καὶ λαμπραί, καθ' ὅσον δὲν τὰς ἐνοχλεῖ καμμία ἐπιθυμία.

ια' Περὶ τοῦ ὅτι ἡ παρθενία κάμνει ἀγγέλους ἀπὸ ἀνθρώπους αὐτοὺς ποὺ τὴν ἐπιδιώκουν.

1. Τὸ ἀνθρώπινον ὅμως γένος, ἐπειδὴ εἶναι ἐκ φύσεως κατώτερον ἀπὸ τοὺς μακαρίους ἐκείνους ἀγγέλους, ἀγωνίζεται μὲ ὅλην τὴν δύναμίν του καὶ συναγωνίζεται μὲ πολὺν ζῆλον νὰ ἐξισωθῇ κατὰ δύναμιν μὲ ἐκείνους. Πῶς λοιπόν; Δὲν λαμβάνουν γυναῖκας οἱ ἄγγελοι οὔτε συνάπτουν γάμον, ἀλλ' οὔτε καὶ ἡ παρθένος. Εὑρίσκονται συνεχῶς πλησίον τοῦ Θεοῦ καὶ ὑπηρετοῦν αὐτόν· τὸ ἴδιο κά-

τοῦτο καὶ ἡ παρθένος. Διὸ καὶ Παῦλος αὐτὰς πάντων ἀπέστησε τῶν φροντίδων διὰ τὸ εὐπρόσεδρον καὶ ἀπερίσπαστον. Εἰ δὲ μὴ δύνανται εἰς τὸν οὐρανὸν ἀναβῆναι τέως καθάπερ ἐκεῖνοι, τῆς σαρκὸς καθελκούσης αὐτάς, ἀλλὰ καὶ ἐν τούτῳ πολλὴν ἔχουσι τὴν παραμυθίαν αὐτὸν τὸν τῶν οὐρανῶν ὑποδεχόμεναι δεσπότην ἂν ὦσιν ἅγιαι τῷ σώματι καὶ τῷ πνεύματι.

2. Εἶδες τῆς παρθενίας τὸ ἀξίωμα; Πῶς τοὺς ἐπὶ τῆς γῆς διατρίβοντας τοῖς ἐν οὐρανοῖς διαιτωμένοις ὁμοίως πολιτεύεσθαι ποιεῖ; Τοὺς σῶμα περικειμένους τῶν ἀσωμάτων οὐκ ἀφίησι λείπεσθαι δυνάμεων, ἀνθρώπους ὄντας εἰς τὸν αὐτὸν τῶν ἀγγέλων ἄγει ζῆλον. Ἀλλ' οὐδὲν τούτων πρὸς ὑμᾶς τοὺς τοσοῦτον πρᾶγμα λυμαινομένους καὶ τὸν δεσπότην διαβάλλοντας καὶ πονηρὸν ἀποκαλοῦντας. Ἡ γὰρ τοῦ πονηροῦ δούλου κόλασις ὑμᾶς ἐκδέξεται, ταῖς δὲ τῆς ἐκκλησίας παρθένοις ἀπαντήσεται τὰ πολλὰ καὶ μεγάλα ἀγαθά, καὶ ὀφθαλμὸν καὶ ἀκοὴν καὶ διάνοιαν ὑπερβαίνοντα τὴν ἀνθρωπίνην. Διόπερ ἐκείνους ἀφέντες - καὶ γὰρ τῶν πρὸς αὐτοὺς εἰρημένων μένων ἅλις - τοῖς τέκνοις τῆς ἐκκλησίας διαλεξώμεθα λοιπόν.

ιβ' Ὅτι Παῦλος εἰπὼν «Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω οὐχ ὁ Κύριος», οὐκ ἀνθρωπίνην ἔδειξεν τὴν συμβουλήν.

1. Πόθεν οὖν ἄρξασθαι τοῦ λόγου καλόν; ἀπ' αὐτῶν τοῦ Κυρίου ῥημάτων, ὧν διὰ τοῦ μακαρίου φθέγγεται Παύλου. Τὴν γὰρ τούτου παραίνεσιν τοῦ Κυρίου παραίνεσιν εἶναι πιστεύειν χρή. Καὶ γὰρ ὅταν λέγῃ· «Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγὼ ἀλλ' ὁ Κύριος»· καὶ πάλιν· «Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω οὐχ ὁ Κύριος», οὐχ ὡς ἑτέρων μὲν ὄντων

22. Α' Κορ. 2, 9.
23. Α' Κορ. 7, 10.
24. Α' Κορ. 7, 12.

μνει καὶ ἡ παρθένος. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἀπήλλαξεν αὐτὰς ἀπὸ ὅλας τὰς φροντίδας διὰ νὰ ὑπηρετοῦν τὸν Θεὸν μὲ ζῆλον καὶ ἀπερίσπαστοι. Ἐὰν ὅμως δὲν ἠμποροῦν ν' ἀνεβοῦν τώρα εἰς τὸν οὐρανόν, ὅπως ἀκριβῶς ἐκεῖνοι, ἐπειδὴ τὰς σύρει πρὸς τὰ κάτω ἡ σάρκα, ἀλλ' ὅμως καὶ ἔτσι ἔχουν μεγάλην τὴν παρηγορίαν, ὅτι ὑποδέχονται τὸν ἴδιον τὸν Κύριον τῶν οὐρανῶν ἐὰν εἶναι καθαραὶ εἰς τὸ σῶμα καὶ τὴν ψυχήν.

2. Εἶδες τὸ ἀξίωμα τῆς παρθενίας; Πῶς κάμνει νὰ ζοῦν καθ' ὅμοιον τρόπον μὲ ἐκείνους ποὺ ζοῦν εἰς τὸν οὐρανὸν αὐτοὺς ποὺ εὑρίσκονται εἰς τὴν γῆν; Δὲν ἀφήνει νὰ ὑπολείπωνται τῶν ἀσωμάτων δυνάμεων αὐτοὺς ποὺ περιβάλλονται ἀπὸ σῶμα, καὶ ἐνῷ εἶναι ἄνθρωποι, τοὺς ὁδηγεῖ νὰ συναγωνίζωνται μὲ τὸν ἴδιον ζῆλον τοὺς ἀγγέλους. Ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἔχει σχέσιν μὲ σᾶς, ποὺ καταστρέφετε ἕνα τόσον σπουδαῖον πρᾶγμα καὶ κατηγορεῖτε τὸν Κύριον καὶ τὸν ὀνομάζετε πονηρόν. Πράγματι σᾶς ἐπιφυλάσσεται ἡ τιμωρία τοῦ πονηροῦ δούλου, ἐνῷ διὰ τὰς παρθένους τῆς ἐκκλησίας ἐπιφυλάσσονται τὰ πολλὰ καὶ μεγάλα ἀγαθά, ποὺ ὑπερβαίνουν τὸν ὀφθαλμόν, τὴν ἀκοὴν καὶ τὴν ἀνθρωπίνην διάνοιαν[22]. Διὰ τοῦτο ἀκριβῶς, ἀφοῦ ἀφήσωμεν ἐκείνους — καθ' ὅσον εἶναι ἀρκετὰ τὰ ὅσα ἐλέχθησαν δι' αὐτοὺς — εἰς τὴν συνέχειαν ἂς ὁμιλήσωμεν διὰ τὰ τέκνα τῆς Ἐκκλησίας.

ιβ' Περὶ τοῦ ὅτι εἰπὼν ὁ Παῦλος, «εἰς δὲ τοὺς ἄλλους παραγγέλλω ἐγώ, καὶ ὄχι ὁ Κύριος», δὲν ἔδωσεν ἀνθρωπίνην συμβουλήν.

1. Ἀπὸ ποῦ λοιπὸν εἶναι καλὸν ν' ἀρχίσωμεν τὸν λόγον; Ἀπὸ αὐτὰ τὰ ἴδια τὰ λόγια τοῦ Κυρίου, ποὺ λέγει διὰ τοῦ μακαρίου Παύλου. Διότι πρέπει νὰ πιστεύωμεν, ὅτι ἡ συμβουλὴ τοῦ Παύλου εἶναι συμβουλὴ τοῦ Κυρίου. Πράγματι λοιπόν, ὅταν λέγῃ, «Εἰς τοὺς ἐγγάμους παραγγέλω ὄχι ἐγώ, ἀλλ' ὁ Κύριος»[23], καὶ πάλιν, «Εἰς δὲ τοὺς ἄλλους παραγγέλω ἐγὼ καὶ ὄχι ὁ Κύριος»[24], δὲν τὰ λέγει

τῶν αὐτοῦ, ἑτέρων δὲ τῶν τοῦ Κυρίου ταῦτά φησιν. Ὁ γὰρ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, ὁ μηδὲ ζῆν σπουδάζων ὥστε τὸν Χριστὸν ἐν ἑαυτῷ ζῆν, ὁ καὶ βασιλείαν καὶ ζωὴν καὶ ἀγγέλους καὶ δυνάμεις καὶ κτίσιν ἑτέραν καὶ πάντα ἁπλῶς δεύτερα τῆς ἀγάπης αὐτοῦ τιθέμενος, πῶς ἂν ἢ φθέγξασθαι ἢ καὶ ἐννοῆσαί τι τῶν οὐ δοκούντων ἠνέσχετο τῷ Χριστῷ καὶ ταῦτα νομοθετῶν;

2. Τί ποτ' οὖν ἐστιν ὃ λέγει, «Ἐγὼ» καὶ «Οὐκ ἐγώ»; Τῶν νόμων καὶ τῶν δογμάτων τοὺς μὲν δι' ἑαυτοῦ, τοὺς δὲ διὰ τῶν ἀποστόλων ἔδωκεν ἡμῖν ὁ Χριστός. Ὅτι γὰρ οὐ πάντας αὐτὸς δι' ἑαυτοῦ τέθεικεν, ἄκουσον τί φησι· «Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι». Περὶ μὲν οὖν τοῦ «γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι», προλαβὼν αὐτὸς ἐνομοθέτησεν ἡνίκα ἐν σαρκὶ ἐπὶ τῆς γῆς ἦν. Καὶ διὰ τοῦτο Παῦλός φησι· «Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος». Τῶν δὲ ἀπίστων ἕνεκεν αὐτὸς μὲν ἡμῖν οὐδὲν εἶπε δι' ἑαυτοῦ, τὴν δὲ τοῦ Παύλου πρὸς τοῦτο κινήσας ψυχὴν ἐνομοθέτει λέγων· «Εἴ τις ἔχει γυναῖκα ἄπιστον καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· καὶ γυνὴ ἥτις ἔχει ἄνδρα ἄπιστον καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν».

3. Διὰ τοῦτο οὖν ἔλεγεν· «Οὐχ ὁ Κύριος, ἀλλ' ἐγώ», οὐ τοῦτο δεῖξαι βουλόμενος ὅτι ἀνθρώπινον ἦν τὸ λεγόμενον - πῶς γάρ; - ἀλλ' ὅτι τὴν ἐντολὴν ταύτην οὐχ ἡνίκα παρῆν τοῖς μαθηταῖς αὐτὴν δέδωκεν, ἀλλὰ νῦν δι' αὐτοῦ. Ὥσπερ οὖν τό, «Ὁ Κύριος, οὐκ ἐγώ», οὐκ ἔστιν ἐναντιουμένου τῷ προστάγματι τοῦ Χριστοῦ, οὕτως τὸ «Ἐγώ, οὐχ ὁ Κύριος»,

---

25. Ρωμ. 8, 35· 38.
26. Ἰω. 16, 12.
27. Μαρκ. 10, 9.
28. Α' Κορ. 7, 12 - 13.

αὐτὰ ὡσὰν νὰ εἶναι διάφοροι οἱ λόγοι του ἀπὸ τοὺς λόγους τοῦ Κυρίου. Διότι αὐτὸς ποὺ ἔχει μέσα του τὸν Χριστὸν νὰ ὁμιλῇ, ποὺ δὲν ἤθελεν οὔτε νὰ ζῇ, ὥστε νὰ ζῇ μέσα του ὁ Χριστός, καὶ ἔθετε καὶ βασιλείαν καὶ ζωὴν καὶ ἀγγέλους καὶ δυνάμεις καὶ ὅλην τὴν ἄλλην κτίσιν καὶ γενικῶς ὅλα μετὰ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ[25], πῶς θὰ ἠμποροῦσε ν' ἀνεχθῇ νὰ εἰπῇ ἢ καὶ νὰ σκεφθῇ κάτι ἀπὸ αὐτὰ ποὺ δὲν ἀρέσουν εἰς τὸν Χριστὸν καὶ μάλιστα νὰ τὰ προβάλῃ ὡς νόμον;

2. Τί τέλος πάντων λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγει, «Ἐγὼ» καὶ «Οὐκ ἐγώ»; Ἀπὸ τοὺς νόμους καὶ τὰ δόγματα, ἄλλους μὲν ὁ Χριστὸς ἔδωσεν εἰς ἡμᾶς ὁ ἴδιος, ἄλλους δὲ διὰ τῶν ἀποστόλων. Τὸ ὅτι λοιπὸν δὲν ἔδωσεν ὁ ἴδιος ἀπ' εὐθείας ὅλους τοὺς νόμους, ἄκουσε τί λέγει· «Ἔχω πολλὰ νὰ σᾶς εἰπῶ, ἀλλὰ δὲν ἠμπορεῖτε ἀκόμη νὰ τὰ βαστάσετε»[26]. Περὶ τοῦ ὅτι λοιπὸν «ἡ γυναῖκα δὲν πρέπει νὰ χωρίζεται ἀπὸ τὸν ἄνδρα»[27], ἐπρόλαβεν ὁ ἴδιος καὶ ἐνομοθέτησεν ὅταν ἀκόμη εὑρίσκετο μὲ τὴν σάρκα εἰς τὴν γῆν. Καὶ διὰ τοῦτο ὁ Παῦλος λέγει· «Εἰς δὲ τοὺς ἐγγάμους παραγγέλω ὄχι ἐγώ, ἀλλ' ὁ Κύριος». Διὰ τοὺς ἀπίστους ὅμως ὁ ἴδιος μὲν δὲν εἶπε τίποτε, ἀλλ' ἐνομοθέτει, κινήσας πρὸς τὸν σκοπὸν αὐτὸν τὴν ψυχὴν τοῦ Παύλου, τὰ ἑξῆς· «Ἐὰν κάποιος ἔχῃ γυναῖκα ἄπιστον καὶ αὐτὴ δέχεται νὰ συνοικῇ μὲ αὐτόν, ἂς μὴ τὴν ἀφήνῃ· καὶ ἐὰν κάποια γυναῖκα ἔχῃ ἄνδρα ἄπιστον καὶ αὐτὸς δέχεται νὰ συγκατοικῇ μαζί της, νὰ μὴ τὸν ἀφήνῃ»[28].

3. Διὰ τοῦτο λοιπὸν ἔλεγεν· «Ὄχι ὁ Κύριος, ἀλλ' ἐγώ», ὄχι ἐπειδὴ ἤθελε νὰ δείξῃ ὅτι τὰ λόγια αὐτὰ ἦσαν ἀνθρώπινα — διότι πῶς ἠμποροῦσε νὰ συμβῇ αὐτό; — ἀλλ' ὅτι τὴν ἐντολὴν αὐτὴν δὲν τὴν ἔδωσεν εἰς τοὺς μαθητάς του ἐν ὅσῳ εὑρίσκετο πλησίον των, ἀλλὰ τώρα διὰ τοῦ Παύλου. Ὅπως ἀκριβῶς λοιπὸν τό, «Ὁ Κύριος, ὄχι ἐγώ», δὲν ἀντιτίθεται εἰς τὸ πρόσταγμα τοῦ Χριστοῦ, ἔτσι καὶ τό, «Ἐγώ, ὄχι ὁ Κύριος», δὲν εἶναι κάποιος λόγος ἰδικός του ποὺ εἶναι ἀντίθετος πρὸς τὸ θέλημα τοῦ Θεοῦ,

οὐκ ἴδιόν τι παρὰ τὸ τῷ Θεῷ δοκοῦν λέγοντος, ἀλλὰ τοῦτο μόνον δεικνύντος, δι' αὐτοῦ νῦν διδομένην τὴν ἐντολήν.

4. Καὶ γὰρ περὶ τῆς ἐν χηρείᾳ διαλεγόμενος, «Μακαριωτέρα δέ ἐστι», φησίν, «ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην». Εἶτα ἵνα μὴ «τὴν ἐμὴν γνώμην» ἀκούσας ἀνθρώπινον εἶναι νομίσῃς τὸν λογισμόν, τῇ προσθήκῃ τὴν ὑποψίαν ἐξέκοψεν εἰπών· «Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν». Ὥσπερ οὖν τὰ τοῦ πνεύματος φθεγγόμενος ἑαυτοῦ λέγει γνώμην εἶναι καὶ οὐ διὰ τοῦτο φήσομεν ἀνθρωπίνην εἶναι τὴν ἀπόφασιν, οὕτω καὶ νῦν ὅταν εἴπῃ, «Ἐγὼ λέγω, οὐχ ὁ Κύριος», μὴ διὰ τοῦτο Παύλου νομίσῃς εἶναι τὸν λόγον. Τὸν γὰρ Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα καὶ οὐκ ἂν ἐτόλμησεν ἐν ἀποφάσει δόγμα θεῖναι τοσοῦτον, εἰ μὴ τὸν νόμον ἡμῖν ἐκεῖθεν ἔφερεν.

5. Εἶπε γὰρ ἄν τις πρὸς αὐτόν· Οὐκ ἀνέχομαι εἶναι μετὰ τῆς ἀπίστου πιστὸς ὢν αὐτός, μετὰ τῆς ἐναγοῦς ὁ καθαρός. Αὐτὸς προλαβὼν εἶπες ὅτι σὺ ταῦτα λέγεις, οὐχ ὁ Κύριος. Πόθεν οὖν μοι τὸ ἀσφαλὲς καὶ τὸ βέβαιον; Ἀλλ' εἶπεν ἂν πρὸς αὐτὸν ὁ Παῦλος· μὴ δείσῃς· διὰ γὰρ τοῦτο εἶπον ὅτι τὸν Χριστὸν ἔχω λαλοῦντα ἐν ἐμαυτῷ καὶ ὅτι «Δοκῶ πνεῦμα ἔχειν Θεοῦ», ἵνα μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς εἶναι τῶν λεγομένων. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν τοσαύτην ἔδωκα τοῖς ἐμοῖς λογισμοῖς τὴν ἐξουσίαν. «Λογισμοὶ γὰρ θνητῶν δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν». Δείκνυσι δὲ καὶ ἡ πανταχοῦ τῆς οἰκουμένης ἐκκλησία τοῦ νόμου τὴν ἰσχὺν μετὰ ἀκριβείας αὐτὸν φυλάττουσα, οὐκ ἂν φυλάξασα, εἰ μὴ πέπειστο ἀκριβῶς εἶναι Χριστοῦ πρόσταγμα τὸ λεχθέν.

6. Τί οὖν ὁ Παῦλος ἐνηχούμενος ὑπὸ τοῦ Κυρίου φησί; «Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ

---

29. Α' Κορ. 7, 40.
30. Αὐτόθι.
31. Σοφ. Σολ. 9, 14.

ἀλλὰ δείχνει μόνον αὐτό, ὅτι ἡ ἐντολὴ δίδεται τώρα δι' αὐτοῦ.

4. Καὶ πράγματι ὁμιλῶν διὰ τὴν χήραν, λέγει· «Εἶναι μακαριωτέρα, κατὰ τὴν γνώμην μου, ἐὰν παραμείνῃ ἔτσι»[29]. Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ νομίσῃς ἀκούων τὸ «κατὰ τὴν γνώμην μου», ὅτι εἶναι ἀνθρωπίνη σκέψις, ἀπέκλεισε τὴν ὑποψίαν, προσθέτων τὸ ἑξῆς· «Νομίζω ὅτι καὶ ἐγὼ ἔχω πνεῦμα Θεοῦ»[30]. Ὅπως ἀκριβῶς λοιπόν, ὅταν λέγῃ τὰ λόγια τοῦ πνεύματος, λέγει ὅτι εἶναι ἰδική του γνώμη, καὶ δὲν θὰ εἴπουμεν δι' αὐτὸ ὅτι εἶναι ἀνθρωπίνη ἀπόφασις, ἔτσι καὶ τώρα ὅταν λέγῃ, «Ἐγὼ λέγω, καὶ ὄχι ὁ Κύριος», μὴ νομίσῃς ἐξ αἰτίας αὐτοῦ ὅτι ὁ λόγος εἶναι τοῦ Παύλου. Διότι μέσα του εἶχε τὸν Χριστὸν ποὺ ὡμίλει καὶ δὲν θὰ ἐτολμοῦσε μὲ ἰδικήν του ἀπόφασιν νὰ θεσπίσῃ ἕνα τόσον σπουδαῖον δόγμα, ἐὰν δὲν μᾶς ἔφερεν ἀπὸ τὸν Χριστὸν τὸν νόμον.

5. Διότι ἐνδεχομένως θὰ ἠμποροῦσε κάποιος νὰ εἴπῃ πρὸς αὐτόν· Δὲν ἀνέχομαι, ἐνῷ ἐγὼ ὁ ἴδιος εἶμαι πιστός, νὰ συγκατοικῶ μὲ ἄπιστον γυναῖκα, ἐγὼ ὁ καθαρὸς μὲ τὴν ἀκάθαρτον. Σὺ ὁ ἴδιος εἶπες πρὸ ὀλίγον ὅτι αὐτὰ τὰ λέγεις σὺ καὶ ὄχι ὁ Κύριος. Ἀπὸ ποῦ λοιπὸν θὰ μάθω ποῖον εἶναι τὸ ἀσφαλὲς καὶ τὸ βέβαιον; Ἀλλὰ θὰ ἠμποροῦσεν ὁ Παῦλος νὰ εἴπῃ πρὸς αὐτόν· Μὴ φοβεῖσαι· διότι ἀκριβῶς δι' αὐτὸ εἶπα, ὅτι ἔχω μέσα μου τὸν Χριστὸν ποὺ ὁμιλεῖ καὶ ὅτι «Νομίζω ὅτι ἔχω πνεῦμα Θεοῦ», διὰ νὰ μὴ σκεφθῇς ὅτι εἶναι ἀνθρώπινον κάτι ἀπὸ τὰ λεγόμενά μου. Διότι ἐὰν δὲν συνέβαινεν αὐτό, δὲν θὰ ἠμποροῦσα νὰ δώσω τόσην ἀξίαν εἰς τὰς σκέψεις μου. Καθ' ὅσον «Οἱ λογισμοὶ τῶν ἀνθρώπων εἶναι μηδαμινοὶ καὶ ἀβέβαιοι αἱ σκέψεις του»[31]. Ἀποδεικνύει δὲ τὴν ἰσχὺν τοῦ νόμου τοῦ Παύλου καὶ ἡ εἰς ὅλην τὴν οἰκουμένην ἐκκλησία, φυλάττουσα μὲ ἀκρίβειαν αὐτόν· διότι δὲν θὰ ἦτο δυνατὸν νὰ τὸν φυλάξῃ, ἐὰν δὲν ἦτο ἀπολύτως πεπεισμένη ὅτι ὁ λόγος αὐτὸς εἶναι πρόσταγμα τοῦ Χριστοῦ.

6. Τί λοιπὸν λέγει ὁ Παῦλος, ἀπηχῶν τοὺς λόγους τοῦ Κυρίου; «Σχετικὰ δὲ μὲ ἐκεῖνα ποὺ μοῦ ἐγράψατε,

ἅπτεσθαι». Ἀποδέξαιτο ἄν τις ἐνταῦθα τοὺς Κορινθίους ὅτι μηδεμίαν ποτὲ παρὰ τοῦ διδασκάλου δεξάμενοι συμβουλὴν περὶ παρθενίας, αὐτοὶ φθάσαντες ἐρωτῶσιν αὐτόν, ἐντεῦθεν ἤδη δεικνύντες τὴν ἀπὸ τῆς χάριτος ἐπίδοσιν γενομένην αὐτοῖς. Ἀπὸ γὰρ τῆς παλαιᾶς διαθήκης οὐκ ἦν ὁ γάμος ἀμφίβολος· οὐ γὰρ μόνον οἱ λοιποὶ πάντες ἀλλὰ καὶ Λευῖται καὶ ἀρχιερεῖς καὶ αὐτὸς ὁ μέγας ἀρχιερεὺς πολλὴν ἐποιεῖτο τοῦ γάμου σπουδήν.

ιγ΄ *Διὰ τί ἔγραψαν αὐτῷ Κορίνθιοι περὶ παρθενίας, αὐτὸς δὲ αὐτοῖς πρὸ τούτου οὐ παρήνεσεν.*

1. Πόθεν οὖν ἦλθον ἐπὶ τὴν ἐρώτησιν; Εἶδον τοῦτο ὀξέως ἐκεῖνοι καὶ καλῶς, ὅτι μείζονος αὐτοῖς ἔδει τῆς ἀρετῆς, ἐπειδὴ καὶ μείζονος ἠξιώθησαν τῆς δωρεᾶς. Ἄξιον δὲ ἐξετάσαι κἀκεῖνο διὰ τί μηδέποτε ταύτην εἰσηγήσατο τὴν συμβουλήν. Οὐ γὰρ ἄν, εἴ γε ἤκουσάν τι τοιοῦτον, πάλιν ἂν ἔγραψαν ὑπὲρ τῶν τοιούτων αὖθις ἐρωτῶντες. Καὶ γὰρ καὶ ἐνταῦθα τὸ βάθος τῆς σοφίας ἔστι τοῦ Παύλου κατανοῆσαι. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ παρῆκε πράγματος τοσούτου παραίνεσιν, ἀλλ' ἀνέμενε πρώτους αὐτοὺς εἰς ἐπιθυμίαν ἐλθεῖν καὶ ἔννοιάν τινα περὶ τοῦ πράγματος τούτου λαβεῖν, ἵν', ᾠκειωμένας αὐτῶν ἤδη τῇ παρθενίᾳ λαβὼν τὰς ψυχάς, χρησίμως τοὺς περὶ τούτων κατασπείρῃ λόγους, τῆς τῶν ἀκουόντων περὶ τὸ πρᾶγμα σχέσεως πολλὴν εὐκολίαν πρὸς τὴν τῆς παραινέσεως ὑποδοχὴν παρεχούσης· καὶ ἄλλως δὲ τὸ τοῦ πράγματος δείκνυσι μέγεθος καὶ τὸν ὄγκον πολύν.

2. Οὐδὲ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τὴν ἐκείνων ἂν περιέμενε προθυμίαν, ἀλλὰ προλαβὼν αὐτὸς ἂν εἰσηγήσατο, εἰ καὶ μὴ ὡς ἐπίταγμα, μηδὲ ὡς ἐντολήν, ἀλλ' ὡς παραίνεσιν καὶ

32. Α΄ Κορ. 7, 1.

καλὸν εἶναι εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα»[82]. Θὰ ἠμποροῦσε κάποιος νὰ δεχθῇ συμπεραίνων ἀπὸ αὐτό, ὅτι οἱ Κορίνθιοι, μολονότι δὲν ἔλαβον ποτὲ ἀπὸ τὸν διδάσκαλον καμμίαν συμβουλὴν περὶ παρθενίας, τώρα ἔφθασαν νὰ τὸν ἐρωτήσουν, κάμνοντες φανερὸν ἀπὸ αὐτὸ ὅτι ἡ ἐπίδοσίς των εἰς τὰ πνευματικὰ ἦτο καρπὸς τῆς θείας χάριτος. Διότι ἀπὸ τὴν ἐποχὴν τῆς Παλαιᾶς Διαθήκης ὁ γάμος δὲν ἦτο ἀμφίβολος˙ καθ' ὅσον ὄχι μόνον ὅλος ὁ λαός, ἀλλὰ καὶ οἱ Λευῖται καὶ οἱ ἀρχιερεῖς καὶ αὐτὸς ὁ μέγας ἀρχιερεὺς ἐδείκνυον μεγάλην φροντίδα διὰ τὸν γάμον.

ιγ' Περὶ τοῦ ὅτι, διατί ἔγραψαν εἰς αὐτὸν οἱ Κορίνθιοι περὶ παρθενίας καὶ αὐτὸς δὲν τοὺς ἐσυμβούλευσεν πρὶν ἀπὸ αὐτό.

1. Ἀπὸ ποῦ λοιπὸν παρεκινήθησαν διὰ νὰ τὸν ἐρωτήσουν; Ἀντελήφθησαν ἐκεῖνοι αὐτὸ ἀμέσως καὶ ὀρθῶς, ὅτι ἔπρεπε νὰ ἐπιτύχουν μεγαλυτέραν ἀρετήν, ἐπειδὴ ἠξιώθησαν καὶ μεγαλυτέρας δωρεᾶς. Ἀλλ' ἀξίζει νὰ ἐξετάσωμεν καὶ ἐκεῖνο, διατί δηλαδὴ ποτὲ δὲν τοὺς ἔδωσεν αὐτὴν τὴν συμβουλήν. Διότι δὲν θὰ ἦτο δυνατόν, ἐὰν συνέβαινε ν' ἀκούσουν κάτι παρόμοιον, πάλιν νὰ γράψουν καὶ νὰ τὸν ἐρωτοῦν ἐκ νέου διὰ τὰ ἴδια πράγματα. Καὶ ἐδῶ λοιπὸν εἶναι δυνατὸν νὰ διαπιστώσωμεν τὸ βάθος τῆς σοφίας τοῦ Παύλου. Διότι δὲν παρέλειψεν ἁπλῶς καὶ χωρὶς σκοπὸν τὴν συμβουλὴν διὰ ἕνα τόσον σπουδαῖον θέμα, ἀλλ' ἐπερίμενε πρῶτος αὐτὸς νὰ τὸ ἐπιθυμήσουν καὶ νὰ κάμουν κάποιαν σκέψιν περὶ τοῦ πράγματος αὐτοῦ, ὥστε, λαμβάνων τὰς ψυχάς των ἐξοικειωμένας ἤδη μὲ τὴν παρθενίαν, νὰ σπείρῃ χρησίμους τοὺς λόγους περὶ τοῦ θέματος αὐτοῦ, καθιστῶσα ἡ σχέσις των πρὸς τὸ ὅλον θέμα πολλὴν εὐκολίαν εἰς τὸ ν' ἀποδεχθοῦν τὴν συμβουλήν. Ἐπιπροσθέτως δὲ δεικνύει τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ πράγματος.

2. Πράγματι δὲν θὰ ἦτο δυνατόν, ἐὰν δὲν ἦτο αὐτὴ ἡ αἰτία, νὰ περιμένῃ τὴν προθυμίαν ἐκείνων, ἀλλὰ θὰ ἔσπευδεν ὁ ἴδιος νὰ κάμῃ εἰσήγησιν δι' αὐτό, ἐὰν ὄχι ὑπὸ μορ-

συμβουλήν. Ὁ δὲ μηδὲ τοῦτο ἀνασχόμενος ποιῆσαι πρῶτος φανερὸν ἡμῖν κατέστησεν ὅτι πολλῶν ἱδρώτων καὶ μεγάλης ἡ παρθενία δεῖται τῆς ἀγωνίας. Καὶ ἐνταῦθα δὲ τὸν κοινὸν ἡμῶν δεσπότην μιμούμενος οὕτως ἐποίησεν. Καὶ γὰρ ἐκεῖνος τότε διελέχθη περὶ τῆς παρθενίας ὅτε αὐτὸν οἱ μαθηταὶ ἤροντο.

3. Εἰπόντων γάρ, «Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, συμφέρει μὴ γαμῆσαι», τότε ἔφησεν· «Εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν». Ὅταν γὰρ μέγα ᾖ τὸ κατορθούμενον καὶ διὰ τοῦτο μηδὲ εἰς ἐντολῆς ἀνάγκην κατακλείηται, τότε τῶν μελλόντων κατορθοῦν τὴν προθυμίαν ἀναμένειν χρή, ἑτέρῳ τινὶ τρόπῳ καὶ ἀνυπόπτως τὸ θελῆσαι καὶ βουληθῆναι κατασκευάζοντας ἐν αὐτοῖς· ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἐποίησεν. Οὐ γὰρ ἀπὸ τῶν περὶ παρθενίας λόγων εἰς τὴν τῆς παρθενίας αὐτοὺς ἐπιθυμίαν ἐνέβαλεν, ἀλλὰ περὶ τοῦ γάμου μόνον διαλεχθεὶς καὶ τὸ βάρος τοῦ πράγματος δείξας καὶ μέχρι τούτου στήσας τὸν λόγον, οὕτως σοφῶς ᾠκονόμησεν, ὡς τοὺς μηδὲν περὶ τοῦ μὴ γαμεῖν ἀκούσαντας αὐτοὺς ἀφ᾽ ἑαυτῶν εἰπεῖν ὅτι «Συμφέρει μὴ γαμεῖν».

4. Διὰ τοῦτο γὰρ ὁ Παῦλος ἔλεγεν ὁ τοῦ Χριστοῦ μιμητής· «Περὶ δὲ ὧν ἐγράψατέ μοι», μόνον οὐκ ἀπολογούμενος αὐτοῖς διὰ τούτων καὶ λέγων ὅτι ἐγὼ μὲν ἐπὶ τὴν ὑψηλὴν ταύτην κορυφὴν οὐκ ἐτόλμων ὑμᾶς ἀγαγεῖν διὰ τὸ τοῦ πράγματος δυσκατόρθωτον· ἐπειδὴ δὲ αὐτοὶ φθάσαντες ἐγράψατέ μοι, μετὰ τοῦ θαρρεῖν ποιοῦμαι τὴν συμβουλήν, «ὅτι καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι». Διὰ τί γὰρ ὑπὲρ πολλῶν γραψάντων ἐκείνων οὐδαμοῦ τοῦτο προσέθηκε; Δι᾽ οὐδὲν ἕτερον ἢ διὰ τοῦτο ὅπερ εἶπον νῦν· ἵνα μή τις δυσχεραίνῃ τὴν παραίνεσιν, τῶν γραμμάτων αὐτοὺς ὧν ἔπεμψαν ὑπομι-

33. Ματθ. 19, 10-12.

φὴν προσταγῆς, οὔτε ἐντολῆς, ἀλλ' ὑπὸ μορφὴν παραινέσεως καὶ συμβουλῆς. Ἀλλὰ μὲ τὸ νὰ μὴ δεχθῇ νὰ τὸ κάμῃ αὐτὸ πρῶτος, μᾶς ἔκαμε φανερόν, ὅτι ἡ παρθενία ἀπαιτεῖ πολλοὺς ἱδρῶτας καὶ μεγάλους ἀγῶνας. Καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ἐνήργησεν ἔτσι μιμούμενος τὸν Κύριόν του. Καθ' ὅσον καὶ ἐκεῖνος τοὺς ὡμίλησε περὶ παρθενίας τότε, ὅταν τὸν ἠρώτησαν οἱ μαθηταί του.

3. Ὅταν δηλαδὴ τοῦ εἶπον, «Ἐὰν ἔχῃ ἔτσι τὸ πρᾶγμα τοῦ ἀνδρὸς μετὰ τῆς γυναικός, συμφέρει νὰ μὴ συνάψῃ κανεὶς γάμον», τότε εἶπεν· «Ὑπάρχουν εὐνοῦχοι ποὺ εὐνούχισαν τοὺς ἑαυτούς των διὰ ν' ἀπολαύσουν τὴν βασιλείαν τῶν οὐρανῶν»[33]. Διότι ὅταν εἶναι μέγα τὸ κατόρθωμα καὶ διὰ τοῦτο δὲν κατακλείεται εἰς τὴν ἀνάγκην ἐντολῆς, τότε πρέπει νὰ περιμένωμεν τὴν προθυμίαν αὐτῶν ποὺ πρόκειται νὰ διαπράξουν τὸ κατόρθωμα αὐτό, προετοιμάζοντες μὲ κάποιον ἄλλον τρόπον καὶ ἀνυποψίαστα τὴν θέλησιν καὶ τὴν ἐπιθυμίαν των, ὅπως ἀκριβῶς δηλαδὴ ἔκαμεν καὶ ὁ Χριστός. Διότι δὲν ἔβαλε μέσα των τὴν ἐπιθυμίαν τῆς παρθενίας ἀπὸ τοὺς λόγους περὶ παρθενίας, ἀλλ' ὁμιλήσας μόνον περὶ γάμου καὶ δείξας τὸ βάρος τοῦ πράγματος καὶ σταματήσας τὸν λόγον εἰς αὐτὸ τὸ σημεῖον, μὲ τόσην σοφίαν ἐρρύθμισε τὸ θέμα, ὥστε αὐτοὶ ποὺ δὲν ἤκουσαν τίποτε περὶ τῆς ἀγαμίας μόνοι των νὰ εἰποῦν ὅτι «Συμφέρει κανεὶς νὰ μείνῃ ἄγαμος».

4. Διὰ τοῦτο λοιπὸν ὁ Παῦλος ἔλεγεν, ὁ μιμητὴς τοῦ Χριστοῦ· «Σχετικὰ δὲ μὲ αὐτὰ ποὺ μοῦ ἐγράψατε», σχεδὸν ὡσὰν ν' ἀπελογεῖτο πρὸς αὐτοὺς μὲ τὰ λόγια του αὐτὰ καὶ νὰ τοὺς ἔλεγεν, ὅτι ἐγὼ μὲν δὲν ἐτολμοῦσα νὰ σᾶς ὁδηγήσω εἰς αὐτὴν τὴν ὑψηλὴν κορυφήν, ἐπειδὴ τὸ πρᾶγμα εἶναι δυσκολοκατόρθωτον· ἐπειδὴ ὅμως οἱ ἴδιοι ἐσπεύσατε νὰ μοῦ γράψετε, μὲ θάρρος σᾶς δίδω τὴν συμβουλήν, «ὅτι εἶναι καλὸν εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα». Καὶ διατί, ἐνῷ ἐκεῖνοι ἔγραψαν διὰ πολλὰ θέματα, πουθενὰ ἀλλοῦ δὲν ἐπρόσθεσεν αὐτὴν τὴν συμβουλήν; Διὰ τίποτε ἄλλο, παρὰ δι' αὐτὸ ποὺ εἶπα τώρα· διὰ νὰ μὴ δυσαναςχετήσῃ κανεὶς διὰ τὴν συμβουλήν, ὑπενθυμίζει εἰς

μνήσκει. Καὶ οὐδὲ οὕτως μετὰ σφοδρότητος κέχρηται τῇ παραινέσει καὶ ταῦτα τοσαύτην λαβὼν ἀφορμὴν ἀλλὰ καὶ ἄγαν ὑφειμένως κἀν τούτῳ μιμούμενος τὸν Χριστόν. Καὶ γὰρ ὁ Σωτὴρ μετὰ τὸ πληρῶσαι τὸν περὶ παρθενίας λόγον προσέθηκεν· «Ὁ δυνάμενος χωρεῖν χωρείτω». Τί οὖν φησι; «Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι».

ιδ´ Ἀντίθεσις τῶν τὴν παρθενίαν ἐκβαλλόντων καὶ λύσις.

1. Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ εἰ καλὸν γυναικὸς μὴ ἅπτεσθαι, τίνος ἕνεκεν γάμος ἐπεισῆλθε τῷ βίῳ; Ποῦ δὲ λοιπὸν χρησόμεθα τῇ γυναικί, μήτε εἰς γάμον μήτε εἰς παιδοποιΐαν ἡμῖν χρησιμευούσῃ; Τί δὲ κωλύσει τὸ τῶν ἀνθρώπων ἅπαν ἀφανισθῆναι γένος, τοῦ μὲν θανάτου καθ' ἑκάστην αὐτὸ τὴν ἡμέραν ἐπινεμομένου καὶ κόπτοντος, τοῦ δὲ λόγου τούτου οὐκ ἐῶντος ἀντὶ τῶν πιπτόντων ἑτέρους ἀνίστασθαι; Εἰ γὰρ τὸ καλὸν τοῦτο ζηλώσαιμεν ἅπαντες καὶ μὴ ἀψαίμεθα γυναικός, πάντα οἰχήσεται καὶ πόλεις καὶ οἰκίαι καὶ ἀγροὶ καὶ τέχναι καὶ ζῶα καὶ φυτά. Καθάπερ γὰρ τοῦ στρατηγοῦ πεσόντος πᾶσα ἀνάγκη τοῦ στρατεύματος διασπασθῆναι τὴν εὐταξίαν, οὕτω τοῦ πάντων τῶν ἐπὶ γῆς βασιλεύοντος ἀνθρώπου διὰ τοῦ μὴ γαμεῖν ἀφανισθέντος, οὐδὲν τῶν λοιπῶν ἐπὶ τῆς αὐτῆς ἀσφαλείας καὶ εὐταξίας διαμενεῖ, καὶ τὸ καλὸν τοῦτο ἐπάγγελμα μυρίων ἐμπλήσει τὴν οἰκουμένην κακῶν.

2. Ἐγὼ δέ, εἰ μὲν τῶν ἐχθρῶν καὶ ἀπίστων ἦν ταῦτα μόνον τὰ ρήματα, βραχὺν ἂν αὐτῶν ἐποιησάμην λόγον. Ἐπειδὴ δὲ καὶ τῶν εἰς τὴν ἐκκλησίαν δοκούντων συντελεῖν

---

34. Ματθ. 19, 12.

αὐτοὺς τὰ γράμματα ποὺ τοῦ ἔστειλαν. Καὶ πάλιν ὅμως δὲν τοὺς δίδει τὴν συμβουλὴν μὲ αὐστηρότητα, ἂν καὶ εἶχε τόσον μεγάλην ἀφορμήν, ἀλλὰ μὲ πάρα πολλὴν χαμηλὸν τόνον, μιμούμενος καὶ εἰς αὐτὸ τὸν Χριστόν. Καθ' ὅσον καὶ ὁ Σωτὴρ μετὰ τὸ τέλος τοῦ λόγου του περὶ παρθενίας, ἐπρόσθεσεν· «Αὐτὸς ποὺ ἠμπορεῖ νὰ τὸ δεχθῇ ἂς προχωρήσῃ εἰς τὴν πραγματοποίησίν του»[34]. Τί λέγει λοιπὸν ὁ Παῦλος; «Σχετικὰ μὲ αὐτὰ ποὺ μοῦ ἐγράψατε, καλὸν εἶναι εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα».

ιδ' Περὶ τῆς ἀντιθέσεως πρὸς αὐτοὺς ποὺ ἀπορρίπτουν τὴν παρθενίαν καὶ λύσις τοῦ θέματος.

1. 'Αλλ' ἴσως θὰ ἠμποροῦσε κάποιος νὰ μοῦ εἰπῇ· καὶ ἐὰν εἶναι καλὸν νὰ μὴ ἐγγίζωμεν γυναῖκα, πρὸς ποῖον σκοπὸν εἰσῆλθεν ὁ γάμος εἰς τὴν ζωὴν τῶν ἀνθρώπων; Ποῦ λοιπὸν θὰ χρησιμοποιήσωμεν τὴν γυναῖκα, ἀφοῦ δὲν μᾶς χρησιμεύῃ οὔτε εἰς τὸν γάμον οὔτε εἰς τὴν τεκνοποιΐαν; Τί δὲ θὰ ἐμποδίσῃ ὁλόκληρον τὸ γένος τῶν ἀνθρώπων νὰ ἐξαφανισθῇ, ὅταν ὁ μὲν θάνατος καθημερινῶς τὸ κατατρώγῃ καὶ τὸ κατερημώνῃ, αὐτὸς δὲ ὁ λόγος δὲν ἀφήνει νὰ καταλαμβάνουν ἄλλοι τὴν θέσιν τῶν πιπτόντων; Διότι ἐὰν ἠθέλομεν ἀφοσιωθῇ μὲ ζῆλον ὅλοι εἰς αὐτὸ τὸ καλὸν καὶ δὲν ἠθέλομεν ἐγγίσει γυναῖκα, ὅλα θὰ ἐξαφανισθοῦν καὶ πόλεις καὶ οἰκίαι καὶ ἀγροὶ καὶ τέχναι καὶ ζῶα καὶ φυτά. Διότι, ὅπως ἀκριβῶς ὅταν πέσῃ ὁ στρατηγὸς κατ' ἀνάγκην διασπᾶται καὶ ἡ εὐταξία τοῦ στρατεύματος, ἔτσι ἐὰν ἐξαφανισθῇ ὁ ἄνθρωπος, ποὺ εἶναι κυρίαρχος τῶν πάντων ἐπὶ τῆς γῆς, διὰ τῆς καταργήσεως τοῦ γάμου, κανὲν ἀπὸ τὰ ὑπόλοιπα δὲν θὰ διατηρήσῃ τὴν ἀσφάλειαν καὶ τὴν εὐταξίαν, καὶ αὐτὸ τὸ καλὸν παράγγελμα θὰ γεμίσῃ τὴν οἰκουμένην ἀπὸ ἀμέτρητα κακά.

2. 'Εγὼ ὅμως, ἐὰν αὐτὰ ἦσαν λόγια μόνον τῶν ἐχθρῶν καὶ τῶν ἀπίστων, θὰ διεπραγματευόμην τὸ θέμα μὲ πολλὴν συντομίαν. 'Αλλ' ἐπειδὴ ὅμως τὰ λέγουν αὐτὰ καὶ πολλοὶ ποὺ νομίζουν ὅτι φροντίζουν διὰ τὸ καλὸν τῆς

πολλοὶ ταῦτα φθέγγονται, δι' ἀσθένειαν μὲν προαιρέσεως ἀπολειφθέντες τῶν ὑπὲρ τῆς παρθενίας ἱδρώτων, τῷ δὲ τὸ πρᾶγμα κακίζειν καὶ περιττὸν ἀποφαίνειν βουλόμενοι συσκιάζειν τὴν ἑαυτῶν ῥαθυμίαν, ἵνα μὴ δοκῶσι δι' ὀλιγωρίαν, ἀλλὰ διὰ κρίσιν ὀρθὴν λογισμῶν τῶν ἀγώνων ὑστερηκέναι τούτων, φέρε, τοὺς ἐχθροὺς ἀφέντες - «Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι» - τοὺς προσποιουμένους εἶναι μεθ' ἡμῶν, διδάξωμεν ἀμφότερα, ὡς οὔτε τὸ πρᾶγμα περιττόν, ἀλλὰ καὶ σφόδρα χρήσιμον καὶ ἀναγκαῖόν ἐστιν, οὔτε αὐτοῖς ἀζήμιος ἡ τοιαύτη κατηγορία, ἀλλὰ τοσοῦτον αὐτοῖς εἴσει τὸν κίνδυνον, ὅσον τοῖς κατορθοῦσι τὸν μισθὸν καὶ τὸν ἔπαινον.

3. Ἐπειδὴ γὰρ ὁ σύμπας οὗτος κόσμος ἀπήρτιστο καὶ πάντα ηὐτρέπιστο τὰ πρὸς ἀνάπαυσιν καὶ χρῆσιν τὴν ἡμετέραν, ἔπλασε τὸν ἄνθρωπον ὁ Θεὸς δι' ὃν καὶ τὸν κόσμον ἐποίησε. Πλασθεὶς δὲ ἐκεῖνος ἔμεινεν ἐν παραδείσῳ καὶ γάμου λόγος οὐδεὶς ἦν. Ἐδέησεν αὐτῷ γενέσθαι καὶ βοηθόν, καὶ ἐγένετο, καὶ οὐδὲ οὕτως ὁ γάμος ἀναγκαῖος εἶναι ἐδόκει. Ἀλλ' οὐδὲ ἐφαίνετό που, ἀλλ' ἔμενον ἐκεῖνοι τούτου χωρὶς καθάπερ ἐν οὐρανῷ τῷ παραδείσῳ διαιτώμενοι καὶ ἐντρυφῶντες τῇ πρὸς Θεὸν ὁμιλίᾳ. Μίξεως δὲ ἐπιθυμία καὶ σύλληψις καὶ ὠδῖνες καὶ τόκοι καὶ πᾶν εἶδος φθορᾶς ἐξώριστο τῆς ἐκείνων ψυχῆς. Ὥσπερ δὲ ῥεῖθρον διειδὲς ἐκ καθαρᾶς πηγῆς προϊόν, οὕτως ἦσαν ἐν ἐκείνῳ τῷ χωρίῳ τῇ παρθενίᾳ κοσμούμενοι.

4. Καὶ πᾶσα τότε ἡ γῆ ἔρημος ἦν ἀνθρώπων, τοῦτο ὃ νῦν δεδοίκασιν οὗτοι οἱ τῆς οἰκουμένης μεριμνηταί, οἱ τὰ μὲν ἑτέρων σπουδαίως μεριμνῶντες, τὰ δὲ ἑαυτῶν οὐδὲ ἐννοεῖν ἀνεχόμενοι, καὶ ὑπὲρ μὲν τοῦ κοινοῦ τῶν ἀνθρώπων

---

35. Α' Κορ. 2, 14.

Ἐκκλησίας, ποὺ ἀπὸ ἀδυναμίαν μὲν τῆς προαιρέσεώς των ἀπέφυγον τοὺς ἱδρῶτας ὑπὲρ τῆς παρθενίας, μὲ τὸ νὰ κατηγοροῦν δὲ τὴν παρθενίαν καὶ νὰ τὴν θεωροῦν περιττήν, ἐπιθυμοῦν νὰ καλύψουν τὴν ραθυμίαν των, διὰ νὰ μὴ φαίνωνται ὅτι ἔχουν ὑστερήσει εἰς αὐτοὺς τοὺς ἀγῶνας ἀπὸ ἀδιαφορίαν, ἀλλὰ ἀπὸ ὀρθοὺς συλλογισμούς, ἐμπρός, ἀφοῦ ἀφήσωμεν τοὺς ἐχθροὺς — «Διότι ὁ σαρκικὸς ἄνθρωπος δὲν δέχεται τὰ τοῦ πνεύματος· διότι τὰ θεωρεῖ μωρίαν»[35]—, ἂς διδάξωμεν καὶ τὰ δύο εἰς αὐτοὺς ποὺ προσποιοῦνται ὅτι εἶναι μαζί μας, ὅτι δηλαδὴ οὔτε τὸ πρᾶγμα εἶναι περιττόν, ἀλλ' ἀντιθέτως εἶναι καὶ πάρα πολὺ χρήσιμον καὶ ἀναγκαῖον, οὔτε εἶναι χωρὶς ζημίαν δι' αὐτοὺς ἡ παρομοία κατηγορία, ἀλλὰ θὰ προξενήσῃ εἰς αὐτοὺς τόσον μεγάλον κίνδυνον, ὅσον μεγάλος θὰ εἶναι ὁ μισθὸς καὶ ὁ ἔπαινος αὐτῶν ποὺ κατορθώνουν νὰ πραγματοποιήσουν αὐτήν.

3. Ὅταν λοιπὸν ὁλόκληρος αὐτὸς ὁ κόσμος ἀπηρτίσθη καὶ ἐρρυθμίσθησαν ὅλα διὰ τὴν ἰδικήν μας ἀνάπαυσιν καὶ χρῆσιν, ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χάριν τοῦ ὁποίου ἐδημιούργησε καὶ τὸν κόσμον. Ἀφοῦ ἐπλάσθη ὁ ἄνθρωπος ἔζη εἰς τὸν παράδεισον καὶ δὲν ὑπῆρχε κανεὶς λόγος διὰ γάμον. Ἐχρειάσθη νὰ γίνῃ καὶ βοηθός του, καὶ ἔγινε, καὶ οὔτε ἔτσι ὁ γάμος ἐθεωρήθη ὅτι ἦτο ἀναγκαῖος. Καὶ οὔτε κἂν ἐφαίνετο, ἀλλ' ἔζων αὐτοὶ χωρὶς τὸν γάμον, διαμένοντες εἰς τὸν παράδεισον, ὡσὰν εἰς τὸν οὐρανόν, καὶ ἀπολαμβάνοντες ἡδονὴν ἀπὸ τὴν συναναστροφήν των μὲ τὸν Θεόν. Ἐπιθυμία δὲ σαρκικῆς μίξεως καὶ σύλληψις καὶ πόνοι καὶ τοκετοὶ καὶ κάθε εἶδος φθορᾶς εἶχεν ἐξορισθῆ ἀπὸ τὴν ψυχήν των. Ὡσὰν δὲ διαυγὲς νερὸ ποὺ πηγάζει ἀπὸ καθαρὰν πηγήν, ἔτσι ἔζων εἰς τὸν τόπον ἐκεῖνον, στολισμένοι μὲ τὴν παρθενίαν.

4. Καὶ ὁλόκληρος ἡ γῆ τότε ἦτο ἔρημος ἀπὸ ἀνθρώπους, πρᾶγμα δηλαδὴ ποὺ τώρα φοβοῦνται αὐτοὶ οἱ μεριμνηταὶ τῆς οἰκουμένης, ποὺ καταβάλλουν μὲν πολλὴν φροντίδα διὰ τὰς ὑποθέσεις τῶν ἄλλων, τὰς δὲ ἰδικάς των δὲν ἀνέχονται οὔτε νὰ τὰς σκεφθοῦν, καὶ φοβοῦνται μὲν διὰ

δεδοικότες γένους μή ποτε ἐπιλείπῃ, τῆς δὲ ἰδίας ἕκαστος ὡς ἀλλοτρίας οὕτως ἀμελοῦντες ψυχῆς, καὶ ταῦτα μέλλοντες ὑπὲρ μὲν ταύτης καὶ τῶν μικροτάτων ἕνεκεν ἀκριβεῖς ἀπαιτεῖσθαι τὰς εὐθύνας, ὑπὲρ δὲ τῆς τῶν ἀνθρώπων ὀλιγότητος οὐδὲ τὸν τυχόντα λόγον ὑφέξειν.

5. Οὐκ ἦσαν τότε πόλεις οὐδὲ τέχναι οὐδὲ οἰκίαι - καὶ γὰρ καὶ τούτων ὑμῖν οὐχ ὡς ἔτυχε τέλει -, ἀλλὰ οὐκ ἦν τότε ταῦτα καὶ ὅμως τὴν μακαρίαν ἐκείνην ζωὴν καὶ πολλῷ ταύτης ἀμείνω οὐδὲν οὔτε ἐνεπόδιζεν οὔτε ἐνέκοπτεν. Ἐπειδὴ δὲ παρήκουσαν τοῦ Θεοῦ καὶ ἐγένοντο γῆ καὶ σποδός, ἀπώλεσαν μετὰ τῆς μακαρίας ἐκείνης διαγωγῆς καὶ τὸ τῆς παρθενίας κάλλος, καὶ μετὰ τοῦ Θεοῦ καὶ αὐτὴ καταλιποῦσα αὐτοὺς ἀνεχώρησεν. Ἕως μὲν γὰρ ἦσαν ἀνάλωτοι τῷ διαβόλῳ καὶ δεσπότην ᾐδοῦντο τὸν αὐτῶν, παρέμενε καὶ ἡ παρθενία κοσμοῦσα αὐτοὺς μᾶλλον ἢ τοὺς βασιλεῖς τὸ διάδημα καὶ τὰ ἱμάτια τὰ χρυσᾶ. Ἐπειδὴ δὲ αἰχμάλωτοι γενόμενοι τὴν βασιλικὴν ταύτην ἀπεδύσαντο στολὴν καὶ τὸν οὐράνιον ἀπέθεντο κόσμον, ἐδέξαντο δὲ τὴν ἀπὸ τοῦ θανάτου φθορὰν καὶ τὴν ἀρὰν καὶ τὴν ὀδύνην καὶ τὸν ἐπίπονον βίον, τότε καὶ ὁ γάμος ἐπεισέρχεται μετὰ τούτων τὸ θνητὸν τοῦτο καὶ δουλικὸν ἱμάτιον.

6. «Ὁ γὰρ γαμήσας», φησί, «μεριμνᾷ τὰ τοῦ κόσμου». Ὁρᾷς πόθεν ἔσχε τὴν ἀρχὴν ὁ γάμος; Πόθεν ἀναγκαῖος ἔδοξεν εἶναι; Ἀπὸ τῆς παρακοῆς, ἀπὸ τῆς ἀρᾶς, ἀπὸ τοῦ θανάτου. Ὅπου γὰρ θάνατος, ἐκεῖ γάμος· τούτου δὲ οὐκ ὄντος οὐδὲ αὐτὸς ἕπεται. Ἀλλ' οὐχ ἡ παρθενία ταύτην ἔχει τὴν ἀκολουθίαν, ἀλλ' ἀεὶ χρήσιμον, ἀεὶ καλὸν καὶ μακάριον, καὶ πρὸ τοῦ θανάτου καὶ μετὰ τὸν θάνατον καὶ πρὸ τοῦ γάμου καὶ μετὰ τὸν γάμον. Ποῖος γάρ, εἰπέ μοι, γάμος ἀπέτεκε Ἀδάμ; Ποῖαι τὴν Εὔαν ὠδῖνες; Οὐκ ἂν ἔχοις εἰπεῖν. Τί

---

36. Α' Κορ. 7, 33.

τὸ ἀνθρώπινον γένος μήπως κάποτε ἐξαφανισθῇ, διὰ δὲ τὴν ἰδικήν των ψυχὴν δείχνουν τόσην φροντίδα, ὡσὰν νὰ εἶναι ξένη, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ πρόκειται δι' αὐτὴν μὲν καὶ διὰ τὸ πιὸ παραμικρὸν ἔργον αὐτῆς νὰ δώσουν λεπτομερῆ λογοδοσίαν, ἐνῷ δὲν πρόκειται νὰ δώσουν κανένα λόγον διὰ τὰς σμικρότητας τῶν ἀνθρώπων.

5. Δὲν ὑπῆρχον τότε πόλεις, οὔτε τέχναι, οὔτε οἰκίαι — καθ' ὅσον καὶ δι' αὐτὰ δὲν δείχνετε σεῖς ὀλιγότερον ἐνδιαφέρον —, ἀλλὰ δὲν ὑπῆρχαν τότε αὐτά, καὶ ὅμως τὴν μακαρίαν ἐκείνην ζωὴν καὶ κατὰ πολὺ ἀνωτέραν αὐτῆς τίποτε δὲν τὴν ἠμπόδιζεν οὔτε τὴν διετάρασσεν. Ἐπειδὴ ὅμως παρήκουσαν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ ἔγιναν γῆ καὶ σποδός, ἔχασαν μαζὶ μὲ τὴν μακαρίαν ἐκείνην ζωὴν καὶ τὸ κάλλος τῆς παρθενίας, ποὺ ἐγκαταλείψασα αὐτοὺς ἔφυγεν ἀπὸ κοντά των μαζὶ μὲ τὸν Θεόν. Διότι ὅσον καιρὸν ἦσαν ἀπρόσβλητοι ἀπὸ τὸν διάβολον καὶ ἐσέβοντο τὸν Κύριόν των, παρέμενε καὶ ἡ παρθενία στολίζουσα αὐτοὺς περισσότερον ἀπὸ ὅ,τι τὸ βασιλικὸν στέμμα καὶ τὰ χρυσᾶ ἐνδύματα τοὺς βασιλεῖς. Ἀπὸ τὴν στιγμὴν ὅμως ποὺ ἔγιναν αἰχμάλωτοι τοῦ διαβόλου καὶ ἀπεδύθησαν αὐτὴν τὴν βασιλικὴν στολὴν καὶ ἀπέβαλον τὸν οὐράνιον στολισμὸν καὶ ἐδέχθησαν τὴν φθορὰν τοῦ θανάτου καὶ τὴν κατάραν καὶ τὸν πόνον καὶ τὸν κοπιώδη βίον, ἀπὸ τότε εἰσέρχεται μαζὶ μὲ αὐτὰ εἰς τὴν ζωήν των καὶ ὁ γάμος, τὸ θνητὸν αὐτὸ καὶ δουλικὸν ἔνδυμα.

6. Διότι λέγει· «Αὐτὸς ποὺ συνάπτει γάμον, φροντίζει διὰ τὰ πράγματα τοῦ κόσμου»[36]. Βλέπεις ἀπὸ ποῦ ἔχει τὴν ἀρχήν του ὁ γάμος; Ἀπὸ ποῦ ἐφάνη ὅτι εἶναι ἀναγκαῖος; Ἀπὸ τὴν παρακοήν, ἀπὸ τὴν κατάραν, ἀπὸ τὸν θάνατον. Διότι ὅπου ὑπάρχει θάνατος, ἐκεῖ καὶ γάμος· ἐὰν αὐτὸς δὲν ὑπάρχει, οὔτε αὐτὸς ἀκολουθεῖ. Ἀλλ' ὅμως ἡ παρθενία δὲν ἔχει αὐτὴν τὴν συνέπειαν, ἀλλ' εἶναι πάντοτε χρήσιμος, πάντοτε εἶναι καλὸν καὶ μακάριον πρᾶγμα, καὶ πρὶν ἀπὸ τὸν θάνατον καὶ μετὰ τὸν θάνατον καὶ πρὶν ἀπὸ τὸν γάμον καὶ μετὰ τὸν γάμον. Διότι εἰπέ μου· ποῖος γάμος ἐγέννησε τὸν Ἀδάμ; ποῖοι πόνοι τοκετοῦ τὴν Εὔαν; Δὲν

οὖν δέδοικας εἰκῇ καὶ τρέμεις μὴ παυσαμένου τοῦ γάμου καὶ τὸ τῶν ἀνθρώπων παύσεται γένος; Μύριαι μυριάδες ἀγγέλων λειτουργοῦσι τῷ Θεῷ, χίλιαι χιλιάδες ἀρχαγγέλων παρεστᾶσιν αὐτῷ, καὶ οὐδεὶς τούτων γέγονεν ἐκ διαδοχῆς, οὐδεὶς ἐκ τόκων καὶ ὠδίνων καὶ συλλήψεως. Οὔκουν πολλῷ μᾶλλον ἀνθρώπους ἐποίησεν ἂν γάμου χωρίς; Ὥσπερ οὖν καὶ ἐποίησε τοὺς πρώτους ὅθεν ἅπαντες ἄνθρωποι.

ιε΄ Ὅτι οὐχ ὁ γάμος αὔξει τὸ ἡμέτερον γένος.

1. Καὶ νῦν δὲ οὐχ ἡ τοῦ γάμου δύναμις τὸ γένος συγκροτεῖ τὸ ἡμέτερον, ἀλλ' ὁ τοῦ Κυρίου λόγος ὁ παρὰ τὴν ἀρχὴν εἰπών· «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν». Τί γάρ, εἰπέ μοι, τὸν Ἀβραὰμ εἰς παιδοποιΐαν τὸ πρᾶγμα ὤνησεν; Οὐκ ἐπὶ τοσούτοις αὐτῷ χρησάμενος ἔτεσι ταύτην ὕστερον ἀφῆκε τὴν φωνήν· «Δέσποτα, τί μοι δώσεις; Ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος»; Ὥσπερ οὖν τότε ἀπὸ νεκρῶν σωμάτων τοσαύταις μυριάσι δέδωκεν ὑπόθεσιν καὶ ῥίζαν ὁ Θεός, οὕτω καὶ παρὰ τὴν ἀρχὴν εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν Ἀδὰμ τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ δι' ἧς τὸ τῶν ἀνθρώπων γένος αὐξήσει. Οὔτε γὰρ ὁ γάμος μὴ βουλομένου δυνήσεται ποιῆσαι πολλοὺς τοὺς ὄντας ἀνθρώπους, οὐδὲ ἡ παρθενία, βουλομένου πολλοὺς εἶναι, λυμανεῖται τὸ πλῆθος. Ἀλλ' οὕτως ἐβουλήθη, φησί, δι' ἡμᾶς καὶ διὰ τὴν ἀπείθειαν τὴν ἡμετέραν.

2. Διὰ τί γὰρ μὴ πρὸ τῆς ἀπάτης ὁ γάμος ἐφάνη; Διὰ τί μὴ ἐν παραδείσῳ ἡ μίξις; Διὰ τί μὴ πρὸ τῆς ἀρᾶς ὠδῖνες; Ὅτι τότε μὲν ταῦτα περιττά, ὕστερον δὲ γέγονεν ἀναγκαῖα

37. Γεν. 1, 28.
38. Γεν. 15, 2.

ἔχεις νὰ εἰπῇς τίποτε. Διατί λοιπὸν φοβεῖσαι ἄδικα καὶ τρέμεις μήπως παύσῃ ὁ γάμος καὶ παύσει καὶ τὸ ἀνθρώπινον γένος; Μύριαι μυριάδες ἀγγέλων ὑπηρετοῦν τὸν Θεόν, χίλιαι χιλιάδες ἀρχαγγέλων ἵστανται πλησίον του καὶ κανεὶς ἀπὸ αὐτοὺς δὲν προῆλθε κατὰ διαδοχικὸν τρόπον, κανεὶς ἀπὸ τοκετοὺς καὶ ὠδῖνας καὶ συλλήψεις. Δὲν θὰ ἠμποροῦσεν λοιπὸν πολὺ περισσότερον ὁ Θεὸς νὰ δημιουργήσῃ ἀνθρώπους χωρὶς γάμον; Ὅπως ἀκριβῶς βέβαια καὶ ἔπλασε τοὺς πρώτους ἀνθρώπους, ἀπὸ τοὺς ὁποίους προῆλθον ὅλοι οἱ ἄνθρωποι.

ιε΄ Περὶ τοῦ ὅτι ὁ γάμος δὲν αὐξάνει τὸ ἀνθρώπινον γένος.

1. Καὶ τώρα δὲ δὲν συγκροτεῖ τὸ ἀνθρώπινον γένος ἡ δύναμις τοῦ γάμου, ἀλλ' ὁ λόγος τοῦ Κυρίου ποὺ ἀπὸ τὴν ἀρχὴν εἶπεν· «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν»[37]. Διότι εἰπέ μου, τί ὠφέλησε τὸν Ἀβραὰμ ὁ γάμος διά τὴν τεκνοποιΐαν; Δὲν ἦτο ἐπὶ τόσα ἔτη ἔγγαμος καὶ εἰς τὸ τέλος ἐξεφώνησεν αὐτοὺς τοὺς λόγους «Κύριε τί θὰ μοῦ δώσῃς; Ἐγὼ πεθαίνω χωρὶς τέκνα»[38]; Ὅπως ἀκριβῶς λοιπὸν ἀπὸ νεκρὰ σώματα ἔδωσε τὴν ἀρχὴν καὶ τὴν ρίζαν ὁ Θεὸς τόσων μυριάδων ἀνθρώπων, ἔτσι καὶ ἀπὸ τὴν ἀρχήν, ἐάν, ὑπακούοντες ὁ Ἀδὰμ καὶ ἡ Εὔα εἰς τὰ προστάγματα τοῦ Θεοῦ, ἔδειχναν ἐγκράτειαν διὰ τὴν ἡδονὴν τοῦ ξύλου, δὲν θὰ ἀδυνατοῦσεν ὁ Θεὸς νὰ εὕρῃ ὁδὸν διὰ τῆς ὁποίας θὰ ηὔξανε τὸ ἀνθρώπινον γένος. Διότι οὔτε ὁ γάμος ἠμπορεῖ ν' αὐξήσῃ τοὺς ἀνθρώπους ποὺ ὑπάρχουν, ὅταν ὁ Θεὸς δὲν θέλῃ, οὔτε ἡ παρθενία θὰ προκαλέσῃ ζημίαν εἰς τὸ ἀνθρώπινον πλῆθος, ἐὰν ὁ Θεὸς θέλῃ νὰ εἶναι πολλοί. Ἀλλ' ἔτσι, λέγει, ἠθέλησε, ἐξ αἰτίας μας καὶ ἐξ αἰτίας τῆς ἀνυπακοῆς μας.

2. Διατί λοιπὸν ὁ γάμος δὲν παρουσιάσθη πρὶν ἀπὸ τὴν ἀπάτην; Διατί δὲν ἔλαβε χώραν ἡ σαρκικὴ μίξις μέσα εἰς τὸν παράδεισον; Διατί δὲν παρουσιάσθησαν οἱ πόνοι τοῦ τοκετοῦ πρὶν ἀπὸ τὴν κατάραν; Ἐπειδὴ τότε μὲν αὐτὰ

διὰ τὴν ἡμετέραν ἀσθένειαν καὶ ταῦτα καὶ τὰ ἄλλα ἅπαντα, αἱ πόλεις, αἱ τέχναι, ἡ τῶν ἱματίων περιβολή, ὁ λοιπὸς τῶν χρειῶν ὄχλος. Ταῦτα γὰρ ἅπαντα ἐπισυρόμενος εἰσήλασεν ὁ θάνατος μεθ᾽ ἑαυτοῦ. Μὴ τοίνυν ὃ διὰ τὴν ἀσθένειαν συνεχωρήθη τὴν σήν, τοῦτο τῆς παρθενίας προτίμα, μᾶλλον δὲ μηδὲ ἐν ἴσῳ τίθεσο, ἐπεὶ κατὰ τοῦτον προϊὼν τὸν λόγον καὶ τὸ δύο γυναῖκας ἔχειν τοῦ μιᾷ ἀρκεῖσθαι μόνον ἄμεινον εἶναι φήσεις, ἐπειδὴ καὶ τοῦτο συνεχώρητο ἐν τῷ νόμῳ Μωϋσέως, καὶ τὸν πλοῦτον δὲ οὕτως τῆς ἑκουσίου προτιμήσεις πενίας καὶ τὴν τρυφὴν τῆς σώφρονος διαίτης καὶ τὸ ἀμύνεσθαι τοῦ φέρειν τὸν ἀδικοῦντα γενναίως.

ις´ Ὅτι συγκαταβάσεως ὁ γάμος.

1. Σὺ δὲ αὐτὰ κακίζεις, φησί. Κακίζω μὲν οὐδαμῶς· Θεὸς γὰρ αὐτὰ συνεχώρησε καὶ γέγονεν ἐν καιρῷ χρήσιμα. Μικρὰ δὲ αὐτὰ εἶναί φημι, καὶ παίδων κατορθώματα μᾶλλον ἢ ἀνδρῶν. Καὶ διὰ τοῦτο ἡμᾶς τελείους ὁ Χριστὸς δημιουργῆσαι βουλόμενος, ἐκεῖνα μὲν ἀποθέσθαι ἐκέλευσεν, ὥσπερ ἱμάτια παιδικὰ καὶ οὐ δυνάμενα περιβάλλειν τὸν ἄνδρα τὸν τέλειον οὐδὲ τὸ μέτρον κοσμῆσαι τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, τὰ δὲ ἐκείνων εὐπρεπέστερα καὶ τελειότερα περιθέσθαι ἐκέλευσεν, οὐκ ἀντινομοθετῶν ἑαυτῷ, ἀλλὰ καὶ σφόδρα ἀκολουθῶν.

2. Εἰ γὰρ καὶ τὰ προστάγματα ταῦτα ἐκείνων μείζω, ἀλλὰ τοῦ νομοθέτου σκοπὸς ὁ αὐτός. Τίς οὖν ἐστιν οὗτος; Περικόψαι τὴν κακίαν τῆς ἡμετέρας ψυχῆς καὶ πρὸς τὴν τελείαν

39. Ἐφ. 4, 13.

ἦσαν περιττά, κατέστησαν δὲ ἀναγκαῖα ἀργότερα ἐξ αἰτίας τῆς ἰδικῆς μας ἀδυναμίας καὶ αὐτὰ καὶ ὅλα τὰ ἄλλα, αἱ πόλεις, αἱ τέχναι, τὸ φόρεμα τῶν ἐνδυμάτων, καὶ τὸ ὑπόλοιπον πλῆθος τῶν ἀναγκῶν. Διότι ὅλα αὐτὰ τὰ ἔσυρε μαζί του ὁ θάνατος εἰσελθὼν εἰς τὴν ζωὴν τῶν ἀνθρώπων. Μὴ προτιμᾷς λοιπὸν περισσότερον ἀπὸ τὴν παρθενίαν ἐκεῖνο ποὺ ἐπετράπη ἐξ αἰτίας τῆς ἰδικῆς σου ἀδυναμίας, ἢ καλύτερα μήτε κἂν νὰ τὸ ἐξισώνῃς, διότι προχωρῶν μὲ αὐτὴν τὴν σκέψιν θὰ εἴπῃς ὅτι εἶναι καλύτερον τὸ νὰ ἔχῃς δύο γυναῖκας ἀπὸ τὸ ν' ἀρκῆσαι μόνον εἰς μίαν, ἐπειδὴ καὶ αὐτὸ εἶχεν ἐπιτραπεῖ ἀπὸ τὸν νόμον τοῦ Μωϋσέως καὶ προχωρῶν κατὰ τὸν τρόπον αὐτὸν θὰ προτιμήσῃς τὸν πλοῦτον ἀπὸ τὴν πτωχείαν ποὺ γίνεται μὲ τὴν θέλησιν, καὶ τὴν ἀπολαυστικὴν ζωὴν ἀπὸ τὴν σωφρονισμένην ζωὴν καὶ τὸ νὰ ἀμύνεσαι ἀπὸ τὸ νὰ ὑπομένῃς μὲ γενναιότητα αὐτὸν ποὺ σὲ ἀδικεῖ.

ις' Περὶ τοῦ ὅτι ὁ γάμος εἶναι ἀποτέλεσμα συγκαταβάσεως τοῦ Θεοῦ.

1. Σὺ ὅμως, λέγει, τὰ κατηγορεῖς αὐτά. Καθόλου δὲν τὰ κατηγορῶ· διότι ὁ Θεὸς τὰ ἐπέτρεψε καὶ μὲ τὸ πέρασμα τοῦ χρόνου ἀπεδείχθησαν ὠφέλιμα. Ἀλλ' αὐτά, νομίζω, εἶναι ἀσήμαντα καὶ κατορθώματα μᾶλλον παιδιῶν, παρὰ ἀνδρῶν. Καὶ διὰ τοῦτο ἐπιθυμῶν ὁ Χριστὸς νὰ μᾶς κάνῃ τελείους, ἔδωσεν ἐντολὴν ἐκεῖνα μὲν νὰ τὰ ἀπορρίψωμεν, ὡσὰν παιδικὰ ἀκριβῶς ἐνδύματα καὶ ποὺ δὲν ἠμποροῦν νὰ ἐνδύσουν τὸν τέλειον ἄνδρα, οὔτε νὰ στολίσουν «τὸ μέτρον τοῦ τελείου πνευματικοῦ ἀναστήματος τοῦ Χριστοῦ»[39], τὰ δὲ μεγαλοπρεπέστερα καὶ τελειότερα ἀπὸ ἐκεῖνα ἔδωσεν ἐντολὴν νὰ τὰ φορέσωμεν, χωρὶς νὰ νομοθετῇ ἀντίθετα πρὸς τὸν ἑαυτόν του, ἀλλὰ καὶ ἀκολουθῶν πλήρως τὰς ἐντολάς του.

2. Μολονότι λοιπὸν τὰ προστάγματα αὐτὰ εἶναι ἀνώτερα ἀπὸ ἐκεῖνα, ὁ σκοπὸς ὅμως τοῦ νομοθέτου εἶναι ὁ ἴδιος. Ποῖος λοιπὸν εἶναι αὐτὸς ὁ σκοπός; Νὰ ἀποκόψῃ τὴν κακίαν τῆς ψυχῆς μας καὶ νὰ μᾶς ὁδηγήσῃ πρὸς τὴν τελείαν

αὐτὴν ἀγαγεῖν ἀρετήν. Εἰ τοίνυν τοῦτο ἐσπουδάκει, οὐ τὸ μείζονα ἐπιτάξαι τῶν προτέρων ἀλλὰ τὸ ἐν τοῖς αὐτοῖς ἀφεῖναι διὰ παντὸς καὶ μηδέποτε τῆς εὐτελείας ἀπαλλάξαι ἐκείνης, τοῦτο ἐναντιουμένου σφόδρα ἦν ἑαυτῷ. Ὥσπερ γὰρ εἰ παρὰ τὴν ἀρχήν, ὅτε νηπιωδέστερον τὸ τῶν ἀνθρώπων διέκειτο γένος, τὴν ἐπιτεταμένην ταύτην ἐνομοθέτησε πολιτείαν, οὐδ' ἂν τὴν σύμμετρον ἐδεξάμεθά ποτε, ἀλλὰ πάντα τὰ τῆς σωτηρίας ἡμῖν ὑπὸ ταύτης ἂν τῆς ἀμετρίας διέφθαρτο. Οὕτως· εἰ μετὰ τὸν πολὺν χρόνον ἐκεῖνον καὶ τὴν ὑπὸ τοῦ νόμου παιδαγωγίαν, τοῦ καιροῦ ἐπὶ τὴν οὐράνιον ταύτην καλοῦντος φιλοσοφίαν, εἴασε μένειν ἐπὶ τῆς γῆς, οὐδὲν ἂν μέγα ἐκ τῆς συγκαταβάσεως ἐκαρπωσάμεθα, ἐκείνης τῆς τελειότητος δι' ἣν ἡ συγκατάβασις γέγονε μὴ παραγενομένης ἡμῖν.

ιζ' Περὶ συγκαταβάσεως τοῦ Θεοῦ.

1. Νῦν δὲ παρόμοιον γέγονεν οἷον ἐπὶ τῶν νεοττῶν. Καὶ γὰρ ἐκείνους ὅταν ἐκθρέψῃ ἡ μήτηρ, προάγει μὲν τῆς καλιᾶς. Ἂν δὲ ἀσθενοῦντας ἴδῃ καὶ καταπίπτοντας καὶ δεομένους ἔτι τῆς ἔνδον μονῆς, ἀφίησιν ἔτι πλείους ἡμέρας, οὐχ ἵνα διὰ παντὸς ἔνδον μένωσιν, ἀλλ' ἵνα, παγέντων αὐτοῖς καλῶς τῶν πτερῶν καὶ τῆς ἰσχύος προσγενομένης ἁπάσης, μετὰ ἀσφαλείας λοιπὸν τῆς πτήσεως ἔχωνται. Οὕτω καὶ ὁ Κύριος ἡμῶν ἐξ ἀρχῆς μὲν εἷλκεν ἐπὶ τὸν οὐρανὸν καὶ τὴν ἐκεῖ φέρουσαν ὁδὸν ἐδείκνυ, οὐκ ἀγνοῶν μὲν ἀλλὰ καὶ σφόδρα εἰδώς, ὅτι οὐκ ἀρκέσομεν πρὸς τὴν πτῆσιν ἐκείνην, δεῖ-

ἀρετήν. Ἐὰν λοιπὸν ἦτο αὐτὴ ἡ φροντίς του, τὸ νὰ μὴ μᾶς προστάξῃ ἀνώτερα ἀπὸ τὰς προηγουμένας ἐντολάς του, ἀλλὰ νὰ μᾶς ἀφήσῃ διὰ παντὸς εἰς τὰ ἴδια καὶ νὰ μὴ μᾶς ἀπαλλάξῃ ποτὲ ἀπὸ τὴν εὐτέλειαν ἐκείνην, αὐτὸ θ' ἀπετέλει πάρα πολὺ μεγάλην ἐναντίωσιν πρὸς τὸν ἑαυτόν του. Διότι ὅπως ἀκριβῶς, ἐὰν ἀπὸ τὴν ἀρχήν, ὅταν τὸ ἀνθρώπινον γένος εὑρίσκετο εἰς περισσότερον νηπιακὴν κατάστασιν, ἐνομοθέτει αὐτὸν τὸν αὐστηρότερον τρόπον ζωῆς, δὲν θὰ ἦτο δυνατὸν νὰ δεχθῶμεν ποτὲ τὸ μετριώτερον, ἀλλὰ θὰ κατεστρέφοντο ἀπὸ αὐτὴν τὴν ἀσυμμετρίαν ὅλα τὰ σχετικὰ μὲ τὴν σωτηρίαν μας. Ἔτσι, ἐὰν μετὰ τὸν πολὺν ἐκεῖνον χρόνον καὶ τὴν παιδαγωγίαν ἀπὸ τὸν νόμον, τότε ποὺ ὁ καιρὸς μᾶς ἐκαλοῦσε πρὸς τὴν οὐράνιον φιλοσοφίαν, μᾶς ἄφηνε νὰ μένωμεν προσκολλημένοι εἰς τὰ γήϊνα πράγματα, δὲν θὰ ἦτο δυνατὸν νὰ ἀποκομίσωμεν κανένα μεγάλο καρπὸν ἀπὸ τὴν συγκατάβασίν του, ἀφοῦ δὲν θὰ ἐπραγματοποιεῖτο εἰς ἡμᾶς ἡ τελειότης ἐκείνη πρὸς χάριν τῆς ὁποίας ἔγινεν ἐκείνη ἡ συγκατάβασις.

ιζ' Περὶ τῆς συγκαταβάσεως τοῦ Θεοῦ.

1. Τώρα ὅμως ἔγινε κάτι παρόμοιον μὲ ἐκεῖνο ποὺ συμβαίνει μὲ τοὺς νεοσσούς. Διότι καὶ ἐκείνους ὅταν ἡ μητέρα των τοὺς μεγαλώσῃ τοὺς ὁδηγεῖ εἰς τὸ ἄκρον τῆς φωλεᾶς, ἂν ὅμως ἰδῇ ὅτι εἶναι ἀδύναμοι καὶ νὰ μὴ ἠμποροῦν νὰ πετάξουν καὶ νὰ ἔχουν ἀνάγκην ἀκόμη ἀπὸ τὴν παραμονήν των ἐντὸς τῆς φωλεᾶς, τοὺς ἀφήνει ἀκόμη περισσοτέρας ἡμέρας, ὄχι διὰ νὰ μένουν μέσα εἰς αὐτὴν εἰς ὅλην τὴν ζωήν των, ἀλλ' ὥστε, ἀφοῦ ἐνδυναμώσουν καλὰ τὰ πτερά των καὶ ἀποκτήσουν ὅλην τὴν δύναμιν, νὰ ἠμποροῦν πλέον μὲ ἀσφάλειαν νὰ πετοῦν. Ἔτσι καὶ ὁ Κύριος ἡμῶν, εἰς τὴν ἀρχὴν μᾶς ὡδήγει πρὸς τὸν οὐρανὸν καὶ μᾶς ἐδείκνυε τὴν ὁδὸν ποὺ ὁδηγεῖ πρὸς τὰ ἐκεῖ, χωρὶς νὰ ἀγνοῇ, ἀντιθέτως γνωρίζων πάρα πολὺ καλά, ὅτι δὲν

ξαι δὲ ἡμῖν βουλόμενος ὅτι οὐ παρὰ τὴν αὐτοῦ βούλησιν ἀλλὰ παρὰ τὴν ἡμετέραν ἀσθένειαν τὸ πτῶμα γίνεται. Ἐπειδὴ δὲ ἔδειξεν, οὕτω λοιπὸν ἀφίησιν ὥσπερ ἐν καλιᾷ τῷ κόσμῳ τούτῳ καὶ τῷ γάμῳ τρέφεσθαι χρόνον πολύν.

2. Ὡς δὲ ἡμῖν ἐν τῷ πολλῷ χρόνῳ τὰ τῆς ἀρετῆς ἔφυ πτερά, τότε ἠρέμα καὶ κατὰ μικρὸν ἐλθὼν ἐξήγαγε τῆς ἐνταῦθα μονῆς, διδάσκων ὑψηλότερα πέτασθαι. Οἱ μὲν οὖν ἔτι νωθρότερον διακείμενοι καὶ τὸν βαθὺν ὕπνον καθεύδοντες ἐμφιλοχωροῦσιν ἔτι τῇ καλιᾷ τοῖς τοῦ κόσμου προσηλωμένοι πράγμασιν. Οἱ δὲ ὄντως γενναῖοι καὶ τοῦ φωτὸς ἐρασταὶ μετὰ πολλῆς εὐκολίας ἀφέντες αὐτὴν πρὸς τὰ μετέωρα πέτανται καὶ τῶν οὐρανῶν ἔχονται, πάντα τὰ ἐπὶ τῆς γῆς καταλείψαντες, τὸν γάμον, τὰ χρήματα, τὰς φροντίδας, τὰ ἄλλα πάντα ὅσα πρὸς τὴν γῆν ἡμᾶς καθέλκειν εἴωθε.

3. Μὴ τοίνυν τὴν ἐξ ἀρχῆς γενομένην ἐπιτροπὴν τοῦ γάμου, ταύτην ἀνάγκην εἰς τὸ ἑξῆς εἶναι νομίζωμεν κωλύουσαν ἀναχωρεῖν τοῦ γάμου. Ὅτι γὰρ ἡμᾶς αὐτὸν ἀφεῖναι βούλεται, ἄκουσον τί φησιν· «Ὁ δυνάμενος χωρεῖν χωρείτω». Εἰ δὲ μὴ παρὰ τὴν ἀρχὴν τοῦτο ἐπέταξε, μὴ θαυμάσῃς. Οὐδὲ γὰρ ἰατρὸς πάντα ὑφ' ἓν τοῖς κάμνουσι καὶ κατὰ τὸν αὐτὸν καιρὸν προστάττει, ἀλλ' ὅταν μὲν ὑπὸ τοῦ πυρετοῦ κατέχωνται, τῆς στερεᾶς αὐτοὺς ἀπείργει τροφῆς, ὅταν δὲ ἀποθῶνται ἐκεῖνο τὸ πῦρ καὶ τὴν ἀπ' αὐτοῦ τῷ σώματι προσγενομένην ἀσθένειαν, τότε λοιπὸν ἀπαλλάξας αὐτοὺς τῶν δυσαρέστων σιτίων ἐπὶ τὴν συνήθη φέρει δίαιταν. Ὥσπερ δὲ ἐν τοῖς σώμασι τὰ στοιχεῖα πρὸς ἄλληλα στασιάζοντα κατὰ τὸ πλέον ἢ ἔλαττον τὴν νόσον ἐργάζεται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς αἱ τῶν παθῶν ἀμετρίαι διαφθείρουσι τὴν ὑγίειαν αὐτῆς. Καὶ

---

40. Ματθ. 19, 12.

εἴμεθα ἱκανοὶ διὰ τὴν πτῆσιν ἐκείνην, μὲ σκοπὸν νὰ μᾶς δείξῃ, ὅτι ἡ πτῶσις συμβαίνει ὄχι ἐπειδὴ τὸ θέλει ἐκεῖνος, ἀλλ' ἀπὸ τὴν ἰδικήν μας ἀδυναμίαν. Ἀφοῦ δὲ μᾶς ἔδειξε τὴν ἀδυναμίαν μας, μᾶς ἄφησε πλέον μέσα εἰς αὐτὸν τὸν κόσμον, ὡσὰν μέσα εἰς φωλεάν, διὰ νὰ τρεφώμεθα ἐπὶ πολὺν χρόνον μὲ τὸν γάμον.

2. Ὅταν ὅμως μὲ τὸ πέρασμα πολλοῦ χρόνου ἐφύτρωσαν τὰ πτερὰ τῆς ἀρετῆς, τότε ἤρεμα καὶ σιγὰ - σιγὰ ἀφοῦ ἦλθε μᾶς ἔβγαλε ἀπὸ τὴν ἐδῶ διαμονήν, διδάσκων ἡμᾶς νὰ πετῶμεν ὑψηλότερα. Αὐτοὶ λοιπὸν ποὺ εἶναι ἀκόμη ὀκνηρότεροι καὶ εἶναι βυθισμένοι εἰς τὸν βαθὺν ὕπνον εἰσχωροῦν ἀκόμη μέσα εἰς τὴν φωλεὰν παραμένοντες προσηλωμένοι εἰς τὰ κοσμικὰ πράγματα. Οἱ πραγματικὰ γενναῖοι ὅμως καὶ οἱ ἐρασταὶ τοῦ φωτός, ἀφοῦ μὲ πολλὴν εὐκολίαν ἐγκατέλειψαν αὐτήν, πετοῦν πρὸς τὰ ὕψη καὶ κατακυριεύουν τὸν οὐρανόν, ἐγκαταλείψαντες ὅλα τὰ γήϊνα, τὸν γάμον, τὰ χρήματα, τὰς φροντίδας καὶ ὅλα τὰ ἄλλα ποὺ συνήθως μᾶς σύρουν πρὸς τὴν γῆν.

3. Ἂς μὴ νομίζωμεν λοιπὸν τὴν ἀπὸ τὴν ἀρχὴν παραχώρησιν τοῦ γάμου ὅτι αὐτὴ εἶναι ἀπαραίτητος εἰς τὸ μέλλον ἐμποδίζουσα ἡμᾶς ν' ἀποφύγωμεν τὸν γάμον. Διότι τὸ ὅτι ὁ Κύριος ἐπιθυμεῖ νὰ ἀποφύγωμεν αὐτὸν ἄκουσε τί λέγει· «Αὐτὸς ποὺ θὰ τὸ δεχθῇ αὐτὸ ἂς τὸ δεχθῇ καὶ ἂς προχωρήσῃ εἰς τὴν πραγματοποίησίν του»[40]. Ἐὰν δὲ δὲν τὸ ἐπρόσταξεν αὐτὸ ἀπὸ τὴν ἀρχήν, μὴ θαυμάσῃς. Διότι οὔτε ὁ ἰατρὸς προστάσσει εἰς τοὺς ἀσθενεῖς ὅλα διὰ μιᾶς καὶ κατὰ τὸν ἴδιον καιρόν, ἀλλ' ὅταν μὲν εὑρίσκωνται ὑπὸ τὴν κατοχὴν τοῦ πυρετοῦ, τοὺς ἀπαγορεύει νὰ τρώγουν στερεὰν τροφήν, ὅταν ὅμως ἀπαλλαγοῦν ἀπὸ ἐκεῖνο τὸ πῦρ καὶ ἀπὸ τὴν ἀσθένειαν ποὺ προκαλεῖ εἰς τὸ σῶμα, τότε πλέον, ἀφοῦ τοὺς ἀπαλλάξῃ ἀπὸ τὰ δυσάρεστα φαγητά, τοὺς ἐπαναφέρει εἰς τὴν συνήθη διατροφήν. Ὅπως ἀκριβῶς δὲ εἰς τὰ σώματα προκαλοῦν τὴν νόσον κατὰ μεγάλον ἢ μικρὸν βαθμὸν τὰ στοιχεῖα αὐτὰ ἀντιμαχόμενα μεταξύ των, ἔτσι καὶ εἰς τὴν ψυχὴν τὸ ἄπειρον πλῆθος τῶν παθῶν καταστρέφουν τὴν ὑγείαν αὐτῆς. Καὶ χρειάζεται

δεῖ μάλιστα ἐπὶ καιροῦ τοῦ καταλλήλως τοῖς ὑποκειμένοις πάθεσιν ἔχειν τὸ πρόσταγμα, ὡς τούτων ἄνευ ἀμφοτέρων οὐκ ἂν ἀρκέσειε νόμος καθ' ἑαυτὸν διορθῶσαι τὴν ἐν τῇ ψυχῇ γενομένην διαστροφήν, ὥσπερ οὖν οὐδὲ ἡ τῶν φαρμάκων φύσις αὐτὴ καθ' ἑαυτὴν δύναιτ' ἂν ἕλκος ἀφανίσαι ποτέ, ὅπερ γὰρ ἐπὶ τῶν τραυμάτων τὰ φάρμακα, τοῦτο ἐπὶ τῶν ἁμαρτημάτων οἱ νόμοι.

4. Σὺ δὲ ἰατρόν, νῦν μὲν τέμνοντα, νῦν δὲ καίοντα, νῦν δὲ οὐδέτερον τούτων ποιοῦντα ἐπὶ τῶν αὐτῶν πολλάκις τραυμάτων, οὐ πολυπραγμονεῖς, καὶ ταῦτα πολλάκις ἀποσφαλέντα τοῦ τέλους, τὸν δὲ Θεὸν ἄνθρωπος ὢν τὸν οὐδαμοῦ μὲν διαμαρτάνοντα, πάντα δὲ ἀξίως τῆς οἰκείας οἰκονομοῦντα σοφίας, περιεργάσῃ καὶ τῶν προσταγμάτων εὐθύνας ἀπαιτήσεις καὶ οὐ παραχωρήσεις τῷ τῆς σοφίας ἀπείρῳ; Καὶ πῶς οὐκ ἐσχάτης ταῦτα παραπληξίας; Εἶπεν· «Αὐξάνεσθε καὶ πληθύνεσθε». Τοῦτο γὰρ ὁ καιρὸς ἀπῄτει τῆς φύσεως μαινομένης καὶ τὸν τῶν παθῶν οἶστρον μὴ δυναμένης ἐνεγκεῖν, οὐδὲ ἐχούσης εἰς ἕτερόν τινα λιμένα καταφυγεῖν ἐν ἐκείνῃ τῇ ζάλῃ.

5. Ἀλλὰ τί κελεύειν ἐχρῆν; Ἐν ἐγκρατείᾳ καὶ παρθενίᾳ διάγειν; Ἀλλὰ τοῦτο μεῖζον ἂν τὸ πτῶμα εἰργάσατο καὶ τὴν φλόγα σφοδροτέραν ἐποίησε. Καὶ γὰρ τοὺς γάλακτος μόνου δεομένους παῖδας ἂν εἴ τις ἐκείνης ἀπαγαγὼν τῆς τροφῆς τῆς ἀνδράσι προσηκούσης ἀναγκάζῃ μεταλαμβάνειν, οὐδὲν τὸ κωλύον αὐτοὺς ἀπολέσθαι εὐθέως· τοσοῦτον ἡ ἀκαιρία κακόν. Διὰ ταῦτα ἐξ ἀρχῆς οὐκ ἐδόθη ἡ παρθενία, μᾶλλον δὲ ἡ παρθενία μὲν ἐξ ἀρχῆς καὶ τοῦ γάμου προτέρα ἡμῖν ἐφάνη. Διὰ ταῦτα δὲ ἐπεισῆλθεν ὕστερον ὁ γάμος καὶ πρᾶγμα ἀναγκαῖον ἐνομίζετο εἶναι, ὡς εἴ γε ἔμεινεν ὑπακούων ὁ Ἀδάμ,

βέβαια εἰς κατάλληλον καιρὸν νὰ δοθῇ τὸ πρόσταγμα εἰς τὰ πάθη ποὺ ἔχουν κυριευμένην τὴν ψυχήν, διότι χωρὶς αὐτὰ τὰ δύο δὲν θὰ ἠμποροῦσε νὰ ἐπαρκέσῃ ὁ νόμος ἀπὸ μόνος του νὰ διορθώσῃ τὴν διαστροφὴν ποὺ προεκλήθη εἰς τὴν ψυχήν. Ὅπως ἀκριβῶς βέβαια οὔτε ἡ φύσις τῶν φαρμάκων αὐτὴ καθ' ἑαυτὴ δὲν θὰ ἠμποροῦσε ποτὲ νὰ ἐξαλείψῃ τὴν πληγήν, διότι αὐτὸ ποὺ εἶναι τὰ φάρμακα διὰ τὰ τραύματα, αὐτὸ εἶναι καὶ οἱ νόμοι διὰ τὰ ἁμαρτήματα.

4. Σὺ ὅμως ἰατρὸν ποὺ ἄλλοτε μὲν ἀποκόπτει τὸ τραῦμα, ἄλλοτε δὲ καυτηριάζει αὐτό, καὶ ἄλλοτε δὲν κάμνει κανένα ἀπὸ αὐτὰ εἰς τὰ ἴδια πολλὰς φορὰς τραύματα, δὲν τὸν πολυεξετάζεις, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ πολλὰς φορὰς εἶναι ἀνεπιτυχὲς τὸ ἀποτέλεσμα, τὸν Θεὸν ὅμως, ἐνῷ εἶσαι ἄνθρωπος, ποὺ εἰς καμμίαν περίπτωσιν ἀποτυγχάνει, ἀλλὰ ρυθμίζει τὰ πάντα ἐπάξια πρὸς τὴν σοφίαν του, θὰ τὸν περιεργασθῇς καὶ θὰ ζητήσῃς εὐθύνας διὰ τὰ προστάγματά του καὶ δὲν θὰ τὰ ἀνεχθῇς ἐμπρὸς εἰς τὴν ἄπειρον σοφίαν του; Καὶ πῶς αὐτὰ δὲν εἶναι δείγματα τῆς πιὸ φοβερῆς παραφροσύνης; Εἶπεν· «Αὐξάνεσθε καὶ πληθύνεσθε». Διότι αὐτὸ ἀπαιτοῦσεν ὁ καιρὸς τότε ποὺ ἡ φύσις ἔκαμνεν ὡσὰν τρελλὴ καὶ δὲν ἠμποροῦσε νὰ ὑποφέρῃ τὸν οἶστρον τῶν παθῶν, οὔτε ἠμποροῦσε νὰ προσφύγῃ εἰς κάποιον ἄλλον λιμένα μέσα εἰς ἐκείνην τὴν ζάλην της.

5. Ἀλλὰ τί ἔπρεπε νὰ προστάζῃ; Νὰ ζοῦν μὲ ἐγκράτειαν καὶ παρθενίαν; Ἀλλ' αὐτὸ θὰ ἠμποροῦσε νὰ κάμνῃ μεγαλυτέραν τὴν πτῶσιν καὶ τὴν φλόγα φοβερωτέραν. Καθ' ὅσον τὰ παιδιὰ ποὺ ἔχουν ἀνάγκην μόνον ἀπὸ γάλα, ἐὰν κάποιος τὰ ἀπεμάκρυνεν ἀπὸ ἐκείνην τὴν τροφὴν καὶ τὰ ἐξηνάγκαζε νὰ τρώγουν τὴν τροφὴν ποὺ ἁρμόζει διὰ τοὺς ἄνδρας, τίποτε δὲν τὰ ἐμποδίζει ἀμέσως νὰ πεθάνουν· τόσον μεγάλο κακὸν εἶναι ἡ ἀκαιρία. Διὰ τοῦτο ἀπὸ τὴν ἀρχὴν δὲν ἐδόθη ἡ παρθενία, μᾶλλον δὲ ἡ παρθενία ἐφάνη μεταξύ μας ἀπὸ τὴν ἀρχὴν καὶ πρὶν ἀπὸ τὸν γάμον. Ἐξ αἰτίας αὐτοῦ δὲ εἰσῆλθεν εἰς τὴν ζωὴν τοῦ ἀνθρώπου ὕστερα ὁ γάμος καὶ ἐθεωρεῖτο ὡς ἀναγκαῖ-

οὐκ ἂν ἐδέησε τούτου. Καὶ πῶς ἄν, φησίν, αἱ τοσαῦται μυριάδες ἐγένοντο; Ἐγὼ δὲ σὲ πάλιν ἐρωτῶ, ἐπειδή σε σφόδρα παρέμεινε κατασείων οὗτος ὁ φόβος· πῶς ὁ Ἀδάμ, πῶς δὲ ἡ Εὔα μὴ μεσιτεύοντος γάμου; Τί οὖν; Οὕτως, φησίν, ἔμελλον ἅπαντες ἄνθρωποι γίνεσθαι; Εἴτε οὕτως εἴτε ἑτέρως οὐκ ἔχω λέγειν. Τὸ γὰρ ζητούμενον νῦν ὅτι γάμου οὐκ ἔδει τῷ Θεῷ πρὸς τὸ πολλοὺς ποιῆσαι τοὺς ἐπὶ τῆς γῆς ἀνθρώπους.

ιη΄ Ὅτι οὐχ ἡ παρθενία τὸ γένος ἡμῶν ἐλαττοῖ ἀλλ᾽ ἡ ἁμαρτία.

Ὅτι δὲ οὐχ ἡ παρθενία ποιεῖ τὸ τῶν ἀνθρώπων γένος ἐπιλείπειν, ἀλλ᾽ ἡ ἁμαρτία καὶ αἱ ἄτοποι μίξεις ἔδειξεν ὁ κατὰ τὸν Νῶε γενόμενος ἀφανισμὸς καὶ ἀνθρώπων καὶ κτηνῶν καὶ πάντων ἁπλῶς τῶν ἐμπνεόντων ἐπὶ τῆς γῆς. Εἰ γὰρ ἔστησαν πρὸς τὴν ἄτοπον τότε ἐπιθυμίαν ἐκείνην οἱ υἱοὶ τοῦ Θεοῦ καὶ τὴν παρθενίαν ἐτίμησαν, εἰ μὴ εἶδον ἀδίκοις ὄμμασι τὰς θυγατέρας τῶν ἀνθρώπων, οὐκ ἂν αὐτοὺς ὁ τοσοῦτος κατέλαβεν ὄλεθρος. Καὶ μὴ μέν τις οἰέσθω τῆς ἀπωλείας αὐτῶν αἰτιᾶσθαι τὸν γάμον· οὐ γὰρ τοῦτό φημι νῦν, ἀλλ᾽ ὅτι τὸ ἀπολλῦναι καὶ διαφθείρειν τὸ γένος τὸ ἡμέτερον οὐ τῆς παρθενίας ἀλλὰ τῆς ἁμαρτίας ἐστίν.

ιθ΄ Ὅτι πάλαι μὲν τῷ γάμῳ δύο προφάσεις, νῦν δὲ μία.

1. Ἐδόθη μὲν οὖν καὶ παιδοποιίας ἕνεκεν ὁ γάμος, πολλῷ δὲ πλέον ὑπὲρ τοῦ σβέσαι τὴν τῆς φύσεως πύρωσιν. Καὶ μάρτυς ὁ Παῦλος λέγων· «Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν

41. Γεν. 1, 28.
42. Πρβλ. Γεν. 6, 2-3.

ον πρᾶγμα, διότι ἐὰν βέβαια ὁ Ἀδὰμ ἔμενεν ὑπάκοος εἰς τὸν Θεόν, δὲν θὰ ἐχρειάζετο τὸν γάμον. Καὶ πῶς, λέγει, θὰ ἦτο δυνατὸν νὰ γίνουν τὰ τόσα ἀμέτρητα πλήθη τῶν ἀνθρώπων; Ἐγὼ δὲ πάλιν σὲ ἐρωτῶ, ἐπειδὴ συνεχίζει ἀκόμη νὰ σὲ κατατρομάζῃ εἰς μεγάλον βαθμὸν αὐτὸς ὁ φόβος· Πῶς ἔγινεν ὁ Ἀδάμ, πῶς ἡ Εὔα, ἀφοῦ δὲν ἐμεσολάβησε γάμος; Τί λοιπόν; Ἔτσι, λέγει, ἐπρόκειτο ὅλοι οἱ ἄνθρωποι νὰ γίνουν; Ἐὰν ἔτσι ἢ κατ' ἄλλον τρόπον δὲν ἠμπορῶ νὰ τὸ εἰπῶ. Διότι τὸ ὑπὸ ἐξέτασιν τώρα εἶναι ὅτι ὁ Θεὸς δὲν εἶχεν ἀνάγκην ἀπὸ τὸν γάμον διὰ νὰ αὐξήσῃ τοὺς ἀνθρώπους ἐπάνω εἰς τὴν γῆν.

ιη' Περὶ τοῦ ὅτι ἡ παρθενία δὲν ἐλαττώνει τὸ ἀνθρώπινον γένος, ἀλλ' ἡ ἁμαρτία.

Τὸ ὅτι δὲ ἡ παρθενία δὲν ἐλαττώνει τὸ ἀνθρώπινον γένος, ἀλλὰ ἡ ἁμαρτία καὶ αἱ ἄτοποι σαρκικαὶ μίξεις, τὸ ἀπέδειξεν ὁ ἐπὶ τῆς ἐποχῆς τοῦ Νῶε γενόμενος ἐξαφανισμὸς καὶ ἀνθρώπων καὶ κτηνῶν καὶ ὅλων γενικῶς τῶν ζώντων ὀργανισμῶν τῆς γῆς. Διότι ἐὰν ἀντεστέκοντο τότε εἰς τὴν ἄτοπον ἐκείνην ἐπιθυμίαν οἱ υἱοὶ τοῦ Θεοῦ καὶ ἐτιμοῦσαν τὴν παρθενίαν, ἐὰν δὲν ἔβλεπον μὲ ἔνοχα βλέμματα τὰς θυγατέρας τῶν ἀνθρώπων, δὲν θὰ τοὺς κατελάμβανε τέτοια καταστροφή[41]. Καὶ ἂς μὴ νομίζῃ κανεὶς ὅτι ἐγὼ κατηγορῶ τὸν γάμον ὡς αἰτίαν τῆς καταστροφῆς αὐτῶν· διότι δὲν λέγω τώρα αὐτό, ἀλλ' ὅτι ἡ ἀπώλεια καὶ ἡ καταστροφὴ τοῦ ἀνθρωπίνου γένους δὲν εἶναι ἀποτέλεσμα τῆς παρθενίας, ἀλλὰ τῆς ἁμαρτίας[42].

ιθ' Περὶ τοῦ ὅτι παλαιότερον μὲν ὑπῆρχον δύο αἰτίαι διὰ γάμον, ἐνῷ τώρα μία.

1. Ἐδόθη βέβαια ὁ γάμος καὶ ἐξ αἰτίας τῆς τεκνοποιΐας, ἀλλὰ πολὺ περισσότερον διὰ νὰ σβήσῃ τὴν πύρωσιν τῆς φύσεως. Καὶ μάρτυς εἶναι ὁ Παῦλος ποὺ λέγει· «Ἀλλὰ πρὸς ἀποφυγὴν τῆς πορνείας ὁ καθ' ἕνας ἂς ἔχῃ τὴν γυ-

ἑαυτοῦ γυναῖκα ἐχέτω», οὐ διὰ τὰς παιδοποιΐας. Καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι κελεύει οὐχ ἵνα πατέρες γένωνται παίδων πολλῶν, ἀλλὰ τί; «Ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς», φησί. Καὶ προελθὼν δὲ οὐκ εἶπεν· εἰ δὲ ἐπιθυμοῦσι παίδων, ἀλλὰ τί; «Εἰ δὲ μὴ ἐγκρατεύονται, γαμησάτωσαν». Παρὰ μὲν γὰρ τὴν ἀρχήν, ὅπερ ἔφην, δύο ταύτας εἶχε τὰς ὑποθέσεις· ὕστερον δὲ πληρωθείσης καὶ τῆς γῆς καὶ τῆς θαλάττης καὶ τῆς οἰκουμένης πάσης μία λείπεται πρόφασις αὐτοῦ μόνη, ἡ τῆς ἀκολασίας καὶ ἡ τῆς ἀσελγείας ἀναίρεσις.

2. Τοὺς γὰρ ἔτι καὶ νῦν ἐν τούτοις κυλινδουμένους τοῖς πάθεσι καὶ χοίρων βίον ἐπιθυμοῦντας ζῆν καὶ ἐν χαμαιτυπείοις φθείρεσθαι οὐ μικρὸν ὀνίνησι τῆς ἀκαθαρσίας καὶ τῆς ἀνάγκης ἀπαλλάττων ἐκείνης καὶ ἐν ἁγιασμῷ καὶ σεμνότητι διατηρῶν. Ἀλλὰ γὰρ μέχρι τίνος οὐ παύσομαι σκιαμαχῶν; Καὶ γὰρ ὑμεῖς οἱ ταῦτα λέγοντες ἡμῶν οὐχ ἧττον ἴστε τὴν τῆς παρθενίας ὑπεροχὴν καὶ πάντα ἅπερ ὑμῖν εἴρηται σκήψεις καὶ προφάσεις εἰσὶ καὶ ἀκρασίας προκαλύμματα.

κ΄ Ὅτι εἰ καὶ μηδεὶς κίνδυνος τοῖς ἐξουθενοῦσι τὴν παρθενίαν οὐδὲ οὕτως ἀσφαλὲς τὸ ἐξουθενεῖν.

Ἀλλ᾽ εἰ μὲν ἀκινδύνως ἐνῆν ταῦτα λέγειν, ἔδει νῦν καὶ οὕτω παύεσθαι τῆς διαβολῆς. Ὁ γὰρ πρὸς τὰ καλὰ τῶν πραγμάτων ἀπ᾽ ἐναντίας διακείμενος τῆς γνώμης μετὰ τῆς ἄλλης βλάβης καὶ μαρτύριον οὐ μικρὸν παρὰ πᾶσι τῆς οἰκείας ἐκφέρει μοχθηρίας τὴν οὕτω διεστραμμένην καὶ ἄδικον ψῆφον. Ὥστε εἰ καὶ μηδενὸς ἕνεκεν ἄλλου, τοῦ γοῦν μὴ προστρίψασθαι δόξαν οὕτω πονηρὰν ἐπέχειν τὴν γλῶτταν ἐχρῆν, ἐνθυμούμενος ὅτι ὁ μὲν θαυμάζων τοὺς ἐν τοῖς με-

43. Α΄ Κορ. 7, 2.
44. Α΄ Κορ. 7, 5.
45. Α΄ Κορ. 7, 9.

ναῖκα του»[43], ὄχι διὰ τὴν τεκνοποιΐαν. Καὶ πάλιν διατάσσει νὰ ἔρχωνται εἰς συνουσίαν, ὄχι διὰ νὰ γίνουν πατέρες πολλῶν παιδιῶν, ἀλλὰ τί; «Διὰ νὰ μὴ σᾶς πειράζῃ ὁ σατανᾶς»[44], λέγει. Καὶ εἰς τὴν συνέχειαν δὲ δὲν εἶπεν, ἐὰν δὲ ἐπιθυμοῦν παιδιά, ἀλλὰ τί; «Ἐὰν ὅμως δὲν ἠμποροῦν νὰ μείνουν ἐγκρατεῖς, ἂς συνάψουν γάμον»[45]. Εἰς τὴν ἀρχὴν λοιπόν, ὅπως εἶπα, ὁ γάμος εἶχεν αὐτὰς τὰς δύο αἰτίας· ἀργότερον ὅμως ὅταν ἐγέμισεν ἀπὸ ἀνθρώπους καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ὅλη ἡ οἰκουμένη, ἔμεινεν μία μόνον αἰτία διὰ τὸν γάμον, διὰ ν' ἀποφεύγεται ἡ ἀκολασία καὶ ἡ ἀσέλγεια.

2. Αὐτοὺς λοιπὸν ποὺ ἀκόμη καὶ σήμερον κυλίονται μέσα εἰς τὰ πάθη καὶ ἐπιθυμοῦν νὰ ζοῦν τὴν ζωὴν τῶν χοίρων καὶ νὰ διαφθείρωνται εἰς τοὺς οἴκους ἀνοχῆς, δὲν εἶναι μικρὴ ἡ ὠφέλεια ποὺ παρέχει, καθ' ὅσον τοὺς ἀπαλλάσσει ἀπὸ τὴν ἀκαθαρσίαν καὶ τὴν τυραννίαν ἐκείνην καὶ τοὺς διατηρεῖ καθαροὺς καὶ σεμνούς. Ἀλλὰ βέβαια μέχρι πότε δὲν θὰ παύσω νὰ ἀγωνίζωμαι ἄδικα; Καθ' ὅσον σεῖς ποὺ λέγετε αὐτὰ γνωρίζετε πολὺ καλύτερα ἀπὸ ἐμένα τὴν ὑπεροχὴν τῆς παρθενίας καὶ ὅλα ὅσα λέγετε εἶναι δικαιολογίαι καὶ προφάσεις καὶ μέσα ἀποκρύψεως τῆς ἀκολασίας σας.

κ' Περὶ τοῦ ὅτι καὶ ἂν ἀκόμη κανεὶς κίνδυνος δὲν ἀπειλῇ αὐτοὺς ποὺ περιφρονοῦν τὴν παρθενίαν, ὅμως οὔτε ἔτσι εἶναι ἀκίνδυνος ἡ περιφρόνησις αὐτή.

Ἀλλὰ καὶ ἂν ἀκόμη ἠμπορούσαμεν νὰ λέγωμεν αὐτὰ χωρὶς κίνδυνον, ἔπρεπε καὶ πάλιν νὰ παύσωμεν τὴν κατηγορίαν. Διότι αὐτὸς ποὺ ἔχει ἀντίθετον γνώμην διὰ τὰ καλὰ πράγματα, μαζὶ μὲ τὴν ἄλλην βλάβην δίδει ὄχι μικρὰν ἀπόδειξιν εἰς ὅλους τῆς κακίας του μὲ τὴν διεστραμμένην καὶ τὴν ἄδικον γνώμην του. Ὥστε καὶ ἂν ἀκόμη διὰ τίποτε ἄλλο, ἔπρεπε τουλάχιστον διὰ νὰ μὴ προσάψωμεν εἰς τὸν ἑαυτόν μας τόσον πονηρὰν φήμην, νὰ συγκρατῶμεν τὴν γλῶσσαν μας, ἐνθυμούμενοι, ὅτι αὐτὸς ποὺ θαυμάζει

γίστοις διαλάμποντας ἄθλοις, κἂν μὴ δύνηται τῶν αὐτῶν ἐφικέσθαι, συγγνώμης γοῦν δυνήσεται παρὰ πάντων τυχεῖν· ὁ δὲ πρὸς τῷ μὴ μετιέναι καὶ κακίζων τὰ πολλῶν ἄξια στεφάνων δικαίως ἂν παρὰ πάντων μισοῖτο ὡς ἐχθρὸς καὶ πολέμιος τῆς ἀρετῆς καὶ τῶν μαινομένων ἀθλιώτερον διακείμενος. Οἱ μὲν γὰρ οὐκ ἴσασιν ἃ ποιοῦσιν οὐδὲ ἑκόντες ἃ πάσχουσιν ὑπομένουσι. Διὸ καὶ τοὺς ἐν δυναστείαις ὄντας ὑβρίζοντες οὐ μόνον οὐ κολάζονται, ἀλλὰ καὶ ἐλεοῦνται παρὰ τῶν ὑβρισθέντων αὐτῶν. Εἰ δέ τις ἑκὼν ταῦτα τολμήσειεν ἅπερ ἄκοντες ἐκεῖνοι ποιοῦσι, δικαίως ἂν ταῖς ἁπάντων καταδικάζοιτο ψήφοις ὡς τῆς φύσεως τῆς ἡμετέρας ἐχθρός.

κα΄ Ὅτι ὁ κίνδυνος μέγας τοῖς ἐξουθενοῦσι τὴν παρθενίαν.

1. Ἐχρῆν μὲν οὖν, ὅπερ ἔφην, εἰ καὶ ἀκίνδυνος ἦν ἡ τοιαύτη κατηγορία τῶν γοῦν εἰρημένων ἕνεκεν αὐτῆς ἀπέχεσθαι. Νῦν δὲ καὶ κίνδυνος τῷ πράγματι κεῖται μέγας· οὐ γὰρ ὁ καθήμενος καὶ κατὰ τοῦ ἀδελφοῦ καταλαλῶν καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρὸς τιθεὶς σκάνδαλον κολασθήσεται μόνος, ἀλλὰ καὶ ὁ πράγματα διαβάλλειν ἐπιχειρῶν Θεῷ δοκοῦντα εἶναι καλά. Ἄκουσον γοῦν τί φησιν ἕτερος προφήτης περὶ αὐτοῦ τούτου διαλεγόμενος· «Οὐαὶ ὁ λέγων τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, ὁ τιθεὶς τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς, ὁ τιθεὶς τὸ γλυκὺ πικρὸν καὶ τὸ πικρὸν γλυκύ». Τί γὰρ τῆς παρθενίας ἥδιον, τί κάλλιον, τί φωτεινότερον; Καὶ γὰρ αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων φαιδροτέρας ἀφίησι τὰς μαρμαρυγάς, πάντων μὲν ἡμᾶς ἀφιστῶσα τῶν

---

46. Ψαλμ. 49, 20.
47. Ἡσ. 5, 20.

αὐτοὺς ποὺ διαλάμπουν εἰς τόσον μεγάλους ἄθλους, καὶ ἂν ἀκόμη δὲν ἠμπορῇ ὁ ἴδιος νὰ ἐπιτύχῃ τὰ ἴδια, θὰ ἠμπορέσῃ ὁπωσδήποτε νὰ τύχῃ συγγνώμης ἀπὸ ὅλους, ἐνῷ αὐτὸς πού, μαζὶ μὲ τὸ ὅτι δὲν λαμβάνει μέρος εἰς τέτοια ἀγωνίσματα, καὶ κατηγορεῖ αὐτὰ ποὺ εἶναι ἄξια πολλῶν στεφάνων, δικαίως θὰ ἦτο δυνατὸν νὰ μισῆται ἀπὸ ὅλους ὡς ἐχθρὸς καὶ πολέμιος τῆς ἀρετῆς καὶ νὰ εἶναι ἀθλιώτερος ἀπὸ τοὺς μανιακούς. Διότι οἱ μὲν πρῶτοι δὲν γνωρίζουν αὐτὰ ποὺ κάμνουν, οὔτε ὑπομένουν μὲ τὴν θέλησίν των αὐτὰ ποὺ πάσχουν. Διὰ τοῦτο καὶ ὑβρίζοντες αὐτοὺς ποὺ ἀσκοῦν τὴν ἐξουσίαν, ὄχι μόνον δὲν τιμωροῦνται, ἀλλὰ καὶ κρίνονται ἄξιοι οἴκτων ἀπὸ τοὺς ὑβρισθέντας ἀπὸ αὐτούς. Ἐὰν ὅμως κάποιος ἤθελεν ἐπιχειρήσει μὲ τὴν θέλησίν του αὐτὰ ποὺ πράττουν ἐκεῖνοι χωρὶς νὰ τὸ θέλουν, δικαίως θὰ κατεδικίζετο ἀπὸ ὅλους ὡσὰν ἐχθρὸς τῆς φύσεώς μας.

κα΄ Περὶ τοῦ ὅτι μεγάλος ὁ κίνδυνος δι' αὐτοὺς ποὺ περιφρονοῦν τὴν παρθενίαν.

1. Ἔπρεπε λοιπόν, ὅπως εἶπα, καὶ ἂν ἀκόμη ἦτο ἀκίνδυνος ἡ παρόμοια κατηγορία, ν' ἀποφεύγωμεν αὐτὴν τουλάχιστον ἐξ αἰτίας τῶν ὅσων ἀνέφερα. Τώρα ὅμως ὑπάρχει καὶ μεγάλος κίνδυνος εἰς τὸ πρᾶγμα· διότι δὲν θὰ τιμωρηθῇ μόνον αὐτὸς ποὺ κάθεται καὶ κατηγορεῖ τὸν ἀδελφόν του καὶ δημιουργεῖ σκάνδαλον ἐναντίον τοῦ υἱοῦ τῆς μητρός του[46], ἀλλὰ καὶ αὐτὸς ποὺ ἐπιχειρεῖ νὰ κατηγορῇ πράγματα ποὺ θεωροῦνται καλὰ ἀπὸ τὸν Θεόν. Ἄκουσε λοιπὸν τί λέγει ἄλλος προφήτης ὁμιλῶν διὰ τὸ ἴδιο πρᾶγμα· «Ἀλλοίμονον εἰς αὐτὸν ποὺ λέγει τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, εἰς αὐτὸν ποὺ παρουσιάζει τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς, εἰς αὐτὸν ποὺ παρουσιάζει τὸ γλυκὺ πικρὸν καὶ τὸ πικρὸν γλυκύ»[47]. Διότι τί εἶναι γλυκύτερον ἀπὸ τὴν παρθενίαν, τί καλύτερον, τί φωτεινότερον; Καθ' ὅσον ἐκπέμπει ἐκλάμψεις λαμπροτέρας καὶ ἀπὸ αὐτὰς τὰς ἡλιακὰς ἀκτῖνας, ἀφ' ἑνὸς μὲν ἀπομακρύνουσα

βιωτικῶν καθαροῖς δὲ ὀφθαλμοῖς εἰς τὸν τῆς δικαιοσύνης ἥλιον ἀτενὲς παρασκευάζουσα ἐνορᾶν. Καὶ ταῦτα μὲν ὁ Ἠσαΐας περὶ τῶν ἐν αὐτοῖς τὰς διεστραμμένας κρίσεις ἐβόα.

2. Ἄκουσον δὲ καὶ περὶ τῶν εἰς ἑτέρους ἐκφερόντων τὰ λοιμικὰ ταῦτα ῥήματα τί φησιν ἄλλος προφήτης ἀπὸ τοῦ αὐτοῦ πάλιν ἐπιφθέγματος ποιούμενος τὴν ἀρχήν· «Οὐαὶ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν». Τὸ δὲ «οὐαὶ» οὐ ῥῆμα ψιλόν ἐστιν, ἀλλ' ἀπειλή τις ἄφατον ἡμῖν καὶ ἀσύγγνωστον προαναφωνοῦσα τὴν τιμωρίαν· ἐπὶ γὰρ τῶν οὐκέτι δυναμένων διαφυγεῖν τὴν μέλλουσαν κόλασιν τοῦτο τὸ ἐπίρρημα κεῖται ἐν ταῖς γραφαῖς.

3. Καὶ πάλιν ἕτερος προφήτης ἐγκαλῶν τοῖς Ἰουδαίοις ἔλεγεν· «Ἐποτίσατε τοὺς ἡγιασμένους οἶνον». Εἰ δὲ τοὺς Ναζιραίους οἶνον ποτίζων τοσαύτην ὑποστήσεται τιμωρίαν, ὁ τὴν θολερὰν ἀνατροπὴν ἐκχέων εἰς τὰς τῶν ἀφελεστέρων ψυχὰς τίνος οὐκ ἔσται κολάσεως ἄξιος; Εἰ μέρος μικρὸν τῆς κατὰ νόμον ἀσκήσεως ὑποτεμνόμενός τις ἀπαραίτητον ἔχει τὴν κόλασιν, ὁ τὴν ἁγιωσύνην αὐτὴν ὁλόκληρον διασύρων, τίνα ὑφέξει δίκην; «Ἐάν τις σκανδαλίσῃ», φησίν, «ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν». Τί οὖν λέξουσιν οἱ διὰ τῶν ῥημάτων τούτων οὐχ ἕνα μικρὸν ἀλλὰ πολλοὺς σκανδαλίζοντες; Ὅπου γὰρ ὁ τὸν ἀδελφὸν καλῶν μωρὸν ὀρθὴν ἐπὶ τὸ τῆς γεέννης ἀπαχθήσεται πῦρ, ὁ τὴν ἰσάγγελον ταύτην διαβάλλων πολιτείαν πόσην ὀργὴν ἐπισπάσεται κατὰ τῆς ἑαυτοῦ κεφαλῆς;

4. Κατεγέλασέ ποτε τοῦ Μωϋσέως ἡ Μαριάμ, οὐχ οὕτως ὡς τῆς παρθενίας νῦν ὑμεῖς, ἀλλὰ πολλῷ ἔλαττον καὶ ἐπιεικέστερον. Οὐ γὰρ διάσυρε τὸν ἄνδρα, οὐδὲ ἐχλεύασε τὴν

---

48. Ἀββακ. 2, 15.
49. Ἀμὼς 2, 12.
50. Ματθ. 18, 6.
51. Ἀνάγνωθι Ἀριθμ. κεφ. 12ον.

ἡμᾶς ἀπὸ ὅλας τὰς κοσμικὰς φροντίδας, ἀφ' ἑτέρου δὲ μᾶς προετοιμάζει νὰ βλέπωμεν μὲ καθαροὺς ὀφθαλμοὺς πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης. Καὶ αὐτὰ μὲν διεκήρυττεν ὁ Ἠσαΐας δι' ἐκείνους ποὺ ἔχουν διεστραμμένας κρίσεις.

2. Ἄκουσε ὅμως καὶ δι' αὐτοὺς ποὺ διαδίδουν εἰς ἄλλους τὰ καταστρεπτικὰ αὐτὰ λόγια τί λέγει ἄλλος προφήτης, κάμνων ἀρχὴν τοῦ λόγου του μὲ τὸ ἴδιο ἐπιφώνημα· «Ἀλλοίμονον εἰς ἐκεῖνον ποὺ ποτίζει τὸν πλησίον του μὲ ἀκάθαρτον καὶ καταστρεπτικὸν ποτόν»[48]. Τὸ δὲ «οὐαί», δὲν εἶναι μία ἁπλῆ λέξις, ἀλλὰ μία ἀπειλή, προλέγουσα εἰς ἡμᾶς ἀπερίγραπτον καὶ ἀσυγχώρητον τιμωρίαν· διότι τὸ ἐπιφώνημα αὐτὸ ἀναφέρεται εἰς τὰς Γραφὰς δι' ἐκείνους ποὺ δὲν ἠμποροῦν πλέον ν' ἀποφύγουν τὴν μέλλουσαν τιμωρίαν.

3. Καὶ πάλιν ἄλλος προφήτης κατηγορῶν τοὺς Ἰουδαίους, ἔλεγεν· «Ἐποτίσατε μὲ οἶνον τοὺς ἡγιασμένους»[49]. Ἐὰν δὲ θὰ ὑποστῇ τόσον μεγάλην τιμωρίαν αὐτὸς ποὺ ποτίζει μὲ οἶνον τοὺς Ναζιραίους, αὐτὸς ποὺ χύνει μέσα εἰς τὰς ψυχὰς τῶν ἀφελεστέρων τὴν καταστρεπτικὴν διδασκαλίαν ποίας τιμωρίας δὲν θὰ εἶναι ἄξιος; Ἐὰν αὐτός, ποὺ παραβαίνει ἕνα μικρὸν μέρος τῆς ὑπὸ τοῦ νόμου ὁριζομένης ἀσκήσεως, ἔχει ἀπαραίτητον τὴν τιμωρίαν, αὐτὸς ποὺ διασύρει ὁλόκληρον αὐτὴν τὴν ἁγιωσύνην, ποίαν τιμωρίαν θὰ ὑποστῇ; «Ἐὰν κάποιος», λέγει, «σκανδαλίσῃ ἕνα ἀπὸ τοὺς ἐλαχίστους αὐτούς, συμφέρει εἰς αὐτὸν νὰ κρεμασθῇ ἀπὸ τὸν λαιμόν του μυλόπετρα καὶ νὰ καταποντισθῇ εἰς τὴν θάλασσαν»[50]. Τί θὰ εἰποῦν λοιπὸν αὐτοὶ ποὺ μὲ τὰ λόγια αὐτὰ σκανδαλίζουν ὄχι ἕνα μικρόν, ἀλλὰ πολλούς; Διότι, ἐὰν αὐτὸς ποὺ ἀποκαλεῖ τὸν ἀδελφόν του μωρὸν θὰ ὁδηγηθῇ ὁπωσδήποτε εἰς τὸ πῦρ τῆς γεέννης, αὐτὸς ποὺ κατηγορεῖ αὐτὸν τὸν ἰσάγγελον τρόπον ζωῆς πόσην ὀργὴν θὰ ἐπισύρῃ κατὰ τῆς κεφαλῆς του;

4. Ἐκακολόγησε κάποτε ἡ Μαριὰμ τὸν Μωϋσῆν[51], ὄχι ἔτσι ὅπως σεῖς κακολογεῖτε τώρα τὴν παρθενίαν, ἀλλὰ πολὺ ὀλιγότερον καὶ ἠπιότερον. Διότι δὲν διέσυρε τὸν ἄν-

ἀρετὴν τὴν τοῦ μακαρίου τότε ἐκείνου, ἀλλὰ καὶ ἐθαύμασε σφόδρα· τοσοῦτον δὲ εἶπε μόνον, ὅτι καὶ αὐτὴ τῶν αὐτῶν ἀπέλαυσεν ὥσπερ ἐκεῖνος. Ἀλλ' ὅμως οὕτως ἐξεκαλέσατο τοῦ Θεοῦ τὴν ὀργήν, ὡς οὐδὲ αὐτοῦ ἐκείνου τοῦ δοκοῦντος ὑβρίσθαι πολλὰ παρακαλοῦντος γενέσθαι τι πλέον, ἀλλὰ καὶ περαιτέρω τῆς ἐκείνου γνώμης ἐπιταθῆναι τὴν τιμωρίαν αὐτῇ.

κβ' Ὅτι χρησίμως οἱ ἐπὶ Ἐλισσαίου παῖδες ἀπώλοντο.

1. Καὶ τί λέγω Μαριάμ; Οἱ γὰρ παῖδες ἐκεῖνοι οἱ περὶ τὴν Βηθλεὲμ παίζοντες, ἵνα πρὸς τὸν Ἐλισσαῖον τοῦτο μόνον εἴπωσιν, «Ἀνέβαινε, φαλακρέ», οὕτω παρώξυναν τὸν Θεόν, ὡς ἅμα τῷ τούτῳ ἄρκους αὐτῶν ἐπαφεῖναι τῷ πλήθει· καὶ γὰρ τεσσαράκοντα δύο ἦσαν, καὶ πάντες ἄρδην ὑπὸ τῶν θηρίων ἐσπαράττοντο τότε ἐκείνων. Καὶ οὔτε ἡλικία οὔτε τὸ πλῆθος οὔτε τὸ γελῶντας εἰπεῖν προέστη τῶν μειρακίων, καὶ μάλα εἰκότως. Εἰ γὰρ μέλλοιεν οἱ τοὺς τοσούτους ἀναδεχόμενοι πόνους καὶ παρὰ παίδων καὶ παρὰ ἀνδρῶν διασύρεσθαι, τίς τῶν ἀσθενεστέρων αἱρήσεται πόνους ἀναδέξασθαι γέλωτας ἔχοντας καὶ χλευασίαν; Τίς δὲ τῶν πολλῶν ζηλώσει τὴν ἀρετὴν οὕτω καταγέλαστον αὐτὴν οὖσαν ὁρῶν;

2. Εἰ γὰρ νῦν πάντων αὐτὴν πανταχοῦ θαυμαζόντων, οὐ τῶν μετιόντων μόνον, ἀλλὰ καὶ τῶν ἐκπεπτωκότων αὐτῆς, ὅμως ὀκνοῦσι καὶ ἀναδύονται πρὸς τοὺς ἱδρῶτας ἐκείνους πολλοί, τίς ἂν αὐτῆς ἐπιλαβέσθαι ταχέως ἠθέλησεν εἰ, πρὸς τῷ μὴ θαυμάζεσθαι, καὶ διαβαλλομένην ἑώρα παρὰ πάντων ἀνθρώπων; Οἱ μὲν γὰρ ἰσχυροὶ λίαν καὶ πρὸς τὸν οὐρανὸν ἤδη μεταστάντες οὐδὲν δέονται τῆς ἀπὸ τῶν πολλῶν παρα-

52. Δ' Βασ. 2, 23.

δρα, οὔτε ἐχλεύασε τὴν ἀρετὴν τοῦ μακαρίου ἐκείνου τότε, ἀλλὰ καὶ τὸν ἐθαύμασε πάρα πολύ· αὐτὸ μόνον εἶπεν, ὅτι καὶ αὐτὴ ἀπήλαυσε τὰ ἴδια ὅπως ἀκριβῶς καὶ ἐκεῖνος. Ἀλλ' ὅμως ἐπέσυρε τόσον πολὺ τὴν ὀργὴν τοῦ Θεοῦ, ὥστε νὰ μὴ τὴν ὠφελήσουν καθόλου οὔτε αἱ πολλαὶ παρακλήσεις αὐτοῦ τοῦ ἰδίου ποὺ ὑβρίσθη, ἀντιθέτως μάλιστα καὶ νὰ αὐξηθῇ ἀκόμη περισσότερον ἡ τιμωρία της ἀπὸ τὴν γνώμην ἐκείνου.

κϐ' Περὶ τοῦ ὅτι δικαίως ἐτιμωρήθησαν τὰ παιδιὰ ποὺ ἐχλεύασαν τὸν Ἐλισσαῖον.

1. Καὶ διατί λέγω διὰ τὴν Μαριάμ; Διότι καὶ τὰ παιδιὰ ποὺ ἔπαιζαν κοντὰ εἰς τὴν Βηθλεὲμ μὲ τὸ νὰ εἰποῦν μόνον πρὸς τὸν Ἐλισσαῖον τὰ λόγια αὐτά, «Ἀνέβαινε, φαλακρέ», τόσον πολὺ παρώργισαν τὸν Θεόν, ὥστε συγχρόνως μὲ τὸν λόγον αὐτὸν ν' ἀποστείλῃ ἐναντίον τοῦ πλήθους ἄρκτους· καθ' ὅσον ἦσαν σαράντα δύο παιδιά, καὶ ὅλα τότε ἐσπαράχθησαν αὐτοστιγμεὶ ἀπὸ τὰ θηρία ἐκεῖνα[52]. Καὶ οὔτε ἡ ἡλικία τῶν παιδιῶν, οὔτε τὸ πλῆθος αὐτῶν, οὔτε τὸ ὅτι τὸ εἶπαν ὑπὸ τύπον ἀστειότητος ὠφέλησεν αὐτά, καὶ κατὰ πολὺ φυσικὸν λόγον. Διὸ ἐὰν πρόκειται αὐτοὶ ποὺ ἀναλαμβάνουν τοὺς τόσον μεγάλους κόπους νὰ διασύρωνται καὶ ἀπὸ τὰ παιδιὰ καὶ ἀπὸ τοὺς ἄνδρας, ποῖος ἀπὸ τοὺς ἀσθενεστέρους θὰ προτιμήσῃ ν' ἀναλάβῃ κόπους ποὺ εἶναι γεμᾶτοι ἀπὸ γέλια καὶ χλευασμόν; Ποῖος δὲ ἀπὸ τοὺς πολλοὺς θὰ ἐπιθυμήσῃ μὲ ζῆλον τὴν ἀρετήν, βλέπων αὐτὴν νὰ εἶναι τόσον καταγέλαστος;

2. Ἐὰν λοιπὸν τώρα συμβαίνῃ ὅλοι νὰ θαυμάζουν τὴν ἀρετήν, ὄχι μόνον αὐτοὶ ποὺ τὴν ἀσκοῦν, ἀλλὰ καὶ αὐτοὶ ποὺ ἐξέπεσαν ἀπὸ αὐτήν, ὅμως διστάζουν καὶ ἀποφεύγουν πολλοὶ τοὺς ἱδρῶτας ἐκείνους, ποῖος θὰ ἤθελε ν' ἀκολουθήσῃ αὐτὴν ἀμέσως, ἐὰν ἔβλεπε, μαζὶ μὲ τὸ ὅτι δὲν θαυμάζεται, νὰ κατηγορῆται ἀπὸ ὅλους τοὺς ἀνθρώπους; Διότι οἱ μὲν πάρα πολὺ δυνατοὶ καὶ ποὺ ἠκολούθησαν ἤδη τὸν δρόμον πρὸς τὸν οὐρανὸν δὲν ἔχουν καμμίαν

μυθίας, ἀλλ' ἀρκεῖ πρὸς πᾶσαν παραμυθίαν αὐτοῖς ὁ παρὰ τοῦ Θεοῦ ἔπαινος, οἱ δὲ ἀσθενέστερον διακείμενοι καὶ ἄρτι πρὸς τὸ πρᾶγμα χειραγωγούμενοι οὐ μικρὰν καὶ ἀπὸ τῆς τῶν πολλῶν δόξης δυνάμεως προσθήκην λαμβάνουσιν, ἕως ἂν παιδαγωγηθέντες πάντοθεν κατὰ μικρὸν εἰς τὸ μηκέτι δεῖσθαι ταύτης τῆς χειραγωγίας καταστήσωσιν ἑαυτούς.

3. Οὐκ ἐκείνων δὲ μόνων ἕνεκεν, ἀλλὰ καὶ τῆς τῶν χλευαζόντων αὐτῶν σωτηρίας τοῦτο γίνεται, ὥστε μὴ περαιτέρω προελθεῖν τῆς κακίας αὐτοὺς τῷ μηδεμίαν ὑπὲρ τῶν προτέρων δοῦναι δίκην. Ἀλλὰ μεταξύ με ταῦτα λέγοντα καὶ ἡ τῶν κατὰ τὸν Ἠλίαν γενομένων εἰσῆλθε μνήμη. Ὅπερ γὰρ οἱ παῖδες παρὰ τῶν ἄρκων ἔπασχον διὰ τὸν Ἐλισσαῖον, τοῦτο διὰ τὸν τούτου διδάσκαλον ὑπὸ πυρὸς ἄνωθεν ἀφθέντος δὶς πεντήκοντα ἄνδρες ἅμα τοῖς παρεστῶσιν αὐτῶν ὑπέμενον. Ἐπειδὴ γὰρ κἀκεῖνοι μετὰ πολλῆς τῆς εἰρωνείας προσελθόντες ἐκάλουν τὸν δίκαιον καὶ καταβαίνειν ἐκέλευον πρὸς αὐτούς, ἀντ' ἐκείνου πῦρ κατελθὸν ἅπαντας αὐτοὺς κατέφαγε τῶν θηρίων οὐχ ἧττον ἐκείνων.

4. Ταῦτ' οὖν ἐννοήσαντες, ἅπαντες ὑμεῖς οἱ τῆς παρθενίας ἐχθροί, ἐπίθεσθέ ποτε τῷ στόματι ὑμῶν θύραν καὶ μοχλόν, ἵνα μὴ καὶ ὑμεῖς ἄρξησθε λέγειν κατὰ τὴν ἡμέραν τῆς κρίσεως τοὺς ἀπὸ τῆς παρθενίας ἐκεῖ λάμποντας ὁρῶντες· «Οὗτοι ἦσαν οὓς εἴχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ· ἡμεῖς οἱ ἄφρονες τὸν βίον αὐτῶν ἐλογισάμεθα μανίαν καὶ τὴν τελευτὴν αὐτῶν ἄτιμον. Πῶς κατελογίσθησαν ἐν υἱοῖς Θεοῦ καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτῶν ἐστιν; Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας καὶ τὸ τῆς δικαιοσύνης

---

53. Δ' Βασ. 1, 9 - 12.
54. Σοφ. Σολ. 5, 4 - 6.

ἀνάγκην ἀπὸ τὴν παρακίνησιν τῶν πολλῶν, ἀλλὰ τοὺς εἶναι ἀρκετὸν διὰ κάθε παρακίνησιν ὁ ἔπαινος ἐκ μέρους τοῦ Θεοῦ, ἐνῷ αὐτοὶ ποὺ εἶναι ἀσθενέστεροι καὶ εἰσέρχονται χειραγωγούμενοι μόλις τώρα εἰς τὸν δρόμον τῆς ἀρετῆς, λαμβάνουν συμπληρωματικὴν δύναμιν ὄχι μικρὰν ἀπὸ τὴν γνώμην τῶν πολλῶν, μέχρις ὅτου, ἀφοῦ παιδαγωγηθοῦν σιγὰ - σιγὰ πλήρως, κάνουν τοὺς ἑαυτούς των νὰ μὴ ἔχουν πλέον ἀνάγκην αὐτῆς τῆς χειραγωγίας.

3. Ὄχι ὅμως μόνον ἐξ αἰτίας ἐκείνων, ἀλλὰ αὐτὸ γίνεται καὶ χάριν τῆς σωτηρίας αὐτῶν ποὺ τοὺς χλευάζουν, ὥστε νὰ μὴ προχωρήσουν περαιτέρω εἰς τὴν κακίαν παραμένοντες ἀτιμώρητοι διὰ τὰ προηγούμενα ἁμαρτήματά των. Ἀλλὰ καθὼς λέγω αὐτά, ἐθυμήθηκα καὶ τὰ ὅσα συνέβησαν σχετικὰ μὲ τὸν Ἠλίαν. Διότι αὐτὸ ἀκριβῶς ποὺ ἔπαθον τὰ παιδιὰ ἀπὸ τὰς ἄρκτους ἐξ αἰτίας τοῦ Ἐλισσαίου, αὐτὸ ἔπαθον ἐξ αἰτίας τοῦ διδασκάλου ἐκείνου ἑκατὸν ἄνδρες μαζὶ μὲ τοὺς προεστούς των, καέντες ἀπὸ φωτιὰν ποὺ ἐστάλη ἀπὸ τὸν οὐρανόν. Ἐπειδὴ δηλαδὴ καὶ ἐκεῖνοι μετέβησαν εἰς αὐτὸν καὶ ὡμιλοῦσαν πρὸς αὐτὸν μὲ πολλὴν εἰρωνείαν καὶ τὸν διέτασσον νὰ κατεβῇ πρὸς αὐτούς, ἀντὶ ἐκείνου, ἀφοῦ κατέβη φωτιὰ ἀπὸ τὸν οὐρανόν, κατέφαγεν ὅλους ἐκείνους, ὄχι ὀλιγώτερον χειρότερα ἀπὸ τὰ θηρία ἐκεῖνα[53].

4. Αὐτὰ λοιπὸν ἀφοῦ τὸ χαράξετε βαθειὰ εἰς τὸν νοῦν σας, ὅλοι σεῖς οἱ ἐχθροὶ τῆς παρθενίας, θέσατε τέλος πάντων κάποτε εἰς τὸ στόμα σας θύραν καὶ μοχλόν, διὰ νὰ μὴ ἀρχίσετε καὶ σεῖς νὰ λέγετε κατὰ τὴν ἡμέραν τῆς κρίσεως βλέποντες ἐκεῖ νὰ λάμπουν ἐκείνους ποὺ ἤσκησαν τὴν παρθενίαν· «Αὐτοὶ ἦσαν ἐκεῖνοι ποὺ κάποτε ἡμεῖς περιεγελούσαμεν καὶ ὀνειδίζαμεν· ἡμεῖς οἱ ἄφρονες ἐθεωρήσαμεν τὸν βίον αὐτῶν τρέλλαν καὶ τὸν θάνατον αὐτῶν ἄτιμον. Πῶς συγκατελέγησαν μεταξὺ τῶν υἱῶν τοῦ Θεοῦ καὶ ἔπεσεν ὁ κλῆρος των μεταξὺ τῶν ἁγίων; Ἄρα ἐπλανήθημεν ἀπὸ τὴν ὁδὸν τῆς ἀληθείας καὶ τὸ φῶς τῆς δικαιοσύνης δὲν ἔλαμψεν εἰς ἡμᾶς»[54]. Ἀλλὰ ποία ἡ ὠφέλεια ἀπὸ τὰ λόγια αὐτά, τὴν στιγμὴν ποὺ ἡ μετάνοια δὲν

φῶς οὐκ ἀπέλαμψεν ἡμῖν». Ἀλλὰ τί κέρδος τῶν ῥημάτων τούτων τῆς μετανοίας ἐκνευρισμένης ὑπὸ τοῦ καιροῦ τότε;

κγ΄ Διὰ τί οἱ τὰ αὐτὰ ἁμαρτάνοντες οὐ τὰ αὐτὰ κολάζονται.

Ἀλλ' ἴσως ἐρεῖ τις ὑμῶν· οὐδεὶς οὖν μετ' ἐκείνους τοὺς καιροὺς ἐκακηγόρησεν ἁγίους ἄνδρας; Πολλοὶ καὶ πολλαχοῦ γῆς. Πῶς οὖν τὴν αὐτὴν δίκην οὐκ ἔδοσαν; φησίν. Ἔδοσαν μὲν καὶ τούτων ἴσμεν πολλούς. Εἰ δὲ ἔνιοι καὶ διέφυγον ἀλλ' οὐκ εἰς τέλος διαφεύξονται. Κατὰ γὰρ τὸν μακάριον Παῦλον, «Τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσι». Καὶ καθάπερ οἱ νομοθέται τῶν ἀδικούντων τὰς τιμωρίας ἐν γράμμασι θέντες ἀφῆκαν, οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἕνα καὶ δεύτερον τῶν ἡμαρτηκότων κολάσας καὶ ὥσπερ ἐν στήλῃ χαλκῇ καὶ γράμμασι τὰς ἐκείνων καταθέμενος τιμωρίας διὰ τῶν ἐκείνοις συμβάντων ἅπασι διαλέγεται λέγων ὅτι κἂν ἐν τῷ παρόντι καιρῷ τιμωρίαν μὴ δῶσι τὴν αὐτὴν οἱ τὰ αὐτὰ τολμῶντες τοῖς δεδωκόσι, κατὰ τὸν μέλλοντα καιρὸν χαλεπωτέραν ὑποστήσονται κόλασιν.

κδ΄ Ὅτι τοὺς ἁμαρτάνοντας καὶ μὴ κολαζομένους οὐχὶ θαρρεῖν ἀλλὰ δεδοικέναι διὰ τοῦτο μᾶλλον χρή·

1. Ὥσπερ, ὅταν ἄμετρα ἁμαρτάνοντες μηδὲν πάσχωμεν κακόν, μὴ θαρρῶμεν, ἀλλὰ διὰ τοῦτο μᾶλλον φοβώμεθα. Κἂν γὰρ ἐνταῦθα μὴ κριθῶμεν ὑπὸ τοῦ Θεοῦ, ἐκεῖ σὺν τῷ κόσμῳ κατακρισόμεθα. Καὶ αὕτη πάλιν οὐκ ἐμὴ ἡ ἀπόφασις

55. Α΄ Τιμ. 5, 24.

θὰ ἔχῃ τότε πλέον τὴν δύναμίν της ἐξ αἰτίας τοῦ καιροῦ ἐκείνου;

κγ΄ Περὶ τοῦ ὅτι τὰ ἴδια ἁμαρτήματα δὲν τιμωροῦνται κατὰ τὸν ἴδιον τρόπον.

Ἀλλ' ἴσως θὰ εἰπῇ κάποιος ἀπὸ σᾶς· Κανεὶς λοιπὸν δὲν ἐκατηγόρησεν ἁγίους ἄνδρας μετὰ ἀπὸ ἐκείνους τοὺς χρόνους; Πολλοὶ καὶ εἰς πολλὰ μέρη τῆς γῆς. Πῶς λοιπόν, λέγει, δὲν ὑπέστησαν τὴν ἰδίαν τιμωρίαν; Ἐτιμωρήθησαν μὲν καὶ γνωρίζομεν πολλοὺς ἀπὸ αὐτούς. Ἐὰν ὅμως μερικοὶ καὶ διέφυγον τὴν τιμωρίαν, ὅμως εἰς τὸ τέλος δὲν θὰ τὴν διαφύγουν. Διότι κατὰ τὸν μακάριον Παῦλον· «Ὡρισμένων αἱ ἁμαρτίαι εἶναι ὁλοφάνεροι καὶ συνοδεύονται ἀπὸ τὴν κρίσιν, μερικῶν ὅμως φανερώνονται ἀργότερα»[55]. Καὶ ὅπως ἀκριβῶς οἱ νομοθέται ἄφησαν τὰς τιμωρίας τῶν ἀνδρῶν διὰ τῶν γραφῶν, ἔτσι καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀφοῦ ἐτιμώρησεν τὸν πρῶτον καὶ τὸν δεύτερον ἀπὸ τοὺς ἁμαρτήσαντας καὶ ἀνέγραψε ὡσὰν εἰς χαλκίνην στήλην τὰς τιμωρίας ἐκείνων, ἀπευθύνει πρὸς ὅλους τὸν λόγον του διὰ τὰ ὅσα συνέβησαν εἰς ἐκείνους, λέγων, ὅτι, καὶ ἂν ἀκόμη δὲν ὑποστοῦν εἰς τὴν παροῦσαν ζωὴν τὴν ἰδίαν τιμωρίαν αὐτοὶ ποὺ διαπράττουν τὰ ἴδια ἁμαρτήματα μὲ ἐκείνους ποὺ ἐτιμωρήθησαν, κατὰ τὸν μέλλοντα χρόνον ὅμως θὰ ὑποστοῦν φοβερωτέραν τιμωρίαν.

κδ΄ Περὶ τοῦ ὅτι πρέπει νὰ μὴ παίρνωμεν θάρρος βλέποντες νὰ ἁμαρτάνωμεν καὶ νὰ μὴ τιμωρούμεθα, ἀλλὰ νὰ φοβούμεθα ἐξ αἰτίας αὐτοῦ περισσότερον.

1. Ὥστε, ὅταν διαπράττωμεν ἀμέτρητα ἁμαρτήματα καὶ δὲν πάσχωμεν κανένα κακόν, νὰ μὴ παίρνωμεν θάρρος, ἀλλὰ ἐξ αἰτίας αὐτοῦ πρέπει νὰ φοβούμεθα περισσότερον. Διότι, καὶ ἂν ἀκόμη δὲν κριθῶμεν εἰς τὴν ἐδῶ ζωὴν ἀπὸ τὸν Θεόν, θὰ καταδικασθῶμεν μαζὶ μὲ τοὺς ἁμαρτωλοὺς εἰς τὴν ἄλλην ζωήν. Καὶ αὐτὴ πάλιν ἡ σκέψις δὲν

ἀλλὰ τοῦ λαλοῦντος ἐν τῷ Παύλῳ Χριστοῦ. Τοῖς γὰρ τῶν μυστηρίων ἀναξίως μεταλαμβάνουσι διαλεγόμενός φησι· «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νῦν δὲ κρινόμενοι ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Εἰσὶ μὲν γὰρ οἱ τῆς ἐνταῦθα μόνον ἐπιτιμήσεως δεόμενοι, ὅταν αὐτῶν σύμμετρα ᾖ τὰ ἁμαρτήματα καὶ κολασθέντες μηκέτι πάλιν πρὸς τὰ πρότερα ἀνατρέχωσι, τὸν ἐπὶ τὸν ἔμετον ἐπιστρέψαντα κύνα μιμούμενοι. Εἰσὶ δὲ οἱ διὰ τὴν ὑπερβολὴν τῆς κακίας καὶ ἐνταῦθα καὶ ἐκεῖ τιννύντες δίκην· ἕτεροι δὲ μόνον ἐκεῖ τὴν τιμωρίαν ὑποστήσονται διὰ τὸ πάντων χαλεπώτερα εἰργάσθαι μὴ ἀξιωθέντες μετὰ ἀνθρώπων μαστιγωθῆναι. «Καὶ μετὰ ἀνθρώπων», γάρ φησιν, «οὐ μαστιγωθήσονται», ὡς τηρούμενοι μετὰ δαιμόνων κολάζεσθαι. «Πορεύεσθε», γάρ φησιν, «ἀπ' ἐμοῦ εἰς τὸ σκότος τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ».

2. Πολλοὶ τὴν ἱερωσύνην ἥρπασαν, ἀλλ' οὐκ ἔσχον τὸν ἐλέγχοντα οὐδὲ ἤκουσαν ἃ Σίμων ἤκουσε παρὰ τοῦ Πέτρου τότε. Ἀλλ' οὐ διὰ τοῦτο διέφυγον ἀλλὰ πολλῷ χαλεπωτέραν ὑποστήσονται δίκην τῆς ἐνθάδε ὀφειλομένης ὅτι μηδὲ ἐκ τοῦ παραδείγματος ἐσωφρονίσθησαν. Πολλοὶ τὰ τοῦ Κορὲ ἐτόλμησαν, ἀλλ' οὐκ ἔπαθον τὰ τοῦ Κορέ, ἀλλὰ πείσονται ὕστερον ἐπὶ μείζονι τῇ ζημίᾳ. Πολλοὶ τὴν τοῦ Φαραὼ ζηλώσαντες ἀσέβειαν οὐ κατεποντίσθησαν ὥσπερ ἐκεῖνος, ἀλλὰ μένει τὸ τῆς γεέννης αὐτοὺς πέλαγος. Οὐδὲ γὰρ οἱ τοὺς

---

56. Α' Κορ. 11, 30 - 32.
52. Ψαλμ. 72, 5.
53. Ματθ. 25, 41.
59. Πράξ. 8, 20 ἑ.
60. Ἀριθμ. 16, 1 - 35.

εἶναι ἰδική μου ἀλλὰ τοῦ Χριστοῦ ποὺ ὁμιλεῖ μέσῳ τοῦ Παύλου. Διότι, ὁμιλῶν δι' αὐτοὺς ποὺ μετέχουν ἀναξίως τῶν μυστηρίων, λέγει· «Διὰ τοῦτο ὑπάρχουν μεταξύ σας πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ ἀπέθανον ἀρκετοί. Διότι ἐὰν ἐξετάζαμεν τοὺς ἑαυτούς μας, δὲν θὰ κατεδικαζόμεθα ἀπὸ τὸν Θεόν· τώρα ὅμως κατακρινόμενοι ἀπὸ τὸν Κύριον τιμωρούμεθα πρὸς σκοπὸν νὰ διορθωθῶμεν, ὥστε νὰ μὴ καταδικασθῶμεν μαζὶ μὲ τοὺς ἁμαρτωλούς»[56]. Ὑπάρχουν βέβαια ὡρισμένοι ποὺ ἔχουν ἀνάγκην ἀπὸ τὴν ἐπιτίμησιν μόνον εἰς τὴν ἐδῶ ζωήν, ὅταν τὰ ἁμαρτήματά των εἶναι μέτρια καὶ τιμωρηθέντες δὲν ἐπιστρέφουν οὐδέποτε πλέον πρὸς τὰ προηγούμενα ἁμαρτήματά των, μιμούμενοι τὸν σκύλον ποὺ ἐπέστρεψεν εἰς τὸν ἐμετόν του. Ὑπάρχουν δὲ καὶ ἐκεῖνοι ποὺ ἐξ αἰτίας τῆς ὑπερβολικῆς κακίας των τιμωροῦνται καὶ εἰς τὴν ἐδῶ ζωὴν καὶ εἰς τὴν ἄλλην, ἄλλοι ὅμως θὰ τιμωρηθοῦν μόνον εἰς τὴν ἐκεῖ ζωὴν ἐπειδὴ διέπραξαν ἁμαρτήματα φοβερώτερα ἀπὸ ὅλους τοὺς ἀνθρώπους καὶ δὲν ἠξιώθησαν νὰ μαστιγωθοῦν μαζὶ μὲ τοὺς ἄλλους ἀνθρώπους. Διότι λέγει· «Δὲν θὰ μαστιγωθοῦν μαζὶ μὲ τοὺς ἀνθρώπους[57], διότι φυλάσσονται διὰ νὰ τιμωρηθοῦν μαζὶ μὲ τοὺς δαίμονας. Καθ' ὅσον λέγει· «Φύγετε ἀπὸ κοντὰ καὶ πηγαίνετε εἰς τὸ σκότος τὸ ἐξώτερον ποὺ ἔχει ἑτοιμασθῆ διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του»[58].

2. Πολλοὶ ἥρπασαν μὲ χρήματα τὴν ἱερωσύνην, ἀλλὰ δὲν τοὺς ἤλεγξε κανεὶς οὔτε ἤκουσαν ἐκεῖνα ποὺ ἤκουσεν τότε ὁ Σίμων ἀπὸ τὸν Πέτρον[59]. Δὲν διέφυγον ὅμως διὰ τοῦτο τὴν τιμωρίαν, ἀλλὰ θὰ τιμωρηθοῦν πολὺ πιὸ φοβερώτερα ἀπὸ ὅ,τι θὰ ἐτιμωροῦντο ἐδῶ, διότι δὲν ἐσωφρονίσθησαν οὔτε καὶ ἀπὸ τὸ παράδειγμα. Πολλοὶ διέπραξαν τὰ ὅσα διέπραξεν ὁ Κορέ[60], ὅμως δὲν ἔπαθον αὐτὰ ποὺ ἔπαθεν ὁ Κορέ, ἀλλὰ θὰ τιμωρηθοῦν ἀργότερα καὶ ἡ ζημία των θὰ εἶναι πολὺ πιὸ μεγαλυτέρα. Πολλοὶ ἂν καὶ ἐμιμήθησαν τὴν ἀσέβειαν τοῦ Φαραὼ δὲν κατεποντίσθησαν ὅπως ἀκριβῶς ἐκεῖνος, ἀλλὰ τοὺς ἀναμένει τὸ πέλαγος τῆς γεέννης. Οὔτε βέβαια καὶ αὐτοὶ ποὺ ἀποκαλοῦν τοὺς

ἀδελφοὺς ἀποκαλοῦντες μωροὺς ἤδη τὴν δίκην ἔδωκαν· ἐκεῖ γὰρ αὐτοῖς ἡ κόλασις τεταμίευται.

3. Μὴ τοίνυν τὰς ἀποφάσεις τοῦ Θεοῦ ῥήματα εἶναι νομίζετε μόνον. Διὰ τοῦτο γὰρ καὶ ἐνίας αὐτῶν ἐπὶ τὸ ἔργον προήγαγεν, οἷον ἐπὶ τῆς Σαπφείρας, ἐπὶ τοῦ ταύτης ἀνδρός, ἐπὶ τοῦ Χαρμί, ἐπὶ τοῦ Ἀαρών, καὶ ἐφ' ἑτέρων δὲ πολλῶν, ἵνα οἱ τοῖς λόγοις ἀπιστοῦντες αὐτοῦ τὴν ἀπὸ τῶν πραγμάτων πίστιν δυσωπηθέντες παύσωνται· λοιπὸν ἀπατῶντες ἑαυτοὺς ὡς οὐ δώσοντες δίκην καὶ μαθῶσιν ὅτι τοῦ Θεοῦ τὸ χρηστὸν ἐν τῷ διδόναι προθεσμίαν τοῖς ἁμαρτάνουσιν οὐκ ἐν τῷ μηδ' ὅλως κολάζειν τοὺς ἐπιμένοντας τοῖς ἁμαρτήμασίν ἐστιν.

4. Ἐνῆν μὲν οὖν καὶ πλείονα λέγειν δεικνύντας ὅσον ἑαυτοῖς συνάγουσι πῦρ οἱ τὸ τῆς παρθενίας ἐξευτελίζοντες καλόν. Ἀλλὰ τοῖς μὲν σωφρονοῦσιν ἀρκεῖ καὶ ταῦτα, τοὺς δὲ ἀδιορθώτως ἔχοντας καὶ μαινομένους οὐδὲ πολλῷ τούτων πλείονα τῆς μανίας αὐτοὺς ἀποστῆσαι δυνήσεται. Διὸ τοῦτο τὸ μέρος ἀφέντες τοῦ λόγου πρὸς τοὺς σωφρονοῦντας αὐτὸν ἅπαντα τρέψωμεν, πάλιν ἐπὶ τὸν μακάριον Παῦλον ἐπανελθόντες. «Περὶ δὲ ὧν ἐγράψατέ μοι», φησί, «καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι». Αἰσχυνέσθωσαν ἀμφότεροι νῦν, καὶ οἱ τὸν γάμον κακίζοντες καὶ οἱ παρὰ τὴν ἀξίαν αὐτὸν ἐπαίροντες. Ἀμφοτέρους γὰρ ὁ μακάριος ἐπιστομίζει Παῦλος καὶ διὰ τούτων καὶ διὰ τῶν ἐφεξῆς κειμένων.

κε' Ὅτι τοῖς ἀσθενοῦσιν ἀναγκαῖον ὁ γάμος.

Καλὸν ὁ γάμος ὅτι ἐν σωφροσύνῃ τὸν ἄνδρα διατηρεῖ καὶ οὐκ ἀφίησιν εἰς πορνείαν κατακλισθέντα ἀποθανεῖν. Μὴ

61. Πρ. 5, 1 - 10.
62. Α' Κορ. 7, 1.

ἀδελφούς των μωρούς ἐτιμωρήθησαν ἤδη, διότι ἡ τιμωρία των ἔχει ἀποταμιευθῆ εἰς τὴν ἐκεῖ ζωήν.

3. Μὴ νομίζετε λοιπὸν ὅτι αἱ ἀποφάσεις τοῦ Θεοῦ εἶναι μόνον λόγια. Διότι δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ μερικὰς ἀπὸ αὐτὰς ἐπραγματοποίησεν, ὅπως εἰς τὴν περίπτωσιν τῆς Σαπφείρας εἰς τὸν ἄνδρα της[61], εἰς τὸν Χαρμί, εἰς τὸν Ἀαρὼν καὶ εἰς ἄλλους πολλούς, ὥστε αὐτοὶ ποὺ δὲν πιστεύουν εἰς τὰ λόγια του, θορυβηθέντες ἀπὸ τὴν πίστιν εἰς τὰ γεγονότα, νὰ παύσουν πλέον νὰ ἀπατοῦν τοὺς ἑαυτούς των, ὅτι δὲν θὰ τιμωρηθοῦν δηλαδή, καὶ νὰ μάθουν ὅτι τοῦ Θεοῦ ἡ ἀγαθότης εὑρίσκεται εἰς τὸ νὰ δίδῃ προθεσμίαν μετανοίας εἰς τοὺς ἁμαρτάνοντας, καὶ ὄχι εἰς τὸ νὰ μὴ τιμωρῇ καθόλου αὐτοὺς ποὺ ἐπιμένουν ν' ἁμαρτάνουν.

4. Θὰ ἦτο δυνατὸν λοιπὸν νὰ εἴπουμεν καὶ περισσότερα, ἀποδεικνύοντες πόσον πῦρ συγκεντρώνουν διὰ τοὺς ἑαυτούς των αὐτοὶ ποὺ ἐξευτελίζουν τὸ καλὸν τῆς παρθενίας. Ἀλλὰ διὰ μὲν τοὺς σώφρονας ἐπαρκοῦν καὶ αὐτά, ἐνῷ αὐτοὶ ποὺ παραμένουν ἀδιόρθωτοι καὶ εἶναι παράφρονες δὲν θὰ ἠμπορέσουν νὰ τοὺς ἀπομακρύνῃ ἀπὸ τὴν παραφροσύνην των καὶ ἂν ἀκόμη λεχθοῦν πολὺ περισσότερα ἀπὸ αὐτά. Διότι τοῦτο, ἀφοῦ τοὺς ἀφήσωμεν αὐτοὺς κατὰ μέρους, ἂς φέρωμεν ὅλον τὸν λόγον πρὸς τοὺς σώφρονας, ἐπιστρέφοντες πάλιν εἰς τὸν μακάριον Παῦλον ποὺ λέγει· «Σχετικὰ μὲ αὐτὰ ποὺ μοῦ ἐγράψατε, καλὸν εἶναι εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ καθόλου γυναῖκα»[62]. Ἂς νοιώσουν λοιπὸν τώρα ἐντροπὴν καὶ οἱ δύο, καὶ αὐτοὶ ποὺ κατηγοροῦν τὸν γάμον καὶ αὐτοὶ ποὺ τοῦ δίδουν μεγαλυτέραν ἀξίαν. Διότι ὁ μακάριος Παῦλος ἀποστομώνει καὶ τοὺς δύο καὶ μὲ αὐτοὺς τοὺς λόγους καὶ μὲ τοὺς ἐν συνεχείᾳ.

κε' Περὶ τοῦ ὅτι ὁ γάμος εἶναι ἀναγκαῖον διὰ τοὺς πνευματικὰ ἀδυνάτους.

Εἶναι καλὸν πρᾶγμα ὁ γάμος, διότι διατηρεῖ τὸν ἄνδρα σώφρονα καὶ δὲν τὸν ἀφήνει ν' ἀποθάνῃ ἀφοῦ κατακυλι-

τοίνυν αὐτὸν διαβάλῃς. Πολὺ γὰρ ἔχει τὸ κέρδος οὐκ ἐῶν τὰ μέλη τοῦ Χριστοῦ μέλη γενέσθαι πόρνης, οὐ συγχωρῶν τὸν ἅγιον ναὸν γίνεσθαι βέβηλον καὶ ἀκάθαρτον. Διὰ τοῦτο καλὸν ὅτι βαστάζει καὶ ἀνορθοῖ τὸν καταπίπτειν μέλλοντα. Ἀλλὰ τί τοῦτο πρὸς τὸν ἑστῶτα, πρὸς τὸν οὐ δεόμενον τῆς ἀπ' αὐτοῦ βοηθείας; Ἐνταῦθα γὰρ οὐκέτι χρήσιμον τὸ πρᾶγμα οὐδὲ ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ ἐμπόδιον ἀρετῆς, οὐ μόνον τῷ πολλὰ τιθέναι κωλύματα, ἀλλὰ καὶ τῷ τὸ πλέον τῶν ἐγκωμίων ὑποτέμνεσθαι μέρος.

*κς' **Ὅτι τὰ μέγιστα ἀδικεῖ ἑαυτὸν ὁ δυνάμενος παρθενεύειν καὶ γαμῶν.***

Τὸν γὰρ δυνάμενον γυμνὸν μάχεσθαι καὶ νικᾶν ὁ περιφράττων ὅπλοις οὐ μόνον οὐκ ὤνησεν, ἀλλὰ καὶ τὴν ἐσχάτην ἀδικίαν ἠδίκησε, τοῦ θαύματος ἀποστερήσας αὐτὸν καὶ τῶν λαμπρῶν στεφάνων. Οὐ γὰρ εἴασεν αὐτοῦ ἅπασαν φανῆναι τὴν ἰσχύν, οὐδὲ σφόδρα περιβόητον αὐτοῦ γενέσθαι τὸ τρόπαιον. Ἐπὶ δὲ τοῦ γάμου καὶ μείζων ἡ ζημία· οὐ γὰρ δόξης μόνον τῆς παρὰ τῶν πολλῶν, ἀλλὰ καὶ μισθῶν ἀποστερεῖ τῶν τῇ παρθένῳ κειμένων. Διὰ ταῦτα «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι». Τί οὖν ἅπτεσθαι συγχωρεῖς; «Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω». Φοβοῦμαί σε, φησίν, εἰς τὸ τῆς παρθενίας ὕψος ἀναγαγεῖν μὴ καταπέσῃς εἰς τὸ τῆς πορνείας βάραθρον. Οὔπω σοι κοῦφον γέγονε τὸ πτερόν, ἵνα πρὸς ἐκείνην ἐπάρω σε τὴν κορυφήν. Καίτοι γε αὐτοὶ τὰ τῶν ἄθλων εἵλοντο καὶ τῷ τῆς παρθε-

---

63. Πρβλ. Α' Κορ. 6, 15.
64. Α' Κορ. 7, 2.

σθῇ εἰς τὴν πορνείαν. Μὴ λοιπὸν τὸν κατηγορῇς, διότι παρέχει πολὺ κέρδος μὲ τὸ νὰ μὴ ἀφήνῃ τὰ μέλη τοῦ Χριστοῦ νὰ γίνουν μέλη πόρνης[63] καὶ μὲ τὸ νὰ μὴ ἐπιτρέπῃ τὸν ἅγιον ναὸν νὰ γίνῃ βέβηλος καὶ ἀκάθαρτος. Εἶναι καλὸν πρᾶγμα, διότι συγκρατεῖ καὶ ἀνορθώνει αὐτὸν ποὺ πρόκειται νὰ πέσῃ εἰς τὴν ἁμαρτίαν. Ἀλλὰ ποία εἶναι ἡ ὠφέλειά του δι' αὐτὸν ποὺ παραμένει ἀκλόνητος εἰς τὴν πίστιν, δι' αὐτὸν ποὺ δὲν ἔχει ἀνάγκην τῆς βοηθείας του; Διότι εἰς τὴν περίπτωσιν αὐτὴν δὲν εἶναι πλέον χρήσιμος ὁ γάμος οὔτε ἀναγκαῖος, ἀλλ' ἀποτελεῖ καὶ ἐμπόδιον διὰ τὴν ἀρετήν, ὄχι μόνον ἐπειδὴ παρεμβάλλει πολλὰ ἐμπόδια, ἀλλὰ καὶ ἐπειδὴ στερεῖ ἀπὸ τὸν ἄνθρωπον τὸ μεγαλύτερον μέρος τῶν ἐγκωμίων.

κς' Περὶ τοῦ ὅτι ἀδικεῖ εἰς μεγάλον βαθμὸν τὸν ἑαυτόν του αὐτὸς ποὺ ἠμπορεῖ ν' ἀσκήσῃ τὴν παρθενίαν καὶ προτιμᾷ τὸν γάμον.

Αὐτὸν λοιπὸν ποὺ ἠμπορεῖ νὰ μάχεται γυμνὸς καὶ νὰ νικᾷ ὄχι μόνον δὲν τὸν ὠφέλησεν αὐτὸς ποὺ τὸν ὁπλίζει μὲ ὅπλα, ἀλλὰ καὶ τὸν ἠδίκησε μὲ τὴν χειροτέραν ἀδικίαν, καθ' ὅσον τὸν ἀπεστέρησεν ἀπὸ τὸν θαυμασμὸν καὶ τὰ λαμπρὰ στεφάνια. Διότι δὲν ἄφησε νὰ φανῇ ὅλη ἡ δύναμίς του, οὔτε νὰ γίνῃ πάρα πολὺ ἐξακουστὸν τὸ τρόπαιόν του. Εἰς τὴν περίπτωσιν δὲ τοῦ γάμου ἡ ζημία εἶναι μεγαλυτέρα· διότι ὄχι μόνον ἀποστερεῖ τὸν ἄνθρωπον ἀπὸ τὴν δόξαν ἐκ μέρους τοῦ κόσμου, ἀλλὰ καὶ ἀπὸ τοὺς μισθοὺς ποὺ ἐπιφυλάσσονται διὰ τὴν παρθένον. Διὰ τὸν λόγον αὐτὸν «Εἶναι καλὸν εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα». Πότε λοιπὸν ἐπιτρέπεις νὰ πλησιάζῃ γυναῖκα; «Ἀλλὰ πρὸς ἀποφυγὴν τῆς πορνείας ὁ καθένας ἂς ἔχῃ τὴν γυναῖκα του»[64]. Φοβοῦμαι, λέγει, νὰ σὲ ἀνεβάσω εἰς τὸ ὕψος τῆς παρθενίας, μὴ τυχὸν καὶ πέσῃς εἰς τὸ βάραθρον τῆς πορνείας. Δὲν ἔγιναν ἀκόμη τὰ πτερά σου ἀνάλαφρα διὰ νὰ σὲ ἀνυψώσω πρὸς ἐκείνην τὴν κορυφήν. Μολονότι βέβαια οἱ ἴδιοι ἐπροτίμησαν τοὺς ἀγῶνας καὶ ἔσπευσαν μὲ προθυ-

νίας ἐπεπήδησαν καλῷ. Τί τοίνυν φοβῇ καὶ τρέμεις, ὦ μακάριε Παῦλε; Ὅτι οὗτοι μέν, ἴσως ἂν εἶπε, τὸ πρᾶγμα ἀγνοοῦντες ταύτην ἔχουσι τὴν προθυμίαν, ἐμὲ δὲ ἡ πεῖρα καὶ τὸ ἤδη ταύτης ἧφθαι τῆς μάχης καὶ πρὸς τὸ συμβουλεύειν ἑτέροις ὀκνηρότερον ποιεῖ.

κζ' Ὅτι μέγα ἡ παρθενία καὶ μεγάλων πρόξενος ἀγαθῶν.

1. Οἶδα τὴν βίαν τοῦ πράγματος, οἶδα τῶν ἀγωνισμάτων τούτων τὸν τόνον, οἶδα τοῦ πολέμου τὸ βαρύ. Φιλονείκου τινὸς καὶ βιαίας καὶ ἀπονενοημένης κατὰ τῶν ἐπιθυμιῶν δεῖ ψυχῆς. Ἐπὶ γὰρ ἀνθράκων δεῖ περιπατεῖν καὶ μὴ κατακαίεσθαι, ἐπὶ ξίφους βαδίζειν καὶ μὴ πλήττεσθαι. Τοσαύτη γὰρ τῆς ἐπιθυμίας ἡ ἰσχύς, ὅση καὶ πυρὸς καὶ σιδήρου. Κἂν μὴ οὕτω τύχῃ παρεσκευασμένη ψυχὴ μηδὲ ἐπιστρέφεσθαι πρὸς τὰς ἐκείνης ἀλγηδόνας, ταχέως ἑαυτὴν ἀπολεῖ. Δεῖ τοίνυν ἡμῖν ἀδαμαντίνης διανοίας, μηδέποτε καθεύδοντος ὀφθαλμοῦ, καρτερίας πολλῆς, τειχῶν ἰσχυρῶν, τοίχων ἔξωθεν καὶ μοχλῶν, φυλάκων ἐγρηγορότων καὶ γενναίων, καὶ πρὸ τούτων ἁπάντων τῆς ἄνωθεν ῥοπῆς. «Ἐὰν» γὰρ «μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες αὐτήν».

2. Πῶς οὖν τὴν ῥοπὴν ἐπισπασόμεθα ταύτην; Ὅταν τὰ παρ' ἑαυτῶν ἅπαντα εἰσενέγκωμεν, λογισμὸν ὑγιῆ, νηστείας καὶ ἀγρυπνίας πολλὴν τὴν ἐπίτασιν, νομοθεσίας ἀκρίβειαν, ἐντολῶν φυλακὴν καὶ τὸ πάντων κεφάλαιον τὸ μὴ θαρρεῖν ἑαυτοῖς. Κἂν γὰρ μεγάλα κατωρθωκότες τύχωμεν, ἐκεῖνο λέγειν ἀναγκαῖον πρὸς ἑαυτοὺς διὰ παντός· «Ἐὰν μὴ Κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν». «Οὐ» γὰρ «ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα,

---

65. Ψαλμ. 126, 1.
66. Ψαλμ. 126, 1.

μίαν πρὸς τὸ καλὸν τῆς παρθενίας. Διατί λοιπὸν φοβεῖσαι καὶ τρέμεις, μακάριε Παῦλε; Διότι, θὰ ἠμποροῦσεν ἴσως νὰ εἰπῇ, αὐτοὶ μέν, μὴ γνωρίζοντες τὸ πρᾶγμα, ἐπιδεικνύουν αὐτὴν τὴν προθυμίαν, ἐμένα ὅμως ἡ πεῖρα καὶ τὸ ὅτι ἤδη ἔχω ἀναλάβει αὐτὸν τὸν ἀγῶνα μὲ κάμνουν δυστακτικώτερον νὰ συμβουλεύω τοὺς ἄλλους δι' αὐτό.

κζ' Περὶ τοῦ ὅτι ἡ παρθενία εἶναι μέγα πρᾶγμα καὶ πρόξενος μεγάλων ἀγαθῶν.

1. Γνωρίζω τὴν δυσκολίαν τοῦ πράγματος, γνωρίζω τὴν ἔντασιν αὐτῶν τῶν ἀγωνισμάτων, γνωρίζω τὴν βαρύτητα αὐτοῦ τοῦ πολέμου. Χρειάζεται ψυχὴ μαχητικὴ καὶ ὁρμητικὴ καὶ ἀποφασισμένη ν' ἀγωνισθῇ κατὰ τῶν ἐπιθυμιῶν. Διότι πρέπει νὰ περιπατῇ ἐπάνω εἰς ἀναμμένα κάρβουνα καὶ νὰ μὴ καίεται, νὰ βαδίζῃ ἐπάνω εἰς τὸ ξίφος καὶ νὰ μὴ πληγώνεται. Καθ' ὅσον τόσον μεγάλη εἶναι ἡ δύναμις τῆς ἐπιθυμίας, ὅση εἶναι καὶ τοῦ πυρὸς καὶ τοῦ σιδήρου. Καὶ ἂν τύχῃ νὰ μὴ εἶναι ἔτσι προετοιμασμένη ἡ ψυχή, ὥστε νὰ μὴ λυγίζῃ ἀπὸ τοὺς πόνους ἐκείνης, ἀμέσως θὰ καταστραφῇ. Χρειαζόμεθα λοιπὸν ἀδαμαντίνην διάνοιαν, ἀκοίμητον ὀφθαλμόν, καρτερίαν μεγάλην, τείχη ἰσχυρά, τοίχους ἐξωτερικοὺς καὶ μοχλούς, φύλακας ἀγρύπνους καὶ γενναίους, καὶ πρὶν ἀπὸ ὅλα αὐτὰ τὴν ἄνωθεν βοήθειαν. Διότι «Ἐὰν ὁ Κύριος δὲν φυλάξῃ τὴν πόλιν, ἀδίκως ἔμειναν ἄγρυπνοι οἱ φύλακες αὐτῆς»[65].

2. Πῶς λοιπὸν θὰ ἐπιτύχωμεν αὐτὴν τὴν βοήθειαν; Ὅταν συνεισφέρωμεν ὅλα ὅσα ἐξαρτῶνται ἀπὸ ἡμᾶς, νοῦν ὑγιῆ, νηστείας καὶ ἀγρυπνίας ἐκτεταμένας, ἐκτέλεσιν μετὰ προσοχῆς τῆς νομοθεσίας, φύλαξιν τῶν ἐντολῶν καὶ τὸ σπουδαιότερον ἀπὸ ὅλα τὸ νὰ μὴ ἔχωμεν ἐμπιστοσύνην εἰς τὸν ἑαυτόν μας. Διότι καὶ ἂν ἀκόμη ἐπιτύχωμεν μεγάλα κατορθώματα, εἶναι ἀνάγκη νὰ λέγωμεν πάντοτε πρὸς τὸν ἑαυτόν μας ἐκεῖνο· «Ἐὰν ὁ Κύριος δὲν οἰκοδομήσῃ τὸν οἶκον, ἀδίκως ἐκοπίασαν αὐτοὶ ποὺ τὸν οἰκοδόμουν»[66]. Διότι «Ἡ πάλη μας δὲν γίνεται πρὸς ἀντιπάλους

ἀλλὰ πρὸς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». Καὶ δεῖ νύκτωρ καὶ μεθ' ἡμέραν ὡπλισμένους ἡμᾶς ἑστάναι τοὺς λογισμοὺς καὶ φοβεροὺς εἶναι ταῖς ἀναισχύντοις ἐπιθυμίαις. Ὡς ἂν μικρὸν ἐνδῶσιν, ἕστηκεν ὁ διάβολος πῦρ ἔχων μετὰ χεῖρας, ὥστε ἐναφεῖναι καὶ καταφλέξαι τοῦ Θεοῦ τὸν ναόν. Πάντοθεν οὖν ἡμᾶς ὠχυρῶσθαι χρή. Πρὸς γὰρ φύσεως ἀνάγκην ἡμῖν ἡ μάχη, πρὸς ἀγγέλων πολιτείαν ὁ ζῆλος, μετὰ ἀσωμάτων δυνάμεων ὁ δρόμος. Ἡ γῆ καὶ ὁ σποδὸς τοῖς ἐν οὐρανῷ διατρίβουσιν ἐξισοῦσθαι φιλονεικεῖ καὶ ἡ φθορὰ πρὸς τὴν ἀφθαρσίαν τὴν ἅμιλλαν ἔθετο.

3. Ἔτ' οὖν γάμον καὶ ἡδονὴν τοσούτῳ πράγματι παραβαλεῖν τολμήσει τις, εἰπέ μοι; Καὶ πῶς οὐκ εὔηθες λίαν; Ταῦτα ἅπαντα ὁ Παῦλος συνειδὼς ἔλεγεν· «Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω». Διὰ ταῦτα ἀνεδύετο, διὰ ταῦτα οὐκ ἐθάρρει διαλεχθῆναι ἐξ ἀρχῆς περὶ παρθενίας αὐτοῖς, ἀλλὰ τοῖς περὶ τοῦ γάμου λόγοις ἐνδιατρίβει, κατὰ μικρὸν ἀποστῆσαι τοῦ γάμου βουλόμενος αὐτούς, καὶ τοὺς περὶ τῆς ἐγκρατείας λόγους βραχεῖς ποιησάμενος ἐκείνοις πολλοῖς οὖσιν αὐτοὺς ἐγκατέμιξεν, οὐκ ἀφιεὶς πληγῆναι τὴν ἀκοὴν τῷ τῆς παραινέσεως αὐστηρῷ. Ὁ γὰρ ὅλον δι' ὅλου διὰ τῶν βαρυτέρων πλέκων τὸν λόγον ἐπαχθής τέ ἐστι τῷ ἀκούοντι καὶ πολλάκις ἀναγκάζει μετασκιρτῆσαι τὴν ψυχὴν μὴ φέρουσαν τῶν λεγομένων τὸ βάρος, ὁ δὲ ποικίλλων αὐτὸν καὶ πλείονα ἀπὸ τῶν ῥᾴστων ἢ τῶν δυσκόλων τιθεὶς τὴν μίξιν, τὸ τοῦ πράγματος κλέπτει βαρὺ καὶ διαναπαύσας τὸν ἀκροατὴν οὕτω πείθει καὶ προσάγεται μᾶλλον, ὅπερ οὖν καὶ ὁ μακάριος Παῦλος ἐποίησεν.

67. Τιμ. 6, 12.

πού ἔχουν αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος αὐτοῦ, πρὸς τὰ οὐράνια πνευματικὰ ὄργανα τῆς πονηρίας»[67]. Καὶ πρέπει νύκτα καὶ ἡμέραν νὰ εἶναι ὡπλισμένοι οἱ λογισμοί μας καὶ νὰ εἶναι φοβεροὶ ἀπέναντι τῶν ἀναισχύντων ἐπιθυμιῶν. Διότι ἐὰν συμβῇ ἐλάχιστα καὶ ὑποχωρήσουν, στέκει πλησίον ὁ διάβολος κρατῶν πῦρ εἰς τὰ χέρια του, ὥστε νὰ τὸ ἐξαπολύσῃ καὶ νὰ ταπεινώσῃ τὸν ναὸν τοῦ Θεοῦ. Πρέπει λοιπὸν ἀπὸ παντοῦ νὰ εἴμεθα ὠχυρωμένοι. Διότι ὁ ἀγών μας γίνεται πρὸς τὴν ἀνάγκην τῆς φύσεως, ὁ ζῆλος μας πρέπει νὰ εἶναι διὰ τὸν ἀγγελικὸν τρόπον ζωῆς, καὶ ἡ ἅμιλλά μας νὰ ἔχῃ στόχον τὰς ἀσωμάτους δυνάμεις. Ἡ γῆ καὶ ἡ στάκτη φιλονεικοῦν νὰ ἐξισωθοῦν μὲ τὰς οὐρανίους δυνάμεις καὶ ἡ φθορὰ συναγωνίζεται τὴν ἀφθαρσίαν.

3. Εἰπέ μου λοιπόν, θὰ τολμήσῃ κάποιος μετὰ ἀπὸ ὅλα αὐτὰ νὰ παραβάλῃ τὸν γάμον καὶ τὴν ἡδονὴν μὲ ἕνα τόσον σπουδαῖον πρᾶγμα; Καὶ πῶς δὲν θὰ εἶναι μεγάλη ἀνοησία; Γνωρίζων πολὺ καλὰ ὁ Παῦλος ὅλα αὐτά, ἔλεγεν˙ «Ὁ καθένας ἄς ἔχῃ τὴν γυναῖκα του». Ἐξ αἰτίας αὐτοῦ ἐδίσταζε, διὰ τὸν λόγον αὐτὸν δὲν ἐτόλμα ἀπὸ τὴν ἀρχὴν νὰ τοὺς ὁμιλήσῃ περὶ τῆς παρθενίας, ἀλλὰ τοὺς ὁμιλεῖ περὶ τοῦ γάμου, ἐπιθυμῶν σιγὰ - σιγὰ νὰ τοὺς ἀπομακρύνῃ ἀπὸ τὸν γάμον, καὶ ἀφοῦ τοὺς ἔκαμε σύντομον λόγον περὶ τῆς ἐγκρατείας, ἀνέμειξε τοὺς λόγους αὐτοὺς μὲ ἐκείνους πού ἦσαν πάρα πολλοί, μὴ ἐπιτρέπων τὴν ἀκοὴν νὰ πληγωθῇ ἀπὸ τὴν αὐστηρὰν παραίνεσιν. Διότι ἐκεῖνος πού πλέκει ὅλον ἐξ ὁλοκλήρου τὸν λόγον μὲ τὰ αὐστηρότερα λόγια καταντᾷ ἐνοχλητικὸς εἰς τὸν ἀκροατὴν καὶ πολλὰς φορὰς ἀναγκάζει τὴν ψυχὴν ν' ἀποσκιρτήσῃ, μὴ ὑποφέρουσα τὸ βάρος τῶν λεγομένων, ἐνῷ αὐτὸς πού ποικίλλει τὸν λόγον καὶ θέτει εἰς τὴν ἀνάμειξιν περισσότερα ἁπλᾶ λόγια ἀπὸ τὰ αὐστηρά, μετριάζει τὸ βάρος τοῦ πράγματος καὶ ἀφοῦ ξεκουράσῃ μὲ τὸν τρόπον αὐτὸν τὸν ἀκροατὴν τὸν πείθει καὶ τὸν προσελκύει περισσότερον, πρᾶγμα λοιπὸν πού καὶ ὁ μακάριος Παῦλος ἔκαμε.

4. Εἰπὼν γάρ, «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι», ἀπεπήδησεν ἐπὶ τὸν γάμον εὐθέως, «Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω» λέγων· καὶ τὸ μὲν μακαρίσας μόνον ἀφῆκε· «Καλόν», γάρ φησιν, «ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι». Περὶ δὲ τοῦ γάμου καὶ συμβουλεύει καὶ ἐπιτάττει καὶ αἰτίαν προστίθησι· «Διὰ γὰρ τὰς πορνείας», φησί. Καὶ δοκεῖ μὲν αἰτιολογεῖν τοῦ γάμου τὴν συγχώρησιν, τὸ δὲ ἀληθὲς λανθανόντως ἐν ταῖς περὶ τοῦ γάμου προφάσεσιν ἐπαίρει τὸ τῆς ἐγκρατείας ἐγκώμιον, οὐ φανερῶς ἐκκαλύπτων τῷ λόγῳ, ἀλλὰ τῷ συνειδότι τῶν ἀκουόντων καταλιμπάνων αὐτό. Ὁ γὰρ μαθὼν ὅτι παραινεῖται γαμεῖν, οὐκ ἐπειδὴ τὸ κράτιστον τῆς ἀρετῆς ὁ γάμος, ἀλλ' ἐπειδὴ τοσαύτην αὐτοῦ κατέγνω λαγνείαν ὁ Παῦλος, ὡς ἄνευ γάμου μὴ δυναμένου λαγνείας ἀπέχεσθαι, ἐρυθριάσας καὶ αἰσχυνθεὶς σπουδάσει ταχέως ἐπιλαβέσθαι τῆς παρθενίας καὶ τὴν τοσαύτην ἀποκρούσασθαι δόξαν.

κη' Ὅτι τὰ περὶ γάμου λεγόμενα παρθενίας ἐστὶ προτρεπτικά.

1. Τί δὴ μετὰ ταῦτά φησιν; «Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί». Εἶτα ἑρμηνεύων αὐτὸ καὶ σαφέστερον ποιῶν ἐπάγει· «Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή». Καὶ ταῦτα δοκεῖ μὲν ὑπὲρ τοῦ γάμου λέγεσθαι. Τὸ δὲ ἀληθές, ὥσπερ ἄγκιστρον τῇ συνήθει περιστείλας τροφῇ, οὕτως εἰς τὰς τῶν μαθητῶν ἐνίησιν ἀκοάς, αὐτοῖς τοῖς περὶ τοῦ γάμου λόγοις ἐξαγαγεῖν αὐτοὺς τοῦ γάμου βουλόμενος. Ὁ γὰρ ἀκούσας ὅτι μετὰ τὸν γάμον οὐκ ἔσται κύριος ἑαυτοῦ,

68. Α' Κορ. 7, 3.
69. Αὐτόθι 7, 4.

4. Πράγματι, ἀφοῦ εἶπε, «Εἶναι καλὸν εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα», ἀμέσως μετέφερε τὸν λόγον εἰς τὸν γάμον, λέγων· «Ὁ καθένας ἂς ἔχῃ τὴν γυναῖκα του». Καὶ τὴν μὲν Παρθενίαν τὴν ἄφησεν, ἀφοῦ μόνον τὴν ἐμακάρισε, διότι λέγει, «Καλὸν εἶναι εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα», περὶ τοῦ γάμου ὅμως δίδει καὶ τὰς συμβουλὰς καὶ τὰς ἐντολὰς καὶ προσθέτει καὶ τὴν αἰτίαν· διότι λέγει· «Πρὸς ἀποφυγὴν ὅμως τῆς πορνείας». Καὶ φαίνεται μὲν νὰ δικαιολογῇ τὴν συγχώρησιν τοῦ γάμου, εἰς τὴν ἀλήθειαν ὅμως ἐξυψώνει τὸ ἐγκώμιον τῆς ἐγκρατείας κατὰ τρόπον κρυφὸν μὲ τὰς αἰτιολογίας περὶ τοῦ γάμου, χωρὶς νὰ τὸ παρουσιάζῃ αὐτὸ φανερὰ εἰς τὸν λόγον, ἀλλ' ἀφήνων αὐτὸ εἰς τὴν συνείδησιν τῶν ἀκροατῶν. Διότι αὐτὸς ποὺ θὰ μάθῃ ὅτι συμβουλεύεται νὰ συνάψῃ γάμον, ὄχι ἐπειδὴ εἶναι ὁ γάμος τὸ ἀνώτερον μέρος τῆς ἀρετῆς, ἀλλ' ἐπειδὴ ὁ Παῦλος τοῦ ἀποδίδει τόσην σαρκικὴν ἀπόλαυσιν, ὥστε χωρὶς τὸ γάμον νὰ μὴ ἠμπορῇ ν' ἀποφύγῃ τὴν ἀπόλαυσιν αὐτήν, ἀφοῦ θὰ κοκκινίσῃ καὶ θὰ ἐντραπῇ θὰ φροντίσῃ ἀμέσως ν' ἀκολουθήσῃ τὴν παρθενίαν καὶ ν' ἀποφύγῃ τὴν τόσον μεγάλην κακὴν φήμην.

κη' Περὶ τοῦ ὅτι τὰ ὅσα λέγονται περὶ τοῦ γάμου ἀποτελοῦν προτροπὴν διὰ τὴν παρθενίαν.

1. Τί λοιπὸν λέγει εἰς τὴν συνέχειαν; «Ἂς ἀποδίδῃ ὁ ἄνδρας εἰς τὴν γυναῖκα τὴν ὀφειλομένην εὔνοιαν· ὁμοίως δὲ καὶ ἡ γυναῖκα»[68]. Ἔπειτα, ἑρμηνεύων αὐτὸ καὶ ἀποσαφηνίζων, προσθέτει· «Ἡ γυναῖκα δὲν ἐξουσιάζει τὸ σῶμα της, ἀλλὰ ὁ ἄνδρας· ὁμοίως δὲ καὶ ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του, ἀλλὰ ἡ γυναῖκα»[69]. Καὶ αὐτὰ μὲν φαίνεται νὰ λέγωνται ὑπὲρ τοῦ γάμου, εἰς τὴν ἀλήθειαν ὅμως, ὅπως ἀκριβῶς περιβάλλει κανεὶς τὸ ἀγκίστρι μὲ τὸ κατάλληλον δόλωμα, ἔτσι ρίπτει μέσα εἰς τὰς ἀκοὰς τῶν μαθητῶν τοὺς λόγους, θέλων μὲ αὐτοὺς τοὺς ἰδίους τοὺς λόγους περὶ γάμου ν' ἀπομακρύνῃ αὐτοὺς ἀπὸ τὸν γάμον. Διότι αὐτὸς ποὺ θ' ἀκούσῃ, ὅτι μετὰ τὸν γάμον δὲν εἶναι

ἀλλ᾽ ἐν τῇ τῆς γυναικὸς κείσεται γνώμῃ, ταχέως ἀπαλλαγῆναι σπουδάσει τῆς πικροτάτης δουλείας, μᾶλλον δὲ μηδὲ τὴν ἀρχὴν τὸν ζυγὸν ὑπελθεῖν, ἐπειδὴ εἰσελθόντα ἅπαξ δουλεύειν ἀνάγκη λοιπὸν ἕως ἂν τῇ γυναικὶ τοῦτο δοκῇ.

2. Καὶ ὅτι οὐχ ἁπλῶς καταστοχαζόμενος λέγω τῆς τοῦ Παύλου γνώμης ἀπὸ τῶν μαθητῶν ῥᾴδιον τοῦτο καταμαθεῖν. Οὐδὲ γὰρ ἐκεῖνοι πρότερον φορτικὸν εἶναι καὶ ἐπαχθὲς τὸν γάμον ἐνόμισαν, ἀλλ᾽ ὅτε ἤκουσαν τοῦ Κυρίου εἰς ταύτην αὐτοὺς κατακλείοντος τὴν ἀνάγκην εἰς ἣν καὶ τοὺς Κορινθίους ὁ Παῦλος τότε. Τὸ γὰρ «Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι», καὶ τὸ «Ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει», ῥήμασι μὲν ἑτέροις, γνώμῃ δὲ εἴρηται τῇ αὐτῇ.

3. Εἰ δέ τις ἀκριβέστερον καταμάθοι τὸ τοῦ Παύλου, μᾶλλον ἐπιτείνει τὴν τυραννίδα καὶ φορτικωτέραν ἐργάζεται τὴν δουλείαν. Ὁ μὲν γὰρ Κύριος οὐκ ἀφίησι τὸν ἄνδρα ἐκ τῆς οἰκίας ἐκβαλεῖν τὴν γυναῖκα, ὁ δὲ Παῦλος καὶ τὴν τοῦ οἰκείου σώματος ἐξουσίαν παραιρεῖται, πᾶσαν αὐτοῦ τὴν ἀρχὴν τῇ γυναικὶ παραδιδοὺς καὶ ἀργυρωνήτου μᾶλλον ὑποτάξας οἰκέτου. Τούτῳ μὲν γὰρ ἔξεστι πολλάκις καὶ παντελοῦς ἐλευθερίας τυχεῖν εἰ δυνηθείη ποτὲ εὐπορήσας ἀργυρίου καταθεῖναι τὴν τιμὴν τῷ δεσπότῃ, ὁ δὲ ἀνὴρ κἂν τὴν ἁπάντων ἀργαλεωτέραν ἔχῃ γυναῖκα, στέργειν ἀναγκάζεται τὴν δουλείαν καὶ λύσιν οὐδεμίαν οὐδὲ διέξοδον ταύτης δύναται τῆς δεσποτείας εὑρεῖν.

---

70. Ματθ. 5, 32.
71. Α΄ Κορ. 7, 4.

κύριος τοῦ ἑαυτοῦ του, ἀλλὰ θὰ ὑποτάσσεται εἰς τὴν γνώμην τῆς γυναικός του, θὰ φροντίσῃ ἀμέσως ν' ἀπαλλαγῇ ἀπὸ τὴν πικροτάτην δουλείαν, ἢ καλύτερα δὲν θὰ θελήσῃ οὔτε κἂν νὰ μπῇ κάτω ἀπὸ αὐτὸν τὸν ζυγόν, διότι ἅπαξ καὶ τεθῇ κάτω ἀπὸ αὐτὸν τὸν ζυγὸν εἶναι ἀναγκασμένος πλέον νὰ παραμένῃ δοῦλος ἕως ὅτου θ' ἀρέσῃ αὐτὸ εἰς τὴν γυναῖκα.

2. Καὶ τὸ ὅτι αὐτὸ ποὺ λέγω δὲν τὸ συμπεραίνω ἁπλῶς καὶ μόνον ἀπὸ τὴν γνώμην τοῦ Παύλου εἶναι εὔκολον νὰ τὸ διαπιστώσῃ κανεὶς ἀπὸ τοὺς μαθητὰς τοῦ Χριστοῦ. Διότι οὔτε ἐκεῖνοι κατ' ἀρχὴν ἐθεώρουν τὸν γάμον φορτικὸν καὶ δυσβάστακτον, ἀλλ' ὅταν ἤκουσαν τὸν Κύριον νὰ τοὺς ὁδηγῇ κατὰ τρόπον αἰνιγματικὸν εἰς τὴν παραδοχὴν αὐτὴν εἰς τὴν ὁποίαν καὶ ὁ Παῦλος ὡδήγησε τότε τοὺς Κορινθίους. Διότι τὸ «Ἐκεῖνος ποὺ θὰ χωρίσῃ τὴν γυναῖκα του δι' ἄλλην αἰτίαν, ἐκτὸς ἀπὸ τὸν λόγον πορνείας, τὴν ἀναγκάζει νὰ διαπράξῃ μοιχείαν»[70], καὶ τὸ «Ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του»[71], ἐλέχθησαν μὲν μὲ διαφορετικὰ λόγια, ἀλλ' ὅμως μὲ τὴν ἰδίαν σκέψιν.

3. Ἐὰν ὅμως κανεὶς ἤθελεν ἐξετάσει ἀκριβέστερον τὰ λόγια τοῦ Παύλου, θὰ διαπιστώσῃ ὅτι αὐτὰ αὐξάνουν περισσότερον τὴν τυραννίαν καὶ κάμνουν τὴν δουλείαν περισσότερον δυσβάστακτον. Διότι ὁ μὲν Κύριος δὲν ἐπιτρέπει εἰς τὸν ἄνδρα νὰ ἐκδιώξῃ τὴν γυναῖκα του ἀπὸ τὴν οἰκίαν, ἐνῷ ὁ Παῦλος τοῦ ἀφαιρεῖ καὶ τὴν ἐξουσίαν ἐπὶ τοῦ σώματός του, παραδίδων ὅλην τὴν ἐξουσίαν ἐπ' αὐτοῦ εἰς τὴν γυναῖκα καὶ ὑποτάσσων τὸν ἄνδρα περισσότερον καὶ ἀπὸ τὸν διὰ χρημάτων ἀγοραζόμενον δοῦλον. Διότι εἰς αὐτὸν μὲν εἶναι δυνατὸν πολλὰς φορὰς καὶ νὰ ἐπιτύχῃ πλήρη ἐλευθερίαν, ἐὰν κατορθώσῃ κάποτε ν' ἀποκτήσῃ χρήματα καὶ νὰ τὰ καταθέσῃ εἰς τὸν κύριόν του ἔναντι τῆς ἐλευθερίας του, ὁ ἄνδρας ὅμως καὶ ἂν ἀκόμη συμβῇ νὰ ἔχῃ τὴν πιὸ ἰδιότροπον γυναῖκα, εἶναι ὑποχρεωμένος νὰ ὑπομένῃ τὴν δουλείαν καὶ δὲν ἠμπορεῖ νὰ εὕρῃ καμμίαν ἀπαλλαγὴν οὔτε διέξοδον ἀπὸ αὐτὴν τὴν κυριαρχίαν.

κθ΄ Ὅτι τὸ μὴ ἀποστερεῖτε ἀλλήλους εἰς παρθενίαν ἐστὶν ἐνάγοντος.

1. Εἰπὼν τοίνυν, «Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει», ἐπάγει· «Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάσητε τῇ προσευχῇ καὶ τῇ νηστείᾳ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε». Πολλοὺς ἐνταῦθα τῶν τὴν παρθενίαν ἐπανῃρημένων οἶμαι καὶ ἐρυθριᾶν καὶ αἰσχύνεσθαι ἐπὶ τῇ πολλῇ συγκαταβάσει τοῦ Παύλου. Ἀλλὰ μὴ δείσητε μηδὲ ἀβέλτερόν τι πάθητε. Δοκεῖ μὲν γὰρ καὶ ταῦτα εἶναι χαριζομένου τοῖς γεγαμηκόσιν, εἰ δέ τις αὐτὰ ἀκριβῶς διασκέψαιτο τῆς αὐτῆς ὄντας τοῖς προτέροις εὑρήσει γνώμης. Εἰ μὲν γάρ τις αὐτὰ ἁπλῶς ἐπιέναι βούλοιτο τῆς προκειμένης ἀποκόπτων αἰτίας, δόξει νυμφευτρίας εἶναι μᾶλλον ἢ ἀποστόλου τὰ ῥήματα. Εἰ δὲ τὸν σκόπον ἅπαντα ἀναπτύξειε καὶ ταύτην καιρίαν εὑρήσει τῆς ἀποστολικῆς ἀξίας τὴν παραίνεσιν.

Διὰ τί γὰρ μακρότερον ἐπέξεισι τούτῳ τῷ λόγῳ; Οὐ γὰρ ἤρκει διὰ τῶν ἀνωτέρω τοῦτο σεμνότερον ἐνδεξάμενον μέχρις ἐκείνου στῆσαι τὴν παραίνεσιν; Τί γὰρ ἔχει πλεῖον τοῦ «Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω» καὶ «Ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει», τὸ «Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν»; πλέον μὲν οὐδέν. Τὸ δὲ ἐν βραχεῖ καὶ ἀμυδρῶς εἰρημένον ἐκεῖ διὰ πλειόνων ἐνταῦθα σαφέστερον ἐξειργάσατο.

2. Ποιεῖ δὲ τοῦτο μιμούμενος τὸν ἅγιον τοῦ Θεοῦ Σαμουήλ. Καθάπερ γὰρ ἐκεῖνος μετὰ πάσης ἀκριβείας τοὺς περὶ τῆς βασιλείας ἐξηγεῖται νόμους τοῖς ἰδιώταις, οὐχ ἵνα δέξωνται, ἀλλ' ἵνα μὴ δέξωνται, καὶ δοκεῖ μὲν διδασκαλίας

72. Α' Κορ. 7, 5.

κθ΄ Περὶ τοῦ ὅτι τὰ λόγια «Μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον», ὁδηγοῦν εἰς τὴν παρθενίαν.

1. Ἀφοῦ λοιπὸν εἶπεν, «Ἡ γυναῖκα δὲν ἐξουσιάζει τὸ σῶμα της», προσθέτει· «Μὴ στερεῖτε ὁ ἕνας τὸν ἄλλον, ἐκτὸς καὶ ἂν τὸ κάμνετε κατόπιν συμφωνίας καὶ δι' ὡρισμένον χρόνον διὰ νὰ ἀφοσιωθῆτε εἰς τὴν προσευχὴν καὶ τὴν νηστείαν καὶ ἐπιστρέφετε καὶ πάλιν εἰς τὴν προηγουμένην σχέσιν σας»[72]. Νομίζω πὼς μὲ τὰ λόγια αὐτὰ πολλοὶ ἀπὸ αὐτοὺς ποὺ ἠκολούθησαν τὴν παρθενίαν κοκκινίζουν καὶ νοιώθουν ἐντροπὴν διὰ τὴν πολλὴν συγκατάβασιν τοῦ Παύλου· μὴ φοβηθῆτε ὅμως καὶ μὴ σκεφθῆτε ἀνόητα πράγματα, διότι φαίνεται μὲν καὶ αὐτὰ νὰ τὰ λέγῃ χάριν τῶν ἐγγάμων, ἐὰν ὅμως τὰ ἐξετάσῃ κανεὶς ἀκριβέστερον, θὰ εὕρῃ νὰ περιέχουν τὴν ἰδίαν σκέψιν ποὺ περιέχουν καὶ τὰ προηγούμενα. Πράγματι, ἐὰν κάποιος ἤθελε προσπεράσει αὐτὰ τὰ λόγια χωρὶς νὰ τὰ ἐξετάσῃ καὶ ἀποκόπτων αὐτὰ ἀπὸ τὴν προκειμένην αἰτίαν, θὰ σχηματίσῃ τὴν γνώμην ὅτι εἶναι λόγια προξενήτρας μᾶλλον, παρὰ ἀποστόλου, ἐὰν ὅμως εἰσχωρήσῃ εἰς ὁλόκληρον τὸν σκοπὸν αὐτῶν, θὰ εὕρῃ καὶ αὐτὴν τὴν παραίνεσιν ἐπαξίαν τοῦ ἀποστολικοῦ κύρους. Διότι πρὸς ποῖον σκοπὸν ἐπεκτείνει τὸν λόγον αὐτόν; Δὲν ἔφθανε δηλαδή, ἀφοῦ ἔδειξε μὲ τὰ ὅσα εἶπε προηγουμένως ὅτι αὐτὸ τὸ πρᾶγμα εἶναι σεμνότερον, νὰ σταματήσῃ μέχρις ἐκεῖ τὴν παραίνεσιν; Διότι τί ἐπὶ πλέον ἔχει ἀπὸ τὸ «Ὁ ἄνδρας ἂς παρέχῃ εἰς τὴν γυναῖκα ὅ,τι τῆς ὀφείλεται» καὶ «ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του», τὸ «Μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον, ἐκτὸς ἐὰν τὸ κάμνετε κατόπιν συμφωνίας δι' ἕνα ὡρισμένον χρόνον»; τίποτε τὸ ἐπὶ πλέον, ἀλλ' ἐκεῖνο ποὺ εἶπεν ἐκεῖ ἐν συντομίᾳ καὶ ἀμυδρῶς, ἐδῶ τὸ ἐπαρουσίασε σαφέστερον μὲ περισσότερα λόγια.

2. Αὐτὸ δὲ τὸ κάμνει μιμούμενος τὸν ἅγιον τοῦ Θεοῦ, τὸν Σαμουήλ. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ἐξηγεῖ εἰς τὸν λαὸν μὲ κάθε λεπτομέρειαν τοὺς νόμους περὶ τῆς βασιλείας τῶν οὐρανῶν, ὄχι διὰ νὰ δεχθοῦν, ἀλλὰ διὰ νὰ μὴ

τὸ πρᾶγμα εἶναι, τὸ δὲ ἀληθὲς ἀποτροπή τις ἦν τῆς ἐπιθυμίας αὐτῶν τῆς ἀκαίρου, οὕτω καὶ ὁ Παῦλος τοῦ γάμου τὴν τυραννίδα συνεχέστερον στρέφει καὶ σαφέστερον, τούτους αὐτοὺς τοῖς ῥήμασιν ἐκεῖθεν ἐξελκύσαι βουλόμενος. Εἰπὼν γάρ, «Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει», ἐπάγει· «Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου, ἵνα σχολάσητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ». Ὁρᾷς πῶς ἀνυπόπτως καὶ ἀνεπαχθῶς τοὺς ἐν τῷ γάμῳ μένοντας εἰς τὴν τῆς ἐγκρατείας γυμνασίαν ἐνήγαγε; Παρὰ μὲν γὰρ τὴν ἀρχὴν ἁπλῶς τὸ πρᾶγμα ἐπήνεσεν εἰπών· «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι», ἐνταῦθα δὲ καὶ παραίνεσιν προσέθηκεν εἰπών· «Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου».

3. Διὰ τί δὲ καὶ ἐν παραινέσει ὅπερ θεῖναι ἠβούλετο εἰσήγαγεν, ἀλλ' οὐκ ἐν ἐπιτάγματος σχήματι; Οὐ γὰρ εἶπεν· ἀποστερεῖτε μὲν ἀλλήλους, συμφώνως δέ, ἵνα σχολάσητε τῇ προσευχῇ, ἀλλὰ τί; «Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου». Ὅτι οὗτος προσηνέστερος ὁ λόγος ἐγένετο, τοῦ διδασκάλου τὴν γνώμην δεικνὺς οὐ μετὰ σφοδρότητος τοῦτο ἀπαιτοῦσαν, ὅτε μάλιστα καὶ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης ἡ ἔκτισις γίνεται. Οὐ τούτῳ δὲ μόνον παραμυθεῖται τὸν ἀκροατήν, ἀλλὰ καὶ τῷ τὸ μὲν τραχὺ βραχέσι συστεῖλαι ῥήμασι, πρὶν ἢ δὲ ἀλγῆσαι τὸν ἀκούοντα ἐπὶ τὰ ἡδύτερα μεταπηδῆσαι καὶ τούτοις ἐνδιατρῖψαι μᾶλλον.

λ΄ Διὰ τί εἰ τίμιος ὁ γάμος τοῖς νηστεύουσι παραινεῖ ὁ ἀπόστολος συνουσίας ἀπέχεσθαι.

1. Ἄξιον δὲ ἐξετάσαι κἀκεῖνο, τί δήποτε, εἴπερ τίμιος

δεχθοῦν, καὶ φαίνεται μὲ αὐτὸ ποὺ κάμνει νὰ εἶναι διδασκαλία, εἰς τὴν πραγματικότητα ὅμως ἀποτελεῖ κάποιαν ἀποτροπὴν ἀπὸ τὴν ἄκαιρον ἐπιθυμίαν των, ἔτσι καὶ ὁ Παῦλος ἀναφέρει συνεχέστερον καὶ σαφέστερον τὴν τυραννίαν τοῦ γάμου, ἐπιθυμῶν μὲ τὰ λόγια αὐτὰ νὰ τοὺς ἀπομακρύνῃ ἀπὸ ἐκεῖ. Διότι, ἀφοῦ εἶπεν, «Ἡ γυναῖκα δὲν ἐξουσιάζει τὸ σῶμα της», προσθέτει· «Μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον ἐκτὸς ἐὰν τὸ κάμνετε κατόπιν συμφωνίας διὰ νὰ ἀφοσιωθῆτε εἰς τὴν νηστείαν καὶ τὴν προσευχήν». Βλέπεις πῶς ὡδήγησεν εἰς τὴν ἄσκησιν τῆς ἐγκρατείας τοὺς ἐγγάμους ἐντελῶς ἀνύποπτα καὶ χωρὶς νὰ ἐνοχλῇ; Πράγματι εἰς τὴν ἀρχὴν μὲν ἁπλῶς ἐπήνεσε τὸ πρᾶγμα μὲ τὰ λόγια· «Καλὸν εἶναι εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα», ἐνῷ ἐδῶ ἐπρόσθεσε καὶ τὴν συμβουλὴν μὲ τὰ λόγια· «Μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον, ἐκτὸς ἐὰν τὸ κάμνετε κατόπιν συμφωνίας».

3. Διατί ὅμως αὐτὸ ποὺ ἤθελε νὰ τὸ παρουσιάσῃ νόμον τὸ ἀνέφερε μὲ συμβουλὴν καὶ ὄχι ὑπὸ μορφὴν προστάγματος; Διότι δὲν εἶπε· 'ἀποστερεῖτε ὁ ἕνας τὸν ἄλλον κατόπιν συμφωνίας, διὰ νὰ ἀφοσιωθῆτε εἰς τὴν προσευχήν', ἀλλὰ τί; «Μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον, ἐκτὸς ἐὰν τὸ κάμνετε κατόπιν συμφωνίας». Διότι ἔτσι ὁ λόγος αὐτὸς ἐγίνετο πιὸ εὔκολα ἀποδεκτός, παρουσιάζων τὴν γνώμην τοῦ διδασκάλου νὰ μὴ τὸ ἀπαιτῇ αὐτὸ μὲ αὐστηρὸν τρόπον, ὁπότε ἡ ἐκτέλεσις τῶν παραγγελμάτων γίνεται μὲ πολλὴν εὐγνωμοσύνην. Καὶ δὲν παρηγορεῖ μόνον μὲ αὐτὸ τὸν ἀκροατήν, ἀλλὰ καὶ μὲ τὸ νὰ περιορίσῃ μέσα εἰς σύντομα λόγια τὴν αὐστηρότητα καὶ νὰ ὁδηγήσῃ τὸν ἀκροατήν, προτοῦ στενοχωρηθῇ, εἰς τὰ εὐχάριστα καὶ νὰ ἀσχοληθῇ περισσότερον μὲ αὐτά.

λ΄ Περὶ τοῦ ὅτι, ἐὰν ὁ γάμος εἶναι τίμιος, διατί ὁ Παῦλος συμβουλεύει αὐτοὺς ποὺ νηστεύουν νὰ ἀπέχουν ἀπὸ τὴν συνουσίαν.

1. Ἀξίζει ὅμως νὰ ἐξετάσωμεν καὶ αὐτό, διατί τέλος

ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, οὐκ ἀφίησιν αὐτὸν χώραν ἔχειν ἐν τῷ τῆς νηστείας καὶ τῆς προσευχῆς καιρῷ; Ὅτι τῶν σφόδρα ἀτόπων ἦν Ἰουδαίους μὲν - οἷς ἅπαντα τὰ σωματικὰ διατετύπωτο, οἷς καὶ δύο γυναῖκας ἔχειν ἠφεῖτο καὶ τὰς μὲν ἐκβάλλειν, τὰς δὲ ἀντεισάγειν - τοσαύτην ποιεῖσθαι τοῦ πράγματος πρόνοιαν ὡς μέλλοντας θείων ἀκούειν λόγων ἀποστῆναι καὶ τῆς κατὰ νόμον μίξεως καὶ ταῦτα οὐ μίαν οὐδὲ δύο μόνον ἡμέρας ἀλλὰ καὶ πλείους, ἡμᾶς δὲ τοὺς τοσαύτης ἀπολαύοντας χάριτος, τοὺς πνεῦμα λαβόντας, τοὺς νεκρωθέντας, τοὺς συνταφέντας τῷ Χριστῷ, τοὺς υἱοθεσίας ἀξιωθέντας, τοὺς εἰς τοσαύτην ἀναχθέντας τιμήν, μετὰ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθὰ μηδὲ εἰς τὴν αὐτὴν ἀφικέσθαι τοῖς νηπίοις ἐκείνοις σπουδήν.

2. Εἰ δὲ ἐπιμένοι τις πάλιν ζητῶν, αὐτὸς δὲ ὁ Μωϋσῆς διὰ τί τοὺς Ἰουδαίους τῆς ὁμιλίας ταύτης ἀπήγαγεν, ἐκεῖνο ἂν εἴποιμι ὅτι εἰ καὶ τίμιος ὁ γάμος, ἀλλὰ μέχρι τοσούτου φθάσαι δύναιτ' ἂν ὥστε μὴ μολῦναι τὸν χρώμενον, τὸ δὲ καὶ ἁγίους ἀπαφαίνειν, οὐκέτι τῆς ἐκείνου δυνάμεως ἀλλὰ τῆς παρθενίας ἐστίν. Ὅτι δὲ οὐ Μωϋσῆς μόνον οὐδὲ Παῦλος ταῦτα παρήγγελον, ἄκουσον τί φησιν ὁ Ἰωήλ· «Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε ἐκκλησίαν, συναγάγετε πρεσβυτέρους». Ἀλλ' ἐκεῖνο ἴσως ζητεῖς, ποῦ γυναικὸς ἀπέχεσθαι ἐκέλευσεν; «Ἐξελθέτω», φησί, «νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς». Τοῦτο γὰρ καὶ Μωσαϊκοῦ μεῖζόν ἐστιν ἐπιτάγματος. Εἰ γὰρ νυμφίον καὶ νύμφην, οἷς ἀκμάζει τὰ τῆς ἐπιθυμίας, οἷς ἡ νεότης σφριγᾷ, οἷς ὁ πόθος ἀκάθεκτος, οὐ χρὴ συνιέναι κατὰ τὸν τῆς νηστείας καιρὸν καὶ τῆς προσευχῆς, πόσῳ μᾶλλον τοὺς λοιποὺς τοὺς οὐκ ἔχοντας τοσαύτην μίξεως ἀνάγκην;

---

73. Ἐξ. 19, 14 - 15.
74. Ἰωὴλ 2, 15 - 16.
75. Ἰω. 2, 16.

πάντων, ἐφ' ὅσον ὁ γάμος εἶναι τίμιος καὶ ἀμόλυντος ἡ συζυγικὴ κλίνη, δὲν ἐπιτρέπει τὴν συνουσίαν κατὰ τὴν διάρκειαν τῆς νηστείας καὶ τῆς προσευχῆς; Διότι θὰ ἦτο ἀπὸ τὰ πιὸ παράλογα οἱ μὲν Ἰουδαῖοι — εἰς τοὺς ὁποίους εἶχον δοθῆ ἐντολαὶ δι' ὅλα τὰ σωματικὰ καὶ τοὺς ἐπετρέπετο νὰ ἔχουν καὶ δύο γυναῖκας, καὶ ἄλλας μὲν νὰ χωρίζουν, ἄλλας δὲ νὰ λαμβάνουν — νὰ δείχνουν τόσην φροντίδα διὰ τὸ πρᾶγμα, ὥστε ν' ἀπέχουν καὶ ἀπὸ τὴν νόμιμον μίξιν ὅταν πρόκειται ν' ἀκούσουν θείους λόγους, καὶ αὐτὸ ὄχι μίαν οὔτε δύο μόνον ἡμέρας ἀλλὰ καὶ περισσοτέρας, ἐνῷ ἡμεῖς ποὺ ἀπολαμβάνομεν τόσον πλουσίαν χάριν, ποὺ ἐλάβομεν Πνεῦμα, ποὺ ἐνεκρώθημεν, ποὺ ἐτάφημεν μαζὶ μὲ τὸν Χριστόν, ποὺ ἠξιώθημεν τῆς υἱοθεσίας, ποὺ ὑψώθημεν εἰς τόσον μεγάλην τιμήν, μετὰ ἀπὸ τὰ τόσα πολλὰ καὶ τόσον μεγάλα ἀγαθὰ νὰ μὴ δείξωμεν οὔτε τὴν ἰδίαν φροντίδα μὲ ἐκείνους τοὺς νηπίους;

2. Ἐὰν ὅμως κάποιος ἤθελεν ἐπιμείνει καὶ πάλιν διὰ νὰ μάθῃ διατί ὁ ἴδιος ὁ Μωϋσῆς ἀπηγόρευσε τοὺς Ἰουδαίους ἀπὸ αὐτὴν τὴν σαρκικὴν μίξιν[73], ἐκεῖνο θὰ ἠμποροῦσα νὰ εἰπῶ, ὅτι ἂν καὶ εἶναι τίμιος ὁ γάμος, ὅμως ἠμπορεῖ νὰ φθάσῃ μέχρις ἐκεῖ, ὥστε νὰ μὴ μολύνῃ τὸν ἔγγαμον, τὸ ν' ἀναδεικνύῃ ὅμως ἁγίους δὲν ἐξαρτᾶται ἀπὸ τὴν δύναμιν τοῦ γάμου, ἀλλ' εἶναι ἔργον τῆς παρθενίας. Τὸ ὅτι δὲ δὲν τὰ παρήγγελον αὐτὰ μόνον ὁ Μωϋσῆς οὔτε ὁ Παῦλος, ἄκουσε τί λέγει ὁ Ἰωήλ· «Ἁγγίσατε τὴν νηστείαν, κηρύξατε θεραπείαν, συναθροίσατε τὴν ἐκκλησίαν, συναθροίσατε τοὺς πρεσβυτέρους»[74]. Ἀλλ' ἴσως ζητεῖς ἐκεῖνο, ποὺ διέταξε τὴν ἀποχὴν ἀπὸ τὴν γυναῖκα; «Ἂς ἐξέλθῃ», λέγει, «ὁ νυμφίος ἀπὸ τὸν κοιτῶνα του καὶ ἡ νύμφη ἀπὸ τὸν νυμφικόν της θάλαμον»[75]. Πράγματι αὐτὸ εἶναι μεγαλύτερον ἀπὸ τὸ μωσαϊκὸν παράγγελμα. Διότι, ἐὰν ὁ νυμφίος καὶ ἡ νύμφη, εἰς τοὺς ὁποίους εἶναι ηὐξημένα τὰ τῆς ἐπιθυμίας, εἰς τοὺς ὁποίους ἡ νεότης σφριγᾷ, εἰς τοὺς ὁποίους ὁ πόθος εἶναι ἀκάθεκτος, δὲν πρέπει νὰ συνέρχωνται κατὰ τὸν καιρὸν τῆς νηστείας καὶ τῆς προσευχῆς, πόσον μᾶλλον οἱ ὑπόλοιποι ποὺ δὲν ἔχουν

Τὸν γὰρ εὐχόμενον ὡς χρὴ καὶ νηστεύοντα πάντα ἀπορρῖψαι δεῖ πόθον βιωτικόν, πᾶσαν φροντίδα καὶ διάχυσιν καὶ πανταχόθεν ἑαυτὸν συναγαγόντα καλῶς οὕτω προσιέναι τῷ Θεῷ. Διὰ τοῦτο καὶ ἡ νηστεία καλόν, ὅτι περικόπτει τὰς τῆς ψυχῆς φροντίδας καὶ τὴν περιρρέουσαν τὸν νοῦν ὀλιγωρίαν ἀναστέλλουσα ὅλην πρὸς ἑαυτὴν ἐπιστρέφει τὴν διάνοιαν. Τοῦτο καὶ ὁ Παῦλος αἰνιττόμενος ἀπάγει τῆς μίξεως καὶ τῇ λέξει σφόδρα καιρίως κέχρηται. Οὐ γὰρ εἶπεν, ἵνα μὴ μολυνθῆτε, ἀλλ' «Ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ», ὡς τῆς πρὸς γυναῖκα ὁμιλίας οὐκ εἰς ἀκαθαρσίαν ἀλλ' εἰς ἀσχολίαν ἀγούσης.

λα΄ Ὅτι ἀναγκαίως ἀπέστησε συνουσίας τοὺς μέλλοντας σχολάζειν εὐχῇ.

Ὅπου γὰρ νῦν μετὰ τὴν τοσαύτην ἀσφάλειαν πειρᾶται ἐμποδίζειν ἡμῖν κατὰ τὸν τῆς προσευχῆς καιρὸν ὁ διάβολος, ἂν διακεχυμένην λάβῃ ψυχὴν καὶ ὑπὸ τῆς πρὸς τὴν γυναῖκα συμπαθείας μεμαλαγμένην, τί οὐν ἐργάσεται τῇδε κἀκεῖσε τοὺς τῆς διανοίας ἀναρριπίζων ὀφθαλμούς; Ὅπερ ἵνα μὴ πάθωμεν, μηδέ, ὅτε μάλιστα ἵλεῳ σπουδάζομεν ἡμῖν καταστῆσαι τὸν Θεόν, τότε αὐτῷ προσκρούωμεν διὰ τῆς οὕτω ματαίας εὐχῆς, κελεύει τῆς κοίτης ἀπηλλάχθαι τότε.

λβ΄ Ὅτι ῥαθύμως εὐχόμενοι οὐ μόνον οὐκ ἐξελεούμεθα ἀλλὰ καὶ παροξύνομεν τὸν Θεόν.

1. Εἰ γὰρ οἱ τοῖς βασιλεῦσι προσιόντες - τί λέγω βασιλεῦσιν; - ἐσχάτοις μὲν οὖν ἄρχουσι καὶ δεσπόταις δοῦλοι

τόσον μεγάλην ἀνάγκην μίξεως; Διότι αὐτὸς πού προσεύχεται ὅπως πρέπει καὶ νηστεύει πρέπει ν' ἀπορρίψῃ κάθε βιωτικὸν πόθον, κάθε φροντίδα καὶ διαχυτικότητα καί, ἀφοῦ συγκεντρώσῃ τὸν ἑαυτόν του καλὰ ἀπὸ κάθε πλευράν, ἔτσι νὰ πλησιάζῃ τὸν Θεόν. Διὰ τοῦτο καὶ ἡ νηστεία εἶναι καλὸν πρᾶγμα, διότι περιορίζει τὰς φροντίδας τῆς ψυχῆς καὶ ἐμποδίζουσα τὴν ραθυμίαν πού τριγυρίζει γύρω ἀπὸ τὸν νοῦν, συγκεντρώνει ὅλην τὴν σκέψιν γύρω ἀπὸ τὸν ἑαυτόν της. Αὐτὸ ἀκριβῶς ὑπαινισσόμενος καὶ ὁ Παῦλος, προτρέπει ἀποφυγὴν ἀπὸ τὴν σαρκικὴν μίξιν καὶ χρησιμοποιεῖ πάρα πολὺ καταλλήλους λέξεις. Διότι δὲν εἶπε, διὰ νὰ μὴ μολυνθῆτε, ἀλλὰ «Διὰ ν' ἀφοσιώνεσθε εἰς τὴν νηστείαν καὶ τὴν προσευχήν», καθ' ὅσον ἡ σαρκικὴ μίξις μὲ τὴν γυναῖκα δὲν ὁδηγεῖ εἰς ἀκαθαρσίαν, ἀλλὰ εἰς φροντίδας.

λα' Περὶ τοῦ ὅτι εἶναι ἀναγκαία ἡ ἀποχὴ δι' ἐκείνους πού πρόκειται ν' ἀσχοληθοῦν μὲ τὴν προσευχήν.

Ὅταν λοιπὸν τώρα, μετὰ ἀπὸ τὰ τόσα μέτρα ἀσφαλείας, ἐπιχειρῇ ὁ διάβολος νὰ μᾶς ἐμποδίζῃ κατὰ τὸν καιρὸν τῆς προσευχῆς, ἐὰν εὕρῃ διασκορπισμένην τὴν ψυχὴν καὶ ἀποχαυνωμένην ἐξ αἰτίας τῆς συμπαθείας πρὸς τὴν γυναῖκα, τί λοιπὸν δὲν θὰ κάνῃ, ὥστε οἱ ὀφθαλμοὶ τῆς διανοίας νὰ περιφέρωνται ἐδῶ καὶ ἐκεῖ; Διὰ νὰ μὴ τὸ πάθωμεν λοιπὸν αὐτό, οὔτε νὰ προσκρούσωμεν εἰς τὸν Θεὸν διὰ τῆς τόσον ματαίας προσευχῆς, τὴν στιγμὴν μάλιστα πού φροντίζομεν νὰ κάμωμεν τὸν Θεὸν εὐσπλαγχνικὸν ἀπέναντί μας, παραγγέλλει νὰ ἔχωμεν ἀπαλλαγὴ τότε τῆς συζυγικῆς κοίτης.

λβ' Περὶ τοῦ ὅτι προσευχόμενοι μὲ ἀδιαφορίαν, ὄχι μόνον δὲν ἐξιλεούμεθα, ἀλλὰ καὶ παροργίζομεν τὸν Θεόν.

1. Ἐὰν λοιπὸν αὐτοὶ πού προσέρχονται εἰς τοὺς βασιλεῖς — τί λέγω εἰς τοὺς βασιλεῖς; — εἰς τοὺς τελευταίους

ἐντυγχάνοντες, ἄν τε ὑφ' ἑτέρων ἠδικημένοι τοῦτο ποιῶσιν, ἄν τε αὐτοὶ δεόμενοι παθεῖν εὖ, ἄν τε ὀργήν τινα καθ' ἑαυτῶν ἐγηγερμένην κοιμίσαι σπεύδοντες, καὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν διάνοιαν ἅπασαν ἐπιστρέψαντες πρὸς ἐκείνους, οὕτω ποιοῦνται τὴν ἐντυχίαν, κἂν μικρὸν ἀπορραθυμήσωσιν, οὐ μόνον οὐ κατώρθωσαν ὑπὲρ ὧν ἐδέοντο, ἀλλὰ καὶ κακόν τι προσλαβόντες ἀπώσθησαν. Εἰ οἱ θυμὸν ἀνθρώπων παῦσαι βουλμενοι, τοσαύτῃ κέχρηνται τῇ σπουδῇ, τί πεισόμεθα ἡμεῖς οἱ δείλαιοι, μετὰ τοσαύτης ῥᾳθυμίας τῷ πάντων δεσπότῃ προσιόντες Θεῷ, καὶ ταῦτα πολλῷ μείζονος ὀργῆς ὄντες ὑπεύθυνοι; Οὔτε γὰρ οἰκέτης δεσπότην οὔτε ἀρχόμενος βασιλέα παροξύνειεν ἂν οὕτως ὡς τὸν Θεὸν καθ' ἑκάστην ἡμέραν ἡμεῖς.

2. Καὶ τοῦτο ἐμφαίνων ὁ Χριστὸς τὰ μὲν εἰς τὸν πλησίον ἁμαρτήματα ἑκατὸν ἐκάλει δηνάρια, τὰ δὲ εἰς τὸν Θεὸν μύρια τάλαντα. Ἐπεὶ οὖν τοσαύτην ἐν ταῖς εὐχαῖς πρόσιμεν σβέσοντες ὀργὴν καὶ ὃν οὕτω καθ' ἑκάστην ἐκπολεμοῦσιν τὴν ἡμέραν καταλλάξαντες, εἰκότως ἡμᾶς ἀπάγει τῆς ἡδονῆς ἐκείνης μονονουχὶ λέγων· περὶ ψυχῆς ἡμῖν ὁ λόγος, ἀγαπητοί, ὑπὲρ τῶν ἐσχάτων ὁ κίνδυνος· τρέμειν δεῖ καὶ δεδοικέναι καὶ συνεστάλθαι· δεσπότῃ πρόσιμεν φοβερῷ, πολλὰ παρ' ὑμῶν ὑβρισμένῳ, μεγάλα ἡμῖν ἔχοντι καὶ ὑπὲρ μεγάλων ἐγκαλεῖν. Οὐ περιπλοκῶν οὗτος ὁ καιρὸς οὔτε ἡδονῶν ἀλλὰ δακρύων καὶ στεναγμῶν πικρῶν, προσπτώσεως, ἐξομολογήσεως ἀκριβοῦς, λιτανείας συντεταμένης, ἱκετηρίας πολλῆς. Ἀγαπητὸν γὰρ καὶ μετὰ τοσαύτης προσελθόντα σπουδῆς δυνηθῆναι μειλί-

ἀπὸ τοὺς ἄρχοντας, προσέρχονται πρὸς συνάντησιν αὐτῶν ὅπως ἀκριβῶς οἱ δοῦλοι πρὸς τοὺς κυρίους των, εἴτε τὸ κάμνουν αὐτὸ ἐπειδὴ ἠδικήθησαν ἀπὸ ἄλλους, εἴτε ἐπειδὴ θέλων ν' ἀποσπάσουν κάποιαν εὐεργεσίαν, εἴτε ἐπειδὴ ἔρχονται νὰ καθησυχάσουν κάποιαν ὀργὴν ποὺ ἠγέρθη ἐναντίον των, συγκεντρώνοντες καὶ τοὺς ὀφθαλμούς των καὶ ὅλην τὴν σκέψιν των πρὸς ἐκείνους, ἔτσι τοὺς συναντοῦν, ἐὰν ὅμως δείξουν ὀλίγην μόνον ἀμέλειαν, ὄχι μόνον δὲν κατώρθωσαν νὰ ἐπιτύχουν αὐτὰ ποὺ ἔχουν ἀνάγκην, ἀλλὰ ἀπομακρύνονται ἀφοῦ ἀποκομίσουν καὶ κάποιο κακόν. Ἐὰν αὐτοί, ποὺ θέλουν νὰ καταπραΰνουν τὸν θυμὸν τῶν ἀνθρώπων, δεικνύουν τόσην φροντίδα, τί θὰ πάθωμεν ἡμεῖς οἱ ταλαίπωροι, ποὺ προσερχόμεθα πρὸς τὸν Κύριον τῶν πάντων Θεὸν μὲ τόσην ἀδιαφορίαν καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ εἴμεθα ὑπεύθυνοι πολὺ πιὸ μεγαλυτέρας ὀργῆς; Διότι οὔτε ὁ δοῦλος παροργίζει ἔτσι τὸν κύριόν του, οὔτε ὁ ἀρχόμενος τὸν βασιλέα, ὅσον ἡμεῖς παροργίζομεν κάθε ἡμέραν τὸν Θεόν.

2. Αὐτὸ θέλων νὰ παρουσιάσῃ ὁ Χριστὸς ἐκάλει τὰ μὲν ἁμαρτήματα πρὸς τὸν πλησίον ἑκατὸν δηνάρια, τὰ δὲ πρὸς τὸν Θεὸν μὲ μύρια τάλαντα. Ἐπειδὴ λοιπὸν προσερχόμεθα μὲ τὰς προσευχὰς νὰ σβήσωμεν τόσην ὀργὴν καὶ νὰ συμφιλιωθῶμεν μὲ ἐκεῖνον ποὺ καθημερινῶς τὸν πολεμοῦμεν τόσον πολύ, κατὰ πολὺ φυσικὸν λόγον μᾶς ἀπομακρύνει ἀπὸ τὴν ἡδονὴν ἐκείνην, ὡσὰν κατὰ κάποιον τρόπον νὰ μᾶς λέγῃ· Πρόκειται διὰ τὴν ψυχήν σας, ἀγαπητοί, ὁ κίνδυνος εἶναι ἀπὸ τοὺς πιὸ φοβερούς· πρέπει νὰ τρέμωμεν καὶ νὰ φοβούμεθα καὶ νὰ ἐντρεπώμεθα προσερχόμεθα ἐνώπιον τοῦ φοβεροῦ Κυρίου ποὺ τὸν ὑβρίσαμεν πάρα πολύ, ποὺ ἔχει εἰς βάρος μας μεγάλας κατηγορίας καὶ ν' ἀπαιτήσῃ μεγάλας ὀφειλάς. Δὲν εἶναι αὐτὸς ὁ καιρὸς δι' ἀγκαλιάσματα οὔτε δι' ἡδονάς, ἀλλὰ διὰ δάκρυα καὶ πικροὺς στεναγμούς, διὰ γονυκλισίας ἱκετευτικάς, διὰ εἰλικρινῆ ἐξομολόγησιν, διὰ ἐντόνους προσευχὰς καὶ πολλὰς παρακλήσεις. Διότι εἶναι εὐχάριστον, προσελθὼν κανεὶς μὲ τόσην φροντίδα νὰ ἠμπορέσῃ νὰ καταπραΰνῃ τὴν

ξασθαι τὴν ὀργὴν ἐκείνην, οὐκ ὅτι ἀπηνὴς οὐδ' ὅτι ὠμὸς ὁ δεσπότης ἡμῶν - καὶ γὰρ σφόδρα ἐστὶν ἥμερος καὶ φιλάνθρωπος - ἀλλ' ἡ τῶν ἁμαρτημάτων τῶν ἡμετέρων ὑπερβολὴ οὐδὲ τὸν χρηστὸν καὶ ἐπιεικῆ καὶ πολυέλεον ἀφίησιν ἡμῖν συγγνῶναι ταχέως.

3. Διό φησιν· «Ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ προσευχῇ». Τί οὖν ἂν εἴη τῆς δουλείας ταύτης πικρότερον; Βούλει φησίν, ἐπιδοῦναι πρὸς ἀρετήν, ἀναπτῆναι πρὸς οὐρανόν, νηστείαις καὶ εὐχαῖς συνεχῶς προσκαρτερῶν ἀποσμῆξαι τὸν ῥύπον τῆς ψυχῆς; Εἶτα ἂν μὴ βούληται ἐκείνη ταύτῃ ἐπινεῦσαι τῇ γνώμῃ, ἀνάγκη δουλεύειν αὐτῆς τῇ λαγνείᾳ. Διὰ τοῦτο γὰρ ἀρχόμενος ἔλεγε· «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι». Διὰ τοῦτο καὶ οἱ μαθηταὶ πρὸς τὸν Κύριον εἶπον· «Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι». Λογισάμενοι γὰρ ὅτι πολλὴ ἀνάγκη θατέρῳ τῷ μέρει γενέσθαι τὴν ἐπήρειαν καὶ στενοχωρηθέντες ὑπὸ τῶν λογισμῶν ταύτην ἀφῆκαν τὴν φωνήν.

λγ' Ὅτι τὸ δεύτερον εἰπεῖν περὶ τῶν αὐτῶν τὸν Χριστόν ἐστι μιμουμένων.

Διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς αὐτὸ στρέφει ἵνα εἰς τοῦτον τὸν λογισμὸν ἐμβαλῇ τοὺς Κορινθίους· «Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, μὴ ἀποστερεῖτε ἀλλήλους, ἐπὶ τὸ αὐτὸ συνέρχεσθε». Οὐδὲ γὰρ οἱ μακάριοι τότε ἐκεῖνοι ἐκ πρώτης εὐθέως τοῦτο ἔπαθον τῆς φωνῆς, ἀλλ' ὅτε ἐκ δευτέρου ταῦτα ἤκουσαν, τότε συνεῖδον τῆς ἐντολῆς τὴν ἀνάγκην. Καὶ γὰρ ὅτε ἐκάθητο ἐπὶ τοῦ ὄρους ὁ Χριστός, διελέχθη περὶ τούτου καὶ

---

76. Ματθ. 19, 10.
77. Ματθ. 5, 28· 31.

ὀργὴν ἐκείνην, ὄχι διότι εἶναι ἀδυσώπητος, οὔτε ὅτι εἶναι σκληρὸς ὁ Κύριός μας — καθ' ὅσον εἶναι πάρα πολὺ ἥμερος καὶ φιλάνθρωπος —, ἀλλὰ τὸ ὑπερβολικὸν μέγεθος τῶν ἁμαρτημάτων δὲν ἀφήνουν οὔτε τὸν ἀγαθὸν καὶ ἐπιεικῆ καὶ πολυέλαιον νὰ μᾶς συγχωρήσῃ ἀμέσως..

3. Διὰ τοῦτο λέγει· «Διὰ νὰ ἀφοσιώνεσθε εἰς τὴν νηστείαν καὶ προσευχήν». Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πικρότερον ἀπὸ αὐτὴν τὴν δουλείαν; Θέλεις, λέγει, νὰ ἐπιδοθῇς εἰς τὴν ἀρετήν, νὰ πετάξῃς πρὸς τὸν οὐρανόν, νὰ καθαρίσῃς τὸν ρύπον τῆς ψυχῆς σου ἐπιμένων μὲ νηστείας καὶ συνεχεῖς προσευχάς, ἔπειτα ὅμως ἂν δὲν θέλῃ ἐκείνη νὰ συμφωνήσῃ μὲ τὴν γνώμην σου αὐτήν, εἶσαι ἀναγκασμένος νὰ γίνῃς δοῦλος τῆς σαρκικῆς ἀπολαύσεώς της. Διὰ τοῦτο λοιπὸν ἔλεγεν εἰς τὴν ἀρχήν· «Καλὸν εἶναι εἰς τὸν ἄνδρα νὰ μὴ ἐγγίζῃ γυναῖκα». Διὰ τοῦτο καὶ οἱ μαθηταὶ εἶπον πρὸς τὸν Κύριον· «Ἐὰν ἔτσι ἔχῃ τὸ πρᾶγμα μεταξὺ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, δὲν συμφέρει κανεὶς νὰ συνάψῃ γάμον»[76]. Διότι σκεφθέντες ὅτι κατ' ἀναπόφευκτον ἀνάγκην θὰ ὑποστῇ τὴν ζημίαν τὸ ἄλλο μέρος καὶ στενοχωρηθέντες ἀπὸ τὰς σκέψεις αὐτάς, εἶπαν αὐτὰ τὰ λόγια.

λγ' Περὶ τοῦ ὅτι ἡ ἐπιμονὴ περὶ τῶν ἰδίων πραγμάτων εἶναι γνώρισμα αὐτῶν ποὺ μιμοῦνται τὸν Χριστόν.

Διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς αὐτὸ ἐπαναλαμβάνει, διὰ νὰ βάλῃ μέσα εἰς τὸν νοῦν τῶν Κορινθίων αὐτὴν τὴν σκέψιν· «Ὁ καθένας ἂς ἔχῃ τὴν γυναῖκα του· ὁ ἄνδρας ἂς ἀποδίδῃ εἰς τὴν γυναῖκα του αὐτὸ ποὺ τῆς ἀνήκει· ἡ γυναῖκα δὲν ἐξουσιάζει τὸ σῶμα της· μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον· νὰ ἐκτελῆτε τὰς συζυγικάς σας σχέσεις». Βέβαια οὔτε καὶ οἱ μακάριοι ἐκεῖνοι ἔπαθον τότε αὐτὸ εὐθὺς ἐξ ἀρχῆς ποὺ τὸ ἤκουσαν, ἀλλ' ὅταν τὰ ἤκουσαν αὐτὰ διὰ δευτέραν φοράν, τότε ἀντελήφθησαν τὴν ἀνάγκην τῆς ἐντολῆς. Καθ' ὅσον ὅταν ἐκάθητο ὁ Χριστὸς ἐπάνω εἰς τὸ ὄρος, ὡμίλησε διὰ τὸ θέμα αὐτὸ[77] καὶ ξανὰ πάλιν

μεθ' ἕτερα πολλὰ πάλιν· οὕτως αὐτοὺς εἰσήγαγεν εἰς τὸν τῆς ἐγκρατείας ἔρωτα. Οὕτω συνεχῶς τὰ αὐτὰ λεγόμενα πλείονα ἔχει τὴν ἐνεργείαν. Κἀνταῦθα οὖν τὸν διδάσκαλον μιμούμενος ὁ μαθητὴς συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεται· καὶ οὐδαμοῦ τὴν συγχώρησιν ἁπλῶς τίθησιν, ἀλλὰ μετὰ αἰτίας, «διὰ τὰς πορνείας» λέγων «καὶ τοὺς πειρασμοὺς σατανικοὺς καὶ τὴν ἀκρασίαν», καὶ ἀνυπόπτως τὸ τῆς παρθενίας ἐγκώμιον ἐργαζόμενος ἐν τοῖς περὶ τοῦ γάμου λόγοις.

λδ' Ὅτι θαυμαστὸν καὶ πολλῶν ἄξιον στεφάνων ἡ παρθενία.

1. Εἰ γὰρ τοὺς ἐν τῷ γάμῳ διατρίβοντας δέδοικεν ἀποστῆσαι ἐπιπολὺ μή τινα παρείσδυσιν ὁ διάβολος εὕρῃ, πόσων ἂν εἶεν ἄξιαι στεφάνων αἳ μηδὲ παρὰ τὴν ἀρχὴν ταύτης δεηθεῖσαι τῆς παραμυθίας καὶ μέχρι τέλους ἀχείρωτοι διαμείνασαι; Καίτοι οὐδὲ τὰ παρὰ τοῦ διαβόλου μηχανήματα ἐξ ἴσης ἀμφοτέροις προσάγεται. Τοῖς μὲν γὰρ οὔτε ἐνοχλεῖν αὐτὸν οἶμαι εἰδότα ὅτι πλησίον αὐτοῖς ἡ καταφυγή, κἄν τινος αἴσθωνται σφοδροτέρας προσβολῆς, ἔξεστιν εὐθέως ἐπὶ τὸν λιμένα καταφυγεῖν. Οὐδὲ γὰρ ἀφίησιν αὐτοὺς ὁ μακάριος Παῦλος πορρωτέρω πλεῖν, ἀλλ' ὑποστρέφειν ἡνίκα ἂν κάμωσι καὶ παραινεῖ πάλιν ἐπιτρέπων ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι. Ἡ δὲ παρθένος δι' ὅλου θαλαττεύειν ἀναγκάζεται καὶ πέλαγος πλεῖν ἀλίμενον, κἂν ὁ χαλεπώτατος διεγερθῇ χειμών, οὐδὲ οὕτω θέμις ὁρμίσαι τὸ σκάφος αὐτῇ καὶ ἀναπαύσασθαι.

2. Ὥσπερ οὖν οἱ κατὰ τὴν θάλατταν κακοῦργοι, ἔνθα μὲν ἂν ᾖ πόλις ἢ ἐπίνειον ἢ λιμήν, οὐκ ἐπιτίθενται τοῖς πλέουσι· τοῦτο γὰρ μάτην κινδυνεύειν ἐστίν, ἂν δὲ ἐν μέσῳ τῷ

μετὰ ἀπὸ πολλὰ ἄλλα· ἔτσι τοὺς ὡδήγησεν εἰς τὸν ἔρωτα τῆς ἐγκρατείας. Διότι τὰ ἴδια πράγματα ἐπαναλαμβανόμενα συνεχῶς ἔχουν μεγαλυτέραν ἐπίδρασιν. Καὶ αὐτὴν λοιπὸν τὴν περίπτωσιν μιμούμενος ὁ μαθητὴς τὸν διδάσκαλον συνεχῶς ὁμιλεῖ διὰ τὰ ἴδια πράγματα· καὶ πουθενὰ δὲν ἀναφέρει ἔτσι ἁπλῶς τὴν συγχώρησιν, ἀλλὰ μαζὶ μὲ τὴν αἰτίαν, λέγων «πρὸς ἀποφυγὴν τῆς πορνείας καὶ τῶν σατανικῶν πειρασμῶν καὶ τῆς ἀδυναμίας πρὸς ἐγκράτειαν», καὶ τελείως ἀνύποπτα ἐγκωμιάζει τὴν παρθενίαν μὲ τὰ λόγια περὶ τοῦ γάμου.

λδ΄ Περὶ τοῦ ὅτι ἡ παρθενία εἶναι ἀξία θαυμασμοῦ καὶ πολλῶν στεφάνων.

1. Ἐὰν λοιπὸν ἐφοβήθη νὰ ἀπομακρύνῃ ἐπὶ πολὺν χρόνον τοὺς ἐγγάμους τὸν ἕνα ἀπὸ τὸν ἄλλον διὰ νὰ μὴ εὕρῃ κάποιαν εὐκαιρίαν διεισδύσεως ὁ διάβολος, πόσων στεφάνων ἄξιαι δὲν θὰ ἦσαν αὐταὶ ποὺ δὲν ἐχρειάσθησαν οὔτε ἀπὸ τὴν ἀρχὴν αὐτὴν τὴν παρηγορίαν καὶ ἔμειναν μέχρι τέλος ἀκατάβλητοι; Ἂν καὶ βέβαια τοῦ διαβόλου αἱ μηχανορραφίαι δὲν κινοῦνται ἐξ ἴσου καὶ πρὸς τοὺς δύο. Διότι τοὺς μὲν ἐγγάμους πιστεύω δὲν τοὺς ἐνοχλεῖ, ἐπειδὴ γνωρίζει ὅτι εὑρίσκεται πλησίον των τὸ καταφύγιον, ὥστε ἐὰν συμβῇ νὰ αἰσθανθοῦν κάποιαν ἰσχυροτέραν προσβολήν, ὑπάρχει ἡ δυνατότης νὰ καταφύγουν ἀμέσως εἰς τὸν λιμένα. Ἄλλωστε οὔτε καὶ ὁ μακάριος Παῦλος τοὺς ἀφήνει νὰ πλεύσουν μακρύτερα, ἀλλὰ τοὺς συμβουλεύει καὶ τοὺς ἐπιτρέπει νὰ ἐπιστρέφουν καὶ πάλιν εἰς τὴν συζυγικὴν σχέσιν ὅταν κουρασθοῦν. Ἡ παρθένος ὅμως συνεχῶς εἶναι ἀναγκασμένη νὰ δέρνεται ἀπὸ τὰ κύματα τῆς θαλάσσης καὶ νὰ πλέῃ ἕνα πέλαγος χωρὶς λιμάνι, καὶ ἂν συμβῇ νὰ σηκωθῇ φοβερωτάτη κακοκαιρία, οὔτε τότε εἶναι δυνατὸν ν' ἀγκυροβολήσῃ τὸ σκάφος της καὶ νὰ ξεκουρασθῇ.

2. Ὅπως ἀκριβῶς λοιπὸν οἱ πειραταὶ τῆς θαλάσσης, ὅπου μὲν ὑπάρχει πόλις ἢ ἐπίνειον ἢ λιμάνι δὲν ἐπιτίθενται ἐναντίον αὐτῶν ποὺ ταξιδεύουν, διότι αὐτὸ θὰ ἦτο μά-

πελάγει τὸ σκάφος ἀπολάβωσι, τὴν ἐρημίαν τῶν βοηθησόντων τῆς τόλμης ἐφόδιον ἔχοντες, πάντα κινοῦσι καὶ στρέφουσι καὶ οὐ πρότερον ἀφίστανται ἕως ἂν ἢ καταδύσωσι τοὺς ἐμπλέοντας ἢ τοῦτο πάθωσιν αὐτοί. Οὕτω καὶ ὁ δεινὸς οὗτος πειρατὴς τῇ παρθένῳ πολὺν ἐπάγει τὸν χειμῶνα καὶ χαλεπὴν τὴν ζάλην καὶ ἀφορήτους τὰς τρικυμίας, πάντα ἄνω καὶ κάτω κυκῶν, ὥστε τῇ βίᾳ καὶ τῇ ῥύμῃ περιτρέψαι τὸ σκάφος. Ἤκουσε γὰρ ὅτι τὸ ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι ἡ παρθένος οὐκ ἔχει, ἀλλ' ἀνάγκη δι' ὅλου παλαίειν αὐτήν, δι' ὅλου μάχεσθαι πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἕως ἂν εἰς τὸν εὔδιον ἀληθῶς καταπλεύσῃ λιμένα.

3. Καθάπερ γὰρ στρατιώτην γενναῖον ἔξω τειχῶν ἀποκλείσας τὴν παρθένον ὁ Παῦλος, οὐκ ἀφίησιν ἀνοιγῆναι τὰς πύλας αὐτῇ, κἂν σφόδρα ὁ πολέμιος ἀγριαίνῃ πρὸς αὐτήν, κἂν αὐτῷ τούτῳ σφοδρότερος γίνηται, τῷ τὸν ἀντίπαλον μηδεμίαν ἐξουσίαν ἔχειν ἀνακωχῆς. Οὐχ ὁ διάβολος δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ τῆς ἐπιθυμίας οἶστρος μειζόνως τοῖς μὴ γεγαμηκόσιν ἐνοχλεῖ. Καὶ τοῦτο παντί που δῆλόν ἐστιν. Ὧν μὲν γὰρ τὴν ἀπόλαυσιν ἔχομεν, οὐ ταχέως ὑπὸ τῆς ἐπιθυμίας ἁλισκόμεθα, τῆς ἀδείας τῇ ψυχῇ ῥαθυμεῖν συγχωρούσης. Καὶ τοῦτο καὶ παροιμία τις ἡμῖν μαρτυρεῖ δημώδης μέν, σφόδρα δὲ ἀληθής. Τὸ γὰρ ἐν ἐξουσίᾳ, φησίν, ἕτοιμον οὐκ εἶναι πρὸς ἐπιθυμίαν σφοδρόν. Ἂν δέ ποτε κωλυθῶμεν ὧν πάλαι ἦμεν κύριοι, τοὐναντίον γίνεται καὶ τὰ δι' ἐξουσίαν παρ' ἡμῶν καταφρονούμενα ταῦτα ὅταν τὸ κῦρος ἡμῶν ἐκφύγῃ σφοδρότερον ἡμῶν τὴν ἐπιθυμίαν διήγειρε.

ταιος κίνδυνος, ἂν ὅμως συναντήσουν τὸ σκάφος εἰς τὸ μέσον τοῦ πελάγους, ἔχοντες ὡς ἐφόδιον τῆς τόλμης των τὴν ἔλλειψιν αὐτῶν ποὺ ἠμποροῦν νὰ τοὺς βοηθήσουν, κινοῦν καὶ μηχανεύονται τὰ πάντα, καὶ δὲν ἀπομακρύνονται προηγουμένως, ἐὰν δὲν καταβυθίσουν τοὺς ταξιδεύοντας, ἢ πάθουν αὐτοὶ αὐτό. Ἔτσι καὶ ὁ φοβερὸς αὐτὸς πειρατὴς ἐπιφέρει ἐναντίον τῆς παρθένου πολλὴν κακοκαιρίαν καὶ φοβερὴν ἀνεμοζάλην καὶ ἀφορήτους τρικυμίας, καὶ ὅλα τὰ διαταράσσει καὶ τὰ κάνει ἄνω κάτω, ὥστε νὰ καταβυθίσῃ τὸ σκάφος μὲ τὴν βίαν καὶ τὴν ὁρμήν. Διότι ἤκουσεν, ὅτι ἡ παρθένος δὲν ἠμπορεῖ νὰ ἔλθῃ εἰς σαρκικὴν σχέσιν, ἀλλ' εἶναι ἀναγκασμένη νὰ παλαίῃ συνεχῶς, συνεχῶς νὰ μάχεται ἐναντίον τῶν πνευμάτων τῆς πονηρίας, μέχρις ὅτου δὲν ἠμπορέσῃ πράγματι νὰ καταπλεύσῃ εἰς τὸν γαλήνιον λιμένα.

3. Διότι ὁ Παῦλος, ἀφοῦ ἔκλεισεν ὡσὰν γενναῖον στρατιώτην τὴν παρθένον ἔξω ἀπὸ τὰ τείχη, δὲν ἀφήνει ν' ἀνοίξουν δι' αὐτὴν αἱ πύλαι, καὶ ἂν ἀκόμη ὁ ἐχθρὸς ἐπιτίθεται ἐναντίον της μὲ τρομερὴν ἀγριότητα, καὶ ἂν ἀκόμη γίνεται φοβερώτερος ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος, τὸ ὅτι δηλαδὴ ὁ ἀντίπαλος δὲν ἔχει καμμίαν δυνατότητα δι' ἀνακωχήν. Ὄχι δὲ μόνον ὁ διάβολος, ἀλλὰ καὶ αὐτὸς ὁ οἶστρος τῆς ἐπιθυμίας ἐνοχλεῖ πολὺ περισσότερον τοὺς ἀγάμους. Καὶ αὐτὸ βέβαια εἶναι φανερὸν εἰς τὸν καθένα. Διότι αὐτὰ ποὺ ἠμποροῦμεν νὰ τὰ ἀπολαύσωμεν, δὲν τὰ ἐπιθυμοῦμεν ἀμέσως, ἐπειδὴ ἡ δυνατότης αὐτὴ τῆς ἀπολαύσεως ἐπιτρέπει εἰς τὴν ψυχὴν νὰ εἶναι ἥσυχος. Καὶ αὐτὸ μᾶς τὸ ἐπιβεβαιώνει καὶ κάποια παροιμία, λαϊκὴ μέν, ἀλλὰ μὲ πάρα πολλὴν ἀλήθειαν. Διότι, λέγει, αὐτὸ ποὺ ὑπάρχει δυνατότης νὰ τὸ εὕρωμεν εὐκόλως, δὲν μᾶς δημιουργεῖ πάρα πολὺ μεγάλην ἐπιθυμίαν. Ἂν ὅμως κάποτε ἐμποδισθῶμεν ἀπὸ πράγματα ποὺ παλαιότερον εἴχομεν ὑπὸ τὴν ἐξουσίαν μας, συμβαίνει τὸ ἀντίθετον, καὶ αὐτὰ ποὺ κάποτε τὰ ἐπεριφρονούσαμεν, ὡς εὑρισκόμενα ὑπὸ τὴν ἐξουσίαν μας, αὐτά, ὅταν χάσωμεν αὐτὴν τὴν ἐξουσίαν ἐπ' αὐτῶν, διεγείρουν σφοδρότερον τὴν ἐπιθυμίαν μας.

4. Πρῶτον μὲν οὖν ταύτῃ μείζων παρὰ τοῖς γεγαμηκόσιν ἡ γαλήνη· δεύτερον δὲ ὅτι κἂν εἰς ὕψος ἀρθῆναι φιλονεικήσῃ ποτὲ ἡ φλόξ, καταστέλλει ταχέως αὐτὴν ἐπελθοῦσα ἡ μίξις. Ἡ δὲ παρθένος οὐκ ἔχουσα ὅτῳ σβέσει τὸ πῦρ, ὁρᾷ μὲν αὐτὸ κορυφούμενον καὶ εἰς ὕψος αἰρόμενον, σβέσαι δὲ οὐκ ἰσχύουσα ἑνὸς γίνεται μόνου τοῦ μὴ φλεχθῆναι μαχομένη πυρί. Ἆρα ἔστι τι τούτου παραδοξότερον, πᾶσαν ἔνδον βαστάζειν τὴν πυρὰν καὶ μὴ καίεσθαι; Συστρέφειν μὲν ἐν τοῖς τῆς ψυχῆς ταμιείοις τὴν φλόγα, ἀνέπαφον δὲ τὴν διάνοιαν διατηρεῖν; Οὐδεὶς γὰρ αὐτῇ συγχωρεῖ τοὺς ἄνθρακας τούτους ἔξω κενῶσαι, ἀλλ' ὅπερ ὁ παροιμιαστὴς ἀδύνατον εἶναί φησιν ἐπὶ τῆς τῶν σωμάτων φύσεως, τοῦτο ὑπομένειν αὐτὴ καταναγκάζεται ἐπὶ τῆς ψυχῆς. Τί δὲ ἐκεῖνός φησι; «Περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει;». Ἀλλ' ἰδοὺ αὕτη περιπατεῖ καὶ φέρει τὴν βάσανον. «Ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει;». Αὕτη δὲ οὐκ ἐν ἱματίοις, ἀλλ' ἔνδον ἔχουσα τὸ πῦρ ἀγριαῖνον καὶ ἠχοῦν, ἀνέχεται καὶ στέγει τὴν φλόγα.

5. Ἔτ' οὖν τολμήσει τις, εἰπέ μοι, τῇ παρθενίᾳ τὸν γάμον παραβαλεῖν; Ἀντιβλέψαι δὲ ὅλως; Ἀλλ' οὐκ ἀφίησιν ὁ μακάριος Παῦλος πολὺ τὸ μέσον ἑκατέρου τοῦ πράγματος θείς. Ἡ μὲν γὰρ τὰ τοῦ κυρίου, φησίν, ἡ δὲ τὰ τοῦ κόσμου μεριμνᾷ. Συναγαγὼν τοίνυν εἰς ταὐτὸν τοὺς γεγαμηκότας καὶ ταύτῃ χαρισάμενος, ἄκουσον πῶς αὐτοῖς ὀνειδίζει πάλιν· «Ἐπὶ τὸ αὐτό», γάρ φησι, «συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς». Καὶ δεῖξαι βουλόμενος ὅτι οὐ τῆς ἐκείνου πείρας τὸ πᾶν ἐστιν, ἀλλὰ τῆς ἡμετέρας νωθείας τὸ πλέον,

78. Παροιμ. 6, 28.
79. Παροιμ. 6, 27.
80. Πρβλ. Α' Κορ. 7, 34.
81. Α' Κορ. 7, 5.

4. Κατὰ πρῶτον λοιπόν, ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος ἡ γαλήνη εἶναι μεγαλυτέρα εἰς τοὺς ἐγγάμους· δεύτερον δὲ καὶ ἂν ἀκόμη κάποτε ἡ φλόγα ἐπιχειρήσῃ νὰ ἀνεβῇ εἰς μεγαλύτερον ὕψος, τὴν σβήνει ἀμέσως ἡ σαρκικὴ σχέσις ποὺ ἀκολουθεῖ. Ἡ παρθένος ὅμως μὴ ἔχουσα μὲ τί νὰ σβήσῃ τὸ πῦρ, βλέπει μὲν αὐτὸ νὰ κορυφώνεται καὶ νὰ φθάνῃ εἰς μεγάλον ὕψος καὶ ἐπειδὴ δὲν ἠμπορεῖ νὰ τὸ σβήσῃ, δι' ἕνα μόνον πρᾶγμα φροντίζει, τὸ νὰ μὴ καῇ ἀγωνιζομένη ἐναντίον τῆς φωτιᾶς. Ἆρά γε ὑπάρχει τίποτε πιὸ παράδοξον ἀπὸ αὐτό, τὸ νὰ ἔχῃ δηλαδὴ μέσα της ὅλην τὴν φωτιὰν καὶ νὰ μὴ καίεται; Νὰ τριγυρίζῃ μὲν ἡ φλόγα μέσα εἰς τὰ ἀπόκρυφα τῆς ψυχῆς της, νὰ διατηρῇ ὅμως ἀνεπηρέαστον τὴν διάνοιάν της; Διότι κανεὶς δὲν ἐπιτρέπει εἰς αὐτὴν νὰ ἀπορρίψῃ ἔξω αὐτοὺς τοὺς ἄνθρακας, ἀλλ' αὐτὸ ποὺ λέγει ὁ Παροιμιαστὴς ὅτι εἶναι ἀδύνατον εἰς τὴν φύσιν τῶν σωμάτων, αὐτὸ ἀναγκάζεται αὐτὴ νὰ ὑπομένῃ εἰς τὴν ψυχήν της. Τί λέγει ἐκεῖνος; «Θὰ περιπατήσῃ δὲ κάποιος ἐπάνω εἰς ἀναμμένα κάρβουνα καὶ δὲν θὰ κατακαύσῃ τὰ πόδια του;»[78]. Ἀλλὰ νὰ αὐτὴ περιπατεῖ καὶ ὑπομένει τὴν βάσανον. «Θὰ θέσῃ κάποιος φωτιὰν εἰς τὸν κόλπον του καὶ δὲν θὰ κατακαύσῃ τὰ ἐνδύματά του;»[79]. Αὐτὴ ὅμως ἔχει τὴν φωτιὰν ὄχι εἰς τὰ ἐνδύματά της, ἀλλὰ μέσα της, ἀγριαιμένην καὶ προκαλοῦσαν θόρυβον, καὶ ὅμως ἀνέχεται καὶ ὑπομένει τὴν φλόγα.

5. Θὰ τολμήσῃ λοιπὸν κανεὶς ἀκόμη, εἰπέ μου, νὰ παραβάλῃ τὸν γάμον μὲ τὴν παρθενίαν; Ἔστω δὲ καὶ νὰ ἀτενίσῃ αὐτὴν ἁπλῶς; Ἀλλὰ δὲν τὸ ἐπιτρέπει ὁ μακάριος Παῦλος, θέσας πολλὴν ἀπόστασιν μεταξὺ τῶν δύο πραγμάτων. Διότι, λέγει, ἡ μὲν παρθένος φροντίζει διὰ τὰ τοῦ Κυρίου, ἡ δὲ ἔγγαμος μεριμνᾷ διὰ τὰ πράγματα τοῦ κόσμου[80]. Ἐπιτρέψας λοιπὸν τοὺς ἐγγάμους νὰ ἔλθουν εἰς σαρκικὴν ἕνωσιν καὶ ἀφοῦ τοὺς ἔκαμεν αὐτὴν τὴν χάριν, ἄκουσε πῶς πάλιν ὀνειδίζει αὐτούς· «διότι λέγει· «Νὰ ἔρχεσθε εἰς σαρκικὴν μίξιν διὰ νὰ μὴ σᾶς πειράζῃ ὁ Σατανᾶς»[81]. Καὶ θέλων νὰ δείξῃ ὅτι δὲν ἐξαρτᾶται τὸ πᾶν ἀπὸ τὸν πειρασμὸν αὐτοῦ, ἀλλὰ τὸ περισσότερον ὀφείλεται εἰς τὴν

τὴν κυριωτέραν αἰτίαν ἐπήγαγε, «διὰ τὴν ἀκρασίαν ὑμῶν» εἰπών.

6. Τίς οὖν οὐκ ἂν ἐρυθριάσειε ταῦτα ἀκούων; Τίς οὐκ ἂν σπουδάσειεν ἐκφυγεῖν τῆς ἀκρασίας τὸν ψόγον; Οὐδὲ γὰρ πρὸς πάντας ἡ παραίνεσις αὕτη ἀλλὰ πρὸς τοὺς σφόδρα κατωφερεῖς. Ἂν οὕτως ᾖ δοῦλος τῶν ἡδονῶν, φησίν, ἂν οὕτω χαῦνος ὡς διὰ παντὸς ἐκκεχύσθαι πρὸς τὴν μίξιν καὶ κεχηνέναι, συνέρχου τῇ γυναικί. Οὐκ ἄρα ἀποδεχομένου οὐδὲ ἐπαινοῦντος ἡ συγχώρησις, ἀλλὰ σκώπτοντος καὶ καταγινώσκοντος. Οὐδὲ γὰρ ἂν εἰ μὴ σφόδρα ἠθέλησε καθάψασθαι τῆς τῶν φιληδόνων ψυχῆς, τὴν τῆς ἀκρασίας ἔθηκε λέξιν, ἐμφατικωτέραν οὖσαν καὶ πολὺν ἔχουσαν τὸν ψόγον. Διὰ τί γὰρ οὐκ εἶπε διὰ τὴν ἀσθένειαν ὑμῶν; Ὅτι ἐκεῖνο μᾶλλον συγγινώσκοντος ἦν, τὸ δὲ τῆς ἀκρασίας εἰπεῖν δεικνύντος τῆς ῥαθυμίας τὴν ὑπερβολήν. Οὐκοῦν ἀκρασίας τὸ μὴ δύνασθαι πορνείας ἀπέχεσθαι, εἰ μὴ διὰ παντός τις ἔχοιτο τῆς γυναικὸς καὶ τῆς μίξεως ἀπολαύοι.

7. Τί οὖν ἂν εἴποιεν ἐνταῦθα οἱ τὴν παρθενίαν περιττὸν εἶναι τιθέμενοι; Αὕτη μὲν γὰρ ὅσῳ ἂν ἐπιταθῇ τοσούτῳ μεῖζον ἔχει τὸ ἐγκώμιον. Ὁ δὲ γάμος ὅταν αὐτῷ τις κατακόρως κεχρημένος ᾖ, τότε μάλιστα ἐπαίνου παντὸς ἀπεστέρηται. «Τοῦτο», γάρ φησι, «λέγω κατὰ συγγνώμην οὐ κατ' ἐπιταγήν». Ἔνθα δὲ ἂν ἡ συγγνώμη, χώραν ἔπαινος οὐκ ἂν ἔχοι. Ἀλλὰ καὶ περὶ τῶν παρθένων διαλεγόμενός φησιν· «Ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι». Μήποτε οὖν ἄρα τὸ πρᾶγμα ἐξέωσεν; Ἄπαγε. Ἐπὶ μὲν γὰρ τῆς παρθένου γνώμην δίδωσιν, ἐνταῦθα δὲ συγγνώμην. Ἐπιτάττει δὲ οὐδέτε-

82. Α' Κορ. 7, 6.
83. Α' Κορ. 7, 25.

ἰδικήν μας νωθρότητα, ἐπρόσθεσε τὴν κυριωτέραν αἰτίαν, λέγων, «ἐξ αἰτίας τῆς ἀδυναμίας σας πρὸς ἐγκράτειαν».

6. Ποῖος λοιπὸν θὰ ἦτο δυνατὸν ἀκούων αὐτὰ νὰ μὴ κοκκινίσῃ; Ποῖος δὲν θὰ ἤθελε φροντίσει ν' ἀποφύγῃ τὴν μομφὴν δι' ἔλλειψιν ἐγκρατείας; Βέβαια ἡ συμβουλὴ αὐτὴ δὲν ἀπευθύνεται πρὸς ὅλους, ἀλλὰ πρὸς αὐτοὺς ποὺ εἶναι πάρα πολὺ κατωφερεῖς. Ἂν εἶσαι τόσον δοῦλος τῶν ἡδονῶν, λέγει, ἂν εἶσαι τόσον ἀποχαυνωμένος, ὥστε διαρκῶς νὰ σκέπτεσαι τὴν σαρκικὴν ἕνωσιν καὶ ν' ἀποχαυνώνεσαι, νὰ ἔρχεσαι εἰς συνουσίαν μὲ τὴν γυναῖκα σου. Αὐτὴ λοιπὸν ἡ παραχώρησις δὲν προέρχεται ἀπὸ κάποιον ποὺ ἀποδέχεται τὴν πρᾶξιν καὶ ἐπαινεῖ αὐτήν, ἀλλὰ ἀπὸ κάποιον ποὺ σατιρίζει καὶ καταδικάζει αὐτήν. Διότι δὲν θ' ἀνέφερε τὴν λέξιν τῆς ἀκρασίας ἐὰν δὲν ἤθελε νὰ ψέξῃ κατὰ τρόπον πολὺ αὐστηρὸν τὴν φιλήδονον ψυχήν, λέξιν πάρα πολὺ ἐνδεικτικὴν καὶ περιέχουσαν πολλὴν μομφήν. Διατί ὅμως δὲν εἶπε, ἐξ αἰτίας τῆς ἀδυναμίας; Διότι αὐτὸ θὰ ἦτο δεῖγμα μᾶλλον συμφωνίας, ἐνῷ τὸ ν' ἀναφέρῃ τὴν λέξιν τῆς ἀκρασίας, ἐδείκνυε τὸ ὑπερβολικὸν μέγεθος τῆς ὀκνηρίας. Δεῖγμα λοιπὸν τῆς ἀκρασίας εἶναι τὸ νὰ μὴ ἠμπορῇ κάποιος ν' ἀπέχῃ ἀπὸ τὴν πορνείαν, ἐὰν δὲν ἔρχεται συνεχῶς εἰς σαρκικὴν ἕνωσιν μὲ τὴν γυναῖκα του καὶ δὲν ἀπολαμβάνῃ τὴν συνουσίαν.

7. Τί λοιπὸν θὰ ἠμποροῦσαν νὰ εἰποῦν ἐδῶ αὐτοὶ ποὺ θέτουν τὴν παρθενίαν εἰς τὴν θέσιν τῶν περιττῶν πραγμάτων; Αὐτὴ μὲν ὅσον περισσότερον πολεμᾶται, τόσον περισσότερον αὐξάνεται τὸ ἐγκώμιόν της, ἐνῷ ὁ γάμος, ὅταν κανεὶς κάνῃ κατὰ κόρον χρῆσιν αὐτοῦ, τότε πρὸ πάντων στερεῖται κάθε ἐπαίνου. Διότι, λέγει, «Αὐτὸ τὸ λέγω κατὰ συγκατάβασιν, ὄχι ὡς διαταγήν»[82]. Ὅπου δὲ ἤθελεν ὑπάρξει συγκατάβασις, δὲν θὰ ἠμποροῦσε νὰ ἔχῃ θέσιν ὁ ἔπαινος. Ἀλλὰ ὁμιλῶν καὶ περὶ τῶν παρθένων, λέγει· «Δὲν ἔχω ἐντολὴν τοῦ Κυρίου, ἁπλῶς σᾶς λέγω τὴν γνώμην μου»[83]. Μήπως λοιπὸν ἐξίσωσε τὸ πρᾶγμα; Μακρυὰ μιὰ τέτοια σκέψις. Διότι διὰ μὲν τὴν παρθένον δίδει μόνον τὴν γνώμην του, ἐδῶ ὅμως παρέχει συγκατάβασιν. Δὲν δίδει

ρον οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλ' ἐνταῦθα μὲν ἵνα μή τις ἀναβῆναι ἀπὸ τῆς ἀκρασίας βουλόμενος κωλύηται ὡς ἐπιτάγματος ἀνάγκῃ δεδεμένος· ἐκεῖ δὲ ἵνα μή τις ἀναβῆναι πρὸς τὴν παρθενίαν ἀδυνατῶν κατακρίνηται ὡς προστάγματος παρακούων. Οὐκ ἐπιτάττω παρθενεύειν, φησί· δέδοικα γὰρ τοῦ πράγματος τὸ δυσκατόρθωτον. Οὐκ ἐπιτάττω συνεχῶς συνέρχεσθαι τῇ γυναικί· ἀκρασίας γὰρ οὐ βούλομαι εἶναι νομοθέτης. Εἶπον, συνέρχεσθε, κάτω καταβῆναι κωλύων, οὐ τὴν προσωτέρω προθυμίαν ἐμποδίζων.

8. Οὐκ ἄρα αὐτοῦ βούλημα προηγούμενόν ἐστι τὸ χρῆσθαι διὰ παντὸς γυναικί, ἀλλ' ἡ τῶν ῥᾳθυμοτέρων τοῦτο ἐνομοθέτησεν ἀκρασία. Ἐπεὶ εἰ τὸ Παύλου βούλημα θέλεις μαθεῖν, ἄκουσον ποῖόν ἐστι· «Θέλω», φησί, «πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν» ἐν ἐγκρατείᾳ. Οὐκοῦν εἰ πάντας θέλεις ἐν ἐγκρατείᾳ εἶναι, οὐδένα θέλεις εἶναι ἐν γάμῳ. Οὐδὲ γὰρ οὐ μὴν διὰ τοῦτο κωλύω τοῖς βουλομένοις οὐδὲ αἰτιῶμαι, ἀλλ' εὔχομαι μὲν καὶ ποθῶ πάντας εἶναι ὡς καὶ ἐμαυτόν, συγχωρῶ δὲ κἀκεῖνο διὰ τὰς πορνείας. Διὰ τοῦτο καὶ ἀρχόμενος εἶπον· «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι».

λε΄ Ὅτι ἀναγκαίως ἔθηκεν εἰς τὸ τῆς ἐγκρατείας ὑπόδειγμα.

1. Τίνος δὲ ἕνεκεν ἐνταῦθα ἑαυτοῦ μέμνηται λέγων· «Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν»; Καίτοι εἰ μὴ τοῦτο προσέκειτο, «Ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα», τὴν περιαυτολογίαν ἐξέφυγεν ἄν. Τίνος οὖν ἕνεκεν προσέθηκεν, «Ὡς καὶ ἐμαυτόν»; Οὐκ ἐπαίρων ἑαυτόν· οὗτος γάρ ἐστιν ὁ πλεονεκτήσας μὲν τῶν ἀποστόλων ἐν τοῖς ὑ-

84. Α' Κορ. 7, 7.

δὲ ρητὴν ἐντολὴν διὰ κανένα ἀπὸ τὰ δύο, ὄχι διὰ τὴν ἰδίαν αἰτίαν, ἀλλ' ἐδῶ μὲν ἐπιθυμῶν κάποιος ν' ἀνεβῇ ἐπάνω ἀπὸ τὴν ἀκρασίαν, νὰ μὴ ἐμποδίζεται δεμένος ἀπὸ τὴν ὑποχρεωτικὴν ἐντολήν, εἰς δὲ τὴν περίπτωσιν τῆς παρθενίας διὰ νὰ μὴ κατακρίνεται κανείς, ἀδυνατῶν ν' ἀνεβῇ πρὸς τὴν παρθενίαν, ὡσὰν νὰ παρακούῃ προσταγήν. Δὲν προστάζω, λέγει, νὰ ἀσκῆτε τὴν παρθενίαν· διότι φοβοῦμαι τὸ δυσκολοκατόρθωτον τοῦ πράγματος. Δὲν προστάσσω νὰ ἔρχεσθε συνεχῶς εἰς σαρκικὴν ἕνωσιν μὲ τὴν γυναῖκα· διότι δὲν θέλω νὰ εἶμαι νομοθέτης ἀκρασίας. Εἶπα, νὰ συνέρχεσθε, διὰ νὰ ἐμποδίσω νὰ κατεβῆτε χαμηλά, ὄχι διὰ νὰ ἐμποδίσω τὴν πρὸς τὰ ἐμπρὸς προθυμίαν.

8. Κατὰ συνέπειαν δὲν εἶναι ἀρχικὴ θέλησίς του τὸ νὰ ἔρχεται ὁ ἄνδρας συνεχῶς εἰς σαρκικὴν ἕνωσιν μὲ τὴν γυναῖκα του, ἀλλ' αὐτὸ τὸ ἐνομοθέτησεν ἡ ἀκρασία τῶν νωθροτέρων. Διότι, ἐὰν θέλῃς νὰ μάθῃς τὴν θέλησιν τοῦ Παύλου, ἄκουσε ποία εἶναι· «Θέλω», λέγει, «ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως καὶ ἐγώ»[84], ν' ἀσκῆτε τὴν ἐγκράτειαν. Λοιπόν, ἐὰν θέλῃς ὅλοι νὰ ἀσκοῦν τὴν ἐγκράτειαν, δὲν θέλεις νὰ εἶναι κανεὶς ἔγγαμος. Ἀλλ' ὅμως δὲν ἐμποδίζω δι' αὐτὸ βέβαια αὐτοὺς ποὺ θέλουν νὰ εἶναι, οὔτε τοὺς κατηγορῶ, ἀλλ' εὔχομαι μὲν καὶ ποθῶ ὅλοι νὰ εἶναι ὅπως καὶ ἐγώ, ἐπιτρέπω ὅμως καὶ τὸν γάμον πρὸς ἀποφυγὴν τῆς πορνείας. Διὰ τοῦτο καὶ εἰς τὴν ἀρχὴν εἶπον· «Καλὸν εἶναι ὁ ἄνδρας νὰ μὴ ἐγγίζῃ τὴν γυναῖκα».

λε' Περὶ τοῦ ὅτι κατ' ἀνάγκην ἀνέφερε τὸν ἑαυτόν του ὡς παράδειγμα ἐγκρατείας.

1. Διὰ ποῖον ὅμως λόγον ἐδῶ ἀναφέρει τὸν ἑαυτόν του, λέγων, «Θέλω δὲ ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως καὶ ἐγώ»; Βέβαια ἐὰν δὲν ἐπροστίθετο αὐτό, «Ἀλλ' ὁ καθένας ἔχει ἰδιαίτερον χάρισμα», θὰ ἀπέφευγε τὴν περιαυτολογίαν. Διὰ ποῖον λόγον λοιπὸν ἐπρόσθεσε «ὅπως καὶ ἐγώ»; Δὲν τὸ λέγει ἀπὸ ἀλαζονείαν· διότι αὐτὸς εἶναι ποὺ ἐκοπίασε μὲν περισσότερον ἀπὸ ὅλους τοὺς ἀποστόλους ὑπὲρ

πὲρ τοῦ κηρύγματος πόνοις, ἀνάξιον δὲ καὶ τῆς προσηγορίας ἀποστολικῆς ἑαυτὸν εἶναι νομίζων. Εἰπὼν γὰρ ὅτι «Ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων», ὥσπερ τι τῆς ἀξίας αὐτοῦ μεῖζον φθεγξάμενος, ἐπιλαμβάνεται ταχέως ἑαυτοῦ λέγων· «Ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος». Τίνος οὖν ἕνεκεν ἐνταῦθα τῇ παραινέσει πρόσκειται; Οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ᾔδει τοὺς μαθητὰς τότε μάλιστα εἰς τὸν τῶν καλῶν ἐναγομένους ζῆλον, ὅταν παρὰ τῶν διδασκάλων ἔχωσι τὰ παραδείγματα. Ὥσπερ οὖν ὁ χωρὶς ἔργων ἐν τοῖς λόγοις μόνοις φιλοσοφῶν οὐδὲν ὀνίνησι μέγα τὸν ἀκροατήν, οὕτως ὁ παρ' ἑαυτοῦ πρώτου κατορθωθεῖσαν ἔχων δεῖξαι τὴν συμβουλήν, ταύτῃ μάλιστα πάντων ἐπάγεται τὸν ἀκούοντα. Πρὸς δὲ τούτοις καὶ φθόνου καὶ τύφου καθαρεύοντα δείκνυσιν ἑαυτόν· τὸ γὰρ ἐξαίρετον τοῦτο κοινὸν εἶναι βούλεται τῶν μαθητῶν, οὐδὲν αὐτῶν πλέον ἔχειν ζητῶν, ἀλλ' ἐν ἅπασιν αὐτοὺς ἐξισοῦν ἑαυτῷ θέλων.

2. Ἔχω καὶ τρίτην αἰτίαν εἰπεῖν. Ποίαν δὴ ταύτην; Δύσκολον εἶναι τὸ πρᾶγμα ἐδόκει καὶ οὐ κατὰ τὴν τῶν πολλῶν εὐκολίαν. Βουλόμενος οὖν αὐτὸ δεῖξαι ῥᾷστον, τὸν ἠνυκότα εἰς μέσον τίθησιν, ἵνα μὴ σφόδρα ἐπίπονον εἶναι αὐτὸ νομίζωσιν, ἀλλὰ πρὸς τὸν ἡγησάμενον ἰδόντες μετὰ τοῦ θαρρεῖν καὶ αὐτοὶ τῆς αὐτῆς ἐπιβαίνωσιν ὁδοῦ. Τοῦτο καὶ ἀλλαχοῦ ποιεῖ. Τοῖς Γαλάταις γὰρ διαλεγόμενος καὶ τὸν ἀπὸ τοῦ νόμου φόβον ἐκλῦσαι σπεύδων, δι' ὃν ἐπὶ τὴν παλαιὰν κατεφέροντο συνήθειαν πολλὰ τῶν ἐκεῖ φυλάττοντες, τί φησι; «Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἂν ἔχοιτε, φησίν, εἰπεῖν ὅτι ἐξ ἐθνῶν ἐπιστρέψας νῦν καὶ τὸν ἐκ τῆς τοῦ νόμου παραβάσεως οὐκ εἰδὼς φόβον, ἀκινδύνως ἅπαντα ταῦτα φιλοσοφεῖς πρὸς ἡμᾶς. Καὶ

85. Α' Κορ. 15, 9.
86. Γαλ. 4, 12.

τοῦ κηρύγματος, ἀλλ' ἐθεώρει τὸν ἑαυτόν του ἀνάξιον τῆς ἀποστολικῆς ὀνομασίας. Διότι, ἀφοῦ εἶπεν, «Ἐγὼ εἶμαι ὁ ἐλάχιστος ἀπὸ τοὺς ἀποστόλους»[85], ὡσὰν νὰ εἶπε κάτι μεγαλύτερον τῆς ἀξίας του, ἀναφέρεται ἀμέσως εἰς τὸν ἑαυτόν του, λέγων «Ὁ ὁποῖος δὲν εἶμαι ἄξιος νὰ ὀνομάζωμαι ἀπόστολος. Διὰ ποῖον δὲ λόγον κατὰ τὴν συμβουλὴν αὐτὴν προβάλλει ὡς παράδειγμα τὸν ἑαυτόν του; Ὄχι ἔτσι ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἐπειδὴ ἐγνώριζεν, ὅτι οἱ μαθηταὶ τότε πρὸ πάντων ὁδηγοῦνται εἰς τὸ νὰ γίνουν μιμηταὶ τῶν καλῶν, ὅταν ἔχουν τὰ παραδείγματα ἀπὸ τοὺς διδασκάλους των. Ὅπως ἀκριβῶς λοιπὸν αὐτός, ποὺ φιλοσοφεῖ μόνον μὲ λόγια καὶ ὄχι καὶ μὲ ἔργα, δὲν ὠφελεῖ καὶ πάρα πολὺ τὸν ἀκροατήν, ἔτσι αὐτὸς ποὺ ἔχει νὰ ἐπιδείξῃ τὴν συμβουλὴν κατορθωθεῖσαν πρῶτα ἀπὸ τὸν ἴδιον, πείθει μὲ αὐτὴν περισσότερον ἀπὸ ὁ,τιδήποτε ἄλλο τὸν ἀκροατήν. Ἐκτὸς αὐτοῦ δὲ παρουσιάζει τὸν ἑαυτόν του καθαρὸν ἀπὸ φθόνον καὶ ἀλαζονείαν· διότι αὐτὸ τὸ ἐξαίρετον πρᾶγμα θέλει νὰ εἶναι κοινὸν ὅλων τῶν μαθητῶν, μὴ ζητῶν νὰ ἔχῃ τίποτε περισσότερον ἀπὸ αὐτούς, ἀλλὰ θέλει εἰς ὅλα νὰ ἐξισώσῃ αὐτοὺς μὲ τὸν ἑαυτόν του.

2. Ἔχω καὶ τρίτην αἰτίαν νὰ εἰπῶ. Ποία βέβαια εἶναι αὐτή; Δύσκολον ἐφαίνετο νὰ εἶναι τὸ πρᾶγμα καὶ ὄχι εὔκολον διὰ τοὺς πολλούς. Θέλων λοιπὸν νὰ δείξῃ αὐτὸ εὐκολώτατον, φέρει εἰς τὸ μέσον τὸν κατορθώσαντα αὐτό, διὰ νὰ μὴ νομίζουν ὅτι αὐτὸ εἶναι πάρα πολὺ κοπιαστικόν, ἀλλ' ἀποβλέποντες πρὸς τὸν ἀρχηγόν των νὰ βαδίζουν καὶ αὐτοὶ μὲ θάρρος τὴν ἰδίαν ὁδόν. Τὸ ἴδιο κάμνει καὶ εἰς ἄλλας περιπτώσεις. Πράγματι γράφων πρὸς τοὺς Γαλάτας καὶ θέλων νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ τὸν φόβον τοῦ νόμου, ἐξ αἰτίας τοῦ ὁποίου ἠκολούθουν τὴν παλαιὰν συνήθειαν, φυλάσσοντες πολλὰς ἀπὸ τὰς ἐντολάς του, τί λέγει; «Γίνεσθε ὅπως ἐγώ, διότι καὶ ἐγὼ εἶμαι ὅπως σεῖς»[86]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Δὲν θὰ ἠμπορούσατε, λέγει, νὰ εἰπῆτε, ὅτι, ἐπιστρέψας ἀπὸ τοὺς ἐθνικοὺς τώρα καὶ μὴ γνωρίζων τὸν φόβον ποὺ πηγάζει ἀπὸ τὴν παράβασιν τοῦ νόμου, φιλοσοφεῖς ἀκινδύνως ὅλα αὐτὰ πρὸς ἡμᾶς.

γὰρ ἐγώ, φησίν, ὡς ὑμεῖς ἐδούλευσα ταύτην τὴν δουλείαν ποτέ· ἐγενόμην ὑπὸ τοῖς ἐπιτάγμασι τοῦ νόμου· ἐφύλαξα τῶν ἐντολῶν τὰς παρατηρήσεις· ἀλλὰ τῆς χάριτος ἐπιφανείσης ὅλον ἐμαυτὸν ἀπ' ἐκείνου πρὸς ταύτην μετέθηκα. Οὐκέτι γὰρ τὸ πρᾶγμα παράβασίς ἐστιν «ἀνδρὶ γενομένων ἡμῶν ἑτέρῳ»· ὥστε οὐδεὶς ἂν ἔχοι τοῦτο λέγειν, ὅτι ἕτερα πράττων ἕτερα παραινῶ, οὐδὲ ὅτι τὸ ἐμαυτοῦ σκοπήσας ἀσφαλὲς ὑμᾶς εἰς κίνδυνον ἐνέβαλον. Εἰ γὰρ κίνδυνος τὸ πρᾶγμα ἦν, οὐκ ἂν ἐμαυτὸν προὔδωκα, οὐδ' ἂν τῆς οἰκείας ἠμέλησα σωτηρίας. Ὥσπερ οὖν ἐκεῖ τὸ παράδειγμα παρ' ἑαυτοῦ θεὶς τὸν φόβον ἐξέλυσεν, οὕτω καὶ ἐνταῦθα τὴν ἀγωνίαν ἐκβάλλει μέσον ἑαυτὸν ἐμβαλών.

λς' Ὅτι μετριάζων ὁ ἀπόστολος τὴν παρθενίαν χάρισμα καλεῖ.

1. «Ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει», φησίν, «ὁ μὲν οὕτως, ὁ δὲ οὕτως». Θέα τῆς ἀποστολικῆς ταπεινοφροσύνης οὐδαμοῦ τὸν χαρακτῆρα παραπολλύμενον, ἀλλ' ἀκριβῶς πανταχοῦ διαλάμποντα. Χάρισμα Θεοῦ καλεῖ τὸ ἑαυτοῦ κατόρθωμα, καὶ ἔνθα πολὺν ἴδρωσεν ἱδρῶτα, τοῦτο ὅλον ἀνατίθησι τῷ δεσπότῃ. Καὶ τί θαυμαστὸν εἰ ἐπὶ τῆς ἐγκρατείας τοῦτο ποιεῖ, ὅπου γε καὶ περὶ τοῦ κηρύγματος διαλεγόμενος τῷ αὐτῷ κέχρηται τρόπῳ, περὶ τοῦ κηρύγματος ὑπὲρ οὗ μυρίους ἤνεγκε πόνους, θλίψεις συνεχεῖς, ταλαιπωρίας ἀφάτους, θανάτους καθημερινούς; Τί οὖν περὶ τούτου φησί; «Πλέον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί». Οὐ τὸ μὲν αὐτοῦ τὸ δὲ τοῦ Θεοῦ φησιν, ἀλλ' ὅλον τοῦ Θεοῦ. Τοῦτο εὐγνώμονος οἰκέτου μηδὲν ἴδιον νο-

---

87. Πρβλ. Ἱερ. 3, 1.
88. Α' Κορ. 7, 7.
89. Αὐτόθι 15, 10.

Διότι καὶ ἐγώ, λέγει, ὅπως καὶ σεῖς, ὑπῆρξα κάποτε δοῦλος αὐτῆς τῆς δουλείας· εὑρισκόμουν κάτω ἀπὸ τὰς ἐντολὰς τοῦ νόμου· ἐφύλαξα τὰς διακρίσεις τῶν ἐντολῶν, ἀλλ' ὅταν παρουσιάσθη ἡ θεία χάρις, μετέθεσα ὅλον τὸν ἑαυτόν μου ἀπὸ τὸν νόμον εἰς τὴν χάριν. Διότι δὲν εἶναι πλέον τὸ πρᾶγμα παράβασις, «ἀφοῦ ἐτέθημεν ὑπὸ τὰς ἐντολὰς ἄλλου ἀνδρός»[87]. Ὥστε κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ εἰπῇ αὐτό, ὅτι ἄλλα πράττω καὶ ἄλλα συμβουλεύω, οὔτε ὅτι, ἀφοῦ κατέστησα εἰς ἀσφάλειαν τὸν ἑαυτόν, ἔρριψα ἐσᾶς εἰς τὸν κίνδυνον. Διότι, ἐὰν ἦτο κίνδυνος τὸ πρᾶγμα, δὲν θὰ ἐπρόδιδα τὸν ἑαυτόν μου, οὔτε θὰ ἔδειχνα ἀδιαφορίαν διὰ τὴν σωτηρίαν μου. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖ, ἀφοῦ ἐπαρουσίασε τὸν ἑαυτόν του ὡς παράδειγμα, διέλυσε τὸν φόβον, ἔτσι καὶ ἐδῶ ἀπομακρύνει τὴν ἀγωνίαν, προβάλλων τὸν ἑαυτόν του εἰς τὸ μέσον.

λς' Περὶ τοῦ ὅτι ὁ ἀπόστολος ἀποκαλεῖ τὴν παρθενίαν χάρισμα ἀπὸ μετριοφροσύνην.

1. Ἀλλ' ὁ καθένας ἔχει ἰδιαίτερον χάρισμα», λέγει, «ὁ μὲν αὐτό, ὁ δὲ ἐκεῖνο»[88]. Πρόσεχε τὸν χαρακτῆρα τῆς ἀποστολικῆς ταπεινοφροσύνης ποὺ πουθενὰ δὲν χάνεται, ἀλλ' ἔχει παντοῦ τὴν πλήρη ἀκτινοβολίαν του. Χάρισμα Θεοῦ ὀνομάζει τὸ κατόρθωμά του, καὶ τὸ γεγονὸς ὅτι ἔχυσε πολὺν ἱδρῶτα, καὶ αὐτὸ ὅλον τὸ ἀναθέτει εἰς τὸν Κύριον. Καὶ τί τὸ ἀξιοθαύμαστον ἐὰν αὐτὸ τὸ κάμνῃ ὁμιλῶν περὶ τῆς ἐγκρατείας, τὴν στιγμὴν βέβαια ποὺ ὁμιλῶν καὶ περὶ τοῦ κηρύγματος χρησιμοποιεῖ τὸν ἴδιον τρόπον, περὶ τοῦ κηρύγματος ὑπὲρ τοῦ ὁποίου ὑπέφερε μυρίους κόπους, θλίψεις συνεχεῖς, ταλαιπωρίας ἀπεριγράπτους, θανάτους καθημερινούς; Τί λοιπὸν λέγει περὶ τοῦ κηρύγματος; «Περισσότερον ἀπὸ ὅλους αὐτοὺς ἐκοπίασα, ὄχι ἐγὼ ὅμως, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ποὺ εἶναι μαζί μου»[89]. Δὲν λέγει ὅτι αὐτὸ μὲν τὸ ἔργον εἶναι ἰδικόν του, ἐκεῖνο δὲ τοῦ Θεοῦ, ἀλλ' ὅλου τοῦ Θεοῦ. Αὐτὸ εἶναι δεῖγμα εὐγνώμονος δούλου ποὺ δὲν θεωρεῖ τίποτε ἰδικόν του, ἀλλ' ὅλα

μίζειν, ἀλλὰ πάντα δεσποτικά, μηδὲν ἴδιον ἡγεῖσθαι αὐτοῦ, ἀλλὰ πάντα τοῦ κυρίου.

2. Τοῦτο καὶ ἑτέρωθι ποιεῖ. Εἰπὼν γὰρ «Ἔχοντες χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα», προϊὼν προστασίας καὶ ἐλεημοσύνας καὶ μεταδόσεις ἐν τούτοις ἠρίθμησεν. Ὅτι δὲ κατορθώματα ταῦτα καὶ οὐ χαρίσματα παντί που δῆλόν ἐστιν. Ταῦτα δὲ εἶπον, ἵν᾿, ὅταν ἀκούσῃς αὐτοῦ λέγοντος, «Ἕκαστος ἴδιον χάρισμα ἔχει», μὴ ἀναπέσῃς μηδὲ εἴπῃς πρὸς ἑαυτὸν ὃ οὐ δεῖται τὸ πρᾶγμα τῆς ἐμῆς σπουδῆς· χάρισμα αὐτὸ ὁ Παῦλος ἐκάλεσε. Μετριάζων γάρ, οὐκ εἰς τὴν τῶν χαρισμάτων τάξιν καταλέξαι τὴν ἐγκράτειαν βουλόμενος τοῦτό φησιν. Οὐκ ἂν γὰρ οὕτως ἠναντιώθη καὶ ἑαυτῷ καὶ τῷ Χριστῷ, τῷ μὲν Χριστῷ λέγοντι· «Εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν», καὶ ἐπαγαγόντι· «Ὁ δυνάμενος χωρεῖν χωρείτω»· ἑαυτῷ δὲ καταδικάζοντι τὰς χηρείαν μὲν ἑλομένας, οὐ βουληθείσας δὲ ἐπιμεῖναι τῇ προθέσει. Εἰ γὰρ χάρισμά ἐστι, τίνος ἕνεκεν αὐταῖς ἀπειλεῖς λέγων ὅτι «Ἔχουσι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν»; Οὐδαμοῦ γὰρ τοὺς οὐκ ἔχοντας χαρίσματα ὁ Χριστὸς ἐκόλασεν, ἀλλὰ πανταχοῦ τοὺς βίον οὐκ ἐπιδεικνυμένους ὀρθόν· καὶ τοῦτό ἐστι τὸ μάλιστα ἐπιζητούμενον παρ᾿ αὐτῷ πολιτεία ἀρίστη καὶ ἔργα ἄληπτα. Τῶν δὲ χαρισμάτων ἡ διανομὴ οὐκ ἐν τῇ τοῦ λαμβάνοντος κεῖται προαιρέσει, ἀλλ᾿ ἐν τῇ τοῦ παρέχοντος κρίσει. Διὰ τοῦτο οὐδαμοῦ τοὺς τὰ θαύματα ἐργαζομένους ὁ Χριστὸς ἐπαινεῖ, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐπὶ τούτῳ μέγα φρονοῦντας ἀπάγει τῆς τοιαύτης ἡδονῆς, λέγων· «Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει». Οἱ γὰρ μακαριζόμενοι πανταχοῦ

---

90. Ρωμ. 12, 6.
91. Πρβλ. Ρωμ. 12, 7 - 8.
92. Ματθ. 19, 12.
93. Α΄ Τιμ. 5, 12.

τοῦ κυρίου του, ποὺ δὲν θεωρεῖ τίποτε ν' ἀνήκῃ εἰς αὐτόν, ἀλλ' ὅλα εἰς τὸν κύριον.

2. Αὐτὸ κάμνει καὶ ἀλλοῦ. Διότι, ἀφοῦ εἶπεν, «ἔχοντες χαρίσματα διάφορα, ἀνάλογα μὲ τὴν χάριν ποὺ ἐδόθη εἰς ἡμᾶς»[90], προχωρῶν ἠρίθμησε προστασίας καὶ ἐλεημοσύνας καὶ μεταδόσεις ἀγαθῶν εἰς τοὺς ἔχοντας ἀνάγκην[91]. Τὸ ὅτι δὲ αὐτὰ εἶναι κατορθώματα καὶ ὄχι χαρίσματα, εἶναι βέβαια ὁλοφάνερον εἰς τόν καθένα. Αὐτὰ ὅμως τὰ εἶπα, ὥστε, ὅταν ἀκούσῃς αὐτὸν νὰ λέγῃ, «Ὁ καθένας ἔχει ἰδιαίτερον χάρισμα», νὰ μὴ χάσῃς τὸ θάρρος σου, οὔτε νὰ εἴπῃς εἰς τὸν ἑαυτόν σου· Δὲν χρειάζεται αὐτὸ τὸ πρᾶγμα τῆς ἰδικῆς μου προσπαθείας, διότι ὁ Παῦλος τὸ ὠνόμασε «χάρισμα». Ἀπὸ μετριοφροσύνην λοιπὸν τὸ λέγει αὐτὸ καὶ ὄχι ἐπειδὴ θέλει νὰ συγκαταλέξῃ τὴν ἐγκράτειαν εἰς τὴν κατηγορίαν τῶν χαρισμάτων. Διότι δὲν θὰ ἠμποροῦσε νὰ ἐναντιωθῇ τόσον καὶ πρὸς τὸν ἑαυτόν του καὶ πρὸς τὸν Χριστόν, πρὸς μὲν τὸν Χριστὸν ποὺ λέγει, «Ὑπάρχουν εὐνοῦχοι ποὺ εὐνούχισαν τοὺς ἑαυτούς των χάριν τῆς βασιλείας τῶν οὐρανῶν»[92] καὶ προσθέτει· «αὐτὸς ποὺ ἠμπορεῖ νὰ τὰ δεχθῇ αὐτὰ ἄς τὰ δεχθῇ καὶ ἄς προχωρήσῃ εἰς τὴν ἐκτέλεσιν αὐτῶν»[92], πρὸς δὲ τὸν ἑαυτόν του, καταδικάζων ἐκείνας ποὺ ἐπροτίμησαν μὲν τὴν χηρείαν, δὲν ἠθέλησαν ὅμως νὰ ἐπιμείνουν εἰς τὴν ἀρχικὴν πρόθεσίν των. Διότι, ἐὰν εἶναι χάρισμα, διὰ ποῖον λόγον ἀπειλεῖς αὐτάς, λέγων ὅτι «εἶναι κατακριτέαι, διότι δὲν ἐτήρησαν τὴν ἀρχικὴν πίστιν των»[93]; Διότι εἰς καμμίαν περίπτωσιν ὁ Χριστὸς δὲν ἐτιμώρησεν αὐτοὺς ποὺ δὲν ἔχουν χαρίσματα, ἀλλὰ παντοῦ αὐτοὺς ποὺ δὲν ἐπιδεικνύουν ὀρθὸν βίον· καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἐπιζητεῖ κατ' ἐξοχήν, ἄριστος τρόπος ζωῆς καὶ ἔργα ποὺ νὰ μὴν ἠμποροῦν νὰ κατηγορηθοῦν. Ἡ δὲ διανομὴ τῶν χαρισμάτων δὲν ἐξαρτᾶται ἀπὸ τὴν προαίρεσιν αὐτοῦ ποὺ τὰ λαμβάνει, ἀλλὰ ἀπὸ τὴν κρίσιν αὐτοῦ ποὺ τὰ δίδει. Διὰ τοῦτο πουθενὰ ὁ Χριστὸς δὲν ἐπαινεῖ αὐτοὺς ποὺ κάμνουν θαύματα, ἀλλὰ καὶ τοὺς μαθητὰς ποὺ ἐπέδειξαν μεγαλοφροσύνην δι' αὐτό, τοὺς ἀπομακρύνει ἀπὸ αὐτὴν τὴν ἡδονήν, λέγων· «Μὴ χαίρετε ἐπειδὴ ὑπα-

οἱ ἐλεήμονές εἰσιν, οἱ ταπεινοί, οἱ ἐπιεικεῖς, οἱ τῇ καρδίᾳ καθαροί, οἱ εἰρηνοποιοί, οἱ ταῦτα πάντα καὶ τὰ τούτοις ὅμοια πράττοντες.

3. Καὶ αὐτὸς δὲ ὁ Παῦλος τὰ κατορθώματα ἀριθμῶν τὰ ἑαυτοῦ ἐν τούτοις καὶ τῆς ἐγκρατείας ἐμνημόνευσεν. Εἰπὼν γάρ· «Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν κόποις, ἐν ἀκαταστασίαις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις», ἐπήγαγεν «ἐν ἁγνείᾳ», οὐκ ἂν τοῦτο ποιήσας εἰ χάρισμα τὸ πρᾶγμα ἦν. Τί δὲ καὶ σκώπτει τοὺς οὐκ ἔχοντας αὐτὴν ἀκρατεῖς αὐτοὺς καλῶν; Διὰ τί δὲ καὶ ὁ μὴ ἐκγαμίζων τὴν ἑαυτοῦ παρθένον κρεῖττον ποιεῖ; Τίνος δὲ ἕνεκεν μακαριωτέρα ἡ χήρα ἐὰν οὕτως μείνῃ; Ὅπερ γὰρ ἔφθην εἰπών, οὐ θαυμάτων ἀλλὰ ἔργων οἱ μακαρισμοὶ ὥσπερ οὖν καὶ κολάσεις. Πῶς δὲ καὶ ἐπιμένει πάλιν παραινῶν ὑπὲρ τῶν αὐτῶν εἰ μὴ ἡμῖν τὸ πρᾶγμα ἦν καὶ μετὰ τὴν τοῦ Θεοῦ ῥοπὴν καὶ τῆς παρ' ἡμῶν ἐδεῖτο σπουδῆς; Εἰπὼν γάρ· «Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν», ἐν ἐγκρατείᾳ, πάλιν φησί· «Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ». Πάλιν οὖν ἑαυτὸν τίθησι διὰ τὴν αὐτὴν αἰτίαν. Τὸ γὰρ παράδειγμα ἐγγύθεν ἔχοντες καὶ οἰκεῖον μειζόνως ἂν τῶν τῆς παρθενίας κατετόλμησαν πόνων. Εἰ δὲ καὶ ἀνωτέρω λέγων, «Θέλω πάντας εἶναι ὡς καὶ ἐμαυτόν», καὶ ἐνταῦθα, «Καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ», οὐδαμοῦ τὴν αἰτίαν προστίθησι, μὴ θαυμάσῃς. Οὐ γὰρ ἀπαυθαδιζόμενος τοῦτο ποιεῖ, ἀλλ' ἱκανὴν εἶναι νομίζων αἰτίαν τὴν αὐτοῦ γνώμην μεθ' ἧς τὸ πρᾶγμα κατώρθωσεν.

94. Λουκᾶ 10, 20.
95. Β' Κορ. 6, 4-6.
96. Α' Κορ. 7, 8.

κούουν τὰ δαιμόνια εἰς ἐσᾶς»[94]. Διότι αὐτοὶ ποὺ μακαρίζονται παντοῦ εἶναι οἱ ἐλεήμονες, οἱ ταπεινοί, αὐτοὶ ποὺ πράττουν ὅλα αὐτὰ καὶ τὰ παρόμοια αὐτῶν.

3. Καὶ ὁ ἴδιος δὲ ὁ Παῦλος, ἀπαριθμῶν τὰ κατορθώματά του ἀνέφερε μεταξὺ αὐτῶν καὶ τὴν ἐγκράτειαν. Διότι ἀφοῦ εἶπε, «Μὲ πολλὴν ὑπομονήν, μὲ θλίψεις, μὲ ἀνάγκας, μὲ διωγμούς, μὲ στενοχωρίας, μὲ πληγάς, μὲ φυλακάς, μὲ κόπους, μὲ ἀκαταστασίας, μὲ ἀγρυπνίας, μὲ νηστείας», ἐπρόσθεσε «μὲ ἁγνότητα»[95], πρᾶγμα ποὺ δὲν θὰ τὸ ἔκαμνεν, ἐὰν τὸ πρᾶγμα ἦτο χάρισμα. Διατί ὅμως καὶ χλευάζει αὐτοὺς ποὺ δὲν ἔχουν τὴν ἐγκράτειαν, καλῶν αὐτοὺς ἀκρατεῖς; Διατί δὲ καὶ αὐτὸς ποὺ δὲν ὑπανδρεύει τὴν ἰδικήν του παρθένον ἐνεργεῖ καλύτερον; Διὰ ποῖον δὲ λόγον ἡ χήρα εἶναι μακαριωτέρα ἐὰν παραμείνῃ χήρα; Διότι, ὅπως προανέφερα, οἱ μακαρισμοὶ καθὼς καὶ αἱ τιμωρίαι δὲν εἶναι διὰ τὰ θαύματα, ἀλλὰ διὰ τὰ ἔργα. Πῶς δὲ καὶ ἐπιμένει πάλιν, συμβουλεύων ὑπὲρ αὐτῶν, ἐὰν τὸ πρᾶγμα δὲν ἐξηρτᾶτο ἀπὸ ἡμᾶς καὶ δὲν ἐχρειάζετο μετὰ ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἡ ἰδική μας προσπάθεια; Διότι, ἀφοῦ εἶπε, «Θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως καὶ ἐγώ», δηλαδὴ ἐγκρατεῖς, πάλιν λέγει˙ «Λέγω ὅμως εἰς τὰς ἀγάμους καὶ εἰς τὰς χήρας, εἶναι καλὸν δι' αὐτάς, ἐὰν μείνουν ὅπως καὶ ἐγώ»[96]. Πάλιν λοιπὸν ἀναφέρει τὸν ἑαυτόν του διὰ τὸν ἴδιον λόγον. Διότι ἔχοντες τὸ παράδειγμα πλησίον καὶ ἰδικόν των, θὰ ἐπεχείρουν μὲ περισσότερον θάρρος τοὺς κόπους τῆς παρθενίας. Ἐὰν ὅμως καὶ προηγουμένως λέγῃ, «Θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως καὶ ἐγώ», καὶ ἐδῶ, «Καλὸν εἶναι δι' αὐτὰς ἐὰν μείνουν ὅπως καὶ ἐγώ», χωρὶς πουθενὰ νὰ προσθέτῃ καὶ τὴν αἰτίαν, μὴ θαυμάσῃς. Διότι δὲν τὸ κάμνει αὐτὸ ἀπὸ αὐθάδειαν, ἀλλὰ ἐπειδὴ θεωρεῖ ὡς ἀρκετὴν αἰτίαν τὴν ἰδικήν του γνώμην, διὰ τῆς ὁποίας κατώρθωσε τὸ πρᾶγμα.

λζ΄ Ὅτι πολλαὶ ἐν τοῖς δευτέροις γάμοις αἱ ἀηδίαι.

1. Εἰ δέ τις καὶ λογισμῶν ἀκοῦσαι ἐθέλοι, πρῶτον μὲν τὴν παρὰ πάντων τῶν ἀνθρώπων ἐξεταζέτω δόξαν, ἔπειτα καὶ τὰ περὶ τὸ πρᾶγμα συμβαίνοντα. Τῶν γὰρ νομοθετῶν τοὺς τοιούτους οὐ κολαζόντων γάμους ἀλλ' ἐπιτρεπόντων καὶ συγχωρούντων, πολλοὶ καὶ παρὰ πολλῶν ἔν τε οἰκίαις καὶ κατὰ τὴν ἀγορὰν κατ' αὐτῶν γίνονται λόγοι σκοπτόντων, μεμφομένων, ἀποστρεφομένων. Τῶν γὰρ τοὺς ὅρκους παραβαινόντων οὐχ ἧττον τοὺς τοιούτους ἅπαντες ἐκτρέπονται, ὡς εἰπεῖν, οὔτε φίλους ποιήσασθαι θαρροῦντες, οὔτε συνθήκας θέσθαι πρὸς αὐτούς, οὔτε ἄλλο πιστεῦσαι οὐδέν. Ὅταν γὰρ ἴδωσιν αὐτοὺς συνηθείας τοσαύτης καὶ φιλίας καὶ ὁμιλίας καὶ κοινωνίας τὴν μνήμην οὕτως εὐκόλως ἀπὸ τῆς αὐτῶν ψυχῆς ἐκβάλλοντας, νάρκη τις αὐτοῖς ἀπὸ τούτων καταχεῖται τῶν λογισμῶν καὶ οὐκ ἂν αὐτοὺς μετὰ πάσης προσίοιντο γνησιότητος ὡς εὐκόλους καὶ ἀλλοπροσάλλους. Οὐ διὰ ταῦτα δὲ μόνον αὐτοὺς ἀποστρέφονται ἀλλὰ καὶ δι' αὐτὴν τῶν γινομένων τὴν ἀηδίαν.

2. Τί γὰρ ἀτερπέστερον, εἰπέ μοι, ἢ ὅταν, μετὰ τὸν πολὺν κωκυτὸν καὶ τὰς οἰμωγὰς καὶ τὰ δάκρυα καὶ τὴν αὐχμηρὰν κόμην καὶ τὴν μέλαιναν στολήν, ἐξαίφνης κρότοι καὶ παστάδες γαμήλιοι καὶ θόρυβος ἀπ' ἐναντίας τῷ προτέρῳ, ὥσπερ ὑποκριτῶν ἐν σκηνῇ παιζόντων καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο γινομένων; Καὶ γὰρ ἐκεῖ τὸν αὐτὸν ἴδοις ἂν ποτὲ μὲν βασιλέα, ποτὲ δὲ πάντων πενέστερον. Κἀνταῦθα ὁ πρώην περὶ τὸν τάφον ἐγκαλινδούμενος νυμφίος ἐξαίφνης· ὁ τὰς τρίχας τίλλων, στέφανον ἐπὶ τῆς αὐτῆς πάλιν φέρει κεφαλῆς, ὁ κατηφὴς καὶ στυγνὸς καὶ πολλὰ πολλάκις μετὰ δακρύων

λζ' Περὶ τοῦ ὅτι εἶναι πολλαὶ αἱ ἀηδίαι τοῦ δευτέρου γάμου.

1. Ἐὰν ὅμως θέλῃ κάποιος νὰ ἀκούσῃ καὶ συλλογισμούς, κατὰ πρῶτον μὲν ἐξετάζω τὴν γνώμην ὅλων τῶν ἀνθρώπων, ἔπειτα δὲ καὶ τὰ ὅσα συμβαίνουν γύρω ἀπὸ τὸ πρᾶγμα αὐτό. Διότι οἱ νομοθέται μολονότι δὲν τιμωροῦν τοὺς παρομοίους γάμους, ἀλλ' ἐπιτρέπουν καὶ συγχωροῦν αὐτούς, παρὰ ταῦτα πολλὰ λέγονται καὶ ἀπὸ πολλοὺς καὶ εἰς τὰς οἰκίας καὶ εἰς τὴν ἀγορὰν διὰ νὰ τοὺς χλευάσουν, διὰ νὰ τοὺς μεμφθοῦν καὶ νὰ τοὺς ἀποστραφοῦν. Διότι δὲν ἀποστρέφονται ὅλοι ὀλιγώτερον τοὺς παρομοίους ἀνθρώπους ἀπὸ ἐκείνους ποὺ παραβαίνουν τοὺς ὅρκους, ὅπως θὰ ἔλεγε κανείς, οὔτε ἐπιχειροῦν νὰ τοὺς κάνουν φίλους, οὔτε νὰ συνάψουν συμφωνίας μὲ αὐτούς, οὔτε νὰ τοὺς ἐμπιστευθοῦν τίποτε ἄλλο. Καθ' ὅσον, ὅταν ἰδοῦν αὐτοὺς τόσον εὔκολα νὰ λησμονοῦν τόσας συνηθείας καὶ φιλίας καὶ συναναστροφὴν καὶ συζυγικὰς σχέσεις τοὺς κυριεύει ἀπὸ αὐτὰς τὰς σκέψεις κάποια νάρκωσις καὶ δὲν θὰ ἦτο δυνατὸν νὰ πλησιάσουν αὐτοὺς μὲ εἰλικρινῆ ἐξ ὅλου αἰσθήματα, ὡς εὐκόλους καὶ ἀλλοπροσάλλους. Καὶ δὲν τοὺς ἀποστρέφονται αὐτοὺς μόνον δι' αὐτά, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς ἀηδίας τῶν πράξεών των.

2. Διότι εἰπέ μου, τί ἄλλο ὑπάρχει πιὸ δυσάρεστον, ὅταν, μετὰ ἀπὸ τὸν θρῆνον καὶ τὰς κραυγὰς καὶ τὰ δάκρυα καὶ τὰ ἀπεριποίητα μαλλιὰ καὶ τὴν μαύρην ἐνδυμασίαν, ἐξαφνικά, ἀντίθετα πρὸς τὰ προηγούμενα, ἀκολουθοῦν κρότοι καὶ γαμήλιοι νυμφικοὶ θάλαμοι καὶ θόρυβος, ὡσὰν ἠθοποιοὶ νὰ παίζουν θέατρον ἐπάνω εἰς τὴν σκηνήν, καὶ ἄλλοτε μὲν νὰ γίνεται αὐτό, ἄλλοτε δὲ ἐκεῖνο; Καθ' ὅσον ἐκεῖ τὸν ἴδιον ἠθοποιὸν θὰ ἠμποροῦσες νὰ τὸν ἰδῇς ἄλλοτε μὲν βασιλέα, ἄλλοτε δὲ πτωχότερον ἀπὸ ὅλους. Καὶ ἐδῶ, αὐτὸς ποὺ πρὶν ἀπὸ ὀλίγον δὲν ἀπεμακρύνετο ἀπὸ τὸν τάφον, ἐξαφνικὰ γίνεται νυμφίος· αὐτὸς ποὺ ἐμαδοῦσε τὰ μαλλιά του, φορεῖ καὶ πάλιν στέφανον ἐπάνω εἰς τὸ ἴδιο τὸ κεφάλι, ὁ καταθλιμμένος καὶ σκυθρωπὸς καὶ ποὺ πολ-

πρὸς τοὺς παρακαλοῦντας ἐγκώμια τῆς ἀπελθούσης διελθὼν καὶ τὸν βίον ἀβίωτον εἶναι φήσας αὐτῷ, καὶ πρὸς τοὺς ἀπάγοντας αὐτὸν τοῦ θρηνοῦ δυσχεράνας, πολλάκις μεταξὺ τούτων αὐτῶν ὡραΐζεται καὶ καλλωπίζεται πάλιν καὶ τοῖς πρώην δεδακρυσμένοις ὀφθαλμοῖς, τούτοις μετὰ γέλωτος εἰς τοὺς αὐτοὺς ἐνορᾷ καὶ τῷ στόματι τούτῳ φιλοφρονεῖται καὶ ἀσπάζεται πάντας δι' οὗ πρώην ταῦτα πάντα ἐξώμνυτο.

3. Τὸ δὲ πάντων ἐλεεινότερον ὁ τοῖς παισὶν ἐπεισαγόμενος πόλεμος, ἡ ταῖς θυγατράσιν συνοικιζομένη λέαινα· τοῦτο γὰρ ἡ μητρυιὰ πανταχοῦ. Ἐντεῦθεν ἡ καθημερινὴ στάσις καὶ μάχη, ἐντεῦθεν ὁ ξένος ἐκεῖνος καὶ καινότερος ζῆλος πρὸς τὴν οὐκ ἐνοχλοῦσαν γινόμενος. Οἱ μὲν γὰρ ζῶντες καὶ βάλλουσι τῷ φθόνῳ καὶ βάλλονται, πρὸς δὲ τοὺς τετελευτηκότας καὶ οἱ πολέμιοι σπένδονται. Ἀλλ' οὐκ ἐνταῦθα, ἀλλὰ ζηλοτυπεῖται ἡ κόνις καὶ ἡ τέφρα καὶ μῖσος πρὸς τὴν κατορωρυγμένην ἄφατον καὶ λοιδορίαι καὶ σκώμματα καὶ κατηγορίαι πρὸς τὴν διαλυθεῖσαν εἰς γῆν· ἔχθρα ἄσπονδος πρὸς τὴν λελυπηκυῖαν οὐδέν. Τί ταύτης γένοιτ' ἂν τῆς ἀλογίας χεῖρον, τί τῆς ὠμότητος; Οὐδὲν παρὰ τῆς ἀπελθούσης ἠδικημένη - τί λέγω ἠδικημένη; Τοὺς πόνους μὲν αὐτῆς καρπουμένη καὶ τοῖς ἀγαθοῖς ἐντρυφῶσα τοῖς ἐκείνης οὐ παύεται σκιαμαχοῦσα πρὸς αὐτήν· καὶ τὴν οὐδὲν λελυπηκυῖαν, πολλάκις δὲ οὐδὲ ὀφθεῖσαν αὐτῇ ποτε, μυρίοις καθ' ἑκάστην ἡμέραν βάλλει σκώμμασι καὶ διὰ τῶν ἐκείνης ἐγγόνων τὴν οὐκέτ' οὖσαν ἀμύνεται καὶ τὸν ἄνδρα πολλάκις ὁπλίζει κατ' αὐτῶν, ὅταν αὐτὴ μηδὲν ἀνύῃ. Ἀλλ' ὅμως ἅπαντα ταῦτα

λὰς φορὰς ἔπλεξε πρὸς αὐτοὺς ποὺ ἦλθαν νὰ τὸν παρηγορήσουν μὲ δάκρυα πολλὰ ἐγκώμια διὰ τὴν ἀποθανοῦσαν καὶ εἶπεν, ὅτι εἶναι ἀβίωτος ὁ βίος του καὶ ποὺ ἐδυσανασχέτησε πρὸς αὐτοὺς ποὺ τὸν ἀπέτρεπον ἀπὸ τοὺς θρήνους, πολλὰς φορὰς στολίζεται καὶ καλλωπίζεται καὶ πάλιν μεταξὺ τῶν ἰδίων προσώπων, καὶ μὲ τὰ πρώην δακρυσμένα μάτια μὲ αὐτὰ καὶ μὲ γέλια βλέπει αὐτούς, καὶ μὲ τὸ ἴδιο στόμα, ποὺ προηγουμένως ὡρκίζετο δι' ὅλα αὐτά, προβαίνει εἰς φιλοφρονήσεις καὶ ἀσπασμούς.

3. Ἀλλὰ τὸ πιὸ ἐλεεινὸν ἀπὸ ὅλα εἶναι ἡ ἐχθρότης ποὺ ἀρχίζει ἐναντίον τῶν παιδιῶν, ἡ λέαινα ποὺ θὰ συγκατοικήσῃ μὲ τὰς θυγατέρας· διότι αὐτὸ εἶναι ἡ μητρυιὰ εἰς ὅλας αὐτὰς τὰς περιπτώσεις. Ἀπὸ ἐδῶ προέρχεται ἡ καθημερινὴ διαφωνία καὶ διαμάχη, ἀπὸ ἐδῶ ἡ παράξενος ἐκείνη καὶ ἀσυνήθιστος ζήλεια πρὸς ἐκείνην ποὺ δὲν ἐνοχλεῖ. Διότι οἱ μὲν ζῶντες καὶ φθονοῦν καὶ φθονοῦνται, ἐνῷ πρὸς τοὺς ἀποθαμένους καὶ οἱ ἐχθροὶ ἀκόμα εἰρηνεύουν. Δὲν συμβαίνει ὅμως τὸ ἴδιο ἐδῶ, ἀλλὰ δημιουργεῖται ζήλεια διὰ τὴν σκόνην καὶ τὴν στάκτην καὶ μῖσος ἀπερίγραπτον πρὸς ἐκείνην ποὺ τὴν ἔχει σκεπάσει τὸ χῶμα καὶ ὕβρεις καὶ χλευασμοὶ καὶ κατηγορίαι πρὸς ἐκείνην ποὺ διελύθη μέσα εἰς τὸ χῶμα, ἔχθρα ἄσπονδος πρὸς ἐκείνην ποὺ δὲν τὴν ἐλύπησεν εἰς τίποτε. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν παραφροσύνην, τί φοβερώτερον ἀπὸ αὐτὴν τὴν σκληρότητα, χωρὶς νὰ ἔχῃ ἀδικηθῇ καθόλου ἀπὸ τὴν ἀποθανοῦσαν — διατί λέγω ἠδικημένη; Ἂν καὶ καρποῦται τοὺς κόπους αὐτῆς καὶ ἀπολαμβάνει τὰ ἀγαθὰ ἐκείνης δὲν σταματᾷ νὰ μάχεται πρὸς αὐτὴν ποὺ δὲν ὑπάρχει· καὶ αὐτὴν ποὺ δὲν τὴν ἐλύπησε καθόλου, πολλὰς φορὰς δὲ δὲν τὴν ἔχει ἰδεῖ ποτέ, καθημερινῶς ἐκστομίζει ἐναντίον της ἀπείρους χλευασμούς, καὶ ἐκδικεῖται ἐκείνην ποὺ δὲν ὑπάρχει πλέον διὰ τῶν τέκνων ἐκείνης καὶ πολλὰς φορὰς ὁπλίζει καὶ τὸν ἄνδρα ἐναντίον τῶν τέκνων, ὅταν αὐτὴ δὲν κατορθώνῃ τίποτε. Ἀλλ' ὅμως ὅλα αὐτὰ ἐφάνησαν εἰς τοὺς ἀνθρώπους νὰ εἶναι εὔκολα καὶ ὑπο-

ῥᾷστα καὶ φορητὰ τοῖς ἀνθρώποις ἔδοξεν εἶναι, μόνον ἵνα μὴ τὴν ἀπὸ τῆς ἐπιθυμίας φέρειν ἀναγκάζωνται τυραννίδα.

4. Ἀλλ' οὐχ ἡ παρθένος πρὸς ταύτην ἰλιγγίασε τὴν παράταξιν οὐδὲ ἔφυγε τὴν συμβολὴν τὴν οὕτως ἀφόρητον τοῖς πολλοῖς εἶναι δοκοῦσαν, ἀλλ' ἔστη γενναίως καὶ τὴν ἀπὸ τῆς φύσεως ἀνεδέξατο μάχην. Πῶς οὖν ἄν τις αὐτὴν κατ' ἀξίαν θαυμάσειεν, ὅταν οἱ μὲν ἄλλοι καὶ δευτέρων δέωνται γάμων ἵνα μὴ κατακαίωνται, αὕτη δὲ μηδὲ ἑνὸς ἀψαμένη διὰ παντός ἐστιν ἁγία καὶ ἄτρωτος; Διὰ ταῦτα καὶ πρὸ τούτων διὰ τοὺς ἀποκειμένους ἐν τοῖς οὐρανοῖς τῇ χηρείᾳ μισθοὺς ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα ἔλεγε· «Καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ». Οὐκ ἴσχυσας εἰς τὴν ἀνωτάτω κορυφὴν ἀναβῆναι; Τῆς γοῦν μετ' ἐκείνην μὴ ἀποπέσῃς· τοσοῦτον ἡ παρθένος σου ἐχέτω πλέον, ὅσον τὴν μὲν οὐδὲ ἅπαξ ἐπιθυμία κατεπάλαισε, σὲ δὲ κρατήσασα πρότερον οὐκ ἴσχυσε διὰ παντὸς κατασχεῖν. Καὶ σὺ μὲν μετὰ τὴν ἧτταν ἐνίκησας, ἐκείνη δὲ καθαρὰν ἥττης ἁπάσης ἔχει τὴν νίκην καὶ τῷ τέλει συναπτομένη σοι κατὰ τὴν ἀρχὴν ὑπερέχει μόνον.

λη' Διὰ τί τοῖς μὲν γεγαμηκόσι πολλὴν δίδωσι τὴν παραθυμίαν, τὴν δὲ παρθένον οὐκ ἀναπαύει τῶν πόνων.

1. Πῶς οὖν; Τοῖς μὲν γεγαμηκόσι πολλὴν δίδωσι τὴν παραμυθίαν ὡς μηδὲ ἄκοντος θατέρου ἀποστερεῖν αὐτοὺς ἀλλήλων, μήτε τὴν ἐκ συμφωνίας γινομένην στέρησιν ἐπὶ πολὺ προάγειν. Καὶ δεύτερον πάλιν ἐπέτρεψε γάμον, ἐὰν βούλωνται, ὑπὲρ τοῦ μὴ πυροῦσθαι. Τοῖς δὲ παρθενεύουσιν

φερτά, άρκεῖ καὶ μόνον νὰ μὴ ἀναγκάζωνται νὰ ὑποφέρουν τὴν τυραννίαν τῆς ἐπιθυμίας.

4. Ἀλλ' ὅμως ἡ παρθένος δὲν ἐκυριεύθη ἀπὸ σκοτοδίνην ἐμπρὸς εἰς τὴν παράταξιν αὐτήν, οὔτε ἀπέφυγε τὴν σύγκρουσιν αὐτὴν τὴν τόσον ἀνυπόφορον διὰ τοὺς πολλούς, ἀλλ' ἐστάθη γενναία καὶ ἀπεδέχθη τὴν μάχην ἐναντίον τῆς φύσεως. Πῶς λοιπὸν θὰ ἠμποροῦσε κανεὶς νὰ τὴν θαυμάσῃ ἐπαξίως, ὅταν οἱ μὲν ἄλλοι ἔχουν ἀνάγκην καὶ δευτέρων γάμων, διὰ νὰ μὴ κατακαίωνται ἀπὸ τὴν ἐπιθυμίαν, αὐτὴ δὲ χωρὶς νὰ ἐγγίσῃ κανένα παραμένει συνεχῶς καθαρὰ καὶ ἀπλήγωτος; Δι' ὅλα αὐτὰ καὶ πρὶν ἀπὸ αὐτὰ διὰ τὰς ἀμοιβὰς ποὺ ἐπιφυλάσσονται διὰ τὴν χωρείαν εἰς τοὺς οὐρανούς, ἔλεγεν αὐτὸς ποὺ εἶχε τὸν Χριστὸν νὰ ὁμιλῇ δι' αὐτοῦ· «Καλὸν εἶναι εἰς αὐτοὺς ἐὰν μείνουν ὅπως καὶ ἐγώ». Δὲν ἠμπόρεσες νὰ ἀνεβῇς εἰς τὴν πιὸ ὑψηλὴν κορυφήν; Μὴ πέσῃς λοιπὸν ἀπὸ τὴν θέσιν ποὺ εὑρίσκεσαι κάτω ἀπὸ ἐκείνην· τόσον ἂς σὲ ξεπερνᾷ ἡ παρθένος, ὅσον τὴν μὲν παρθένον δὲν τὴν κατέβαλε οὔτε καὶ μίαν φορὰν ἡ ἐπιθυμία, ἐσένα ὅμως, ἂν καὶ σὲ κατενίκησε προηγουμένως, δὲν κατώρθωσε νὰ σὲ κρατήσῃ διὰ παντός. Καὶ σὺ μὲν μετὰ τὴν ἧτταν ἐνίκησες, ἐκείνη ὅμως ἔχει τὴν νίκην καθαρὰν ἀπὸ κάθε ἧτταν, καὶ ἐνῷ εἰς τὸ τέλος συναντᾶται μὲ ἐσένα, ὑπερέχει μόνον κατὰ τὴν ἀρχήν.

λη' Περὶ τοῦ ὅτι, διατί ὁ Παῦλος παρέχει πρὸς μὲν τοὺς ἐγγάμους πολλὴν παρηγορίαν, ἐνῷ τὴν παρθένον δὲν τὴν ἀναπαύει ἀπὸ τοὺς κόπους.

1. Πῶς λοιπόν; Εἰς μὲν τοὺς ἐγγάμους παρέχει πολλὴν παρηγορίαν, ὥστε νὰ μὴ στερῇ ὁ ἕνας τὸν ἄλλον καὶ ὅταν ἀκόμη ὁ ἕνας δὲν τὸ θέλῃ, οὔτε ν' ἀφήνῃ νὰ κρατήσῃ ἐπὶ πολὺν χρόνον ἡ κατόπιν συμφωνίας γινομένη στέρησις. Ἀκόμη καὶ δεύτερον γάμον ἐπέτρεψεν, ἐὰν θέλουν, διὰ νὰ μὴ ὑποφέρουν ἀπὸ τὴν φλόγα τῆς ἐπιθυμίας. Εἰς τὰς παρθένους ὅμως δὲν ἔδωσε καμμίαν τέτοιαν πα-

οὐδεμίαν τοιαύτην δέδωκε παραμυθίαν, ἀλλὰ τοὺς μὲν ἐπὶ τοσοῦτον ἀναπαύσας πάλιν ἀνίησι, τὴν δὲ οὐδὲ μικρὸν ἀναπνέουσαν, ἀλλὰ δι' ὅλου μαχομένην ἀφίησιν ἑστάναι διηνεκῶς καὶ βάλλεσθαι ὑπὸ τῶν ἐπιθυμιῶν καὶ οὐδὲ μικρᾶς αὐτὴν λαβέσθαι δίδωσιν ἀνακωχῆς. Δὰι τί γὰρ οὐκ εἶπε καὶ πρὸς αὐτήν, 'Εἰ δὲ οὐκ ἐγκρατεύεται, γαμησάτω'; Ὅτι οὐδὲ πρὸς τὸν ἀθλητὴν εἴποι τις ἂν μετὰ τὸ ῥῖψαι τὸ ἱμάτιον καὶ ἀλείψασθαι καὶ εἰς τὸ στάδιον εἰσελθεῖν καὶ καταπάσασθαι τὴν κόνιν, 'ἀπόστηθι καὶ φύγε τὸν ἀνταγωνιστήν', ἀλλ' ἀνάγκη λοιπὸν δυοῖν θάτερον ἢ στεφανωθέντα ἢ πεσόντα καὶ καταισχυνθέντα ἀπελθεῖν. Ἐν παιδοτρίβῳ μὲν γὰρ καὶ παλαίστρᾳ ὅπου πρὸς τοὺς οἰκείους ἡ γυμνασία καὶ τοῖς φίλοις ὡς ἐναντίοις συμπλέκεται καὶ τοῦ πονεῖν καὶ τοῦ μὴ πονεῖν αὐτός ἐστι κύριος. Ὅταν δὲ ἀπογράψηται καὶ συλλέγηται θέατρον καὶ ὁ ἀγωνοθέτης παρῇ καὶ οἱ θεαταὶ καθέζωνται καὶ εἰσάγηται ὁ ἀνταγωνιστὴς καὶ ἀντιπαρατάττηται τὴν ἐξουσίαν αὐτῶν ὁ τῶν ἀγώνων παρήρηται νόμος.

2. Καὶ τῇ παρθένῳ τοίνυν ἕως ἂν μὲν βουλεύοιτο πρότερον δέοι γαμεῖν ἢ μὴ γαμεῖν, ἀκίνδυνος ὁ γάμος. Ἐπειδὰν δὲ ἕληται καὶ ἀπογράψηται, εἰσήγαγεν ἑαυτὴν εἰς τὸ στάδιον. Τίς οὖν τολμήσει, τοῦ θεάτρου συγκροτουμένου καὶ θεωρούντων μὲν ἄνωθεν ἀγγέλων, ἀγωνοθετοῦντος δὲ τοῦ Χριστοῦ, μαινομένου δὲ τοῦ διαβόλου καὶ τρίζοντος καὶ συμπλεκομένου πρὸς τὴν πάλην καὶ μέσου κατεχομένου παρελθὼν εἰς μέσον εἰπεῖν, 'φύγε τὸν ἐχθρόν, ἔνδος τοῖς πόνοις, ἀπόστηθι τῆς λαβῆς, μὴ καταβάλῃς, μηδὲ ὑποσκελίσῃς τὸν ἀνταγωνιστήν, ἀλλὰ παραχώρει τῆς νίκης αὐτῷ.

ρηγορίαν, ἀλλὰ τοὺς μὲν ἀγάμους, ἀφοῦ τοὺς ἀνέπαυσεν ὀλίγον μόνον, πάλιν τοὺς ρίπτει εἰς τοὺς ἀγῶνας, τὴν παρθένον ὅμως δὲν τὴν ἀφήνει νὰ πάρῃ τὴν ἀναπνοήν της οὔτε δι' ὀλίγον, ἀλλὰ τὴν ἀφήνει συνεχῶς νὰ μάχεται καὶ νὰ βάλλεται ἀπὸ τὰς ἐπιθυμίας καὶ δὲν τὴν ἐπιτρέπει οὔτε παραμικρὰν ἀνακωχὴν νὰ συνάψῃ. Διατί λοιπὸν δὲν εἶπε πρὸς αὐτήν, ''Ἐὰν ὅμως δὲν ἠμπορῇ ν' ἀσκήσῃ τὴν ἐγκράτειαν, ἂς συνάψῃ γάμον'; Ἐπειδὴ οὔτε πρὸς τὸν ἀθλητὴν θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ μετὰ ἀπὸ τὴν ἀποβολὴν τῶν ἐνδυμάτων του καὶ τὴν ἑτοιμασίαν διὰ τὸν ἀγῶνα καὶ τὴν εἴσοδόν του εἰς τὸ στάδιον καὶ μετὰ τὸ ἄλειμμά του μὲ σκόνην, ''Απομακρύνσου καὶ ἀπόφυγε τὸν ἀντίπαλόν σου', ἀλλ' εἶναι ἀνάγκη πλέον νὰ λάβῃ χώραν τὸ ἕνα ἀπὸ τὰ δύο, ἢ νὰ λάβῃ τὸν στέφανον τῆς νίκης, ἢ νὰ νικηθῇ καὶ νὰ φύγῃ κατεντροπιασμένος. Διότι εἰς μὲν τὸ γυμναστήριον καὶ τὴν παλαίστραν, ὅπου ὁ ἀγὼν γίνεται μὲ γνωστοὺς καὶ φίλους, ποὺ συμπλέκονται ὡς ἀντίπαλοι, ἀπὸ αὐτὸν ἐξαρτᾶται τὸ νὰ κοπιάσῃ ἢ νὰ μὴ κοπιάσῃ. Ὅταν ὅμως ἐγγραφῇ εἰς τὸν κατάλογον καὶ συγκεντρωθοῦν οἱ θεαταὶ καὶ ὁ ἀγωνοθέτης εἶναι παρὼν καὶ οἱ θεαταὶ λάβουν τὴν θέσιν των καὶ ὁ ἀντίπαλος εἰσέλθῃ καὶ παραταχθῇ ἀπέναντί του, τοὺς ἀποστερεῖ ὁ νόμος τῶν ἀγώνων αὐτὴν τὴν ἐξουσίαν.

2. Καὶ εἰς τὴν παρθένον λοιπόν, ἐν ὅσῳ μὲν σκέπτεται ἐὰν πρέπει νὰ ὑπανδρευθῇ ἢ νὰ μείνῃ ἄγαμος, ὁ γάμος εἶναι ἀκίνδυνος. Ὅταν ὅμως κάνῃ τὴν ἐκλογήν της καὶ ἐγγραφῇ εἰς τὸν κατάλογον τῶν παρθένων, ὡδήγησε τὸν ἑαυτόν της εἰς τὸ στάδιον τῶν ἀγώνων. Ποῖος λοιπὸν θὰ τολμήσῃ, τὴν στιγμὴν ποὺ τὸ θέατρον εἶναι ἕτοιμον καὶ βλέπουν μὲν οἱ ἄγγελοι ἀπὸ τὸν οὐρανὸν καὶ εἶναι ἀγωνοθέτης ὁ Χριστός, ὁ δὲ διάβολος μαίνεται καὶ τρίζει τὰ δόντια του καὶ εἶναι ἕτοιμος νὰ ριφθῇ εἰς τὴν πάλην καὶ εὑρίσκεται εἰς τὸ μέσον τοῦ σταδίου, νὰ παρουσιασθῇ εἰς τὸ μέσον καὶ νὰ εἰπῇ, ''Απόφυγε τὸν ἐχθρόν, ὑποχώρησε πρὸ τῶν κόπων, παραιτήσου ἀπὸ τὸν ἀγῶνα, μὴ τὸν καταβάλῃς οὔτε νὰ ρίψῃς κάτω τὸν ἀντίπαλόν σου, ἀλλὰ παραχώρησε τὴν νίκην εἰς αὐτόν';

3. Καὶ τί λέγω πρὸς τὰς παρθένους; Πρὸς τὰς χήρας οὐκ ἄν τις τολμήσειε ταύτην ῥῆξαι τὴν φωνήν, ἀλλ' ἀντὶ ταύτης ἐκείνην τὴν φοβερὰν ὅτι «Ἐὰν καταστρηνιάσωσι τοῦ Χριστοῦ καὶ γαμῆσαι θελήσωσι, κρίμα ἕξουσιν ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν». Καὶ μὴν αὐτός φησιν ὅτι «Λέγω τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν». Καὶ πάλιν, «Ἐὰν κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ».

λθ' Ποίᾳ χήρᾳ καὶ ποίᾳ παρθένῳ ἐπιτρέπει μαγεῖσθαι ὁ Παῦλος.

1. Πῶς οὖν ἣν ἀφίησιν ἐλευθέραν πάλιν κολάζει καὶ ὃν ἐν Κυρίῳ φησὶν εἶναι γάμον τοῦτον ὡς παρανόμως γινόμενον κατακρίνει; Μὴ δείσῃς· οὐ τὸν αὐτὸν ἀλλ' ἕτερον. Ὥσπερ γὰρ λέγων, «Ἐὰν γάμῃ ἡ παρθένος οὐχ ἥμαρτεν», οὐ περὶ τῆς ἀποτεταγμένης τῷ γάμῳ φησὶ - δῆλον γὰρ ἅπασιν ὅτι αὐτὴ ἥμαρτε καὶ ἁμαρτίαν ἀφόρητον - ἀλλὰ περὶ τῆς ἀπειρογάμου μὲν ἔτι, οὔπω δὲ οὐδὲ τοῦτο οὐδὲ ἐκεῖνο ψηφισαμένης ἀλλ' ἐν μεταιχμίῳ τούτων ἑκατέρων μενούσης τῶν λογισμῶν. Οὕτω καὶ χήραν ἐνταῦθα μὲν τῆς ἁπλῶς οὐκ ἔχουσαν ἄνδρα φησίν, οὔπω δὲ καὶ τῇ τῆς οἰκείας προαιρέσεως ψήφῳ προσδεδεμένην, ἀλλ' ἐλευθέραν οὖσαν καὶ τοῦτο ἑλέσθαι κἀκεῖνο· ἐκεῖ δὲ τὴν οὐκέτι κυρίαν οὖσαν ἑτέρῳ πάλιν ὁμιλῆσαι νυμφίῳ, ἀλλ' εἰς τοὺς τῆς ἐγκρατείας ἐμβεβηκυῖαν ἀγῶνας.

Ἔστι γὰρ καὶ χήραν εἶναι καὶ μὴ καταλέγεσθαι εἰς τὸ τῶν χηρῶν ἀξίωμα, ὅταν μηδέπω ᾖ τοῦτο καταδεξαμένη.

---

97. Α' Τιμ. 11 - 12.
98. Α' Κορ. 7, 8 - 9.
99. Αὐτόθι 7, 39.
1. Α' Κορ. 7, 28.

3. Καὶ διατί λέγω πρὸς τὰς παρθένους; Πρὸς τὰς χήρας δὲν θὰ ἦτο δυνατὸν νὰ τολμήσῃ κανεὶς νὰ εἰπῇ αὐτὰ τὰ λόγια, ἀλλ' ἀντὶ αὐτῶν θὰ εἰπῇ ἐκεῖνα τὰ φοβερὰ λόγια, ὅτι «Ἐὰν τὰς ἀποσπάσουν τὰ πάθη των ἀπὸ τὸν Χριστὸν καὶ θελήσουν νὰ ὑπανδρευθοῦν, εἶναι ὑπὸ κατάκρισιν, διότι ἠθέτησαν τὴν πρώτην ὑπόσχεσίν των»[97]. Καὶ ὅμως ὁ ἴδιος λέγει· «Λέγω δὲ εἰς τοὺς ἀγάμους καὶ εἰς τὰς χήρας, ὅτι καλὸν εἶναι δι' αὐτὰς νὰ μείνουν ὅπως καὶ ἐγώ· ἐὰν ὅμως δὲν ἠμποροῦν ν' ἀσκήσουν ἐγκράτειαν, ἂς συνάψουν γάμον»[98]. Καὶ πάλιν· «Ἐὰν ἀποθάνῃ ὁ ἄνδρας της εἶναι ἐλευθέρα νὰ ὑπανδρευθῇ μὲ ὅποιον θέλει, μόνον ὅμως ἐν ὀνόματι τοῦ Κυρίου»[99].

λθ' Περὶ τοῦ εἰς ποίαν χήραν καὶ εἰς ποίαν παρθένον ἐπιτρέπει ὁ Παῦλος νὰ ὑπανδρεύωνται.

1. Πῶς λοιπὸν αὐτὴν ποὺ τὴν ἀφήνει ἐλευθέραν νὰ ἐκλέξῃ, τὴν τιμωρεῖ καὶ πάλιν, καὶ τὸν γάμον ποὺ λέγει ὅτι εἶναι σύμφωνος μὲ τὸ θέλημα τοῦ Κυρίου, τὸν κατακρίνει ὡσὰν νὰ ἔγινεν παράνομος; Μὴ φοβῆσαι· δὲν κατακρίνει αὐτὸν τὸν γάμον, ἀλλὰ ἄλλον. Διότι, ὅπως ἀκριβῶς, ὅταν λέγῃ, «Ἐὰν συνάψῃ γάμον ἡ παρθένος, δὲν ἡμάρτησεν»[1], δὲν ὁμιλεῖ δι' ἐκείνην ποὺ ἀπέφυγε τὸν γάμον — διότι εἶναι ὁλοφάνερον εἰς ὅλους, ὅτι αὐτὴ ἡμάρτησε καὶ μάλιστα ἁμαρτίαν βαρείαν —, ἀλλ' τὰ λέγει διὰ τὴν ἄγαμον μὲν ἀκόμη, ποὺ δὲν ἀπεφάσισεν ἀκόμη οὔτε αὐτὸ οὔτε ἐκεῖνο, ἀλλ' εὑρίσκεται ἡ ἀπόφασίς της εἰς τὸ μεταίχμιον αὐτῶν τῶν δύο σκέψεων. Ἔτσι καὶ ἐδῶ χήραν μὲν ὀνομάζει ἁπλῶς τὴν γυναῖκα ἐκείνην ποὺ δὲν ἔχει ἄνδρα, καὶ δὲν ἐμποδίζεται ἀκόμη ἀπὸ τὴν ἀπόφασιν τῆς ἰδικῆς της προαιρέσεως, ἀλλ' εἶναι ἐλευθέρα νὰ ἐκλέξῃ καὶ αὐτὸ καὶ ἐκεῖνο, ἐνῷ ἐκεῖ ἐννοεῖ ἐκείνην ποὺ δὲν εἶναι πλέον ἐλευθέρα νὰ συνάψῃ πάλιν γάμον μὲ ἄλλον νυμφίον, ἀλλ' ἔχει ριφθῆ εἰς τοὺς ἀγῶνας τῆς ἐγκρατείας.

2. Διότι εἶναι δυνατὸν νὰ εἶναι χήρα καὶ νὰ μὴ συγκαταλέγεται εἰς τὸ ἀξίωμα τῶν ἀναγνωρισμένων χηρῶν,

Διὸ καὶ αὐτός φησι· «Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή». Τὴν μὲν γὰρ ἁπλῶς χήραν ἀφίησι γαμεῖν εἰ βούλοιτο, τὴν δὲ ἐπαγγειλαμένην τῷ Θεῷ χηρεύειν διὰ παντός, εἶτα γαμηθεῖσαν, καταδικάζει σφοδρῶς, ὅτι τὰς πρὸς τὸν Θεὸν συνθήκας ἐπάτησεν. Οὐ ταύταις οὖν ἀλλ' ἐκείναις φησίν· «Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖττον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι». Ὁρᾷς οὐδαμοῦ τὸν γάμον καθ' ἑαυτὸν θαυμαζόμενον, ἀλλὰ διὰ τὰς πορνείας, διὰ τοὺς πειρασμούς, διὰ τὴν ἀκρασίαν; Ἄνω μὲν γὰρ ταῦτα ἅπαντα τίθησιν, ἐνταῦθα δέ, ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο τοῖς ὀνείδεσι, ῥήμασιν εὐφημοτέροις πάλιν τὸ αὐτὸ πρᾶγμα καλεῖ, ἐμπρησμὸν αὐτὸ καὶ πύρωσιν ὀνομάζων.

3. Καὶ οὐδὲ ἐνταῦθα ἠνέσχετο μὴ πλήξας τὸν ἀκροατὴν παρελθεῖν. Οὐ γὰρ εἶπεν· 'εἰ δὲ βίαν τινὰ πάσχουσιν ὑπὸ τῆς ἐπιθυμίας, εἰ δὲ περιτρέπονται, εἰ δὲ μὴ δύνανται'. Οὐδὲν τοιοῦτον ὁ τῶν πασχόντων ἐστὶ καὶ συγγνώμης ἄξιον. Ἀλλὰ τί; «Εἰ δὲ οὐκ ἐγκρατεύονται», ὃ τῶν οὐκ ἐθελόντων ἐστὶν ἐνεργεῖν διὰ τὴν ῥαθυμίαν. Δείκνυσι γὰρ ὅτι κύριοι ὄντες τοῦ πράγματος παρὰ τὸ μὴ βούλεσθαι πονεῖν οὐκ ἀνύουσιν. Ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτοὺς κολάζει οὐδὲ τιμωρίας ὑπευθύνους ποιεῖ, ἀλλ' ἐπαίνων ἀποστερήσας μόνον μέχρι τοῦ διὰ τῶν ῥημάτων ψόγου τὴν σφοδρότητα ἐπιδείκνυται, παιδοποιΐας μὲν οὐδαμοῦ μεμνημένης τῆς εὐπροσώπου καὶ σεμνῆς αἰτίας τοῦ γάμου, πυρώσεως δὲ καὶ ἀκρασίας καὶ πορνείας καὶ πείρας σατανικῆς καὶ ὑπὲρ τοῦ ταῦτα μὴ γίνεσθαι τὸ πρᾶγμα συγχωρῶν.

---

2. Α΄ Τιμ. 5, 9.

ὅταν ἀκόμη δὲν ἀπεδέχθη αὐτό. Διὰ τοῦτο καὶ αὐτὸς λέγει· «Χήρα ἠμπορεῖ νὰ ἐγγραφῇ εἰς τὸν κατάλογον τῶν χηρῶν ἐὰν δὲν εἶναι κάτω τῶν ἑξήντα ἐτῶν καὶ ὑπῆρξε σύζυγος ἑνὸς ἀνδρός»[2]. Αὐτὴν λοιπὸν ποὺ εἶναι ἁπλῶς χήρα τὴν ἐπιτρέπει νὰ ὑπανδρευθῇ ἐὰν ἤθελεν, αὐτὴν ὅμως ποὺ ἔδωσεν ὑπόσχεσιν εἰς τὸν Θεὸν νὰ παραμείνῃ χήρα διὰ παντὸς καὶ ἐν συνεχείᾳ ὑπανδρεύθη, τὴν καταδικάζει μὲ πολλὴν σφοδρότητα, διότι κατεπάτησε τὰς συμφωνίας ποὺ ἔκαμε μὲ τὸν Θεόν. Δὲν ἐννοεῖ λοιπὸν αὐτάς, ἀλλ' ἐκείνας· «Ἐὰν ὅμως δὲν ἠμποροῦν ν' ἀσκήσουν τὴν ἐγκράτειαν, ἂς ὑπανδρεύωνται· διότι εἶναι προτιμώτερον νὰ ὑπανδρευθοῦν παρὰ νὰ κατακαίωνται ἀπὸ τὴν φλόγα τῆς ἐπιθυμίας». Βλέπεις ὅτι πουθενὰ δὲν θαυμάζεται ὁ γάμος αὐτὸς καθ' ἑαυτόν, ἀλλὰ πρὸς ἀποφυγὴν τῆς πορνείας, τῶν πειρασμῶν καὶ τῆς ἀκρασίας; Διότι προηγουμένως τὰ ἀνέφερεν ὅλα αὐτά, ἐδῶ ὅμως, ἐπειδὴ τοὺς προσέβαλε μὲ τοὺς ὀνειδισμούς, ὁμιλεῖ μὲ πιὸ εὐφήμους λόγους καὶ πάλιν διὰ τὸ ἴδιο πρᾶγμα, ὀνομάζων αὐτὸ ἐμπρησμὸν καὶ πύρωσιν.

3. Ὅμως οὔτε καὶ ἐδῶ ἐπέτρεψε νὰ περάσῃ ὁ λόγος χωρὶς νὰ πλήξῃ τὸν ἀκροατήν. Διότι δὲν εἶπε· 'ἐὰν δὲ ἐξαναγκάζωνται ἀπὸ τὴν ἐπιθυμίαν, ἐὰν ἐκτρέπωνται ἀπὸ τὴν κανονικὴν ὁδόν, ἐὰν δὲν ἠμποροῦν'. Κανένα ἀπὸ αὐτὰ δὲν εἶπε ποὺ ἁρμόζει εἰς τοὺς πάσχοντας καὶ τοὺς ἀξίους συγγνώμης. Ἀλλὰ τί λέγει; «Ἐὰν ὅμως δὲν ἠμποροῦν ν' ἀσκήσουν τὴν ἐγκράτειαν», ποὺ εἶναι γνώρισμα ἐκείνων ποὺ δὲν θέλουν νὰ ἐγκρατεύωνται ἐξ αἰτίας τῆς ὀκνηρίας των. Δεικνύει λοιπόν, ὅτι, ἐνῷ ἐξαρτᾶται ἀπὸ αὐτοὺς τὸ ὅλον πρᾶγμα, δὲν τὸ ἐπιτυγχάνουν ἐπειδὴ δὲν θέλουν νὰ κοπιάζουν. Ἀλλ' ὅμως οὔτε ἔτσι τοὺς τιμωρεῖ, οὔτε τοὺς θεωρεῖ ὑπευθύνους τιμωρίας, ἀλλ' ἀφοῦ τοὺς ἀπεστέρησε μόνον ἀπὸ τοὺς ἐπαίνους, παρουσιάζει τὴν αὐστηρότητα μόνον μὲ τὰς κατηγορίας διὰ τῶν λόγων, χωρὶς νὰ ἀναφέρῃ πουθενὰ τὴν τεκνοποιΐαν, ποὺ εἶναι ἡ πιὸ εὐπρεπὴς καὶ ἀξιοσέβαστος αἰτία τοῦ γάμου, ὁμιλεῖ διὰ πύρωσιν καὶ ἀκρασίαν καὶ πορνείαν καὶ σατανικὸν πειρασμὸν καὶ ἐπιτρέπει τὸν γάμον ἀρκεῖ νὰ μὴ συμβαίνουν αὐτά.

4. Καὶ τί τοῦτο; φησίν· ἕως γὰρ ἂν αὐτὸ τιμωρίας ἀπαλλάττῃ, πᾶσαν κατάγνωσιν καὶ πάντα ὀνείδη εὐκόλως οἴσομεν· μόνον ἐξέστω τρυφᾶν καὶ συνεχῶς ἀπολαύειν ἐπιθυμίας. Τί οὖν, ὦ βέλτιστε, ἂν μηδὲ τρυφᾶν ἐξῇ, ὀνειδισμὸν καρπωσόμεθα μόνον; Καὶ πῶς, φησίν, οὐκ ἔξεστι τρυφᾶν τοῦ Παύλου λέγοντος· «Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν;».

5. Ἀλλ' ἄκουε καὶ τὰ προσκείμενα τούτῳ. Ἔμαθες ὅτι κρεῖττον τὸ γαμῆσαι ἢ πυροῦσθαι· ἀπεδέξω τὸ ἡδύ, ἐπήνεσας τὴν συγχώρησιν, ἐθαύμασας τῆς συγκαταβάσεως τὸν ἀπόστολον· ἀλλὰ μὴ στῇς μέχρι τούτου, δέχου καὶ τὰ μετὰ ταῦτα· τοῦ γὰρ αὐτοῦ ἀμφότερα τὰ παραγγέλματα. Τί οὖν μετὰ ταῦτά φησιν; «Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ ἀλλ' ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι· ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι».

μ' **Ὅτι πολλὴ ἡ τοῦ γάμου δουλεία καὶ ἀπαραίτητος.**

1. Τί οὖν ἐὰν μὲν ὁ ἀνὴρ ἐπιεικὴς ᾖ, ἡ δὲ γυνὴ μοχθηρά, λοίδορος, λάλος, πολυτελής, τὸ κοινὸν τοῦτο πασῶν αὐτῶν νόσημα, ἑτέρων πλειόνων γέμουσα κακῶν, πῶς οἴσει τὴν καθημερινὴν ταύτην ἀηδίαν ἐκεῖνος ὁ δείλαιος, τὸν τῦφον, τὴν ἀναισχυντίαν; Τί δαί, ἂν τοὐναντίον αὐτὴ μὲν ᾖ κοσμία καὶ ἥσυχος, ἐκεῖνος δὲ θρασύς, ὑπεροπτικός, ὀργίλος, πολὺν μὲν ἀπὸ τῶν χρημάτων, πολὺν δὲ ἀπὸ τῆς δυναστείας ὄγκον περιβεβλημένος, καὶ τὴν ἐλευθέραν ὡς δούλην ἔχει καὶ τῶν θεραπαινίδων μηδὲν ἄμεινον πρὸς αὐτὴν διάκειται,

---

3. Α' Κορ. 7, 10-11.

4. Καὶ τί σημασίαν ἔχει αὐτό; λέγει. Διότι, ἐφ' ὅσον μᾶς ἀπαλλάσσει μὲ αὐτὸ ἀπὸ τὴν τιμωρίαν, θὰ ὑποφέρωμεν εὔκολα κάθε κατάκρισιν καὶ κάθε ὀνειδισμόν· μόνον νὰ ἠμποροῦμεν νὰ μὴ στερούμεθα τῆς ἡδονῆς καὶ ν' ἀπολαμβάνωμεν συνεχῶς τὴν ἐπιθυμίαν. Τί λοιπόν, φίλτατέ μου, ἂν δὲν ἐπιτρέπεται νὰ ἀπολαμβάνωμεν τὴν ἡδονήν, θὰ καρπωθῶμεν μόνον ὀνειδισμόν; Καὶ πῶς, λέγει, δὲν ἐπιτρέπεται νὰ ἀπολαμβάνωμεν τὴν ἡδονήν, ἀφοῦ ὁ Παῦλος λέγει· «Ἐὰν δὲ δὲν ἠμποροῦν ν' ἀσκήσουν τὴν ἐγκράτειαν, ἂς ὑπανδρεύωνται»;

5. Ἀλλ' ἄκουε καὶ τὰ λόγια του σχετικὰ μὲ αὐτό. Ἔμαθες ὅτι εἶναι προτιμότερος ὁ γάμος παρὰ νὰ κατακαίεσαι ἀπὸ τὴν φλόγα τῆς ἐπιθυμίας· ἀπεδέχθης τὴν ἡδονήν, ἐπήνεσες τὴν συγχώρησιν, ἐθαύμασες τὸν ἀπόστολον διὰ τὴν συγκατάβασίν του· ἀλλὰ μὴ σταματήσῃς μέχρις ἐδῶ, ἀλλὰ δέξου καὶ τὰ ἐν συνεχείᾳ· διότι καὶ τὰ δύο εἶναι παραγγέλματα τοῦ ἰδίου. Τί λέγει λοιπὸν εἰς τὴν συνέχειαν; «Εἰς δὲ τοὺς ἐγγάμους παραγγέλω, ὄχι ἐγώ, ἀλλὰ ὁ Κύριος, ἡ γυναῖκα νὰ μὴ χωρίζεται ἀπὸ τὸν ἄνδρα της· ἐὰν ὅμως συμβῇ νὰ χωρισθῇ, ἂς παραμείνῃ ἄγαμος ἢ ἂς συμφιλιωθῇ μὲ τὸν ἄνδρα της· καὶ ἡ γυναῖκα ἂς μὴ ἀφήνῃ τὸν ἄνδρα της»[3].

μ' Περὶ τοῦ ὅτι ἡ δουλεία τοῦ γάμου εἶναι μεγάλη καὶ ἀπαραίτητος.

1. Τί λοιπόν, ἐὰν ὁ μὲν ἄνδρας εἶναι ἤπιος, ἡ δὲ γυναῖκα μοχθηρή, κακολόγος, φλύαρος, σπάταλος, τὸ νόσημα αὐτὸ ποὺ εἶναι κοινὸν εἰς ὅλας τὰς γυναῖκας, καὶ γεμάτη ἀπὸ πάρα πολλὰ ἄλλα κακά, πῶς θὰ ὑποφέρῃ τὴν καθημερινὴν αὐτὴν ἀηδίαν ἐκεῖνος ὁ δυστυχής, τὴν ἀλαζονείαν, τὴν ἀδιαντροπιάν; Τί δέ, ἂν ἀντιθέτως αὐτὴ εἶναι κοσμία καὶ ἥσυχος, ἐνῷ ἐκεῖνος θρασύς, ὑπεροπτικός, ὀργίλος καὶ γεμᾶτος ἀπὸ πολλὴν ἀλαζονείαν τόσον ἐξ αἰτίας τῶν χρημάτων, ὅσον καὶ ἐξ αἰτίας τῆς ἐξουσίας, καὶ ἔχει ὡς δούλην τὴν ἐλευθέραν σύζυγόν του, καὶ δὲν συμπεριφέρεται καθόλου καλύτερα πρὸς αὐτὴν ἀπὸ ὅ,τι πρὸς τὰς

πῶς οἴσει τὴν τοσαύτην ἀνάγκην καὶ βίαν; Τί δαί, ἂν συνεχῶς αὐτὴν ἀποστρέφηται καὶ διὰ παντὸς μένῃ τοῦτο ποιῶν; Καρτέρει, φησίν, πᾶσαν ταύτην τὴν δουλείαν· ὅταν γὰρ ἀποθάνῃ, τότε ἐλευθέρα ἔσῃ μόνον, ζῶντος δὲ δυοῖν θάτερον ἀνάγκη, ἢ παιδαγωγεῖν αὐτὸν μετὰ πολλῆς τῆς σπουδῆς καὶ βελτίω ποιεῖν ἤ, εἰ τοῦτο ἀδύνατον, φέρειν γενναίως τὸν ἀκήρυκτον πόλεμον καὶ τὴν ἄσπονδον μάχην.

2. Καὶ ἀνωτέρω μὲν ἔλεγε, «Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου», ἐνταῦθα δὲ χωρισθεῖσαν αὐτὴν καὶ ἄκουσαν ἐγκρατεύεσθαι κελεύει λοιπόν· «Μενέτω», γάρ φησιν, «ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω». Ὁρᾷς αὐτὴν ἐν μέσῳ δυοῖν ἀπειλημμένην πολέμων; Ἢ γὰρ τὴν ἀπὸ τῆς ἐπιθυμίας βίαν χρὴ καρτερεῖν ἢ τοῦτο μὴ βουλομένην, κολακεύειν τὸν ὑβριστὴν καὶ παρέχειν ἑαυτὴν ἐκείνῳ πρὸς ὅπερ ἂν βούληται, εἴτε πληγὰς ἐντείνει εἴτε λοιδορίαις πλύνοι, εἴτε οἰκετῶν ὑπεροψίᾳ παραδοῦναι εἴτε ἕτερόν τι τοιοῦτον.

3. Πολλαὶ γὰρ ὁδοὶ τοῖς ἀνδράσιν ἐπινενόηνται ὅταν κολάζειν βούλωνται τὰς ἑαυτῶν γυναῖκας. Εἰ δὲ ταῦτα μὴ φέροι, τὴν ἐγκράτειαν ἀσκεῖν χρὴ τὴν ἄκαρπον· τὴν ἄκαρπον δὲ λέγω ἐπειδὴ μὴ τὴν αὐτῇ προσήκουσαν ὑπόθεσιν ἔχει· οὐ γὰρ δι' ἁγιωσύνης ἐπιθυμίαν, ἀλλὰ διὰ τὴν πρὸς τὸν ἄνδρα ὀργὴν γίνεται. «Μενέτω», γάρ φησιν, «ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω». Τί οὖν, ἂν μηδέποτε βούληται καταλλαγῆναι; φησίν. Ἔχεις δευτέραν λύσιν καὶ ἀπαλλαγήν. Τίνα ταύτην; Ἀνάμενε τὸν ἐκείνου θάνατον.

4. Ὥσπερ γὰρ τῇ παρθένῳ γαμεῖν οὐδέποτε ἔξεστι, οὕτως οὐδὲ ταύταις εἶναι, ὅταν ὁ ἀνὴρ ἀποθάνῃ. Εἰ γὰρ ἐξῆν καὶ ζῶντος ἀπὸ τούτου πρὸς ἕτερον καὶ πάλιν, ἀπ' ἐ-

---

4. Α' Κορ. 7, 11.

ὑπηρετρίας, πῶς θὰ ὑποφέρῃ αὐτὴν τὴν τόσον μεγάλην ἀνάγκην καὶ σκληρότητα; Τί δέ, ἐὰν τὴν ἀποστρέφεται συνεχῶς καὶ ἐπιμένῃ νὰ τὸ κάμνῃ αὐτὸ διαρκῶς; Ὑπόφερε, λέγει, ὅλην αὐτὴν τὴν δουλείαν, διότι ὅταν θ' ἀποθάνῃ, τότε μόνον θὰ γίνῃς ἐλευθέρα, ἐνῷ ἐν ὅσῳ θὰ ζῇ εἶναι ἀνάγκη νὰ κάμνῃς ἕνα ἀπὸ τὰ δύο, ἢ νὰ καλλιεργῇς τὸν χαρακτῆρα του μὲ πολλὴν φροντίδα καὶ νὰ τὸ κάμνῃς καλύτερον, ἤ, ἐὰν αὐτὸ εἶναι ἀδύνατον, νὰ ὑποφέρῃς μὲ γενναιότητα τὸν ἀκήρυκτον πόλεμον καὶ τὴν ἀδιάκοπον μάχην.

2. Καὶ ἀνωτέρω μὲν ἔλεγε, «Μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον, ἐκτὸς ἐὰν τὸ κάμνετε κατόπιν κοινῆς συμφωνίας», ἐδῶ ὅμως καὶ χωρισθεῖσαν χωρὶς νὰ τὸ θέλῃ τὴν παραγγέλει νὰ ἐγκρατεύῃ εἰς τὸ ἑξῆς· διότι λέγει· «Ἂς μένῃ ἄγαμος ἢ ἂς συμφιλιωθῇ μὲ τὸν ἄνδρα της»[4]. Βλέπεις αὐτὴν νὰ ἀπειλῆται ἐν μέσῳ δύο πολέμων; Διότι ἢ πρέπει νὰ ὑπομένῃ τὴν σκληρότητα τῆς ἐπιθυμίας ἤ, ἂν δὲν τὸ θέλῃ αὐτό, νὰ κολακεύῃ τὸν ὑβριστὴν καὶ νὰ παραδίδῃ τὸν ἑαυτόν της εἰς ἐκεῖνον νὰ τὴν κάνῃ ὅ,τι θέλει, εἴτε νὰ τὴν πληγώνῃ περισσότερον εἴτε νὰ τὴν περιλούζῃ μὲ ὕβρεις, εἴτε νὰ τὴν παραδίδῃ εἰς τὴν περιφρόνησιν τῶν ὑπηρετῶν, εἴτε εἰς κάτι ἄλλο παρόμοιον.

3. Πράγματι πολλοὶ τρόποι ἐπινοοῦνται ἀπὸ τοὺς ἄνδρας ὅταν θέλουν νὰ τιμωροῦν τὰς γυναῖκας των. Ἐὰν δὲ δὲν ἠμπορῇ αὐτὰ νὰ τὰ ὑποφέρῃ πρέπει νὰ ἀσκῇ τὴν ἄκαρπον ἐγκράτειαν· λέγω δὲ τὴν ἄκαρπον ἐπειδὴ δὲν ἔχει τὴν πρέπουσαν ἀρχήν· διότι γίνεται ὄχι ἀπὸ ἐπιθυμίαν διὰ ἁγιωσύνην, ἀλλ' ἐξ αἰτίας τῆς ὀργῆς πρὸς τὸν ἄνδρα. Διότι λέγει· «Ἂς μείνῃ ἄγαμος ἢ νὰ συμφιλιωθῇ μὲ τὸν ἄνδρα της». Τί λοιπόν, λέγει, ἐὰν δὲν θέλῃ ποτὲ νὰ συμφιλιωθῇ; Ἔχεις δευτέραν λύσιν καὶ τρόπον ἀπαλλαγῆς. Ποία εἶναι αὐτή; Περίμενε τὸν θάνατον ἐκείνου.

4. Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὴν παρθένον δὲν εἶναι δυνατὸν ποτὲ νὰ ὑπανδρευθῇ, ἔτσι οὔτε εἰς αὐτὰς εἶναι δυνατόν, παρὰ ὅταν μόνον ἀποθάνῃ ὁ ἄνδρας των. Διότι ἐὰν ἦτο δυνατὸν καὶ ἐν ὅσῳ ἔζη ὁ ἄνδρας της νὰ μετα-

κείνου πρὸς ἄλλον μεταπηδᾶν, τί γάμων ἔδει λοιπόν, ταις ἀλλήλων γυναιξὶν ἀδιακρίτως τῶν ἀνδρῶν κεχρημένων καὶ πάσαις ἁπλῶς ἀναμεμιγμένων ἁπάντων; Πῶς δὲ οὐκ ἂν καὶ πρὸς τοὺς συνοικοῦντας διεφθάρη ἡ διάθεσις, τήμερον μὲν τούτου, αὔριον δὲ ἐκείνου, καὶ πάλιν ἄλλων τῇ αὐτῇ συζώντων γυναικί; Δικαίως οὖν ὁ Κύριος αὐτὸ μοιχείαν ἐκάλεσεν.

μα΄ Διὰ τί τοῖς Ἰουδαίοις συνεχώρησε ἀπόστασιν διδόναι ὁ Θεός.

1. Πῶς οὖν Ἰουδαίοις τοῦτο συνεχώρησεν; Δηλονότι διὰ τὴν σκληροκαρδίαν, ἵνα μὴ συγγενικῶν αἱμάτων τὰς ἑαυτῶν πληρῶσιν οἰκίας. Τί γὰρ ἦν ἄμεινον, εἰπέ μοι, τὴν μισηθεῖσαν ἐκβληθῆναι ἔξω ἢ σφαγῆναι ἔνδον; Τοῦτο γὰρ ἂν ἐποίησαν, εἴ γε μὴ ἐξῆν αὐτοῖς ἐκβάλλειν. Διὰ τοῦτό φησιν· «Εἰ μισεῖς, ἐξαπόστειλον». Ὅταν δὲ τοῖς ἐπιεικέσι διαλέγηται καὶ οἷς μηδὲ ὀργίζεσθαι συγχωρεῖ, τί λέγει; «Ἐὰν δὲ χωρισθῇ, μενέτω ἄγαμος». Ὁρᾷς τὴν ἀνάγκην καὶ τὴν ἀπαραίτητον δουλείαν, τὸν ἑκατέρους περιβάλλοντα δεσμόν; Δεσμὸς γὰρ ὄντως ὁ γάμος, οὐ διὰ τὸν τῶν φροντίδων ὄχλον μόνον οὐδὲ διὰ τὰς λύπας τὰς καθημερινάς, ἀλλ᾽ ὅτι παντὸς οἰκέτου χαλεπώτερον ἀλλήλοις ὑποκεῖσθαι τοὺς γεγαμηκότας καταναγκάζει.

2. «Κρατείτω», φησίν, «ὁ ἀνὴρ τῆς γυναικός». Καὶ τί τῆς δεσποτείας ταύτης τὸ κέρδος; Πάλιν γὰρ αὐτὸν δοῦλον τῆς κρατουμένης ποιεῖ, καινήν τινα καὶ παράδοξον δουλείας ἐπινοήσας ἀντίδοσιν· καὶ καθάπερ ὑπὸ δεσποτῶν φυγάδες οἰκέται καθ᾽ ἑαυτοὺς δεδεμένοι καὶ πάλιν ἀλλήλοις συνδεδεμένοι, διά τινος ἁλύσεως μικρᾶς ἐξ ἑκατέρας ἀρχῆς ταῖς

5. Πρβλ. Δευτ. 24, 1.
6. Πρβλ. Γεν. 3, 16.

πηδᾷ ἀπὸ αὐτὸν εἰς ἄλλον καὶ ἀπὸ ἐκεῖνον πάλιν εἰς ἄλλον, τί ἐχρειάζετο τότε πλέον τοὺς γάμους, τὴν στιγμὴν ποὺ θὰ ἐχρησιμοποίουν οἱ ἄνδρες χωρὶς διάκρισιν τὰς γυναῖκας καὶ ὅλοι θὰ ἤρχοντο εἰς σαρκικὴν μίξιν μὲ ὅλας γενικῶς τὰς γυναῖκας; Πῶς θὰ ἦτο δυνατὸν νὰ μὴ διαφθαρῇ ἡ διάθεσις πρὸς τοὺς συγκατοικοῦντας, ὅταν θὰ ἔπρεπε νὰ συζοῦν μὲ τὴν ἰδίαν γυναῖκα σήμερον αὐτοί, αὔριον δὲ ἄλλοι ἄνδρες καὶ μετὰ πάλιν ἄλλοι; Δικαίως λοιπὸν ὁ Κύριος ἐκάλεσεν αὐτὸ μοιχείαν.

μα΄ Περὶ τοῦ ὅτι, διατί ὁ Θεὸς ἐπέτρεψεν εἰς τοὺς Ἰουδαίους νὰ δίδουν διαζύγιον.

1. Πῶς λοιπὸν τὸ ἐπέτρεψεν αὐτὸ εἰς τοὺς Ἰουδαίους; Ἐξ αἰτίας τῆς σκληροκαρδίας των φυσικά, διὰ νὰ μὴ γεμίζουν τὰς οἰκίας των μὲ συγγενικὰ αἵματα. Διότι τί θὰ ἦτο καλύτερον, εἰπέ μου, νὰ ἐκδιωχθῇ ἡ μισηθεῖσα σύζυγος ἢ νὰ σφαγῇ μέσα εἰς τὴν οἰκίαν; Καθ' ὅσον αὐτὸ θὰ ἔκαμνον, ἐὰν δὲν ἦτο δυνατὸν εἰς αὐτοὺς νὰ τὴν ἐκδιώξουν. Διὰ τοῦτο λέγει· «Ἐὰν τὴν μισῇς, ἐκδίωξέ την»[5]. Ὅταν ὅμως ὁμιλῇ διὰ τὰς ἠπίας καὶ εἰς τὰς ὁποίας δὲν ἐπιτρέπει οὔτε καὶ νὰ ὀργίζωνται, τί λέγει; «Ἐὰν ὅμως χωρισθῇ, ἂς μείνῃ ἄγαμος». Βλέπεις τὸν ἐξαναγκασμὸν καὶ τὴν ἀναγκαίαν δουλείαν, τὸν δεσμὸν ποὺ περιβάλλει καὶ τοὺς δύο; Διότι πράγματι ὁ γάμος εἶναι δεσμός, ὄχι μόνον ἐξ αἰτίας τοῦ πλήθους τῶν φροντίδων, οὔτε ἐξ αἰτίας τῶν καθημερινῶν στενοχωριῶν, ἀλλὰ διότι ἐξαναγκάζει τοὺς συζύγους νὰ φέρωνται ὁ ἕνας πρὸς τὸν ἄλλον χειρώτερα ἀπὸ κάθε δοῦλον.

2. «Ὁ ἄνδρας», λέγει, «ἂς ἐξουσιάζῃ τὴν γυναῖκα του»[6]. Καὶ ποῖον εἶναι τὸ κέρδος αὐτὸ ἀπὸ αὐτὴν τὴν ἐξουσίαν τοῦ ἀνδρός; Πάλιν δηλαδὴ τὸν κάμνει τὸν ἄνδρα δοῦλον τῆς ὑπὸ τὴν ἐξουσίαν του γυναικός, ἐπινοήσας κάποιαν πρωτοφανῆ καὶ παράξενον ἀνταπόδοσιν δουλείας. Καὶ ὅπως ἀκριβῶς δένονται ὑπὸ τῶν κυρίων των οἱ φυγάδες δοῦλοι ὁ καθένας ξεχωριστὰ καὶ μετὰ δένονται ὁ ἕνας μὲ τὸν ἄλλον μὲ κάποιαν ἁλυσίδα μικρὰν ποὺ συνδέονται

πέδαις προσηλωμένοι, οὐκ ἂν δύναιντο μετ' ἐξουσίας βαδίζειν τῷ τὸν ἕτερον ἀναγκάζεσθαι ἕπεσθαι θατέρῳ, οὕτω καὶ αἱ τῶν γεγαμηκότων ψυχαὶ ἔχουσι μὲν καὶ ἰδίας φροντίδας, ἔχουσι δὲ καὶ ἑτέραν ἀνάγκην τὴν ἐκ τοῦ πρὸς ἀλλήλους συνδέσμου, πάσης ἁλύσεως χαλεπώτερον ἄγχουσαν καὶ τὴν ἀμφοτέρων ἐλευθερίαν ἀφαιρουμένην τῷ μὴ καθάπαξ ἑνὶ παραδοῦναι τὴν ἀρχήν, ἀλλ' εἰς ἑκατέρους αὐτῆς διανεῖμαι τὴν ἐξουσίαν. Ποῦ τοίνυν εἰσὶν οἱ διὰ τὴν ἐκ τῆς ἡδονῆς παραμυθίαν πᾶσαν ἕτοιμοι κατάγνωσιν ἐνεγκεῖν;

3. Οὐδὲ γὰρ μικρὸν ὑποτέμνεται τῆς ἡδονῆς μέρος ἐν ταῖς πρὸς ἀλλήλους ὀργαῖς καὶ ἀπεχθείαις πολλάκις ἀναλισκομένου χρόνου μακροῦ. Καὶ ἡ δουλεία δὲ αὕτη τῷ τὴν ἑτέρου μοχθηρίαν ἀναγκάζεσθαι καὶ ἄκοντα θάτερον φέρειν ἅπασαν ἱκανὴ συσκιάσαι τρυφήν. Διὰ τοῦτο ὁ μακάριος ἐκεῖνος πρῶτον μὲν δι' ἐντρεπτικῶν ῥημάτων ἀνέστελλε τὴν πρὸς τὴν ἐπιθυμίαν φοράν δὰι τὰς πορνείας λέγων καὶ ἀκρασίας καὶ πυρώσεις. Ἐπειδὴ δὲ συνεῖδε βραχὺν ὄντα τοῖς πολλοῖς τὸν τῆς καταγνώσεως λόγον, τὸ τούτου πάλιν ἰσχυρότερον πρὸς ἀποτροπὴν τίθησι, διὸ καὶ οἱ μαθηταὶ εἰπεῖν ἠναγκάσθησαν· «Οὐ συμφέρει γαμῆσαι». Τοῦτο δέ ἐστι τὸ μηδένα ἑαυτοῦ κύριον εἶναι τῶν γεγαμηκότων. Καὶ οὐκέτι τοῦτο ἐν παραινέσεως τάξει καὶ συμβουλῆς εἰσηγεῖται, ἀλλ' ἐν ἐπιτάγματος καὶ ἐντολῆς ἀνάγκῃ. Τὸ μὲν γαμεῖν ἢ μὴ γαμεῖν ἐφ' ἡμῖν, τὸ δὲ μὴ ἑκόντας ἀλλ' ἄκοντας φέρειν τὴν δουλείαν, οὐκ ἐφ' ἡμῖν.

4. Τί δήποτε; Ὅτι οὐκ ἀγνοοῦντες ταύτην εἱλόμεθα τὴν ἀρχήν, ἀλλὰ καὶ σφόδρα αὐτῆς ἐπιστάμενοι τὰ δικαιώματα καὶ τοὺς νόμους ἑκόντες ἑαυτοὺς ὑποβάλλομεν τῷ ζυγῷ. Μετὰ

7. Ματθ. 19, 10.

καὶ τὰ δύο ἄκρα της μὲ τὰ δεσμὰ καὶ ἔτσι δὲν ἠμποροῦν μὲ ἐλευθερίαν νὰ βαδίζουν ἀναγκαζόμενοι νὰ ἀκολουθοῦν ὁ ἕνας τὸν ἄλλον, ἔτσι καὶ αἱ ψυχαὶ τῶν συζύγων ἔχουν μὲν καὶ τὰς ἰδιαιτέρας φροντίδας των, ἀλλὰ ἔχουν καὶ ἄλλην ἀνάγκην ποὺ ἀπορρέει ἀπὸ τὸν μεταξύ των σύνδεσμον, ποὺ τοὺς καταπιέζει φοβερώτερον ἀπὸ κάθε ἀλυσίδα καὶ ἀφαιρεῖ τὴν ἐλευθερίαν καὶ τῶν δύο, μὲ τὸ ὅτι δὲν παρέδωσε τὴν ἐξουσίαν εἰς τὸν ἕνα ἅπαξ διὰ παντός, ἀλλὰ μὲ τὸ ὅτι διεμοίρασε τὴν ἐξουσίαν αὐτὴν καὶ εἰς τοὺς δύο. Ποῦ λοιπὸν εἶναι ἐκεῖνοι ποὺ εἶναι ἕτοιμοι νὰ ὑπομείνουν χάριν τῆς παρηγορίας τῆς ἡδονῆς κάθε κατάκρισιν;

3. Βέβαια ἡ ἡδονὴ δὲν μειώνεται καὶ ὀλίγον ἀπὸ τὸ ὅτι καταναλίσκεται πολλὰς φορὰς πολὺς χρόνος ἀπὸ τοὺς μεταξύ των παρογισμοὺς καὶ τὰ μίση. Καὶ ἡ δουλεία δὲ αὐτὴ ποὺ ἐξαναγκάζει τὸν ἕνα νὰ ὑπομένῃ τὴν μοχθηρίαν τοῦ ἄλλου χωρὶς τὴν θέλησίν του, εἶναι ἱκανὴ νὰ ἐπισκιάσῃ τὴν ἀπόλαυσιν τῆς ἡδονῆς. Διὰ τοῦτο ὁ μακάριος ἐκεῖνος κατ' ἀρχὴν μὲν ἀνέκοψε τὴν ὁρμὴν πρὸς τὴν ἐπιθυμίαν μὲ λόγια ἀποτρεπτικὰ λέγων, πρὸς ἀποφυγὴν τῆς πορνείας καὶ ἀκρασίας καὶ τῆς πυρώσεως. Ὅταν ὅμως διεπίστωσεν νὰ εἶναι ἀσήμαντος διὰ τοὺς πολλοὺς ὁ λόγος τῆς κατακρίσεως, θέτει πάλιν αὐτὸ ποὺ ἦτο ἰσχυρότερον πρὸς ἀποτροπήν, διὰ τοῦτο καὶ οἱ μαθηταὶ ἠναγκάσθησαν νὰ εἰποῦν· «Δὲν συμφέρει νὰ συνάψῃ κανεὶς γάμον»[7]. Αὐτὸ δὲ σημαίνει ὅτι κανεὶς ἀπὸ τοὺς ἐγγάμους δὲν εἶναι κύριος τοῦ ἑαυτοῦ του. Καὶ δὲν τὸ εἰσηγεῖται αὐτὸ πλέον ὑπὸ μορφὴν παραινέσεως καὶ συμβουλῆς, ἀλλὰ ὑπὸ μορφὴν ὑποχρεωτικῆς προσταγῆς καὶ ἐντολῆς. Τὸ νὰ συνάψωμεν ἢ ὄχι γάμον ἐξαρτᾶται ἀπὸ ἡμᾶς, τὸ νὰ ὑπομένωμεν ὅμως τὴν δουλείαν ὄχι μὲ τὴν θέλησίν μας ἀλλὰ χωρὶς τὴν θέλησίν μας δὲν ἐξαρτᾶται ἀπὸ ἡμᾶς.

4. Διατί τέλος πάντων; Διότι δὲν ἐπροτιμήσαμεν αὐτὸν τὸν τρόπον ζωῆς ἀπὸ ἄγνοιαν, ἀλλὰ γνωρίζοντες πάρα πολὺ καλὰ τὰ δικαιώματα καὶ τοὺς νόμους αὐτοῦ, μὲ τὴν θέλησίν μας ἐθέσαμεν τοὺς ἑαυτούς μας κάτω ἀπὸ αὐτὸν τὸν ζυγόν. Εἰς τὴν συνέχειαν ὅμως, ἀφοῦ ὡμίλησε

δὲ ταῦτα περὶ τῶν ταῖς ἀπίστοις συνοικούντων διαλεχθεὶς καὶ πᾶσιν ἀκριβῶς τοῖς περὶ τοῦ γάμου νόμοις ὑπεξελθὼν καὶ τὸν περὶ τῶν οἰκετῶν λόγον παρεμβαλὼν καὶ παραμυθησόμενος αὐτοὺς ἱκανῶς μὴ ἐλαττοῦσθαι τῇ δουλείᾳ ταύτῃ τὴν εὐγένειαν αὐτοῖς τὴν πνευματικήν, μέτεισι λοιπὸν ἐπὶ τὸν τῆς παρθενίας λόγον ὃν πάλαι μὲν ὤδινε καὶ κατασπεῖραι ἔσπευδεν, ἀπέτεκε δὲ νῦν, οὐδὲ ἐν τοῖς περὶ τοῦ γάμου λόγοις ἀποσιωπῆσαι καρτερήσας αὐτόν.

5. Ἐν βραχεῖ μὲν γὰρ καὶ διεσπαρμένως, ἐνύφηνε δὲ αὐτὸν ὅμως κἀκείνῃ τῇ παραινέσει· καὶ τῇ καλλίστῃ ταύτῃ μεθόδῳ προγυμνάσας αὐτῶν τὰς ἀκοάς, καὶ τὴν διάνοιαν προλεάνας, εἴσοδον ἀρίστην τῷ λόγῳ παρασκευάζει. Μετὰ γοῦν τὴν πρὸς τοὺς οἰκέτας παραίνεσιν - «Τιμῆς», γάρ φησιν, «ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων» -, τῆς δεσποτικῆς ἡμᾶς ἀναμνήσας εὐεργεσίας καὶ τούτῳ πάντων τὰς διανοίας ἀναστήσας καὶ πρὸς τὸν οὐρανὸν ἄρας, οὕτω τοὺς περὶ τῆς παρθενίας ἐμβάλλει λόγους, ταῦτα λέγων τὰ ῥήματα· «Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι». Καίτοι γε καὶ ἐπὶ τῶν πιστῶν τῶν ταῖς ἀπίστοις συνεζευγμένων οὐκ ἔχων ἐπιταγήν, μετὰ πολλῆς τῆς ἐξουσίας ἐνομοθέτεις, οὑτωσὶ γράφων· «Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν».

6. Τί οὖν οὐχὶ καὶ ἐπὶ τῶν παρθένων τὸ αὐτὸ ποιεῖς ἀποφαινόμενος; Ὅτι περὶ τούτου φανερῶς ὁ Χριστὸς διετάξατο, κωλύων εἰς ἐπιτάγματος ἀνάγκην τὸ πρᾶγμα ἐλθεῖν. Τὸ γὰρ «Ὁ δυνάμενος χωρεῖν χωρείτω», κύριον τὸν ἀκροάτην τῆς αἱρέσεως ποιοῦντός ἐστι. Περὶ μὲν οὖν τῆς ἐγκρα-

8. Α' Κορ. 7, 23.
9. Α' Κορ. 7, 25.
10. Α' Κορ. 7, 12.
11. Ματθ. 19, 12.

δι' αὐτοὺς ποὺ συγκατοικοῦν μὲ ἀπίστους συζύγους καὶ ἀνέπτυξε μὲ ἀκρίβειαν ὅλας τὰς ὑποχρεώσεις ἀπὸ τὸν γάμον καὶ ἀφοῦ παρενέβαλε καὶ τὸν λόγον περὶ τῶν δούλων καὶ ἐπαρηγόρησεν αὐτοὺς ἀρκετά, ὥστε νὰ μὴ μειώσουν τὴν πνευματικήν των εὐγένειαν ἐξ αἰτίας αὐτῆς τῆς δουλείας, μεταβαίνει εἰς τὴν συνέχειαν εἰς τὸν λόγον περὶ τῆς παρθενίας, ποὺ τὸν ἐβασάνιζε μὲν ἀπὸ παλαιὰ καὶ προσεπάθει νὰ τὸν σπείρῃ, τὸν ἐγέννησεν ὅμως τώρα, διότι δὲν ἠμπόρεσε νὰ κρατηθῇ νὰ ἀποσιωπήσῃ αὐτὸν ὁμιλῶν περὶ τοῦ γάμου.

5. Μὲ συντομίαν βέβαια καὶ διεσπαρμένα, ἀλλ' ὅμως ἀνέπτυξεν αὐτὸν καὶ εἰς ἐκείνην τὴν συμβουλήν, καὶ ἀφοῦ μὲ τὴν ἀρίστην αὐτὴν μέθοδον προετοίμασε τὰς ἀκοὰς αὐτῶν καὶ προελέανε τὴν σκέψιν των, κάμνει ἀρίστην εἴσοδον εἰς τὸ θέμα τῆς παρθενίας. Μετὰ λοιπὸν τὴν συμβουλὴν πρὸς τοὺς δούλους — Διότι λέγει· «Ἠγοράσθητε μὲ τίμημα ἀκριβόν, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων»[8] —, ἀφοῦ μᾶς ὑπενθύμισε τὴν εὐεργεσίαν τοῦ Κυρίου καὶ ἔτσι ἀφοῦ διήγειρεν ὅλων τὰς διανοίας καὶ τὰς ἀνύψωσε πρὸς τὸν οὐρανόν, τότε πλέον παρεμβάλλει καὶ τοὺς λόγους περὶ παρθενίας, λέγων αὐτὰ τὰ λόγια· «Περὶ δὲ τῶν παρθένων δὲν ἔχω ἐντολὴν τοῦ Κυρίου, ἀλλὰ δίδω μόνον γνώμην σὰν ἕνας ποὺ ἔχει ἐλεηθῇ ἀπὸ τὸν Κύριον νὰ εἶναι πιστός»[9]. Μολονότι ὅμως δὲν εἶχες ἐντολὴν καὶ διὰ τοὺς πιστοὺς ποὺ εἶναι νυμφευμένοι μὲ ἀπίστους γυναῖκας, ἐνομοθέτεις μὲ πολλὴν αὐθεντίαν, γράφων τὰ ἑξῆς· «Εἰς δὲ τοὺς ὑπολοίπους δίδω ἰδικήν μου ἐντολήν, ὄχι ὁ Κύριος· ἐὰν κάποιος ἀδελφὸς ἔχῃ γυναῖκα ἄπιστον καὶ αὐτὴ δέχεται νὰ κατοικῇ μαζί του, ἂς μὴ τὴν ἀφήνῃ»[10].

6. Διατί λοιπὸν δὲν ὁμιλεῖς μὲ τὸν ἴδιον τρόπον καὶ διὰ τὰς παρθένους; Διότι διὰ τὸ θέμα αὐτὸ ἔδωσε ρητὴν ἐντολὴν ὁ Χριστός, ἐμποδίζων τὸ πρᾶγμα νὰ φθάσῃ νὰ γίνῃ ἀναγκαστικὴ ἐντολή. Διότι τὸ «Αὐτὸς ποὺ ἠμπορεῖ νὰ τὸ δεχθῇ αὐτὸ ἂς τὸ δεχθῇ καὶ ἂς προχωρήσῃ εἰς τὴν πραγματοποίησίν του»[11], παρέχει εἰς τὸν ἀκροατὴν τὴν ἐξουσίαν νὰ ἐκλέξῃ. Ὁμιλῶν λοιπὸν περὶ τῆς ἐγκρατείας,

τείας διαλεγόμενος, «Θέλω», φησί, «πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν» ἐν ἐγκρατείᾳ. Καὶ πάλιν· «Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, ὅτι καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ». Ἐν δὲ τοῖς περὶ τῆς παρθενίας λόγοις οὐδαμοῦ παρήγαγεν ἑαυτόν. Διὰ τοῦτο καὶ σφόδρα ὑφειμένως καὶ μετὰ πολλῆς ὑποστολῆς διαλέγεται· οὐ γὰρ αὐτῷ τὸ πρᾶγμα κατώρθωτο· «Ἐπιταγὴν οὐκ ἔχω», φησίν.

7. Πρῶτον τὴν αἵρεσιν θεὶς καὶ τὸν ἀκροάτην εὐγνώμονα καταστήσας, οὕτως ἐπάγει τὴν συμβουλήν. Ἐπειδὴ γὰρ τὸ τῆς παρθενίας ὄνομα πολὺν εὐθέως ἐμφαίνει τὸν πόνον λεχθέν, διὰ τοῦτο οὐκ εὐθέως ἐπὶ τὴν παραίνεσιν ἔδραμεν, ἀλλὰ θεραπεύσας πρότερον τῇ τῆς ἐπιταγῆς αἱρέσει τὸν μαθητὴν εὐήνιόν τε καὶ τιθασὸν αὐτοῦ κατασκευάσας τὴν ψυχήν, οὕτω ποιεῖται τὴν εἰσήγησιν. Ἤκουσας παρθενίαν, ὄνομα πολλῶν πόνων καὶ ἱδρώτων. Μὴ δείσῃς· οὐκ ἔστι τὸ πρᾶγμα ἐπίταγμα, οὐδὲ ἐντολῆς ἀνάγκην ἐπάγεται, ἀλλὰ τοὺς μὲν ἑκόντας καὶ μετὰ προαιρέσεως δεχομένους αὐτὴν τοῖς οἰκείοις ἀμείβεται καλοῖς, τὸν φαιδρὸν καὶ εὐανθῆ στέφανον περιτιθεῖσα αὐτῶν τῇ κεφαλῇ, τοὺς δὲ παραιτουμένους αὐτὴν καὶ οὐκ ἐθέλοντας προσίεσθαι οὔτε κολάζει οὔτε ἄκοντας ἀναγκάζει τοῦτο ποιεῖν.

8. Οὐ ταύτῃ δὲ μόνον ἀνεπαχθῆ τὸν λόγον εἰργάσατο καὶ ἡδύν, ἀλλὰ καὶ τῷ τὴν χάριν τοῦ πράγματος οὐκ αὐτοῦ φάναι εἶναι ἀλλὰ τοῦ Χριστοῦ. Οὐ γὰρ εἶπε· περὶ δὲ τῶν παρθένων οὐκ ἐπιτάσσω, ἀλλ' «Ἐπιταγὴν οὐκ ἔχω», ὡς ἂν εἰ ἔλεγεν, εἰ μὲν ἐξ ἀνθρωπίνων λογισμῶν ἐγὼ κινούμενος ταῦτα παρῄνουν, οὐκ ἔδει θαρρεῖν· ἐπειδὴ δὲ τῷ Θεῷ τοῦτο ἔδοξεν, ἀσφαλὲς τὸ τῆς ἀδείας ἐνέχυρον. Τὴν μὲν ἐξουσίαν τοῦ τὰ τοιαῦτα ἐπιτάττειν παρῄρημαι, εἰ δὲ βούλεσθε ἀκούειν

λέγει· «Θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως ἐγώ», δηλαδὴ ν' ἀσκοῦν ἐγκράτειαν. Καὶ πάλιν· «Λέγω δὲ εἰς τοὺς ἀγάμους καὶ εἰς τὰς χήρας, ὅτι εἶναι καλὸν εἰς αὐτοὺς ἐὰν μείνουν ὅπως καὶ ἐγώ». Εἰς τοὺς λόγους ὅμως περὶ τῆς παρθενίας πουθενὰ δὲν παρενέβαλε τὸν ἑαυτόν του. Διὰ τοῦτο καὶ ὁμιλεῖ μὲ πάρα πολὺ ἐλαστικότητα καὶ μὲ πολλὴν περιορισμόν· διότι οὔτε αὐτὸς ἔχει κατορθώσει αὐτό· «Δὲν ἔχω ἐντολήν», λέγει.

7. Κατὰ πρῶτον ἀφοῦ ἔθεσε τὴν δυνατότητα τῆς ἐκλογῆς καὶ κατέστησε εὐγνώμονα τὸν ἀκροατήν, εἰς τὴν συνέχειαν προσθέτει τὴν συμβουλήν. Διότι, ἐπειδὴ τὸ ὄνομα τῆς παρθενίας λεγόμενον εὐθὺς ἀμέσως παρουσιάζει πολὺν κόπον, διὰ τοῦτο εὐθὺς ἐξ ἀρχῆς δὲν ἔσπευσεν εἰς τὴν συμβουλήν, ἀλλ' ἀφοῦ ἐθεράπευσε προηγουμένως τὸν μαθητὴν μὲ τὴν δυνατότητα τῆς ἐκλογῆς τῆς ἐντολῆς καὶ κατέστησε τὴν ψυχήν του ὑπάκουον καὶ ἥμερον, τότε πλέον προχωρεῖ εἰς τὴν εἰσήγησιν. Ἤκουσες παρθενίαν, ὄνομα γεμᾶτον ἀπὸ πολλοὺς κόπους καὶ ἱδρῶτας. Μὴ φοβηθῇς· δὲν εἶναι τὸ πρᾶγμα προσταγή, οὔτε ἔχει τὴν μορφὴν ἀναγκαστικῆς ἐντολῆς, ἀλλὰ ἐκείνους ποὺ μὲ τὴν θέλησίν των καὶ ὅλως ἐλευθέρως δέχονται αὐτὴν τοὺς ἀμείβει μὲ τὰ ἰδικά της καλά, θέτουσα ἐπάνω εἰς τὴν κεφαλήν των τὸν φαιδρὸν καὶ λαμπρὸν στέφανον, ἐνῷ αὐτοὺς ποὺ τὴν ἀποφεύγουν καὶ δὲν θέλουν νὰ τὴν πλησιάσουν οὔτε τοὺς τιμωρεῖ οὔτε τοὺς ἀναγκάζει νὰ τὸ κάνουν αὐτὸ χωρὶς τὴν θέλησίν των.

8. Ἀλλὰ δὲν κατέστησε τὸν λόγον μόνον κατ' αὐτὸν τὸν τρόπον ἐλαφρὸν καὶ εὐχάριστον, ἀλλὰ καὶ μὲ τὸ νὰ εἰπῇ, ὅτι ἡ χάρις τοῦ πράγματος δὲν εἶναι ἰδική του, ἀλλὰ τοῦ Χριστοῦ. Διότι δὲν εἶπε, 'Περὶ δὲ τῶν παρθένων δὲν δίδω ἐντολήν', ἀλλὰ «Δὲν ἔχω ἐντολήν», ὡσὰν κατὰ κάποιον τρόπον νὰ ἔλεγε· Ἐὰν μὲν συνεβούλευα αὐτὰ κινούμενος ἀπὸ ἀνθρωπίνους σκέψεις, δὲν ἔπρεπε νὰ ἔχετε θάρρος, ἐπειδὴ ὅμως αὐτὸ εἶναι θέλησις τοῦ Θεοῦ, εἶναι ἐξασφαλισμένη ἡ ἐγγύησις τῆς ἀδείας. Τὴν μὲν ἐξουσίαν τοῦ νὰ προστάσσω τέτοια πράγματα δὲν τὴν ἔχω, ἐὰν ὅμως

ὡς ὁμοδούλου, «Γνώμην δίδωμι», φησίν, «ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι».

9. Ἄξιον δὲ ἐνταῦθα θαυμάσαι τοῦ μακαρίου τὴν πολλὴν εὐμηχανίαν καὶ τὴν σύνεσιν καὶ πῶς δύο ἀναγκαίων καὶ ἐναντίων ἀπειλημμένος, τοῦ τε συστῆσαι τὸ ἑαυτοῦ πρόσωπον ὥστε εὐπαράδεκτον γενέσθαι τὴν συμβουλὴν καὶ τοῦ μηδὲν μέγα φθέγξασθαι περὶ ἑαυτοῦ διὰ τὸ τῆς ἀρετῆς ταύτης γεγονέναι ἐκτός, ἀμφότερα ἐν βραχεῖ κατεσκεύασεν. Τῷ μὲν γὰρ εἰπεῖν «Ὡς ἠλεημένος», συνίστησί πως ἑαυτόν, τῷ δὲ μὴ ἀπὸ τοῦ λαμπροτέρου τοῦτο ποιῆσαι μέρους, ταπεινοῖ καὶ συστέλλει πάλιν.

μϐ΄ Περὶ τῆς τοῦ Παύλου ταπεινοφροσύνης.

1. Οὐ γὰρ εἶπε· δίδωμι γνώμην ὡς πιστευθεὶς τὸ εὐαγγέλιον, ὡς ἀξιωθεὶς εἶναι κῆρυξ τῶν ἐθνῶν, ὡς προστασίαν τὴν ὑμετέραν ἐγχειρισθείς, ὡς διδάσκαλος καὶ καθηγητής, ἀλλὰ τί; «Ὡς ἠλεημένος», φησίν, «ὑπὸ Κυρίου πιστὸς εἶναι» καὶ τὸ ἔλαττον θείς. Ἔλαττον γὰρ τοῦ διδάσκαλον εἶναι τῶν πιστῶν τὸ μόνον εἶναι πιστόν. Καὶ ἑτέραν ἐπινοεῖ πάλιν ταπείνωσιν. Ποίαν δὲ ταύτην; Οὐκ εἶπεν· ὡς γενόμενος πιστός, ἀλλ' «Ὡς ἠλεημένος εἶναι πιστός». Μὴ γὰρ τὴν ἀποστολὴν καὶ τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν μόνον νομίσης τῆς δωρεᾶς εἶναι τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸ τὸ πιστεῦσαι ἀπὸ τοῦ ἐλέους μοι γέγονεν ἐκείνου. Οὐ γὰρ ἐπειδὴ ἄξιος ἤμην, φησί, κατηξιώθην τῆς πίστεως, ἀλλ' ἐπειδὴ ἠλεήθην μόνον· ὁ δὲ ἔλεος χάριτός ἐστιν, οὐ τοῦ κατ' ἀξίαν.

2. Ὥστε εἰ μὴ ἦν σφόδρα εὔσπλαγχνος ὁ Θεός, οὐ μόνον

θέλετε ἀκούσατέ με ὡσὰν ὁμόδουλόν σας, διότι λέγει· «Σᾶς δίδω τὴν γνώμην μου ὡσὰν κάποιος ποὺ ἠλεήθη ἀπὸ τὸν Κύριον νὰ εἶναι πιστός».

9. Ἀξίζει δὲ κανεὶς ἐδῶ νὰ θαυμάσῃ τὴν πολλὴν ἀμηχανίαν καὶ τὴν σύνεσιν τοῦ μακαρίου καὶ πῶς, εὑρεθεὶς μεταξὺ δύο ἀναγκαίων καὶ ἀντιθέτων πραγμάτων, καὶ τοῦ νὰ προβάλῃ τὸν ἑαυτόν, ὥστε νὰ γίνῃ εὐπρόσδεκτος ἡ συμβουλή, καὶ τοῦ νὰ μὴ εἰπῇ τίποτε τὸ μεγάλον περὶ τοῦ ἑαυτοῦ του, ἐπειδὴ καὶ αὐτὸς ἦτο ἐκτὸς αὐτῆς τῆς ἀρετῆς, τὰ ἐπέτυχε καὶ τὰ δύο μὲ σύντομα λόγια. Διότι μὲ τὸ νὰ εἰπῇ «Ὡσὰν κάποιος ποὺ ἠλεήθη», συνιστᾷ κατὰ κάποιον τρόπον τὸν ἑαυτόν του, ἐνῷ μὲ τὸ νὰ μὴ τὸ παρουσιάσῃ αὐτὸ ἀπὸ τὴν λαμπροτέραν του μορφήν, ταπεινώνει καὶ περιορίζει τὸν ἑαυτόν του.

μβ' Περὶ τῆς ταπεινοφροσύνης τοῦ Παύλου.

1. Πράγματι δὲν εἶπε, 'Σᾶς δίδω τὴν γνώμην μου, ὡσὰν κάποιος ποὺ μοῦ ἐνεπιστεύθη ὑπὸ τοῦ Θεοῦ τὸ εὐαγγέλιον καὶ ἠξιώθην νὰ γίνω κῆρυξ τῶν ἐθνῶν, ὡσὰν κάποιος ποὺ μοῦ ἀνετέθη ἡ ἰδική σας προστασία, ὡσὰν διδάσκαλος καὶ καθηγητής', ἀλλὰ τί; «Ὡσὰν κάποιος», λέγει, «ποὺ ἠλεήθη ὑπὸ τοῦ Κυρίου νὰ εἶναι πιστός», παρουσιάζων δηλαδὴ τὸ ἐλάχιστον. Διότι εἶναι ἐλάχιστον τὸ νὰ εἶναι μόνον πιστὸς ἀπὸ τὸ νὰ εἶναι διδάσκαλος τῶν πιστῶν. Καὶ πάλιν δὲ ἐπινοεῖ ἄλλην ταπείνωσιν. Ποία δὲ εἶναι αὐτή; Δὲν εἶπεν, 'ὡσὰν κάποιος ποὺ ἔγινε πιστός', ἀλλὰ «Ὡσὰν κάποιος ποὺ ἠλεήθη νὰ εἶναι πιστός». Μὴ δηλαδὴ νομίσῃς ὅτι μόνον ἡ ἀποστολή μου καὶ τὸ κήρυγμα καὶ ἡ διδασκαλία εἶναι δωρεὰ τοῦ Θεοῦ· καθ' ὅσον καὶ αὐτὴ ἀκόμη ἡ πίστις μου εἰς αὐτὸν συνέβη ἀπὸ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ. Βέβαια, λέγει, δὲν κατηξιώθην τῆς πίστεως ἐπειδὴ ἤμουν ἄξιος, ἀλλ' ἐπειδὴ καὶ μόνον ἠλεήθην· τὸ δὲ ἔλεος εἶναι ἀποτέλεσμα τῆς χάριτος τοῦ Θεοῦ, καὶ ὄχι ἐπειδὴ ἤμουν ἄξιος.

2. Ὥστε, ἐὰν ὁ Θεὸς δὲν ἦτο πάρα πολὺ εὔσπλαγ-

ἀπόστολος ἀλλ' οὔτε πιστὸς ἠδυνήθην ἂν γενέσθαι ποτέ. Εἶδες εὐγνωμοσύνην οἰκέτου καὶ συντετριμμένην καρδίαν; Πῶς οὐδὲν πλέον ἑαυτῷ δίδωσι τῶν λοιπῶν, ἀλλὰ καὶ τοῦτο ὃ κοινὸν αὐτῷ καὶ τοῖς μαθηταῖς ἦν, τὸ τῆς πίστεως, οὐκ αὐτοῦ φησιν εἶναι ἀλλὰ τοῦ ἐλέους καὶ τῆς χάριτος τοῦ Θεοῦ, ταὐτὸν ἐμφαίνων διὰ τῶν ῥημάτων τούτων, οἱόνως ἔλεγε· μὴ ἀπαξιώσητε συμβουλὴν δέξασθαι παρ' ἐμοῦ· οὐδὲ γὰρ ὁ Θεὸς ἀπηξίωσέ με τοῦ ἐλέους τοῦ παρ' αὐτοῦ. Ἄλλως τε ὅτι καὶ γνώμη τὸ πρᾶγμά ἐστιν, οὐκ ἐπίταγμα· συμβουλεύω γάρ, οὐ νομοθετῶ. Τὸ δὲ τὰ παραστάντα ἑκάστῳ συμφέροντα φέρειν εἰς μέσον καὶ προτιθέναι οὐδεὶς κωλύσειεν ἂν νόμος καὶ μάλιστα ὅταν ἐξ αἰτήσεως τοῦτο γίνηται τῶν ἀκροατῶν καὶ ἐφ' ὑμῶν. «Νομίζω», οὖν φησι, «τοῦτο καλὸν ὑπάρχει». Ὁρᾷς πάλιν ὑφειμένον τὸν λόγον καὶ πάσης ἔρημον ἐξουσίας; Καίτοι γε ἐνῆν οὕτως εἰπεῖν· ἐπειδὴ ὁ Κύριος οὐκ ἐπέταξε παρθενίαν, διὰ τοῦτο οὐδὲ ἐγώ. Συμβουλεύω δὲ ὑμῖν καὶ παραινῶ τοῦτο ζηλοῦν, καὶ γὰρ ἀπόστολος ὑμῶν εἰμι.

3. Καθάπερ καὶ μετὰ ταῦτα διαλεγόμενος αὐτοῖς ἔλεγεν· «Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι». Ἀλλ' ἐνταῦθα οὐδὲν τούτων φθέγγεται, ἀλλὰ μετὰ πολλῆς φειδοῦς τοῖς ῥήμασι κέχρηται, ἀντὶ μὲν τοῦ συμβουλεύω, «Γνώμην δίδωμι», λέγων, ἀντὶ δὲ τοῦ ὡς διδάσκαλος, «Ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι». Καὶ ὥσπερ οὐδὲ τούτων ἀρκούντων πρὸς τὸ συνεσταλμένον ποιῆσαι τὸν λόγον, ἀρχόμενος τῆς συμβουλῆς ὑποτέμνεται πάλιν τὴν ἐξουσίαν, οὐχ ἁπλῶς ἀποφαινόμενος, ἀλλὰ καὶ αἰτίαν προστιθείς. «Νομίζω» γὰρ «τοῦτο καλὸν ὑπάρχει», φησί, «διὰ τὴν ἐνεστῶσαν ἀνάγκην». Καίτοι γε ὅτε περὶ ἐγκρατείας διελέγετο οὔτε τὸ νομίζω τέθεικεν οὔτε αἰτίαν τινά,

---

12. Α' Κορ. 9, 2.
13. Α' Κορ. 7, 26.

χνος, ὄχι μόνον δὲν θὰ ἠμποροῦσα νὰ γίνω ἀπόστολος, ἀλλὰ οὔτε κἂν πιστός. Εἶδες εὐγνωμοσύνην δούλου καὶ καρδίαν συντετριμμένην; Πῶς τίποτε ἐπὶ πλέον δὲν ἀποδίδει εἰς τὸν ἑαυτόν του ἀπὸ τοὺς ἄλλους, ἀλλὰ καὶ αὐτὸ ἀκόμη ποὺ ἦτο κοινὸν εἰς αὐτὸν καὶ τοὺς μαθητὰς τοῦ Χριστοῦ, δηλαδὴ ἡ πίστις, λέγει ὅτι δὲν εἶναι ἰδικόν του κατόρθωμα, ἀλλὰ τῆς εὐσπλαγχνίας καὶ τῆς χάριτος τοῦ Θεοῦ, τὸ ἴδιο δεικνύων μὲ τὰ λόγια αὐτά, ὡς ἐὰν ἔλεγε· «Μὴ ἀπαξιώσετε νὰ δεχθῆτε τὴν συμβουλήν μου· διότι οὔτε καὶ ὁ Θεὸς μὲ ὑπηξίωσε τοῦ ἐλέους του. Ἄλλως τε δὲ αὐτὸ ποὺ σᾶς λέγω εἶναι γνώμη μου καὶ ὄχι προσταγή· διότι συμβουλεύω, δὲν νομοθετῶ. Τὸ νὰ παρουσιάσῃ δὲ κανεὶς εἰς τὸν καθένα αὐτὰ ποὺ θεωρεῖ συμφέροντά του καὶ νὰ τοῦ τὰ συστήσῃ κανεὶς νόμος δὲν θὰ ἠμποροῦσε νὰ τὸ ἐμποδίσῃ καὶ μάλιστα ὅταν αὐτὸ γίνεται κατὰ παράκλησιν τῶν ἀκροατῶν, ὅπως ἀκριβῶς γίνεται καὶ μὲ σᾶς. «Νομίζω», λοιπὸν λέγει, «ὅτι αὐτὸ εἶναι καλόν». Βλέπεις καὶ πάλιν τὸν λόγον ποὺ εἶναι γεμᾶτος ἀπὸ ἡμερότητα καὶ ἀπηλλαγμένος ἀπὸ κάθε ἐξουσίαν; Μολονότι βέβαια θὰ ἠμποροῦσε νὰ εἰπῇ τὸ ἑξῆς· Ἐπειδὴ ὁ Κύριος δὲν ἐπέβαλε τὴν παρθενίαν μὲ ρητὴν ἐντολήν, διὰ τοῦτο οὔτε καὶ ἐγὼ τὸ κάνω. Σᾶς συμβουλεύω δὲ καὶ σᾶς προτρέπω νὰ τὴν ἐπιδιώκετε μὲ ζῆλον, καθ' ὅσον εἶμαι ἀπόστολός σας.

3. Ὅπως ἀκριβῶς καὶ εἰς τὴν συνέχειαν ὁμιλῶν εἰς αὐτούς, ἔλεγεν· «Ἐὰν δι' ἄλλους δὲν εἶμαι ἀπόστολος, ὁπωσδήποτε ὅμως εἶμαι διὰ σᾶς»[12]. Ἐδῶ ὅμως δὲν λέγει τίποτε ἀπὸ αὐτὰ ἀλλὰ χρησιμοποιεῖ τὰς λέξεις μὲ πολλὴν προσοχήν, λέγων, ἀντὶ μὲν τοῦ 'συμβουλεύω', «γνώμην δίδω», ἀντὶ δὲ τοῦ 'ὡσὰν διδάσκαλος'. «Ὡσὰν κάποιος ποὺ ἠλεήθην ἀπὸ τὸν Κύριον καὶ εἶμαι πιστός». Καὶ ὡσὰν νὰ μὴ ἀρκοῦσαν ὅλα αὐτὰ διὰ νὰ κάμουν τὸν λόγον ἠπιότερον, ἀρχίζων τὴν συμβουλὴν μειώνει καὶ πάλιν τὴν ἐξουσίαν, καὶ δὲν ἀναφέρει ἁπλῶς τὴν γνώμην του, ἀλλὰ προσθέτει καὶ τὴν αἰτίαν. Διότι λέγει· «Νομίζω ὅτι αὐτὸ εἶναι καλὸν διὰ τὴν παροῦσαν ἀνάγκην»[13]. Ἂν καὶ βέβαια ὅταν ὡμίλει περὶ ἐγκρατείας οὔτε τὸ νομίζω ἀνέφερεν, οὔτε κάποιαν

ἀλλ' ἁπλῶς· «Καλόν ἐστιν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ»· ἐνταῦθα δέ· «Νομίζω οὖν τοῦτο εἶναι καλὸν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην». Τοῦτο δὲ ποιεῖ οὐκ ἀμφιβάλλων περὶ τοῦ πράγματος - ἄπαγε - ἀλλὰ τῇ τῶν ἀκουόντων κρίσει τὸ πᾶν ἐπιτρέψαι βουλόμενος. Τοιοῦτον γὰρ ὁ σύμβουλος, οὐκ αὐτὸς τοῖς λεγομένοις ψηφίζεται, ἀλλὰ τὸ πᾶν ὑπὸ τὴν κρίσιν ἀφίησι κεῖσθαι τῶν ἀκροατῶν.

μγ' Ποίαν ὁ Παῦλος ἐνεστῶσαν λέγει ἀνάγκην.

Ποίαν δὲ καὶ ἀνάγκην ἐνταῦθά φησιν; Ἆρα τὴν ἀπὸ τῆς φύσεως; Οὐδαμῶς. Πρῶτον μὲν γὰρ εἰ ταύτην ἔλεγε, τοὐναντίον ἂν ὅπερ ἐβούλετο κατεσκεύασε μεμνημένος αὐτῆς. Οἱ γὰρ βουλόμενοι γαμεῖν ταύτην ἄνω καὶ κάτω στρέφουσι. Δεύτερον δὲ οὐκ ἂν αὐτὴν ἐνεστῶσαν ἐκάλεσεν. Οὐ γὰρ νῦν πρῶτον, ἀλλ' ἄνωθεν εἰς τὸ τῶν ἀνθρώπων κατεφυτεύθη γένος, καὶ πάλαι μὲν χαλεπωτέρα καὶ ἀτιθάσευτος ἦν, παραγενομένου δὲ τοῦ Χριστοῦ καὶ τῆς ἀρετῆς ἐπιδοθείσης, εὐκαταγώνιστος γέγονεν, ὥστε οὐ περὶ ταύτης ὁ λόγος αὐτῷ, ἀλλ' ἑτέραν τινὰ αἰνίττεται πολύτροπον καὶ πολυειδῆ. Τίς οὖν ἐστιν αὕτη; Ἡ τῶν ἐν τῷ βίῳ πραγμάτων διαστροφή. Τοσαύτη γάρ ἐστιν ἡ σύγχυσις, τοσαύτη τῶν φροντίδων ἡ τυραννίς, τοσοῦτος ὁ τῶν περιστάσεων ὄχλος, ὡς καὶ ἄκοντα πολλάκις ἀναγκάζεσθαι τὸν γεγαμηκότα ἁμαρτάνειν καὶ πλημμελεῖν.

μδ' Ὅτι εὐκολώτερον εἶναι διὰ παρθενίας ἢ διὰ γάμον βασιλείας τυχεῖν.

1. Τὸ μὲν γὰρ παλαιὸν ἡμῖν οὐ τοσοῦτον ἀρετῆς πρού-

αἰτίαν, ἀλλ' ἁπλῶς εἶπεν· «Καλὸν εἶναι εἰς αὐτοὺς ἐὰν μείνουν ὅπως καὶ ἐγώ»· ἐνῷ ἐδῶ «Νομίζω λοιπὸν ὅτι αὐτὸ εἶναι καλὸν διὰ τὴν παροῦσαν ἀνάγκην». Αὐτὸ δὲ τὸ κάμνει ὄχι ἐπειδὴ ἀμφιβάλλει διὰ τὸ πρᾶγμα — μακρυὰ μία τέτοια σκέψις — ἀλλ' ἐπειδὴ θέλει ν' ἀναθέσῃ ὅλα εἰς τὴν κρίσιν τῶν ἀκροατῶν του. Διότι τέτοιος εἶναι ὁ σύμβουλος· δὲν ἀποφασίζει ὁ ἴδιος δι' αὐτὰ ποὺ λέγει, ἀλλὰ τὸ πᾶν ἀφήνει εἰς τὴν κρίσιν τῶν ἀκροατῶν του.

μγ' Περὶ τοῦ ποίαν ἀνάγκην ὀνομάζει ὁ Παῦλος παροῦσαν.

Ποίαν ὅμως ἀνάγκην ἐννοεῖ ἐδῶ; Μήπως αὐτὴν ποὺ προέρχεται ἀπὸ τὴν φύσιν; Καθόλου. Διότι, πρῶτον μέν, ἐὰν αὐτὴν ἐννοοῦσε, θὰ ἐπετύγχανε τὸ ἀντίθετον ἀπὸ αὐτὸ ποὺ ἤθελεν ἀναφέρων αὐτήν. Διότι αὐτοὶ ποὺ θέλουν νὰ συνάψουν γάμον αὐτὴν τὴν ἀνάγκην προβάλλουν συνεχῶς. Δεύτερον δὲ δὲν θὰ ἦτο δυνατὸν νὰ ὀνομάσῃ αὐτὴν παροῦσαν. Καθ' ὅσον δὲν παρουσιάσθη τώρα διὰ πρώτην φοράν, ἀλλὰ κατεφυτεύθη εἰς τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τὴν ἀρχήν, καὶ παλαιότερον μὲν ἦτο φοβερωτέρα καὶ ἀχαλίνωτος, ὅταν ὅμως ἦλθεν ὁ Χριστὸς καὶ ἐσημειώθη πρόοδος εἰς τὴν ἀρετήν, ἔγινεν εὐκολοκίνητος· ὥστε δὲν ἀναφέρεται εἰς αὐτήν, ἀλλ' ὑπονοεῖ κάποιαν ἄλλην πολύπλοκον καὶ πολύμορφον. Ποία λοιπὸν εἶναι αὐτή; Ἡ ἐκτροπὴ ἀπὸ τὴν φυσικὴν θέσιν τῶν πραγμάτων τοῦ βίου. Διότι τόση εἶναι ἡ σύγχυσις, τόση ἡ τυραννία τῶν φροντίδων, τόσον τὸ πλῆθος τῶν περιστάσεων, ὥστε καὶ χωρὶς τὴν θέλησίν του ν' ἀναγκάζεται πολλὰς φορὰς ὁ ἔγγαμος νὰ ἁμαρτάνῃ καὶ νὰ πλημμελῇ.

ιδ' Περὶ τοῦ ὅτι εἶναι εὐκολώτερον νὰ ἐπιτύχῃ κανεὶς τὴν βασιλείαν τῶν οὐρανῶν διὰ τῆς παρθενίας παρὰ διὰ τοῦ γάμου.

1. Εἰς τὴν παλαιὰν λοιπὸν ἐποχὴν δὲν ὑπῆρχε τόσον

κειτο μέτρον, ἀλλὰ καὶ ἀμύνασθαι τὸν ἀδικοῦντα καὶ ἀντιλοιδορήσασθαι τῷ λοιδορουμένῳ καὶ χρημάτων ἐπιμελήσασθαι ἐξῆν καὶ εὐορκοῦντα ὀμνύναι καὶ ὀφθαλμὸν ἐξορύξαι ἀντὶ ὀφθαλμοῦ καὶ μισῆσαι τὸν ἐχθρὸν καὶ οὔτε τρυφᾶν οὔτε ὀργίζεσθαι οὔτε γυναῖκα τὴν μὲν ἐκβάλλειν, τὴν δὲ ἀντεισάγειν κεκώλυτο. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δύο κατὰ ταὐτὸν ὁμοῦ γυναῖκας ἔχειν ὁ νόμος ἐπέτρεπε, καὶ πολλὴ καὶ ἐν τούτοις καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἡ συγκατάβασις ἦν. Μετὰ δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν πολλῷ στενωτέρα γέγονεν ἡ ὁδός, οὐ μόνον τῷ τὴν ἄδειαν τῶν εἰρημένων ἁπάντων τὴν ἄφατον ταύτην καὶ πολλὴν περικοπῆναι τῆς ἐξουσίας τῆς ἡμετέρας, ἀλλὰ καὶ τῷ τὴν πολλὰ πολλάκις ἀναπείθουσαν καὶ ἀναγκάζουσαν ἡμᾶς καὶ ἄκοντας ἁμαρτάνειν γυναῖκα, ταύτην ἔνδον ἔχειν διὰ παντὸς ἢ μοιχείας ἁλίσκεσθαι βουλόμενον ἐκβάλλειν.

2. Οὐ ταύτῃ δὲ μόνον ἡμῖν ἡ ἀρετὴ δυσκατόρθωτος, ἀλλ' ὅτι κἂν ἀνεκτὸν ἦθος ἔχῃ ἡ συνοικοῦσα, ὁ δι' αὐτὴν καὶ τὰ ἔκγονα ἐκείνης περιρρέων ἡμᾶς φροντίδων ὄχλος οὐδὲ μικρὸν ἀναβλέψαι πρὸς τὸν οὐρανὸν συγχωρεῖ, πάντοθεν ὥσπερ τις ἴλιγγος περιστρέφων καὶ βαπτίζων ἡμῶν τὴν ψυχήν. Ἐὰν γὰρ βούληται τὸν τῶν ἰδιωτῶν βίον τὸν ἀκίνδυνον τοῦτον καὶ ἀπράγμονα ζῆν ὁ ἀνήρ, ἀλλ' ὅταν ἴδῃ παῖδας παρεστῶτας καὶ γυναῖκα δαπάνης δεομένην πολλῆς, καὶ ἄκων εἰς τὸν τῶν πολιτικῶν πραγμάτων ἔρριψεν ἑαυτὸν κλύδωνα. Ἐκεῖ δὲ ἐμπεσόντα λοιπὸν οὐδὲ ἔστιν εἰπεῖν ὅσα ἀνάγκη ἁμαρτάνειν ὀργιζόμενον, ὑβρίζοντα, ὀμνύοντα, λοιδορούμενον, ὑποκρινόμενον, πολλὰ πρὸς χάριν πολλὰ πρὸς ἀπέχθειαν ποιοῦντα. Πῶς γὰρ ἔνι στρεφόμενον ἐν ζάλῃ τοσαύτῃ καὶ βου-

8. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἀποφεύγων νὰ ὑποσχεθῇ εἰς τοὺς Ἰουδαίους τὴν βασιλείαν τῶν οὐρανῶν, τοὺς ἐχάριζε τὰ ἐπίγεια ἀγαθά. Καὶ διὰ τὰς πονηρὰς πράξεις των δὲν τοὺς ἠπείλει μὲ τὴν γέενναν τοῦ πυρός, ἀλλὰ μὲ τὰς συμφορὰς τῆς παρούσης ζωῆς, μὲ πεῖναν, μὲ ἀσθενείας καὶ νόσους καὶ πολέμους καὶ αἰχμαλωσίαν καὶ ὅλα τὰ ἄλλα τὰ παρόμοια. Διότι ἀπὸ τοὺς ἀνθρώπους οἱ πνευματικὰ ἀνώριμοι συγκρατοῦνται περισσότερον μὲ αὐτὰ καὶ αὐτὰ φοβοῦνται περισσότερον. Δι' αὐτὰ ὅμως ποὺ δὲν τὰ βλέπουν καὶ δὲν εἶναι παρόντα, ἐλάχιστα ἐνδιαφέρονται. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπιμένει περισσότερον εἰς αὐτά, ποὺ ἦσαν ἱκανὰ νὰ ἐγγίσουν περισσότερον τὴν ἔλλειψιν πνευματικῆς ὡριμότητος. Ἐκτὸς ἀπὸ αὐτὸ δὲ ἤθελε νὰ δείξῃ καὶ ἐκεῖνο, ὅτι ἀπὸ τὰ ἄλλα ἀγαθὰ μερικὰ μᾶς περιβάλλουν μὲν ἐδῶ μὲ πολλοὺς κόπους, ἀλλὰ ὅλον τὸν καρπὸν τὸν ἀποταμιεύουν εἰς τὸν μέλλοντα χρόνον. Ἡ παρθενία ὅμως, συγχρόνως μὲ τὴν ἄσκησιν αὐτῆς, μᾶς δίδει ἀμοιβὰς ὄχι μικράς, καθ' ὅσον μᾶς ἀπαλλάσσει ἀπὸ τόσους κόπους καὶ φροντίδας. Μαζὶ δὲ μὲ αὐτὰ συμπεριέλαβε καὶ κάποιο τρίτον. Ποῖον; Τὸ νὰ μὴ θεωρηθῇ τὸ πρᾶγμα ὡς ἔργον τῶν ἀδυνάτων, ἀλλὰ τῶν πάρα πολὺ δυνατῶν. Τὸ κάμνει δὲ αὐτὸ διὰ νὰ ἐμφανίσῃ μὲ πολλὴν ὑπεροχὴν ὅτι ὁ γάμος συνοδεύεται ἀπὸ πάρα πολλὰς δυσκολίας, ὡσὰν νὰ ἔλεγε πρὸς κάποιον· Σοῦ φαίνεται αὐτὸ τὸ πρᾶγμα κοπιαστικὸν καὶ ἐπίπονον; Δι' αὐτὸ ἀκριβῶς ἐγὼ βέβαια λέγω ὅτι πρέπει νὰ τὸ ἀσκῇς, διότι εἶναι τόσον εὔκολον, ὥστε νὰ μᾶς

λάττω. Ἐπειδὴ γὰρ φείδομαι, φησίν, ὑμῶν καὶ οὐ βούλομαι θλῖψιν ὑμᾶς ἔχειν, διὰ τοῦτο ὑμᾶς οὐ θέλω γαμεῖν.

9. Καὶ ποίαν θλῖψιν; ἴσως εἴποι τις ἄν. Τοὐναντίον μὲν οὖν καὶ ἄνεσιν ἔχοντα πολλὴν καὶ τρυφὴν τὸν γάμον εὑρήσομεν. Καὶ πρῶτον ἁπάντων τὸ μετὰ πάσης ἀδείας τὴν ἐπιθυμίαν ἀποπληροῦν καὶ μηδεμίαν ἀπὸ τῆς φύσεως ὑπομένειν βίαν, οὐ μικρὸν εἰς ῥαστώνης λόγον ἐστίν. Ἔπειτα τῷ καὶ τὴν ἄλλην διαγωγὴν ἀπηλλάχθαι κατηφείας καὶ αὐχμοῦ, καὶ μεστὴν εἶναι φαιδρότητος καὶ γέλωτος καὶ χαρᾶς. Καὶ γὰρ τραπέζῃ πολυτελεῖ καὶ μαλακοῖς ἱματίοις καὶ στρωμνῇ μαλακωτέρᾳ, καὶ λουτροῖς διηνεκέσι, καὶ μύροις καὶ οἴνῳ μύρου οὐδὲν χεῖρον διακειμένῳ καὶ ἑτέρᾳ πολλῇ καὶ διαφόρῳ δαπάνῃ λειτουργοῦντες τῇ σαρκὶ πολλὴν ἀπὸ ταύτης παρέχουσιν αὐτῇ τὴν τρυφήν.

ν΄ Ὅτι καὶ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ παράνομον ἡ τρυφή.

1. Μάλιστα μὲν οὐδὲ ταῦτα ἐφίεται τῷ γάμῳ. Τὴν γὰρ τῆς μίξεως μόνης ἄδειαν, οὐχὶ δὲ καὶ τὴν τῆς τρυφῆς παρέχειν ἡμῖν εἴωθε. Καὶ μάρτυς ὁ μακάριος Παῦλος οὑτωσὶ λέγων· «Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν». Εἰ δὲ περὶ χηρῶν ταῦτα εἴρηται, ἄκουσον καὶ περὶ τῶν γεγαμηκότων τί φησι· «Γυναῖκας ὡσαύτως ἐν καταστολῇ κοσμίῳ μετὰ πάσης αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὡς πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν». Καὶ οὐκ ἐνταῦθα δὲ μόνον ἀλλὰ καὶ ἑτέρωθι ἴδοι

---

37. Α' Τιμ. 5, 6.
38. Α' Τιμ. 2, 9 - 10.

παρέχῃ πολὺ ὀλιγωτέρας δυσκολίας. Ἐπειδὴ λοιπόν, λέγει, ἐνδιαφέρομαι δι' ἐσᾶς καὶ δὲν θέλω νὰ ἔχετε θλῖψιν, διὰ τοῦτο δὲν θέλω νὰ συνάπτετε γάμον'.

9. Καὶ ποίαν θλῖψιν ἔχει; θὰ ἠμποροῦσεν ἴσως κάποιος νὰ εἰπῇ. Ἀντιθέτως μάλιστα θὰ εὕρωμεν τὸν γάμον νὰ ἔχῃ καὶ πολλὴν ἄνεσιν καὶ ἀπόλαυσιν. Καὶ πρῶτον ἀπὸ ὅλα ὁ ἔγγαμος ἱκανοποιεῖ τὴν ἐπιθυμίαν του μὲ πολλὴν ἐλευθερίαν καὶ δὲν δέχεται κανένα ἐξαναγκασμὸν ἀπὸ τὴν φύσιν, πρᾶγμα ποὺ δὲν εἶναι καὶ τόσον μικρὴ εὐκολία. Ἔπειτα καὶ ἡ ὑπόλοιπη ζωή του θὰ εἶναι ἀπαλλαγμένη ἀπὸ τὴν κατήφειαν καὶ τὴν τραχύτητα καὶ θὰ εἶναι γεμάτη ἀπὸ φαιδρότητα, γέλια καὶ χαράν. Καθ' ὅσον θὰ μετέχῃ εἰς πολυτελῆ τράπεζαν μὲ μαλακὰ ἐνδύματα καὶ θὰ κοιμᾶται εἰς μαλακὸν στρῶμα, θὰ πηγαίνῃ συνεχῶς εἰς τὰ λουτρὰ καὶ θὰ χρησιμοποιῇ ἀρώματα καὶ οἶνον ὄχι κατώτερον ἀπὸ τὸ μύρον καὶ θὰ περιποιῆται τὴν σάρκα του καὶ μὲ πολλὰς καὶ διαφόρους ἄλλας δαπάνας, ποὺ παρέχουν εἰς τὴν σάρκα πολλὴν ἀπόλαυσιν.

ν' *Περὶ τοῦ ὅτι ἡ ἀπόλαυσις εἶναι παράνομος καὶ κατὰ τὴν Παλαιὰν Διαθήκην καὶ κατὰ τὴν Καινήν.*

1. Ἀλλὰ βέβαια οὔτε αὐτὰ ἐπιτρέπονται εἰς τὸν γάμον. Διότι συνήθως μᾶς παρέχει τὴν ἐλευθερίαν μόνον τῆς σαρκικῆς μίξεως, ὄχι ὅμως καὶ τὴν ἐλευθερίαν τῆς λοιπῆς ἀπολαύσεως. Καὶ μάρτυς εἶναι ὁ μακάριος Παῦλος ποὺ λέγει τὰ ἑξῆς· «Αὐτὴ ποὺ κάνει σπάταλον ζωὴν ἂν καὶ εἶναι ζωντανή, ὅμως ἔχει ἀποθάνει»[87]. Ἐὰν δὲ αὐτὰ ἔχουν λεχθῆ περὶ τῶν χηρῶν, ἄκουσε τί λέγει καὶ περὶ τῶν ἐγγάμων· «Κατὰ τὸν ἴδιον τρόπον αἱ γυναῖκες νὰ στολίζωνται μὲ ἐνδυμασίαν σεμνὴν καὶ μὲ κάθε σεμνότητα καὶ σωφροσύνην, ὄχι μὲ πλέξιμον τῶν μαλλιῶν ἢ μὲ χρυσᾶ καὶ μαργαριταρένια κοσμήματα καὶ πολυτελῆ ἐνδύματα, ἀλλὰ ὅπως ταιριάζει εἰς γυναῖκας ποὺ ὑπόσχονται νὰ σέβωνται τὸν Θεόν, μὲ ἔργα ἀγαθά»[88]. Καὶ ὄχι μόνον ἐδῶ, ἀλλὰ καὶ ἀλλοῦ θὰ ἠμποροῦσε κανεὶς νὰ ἰδῇ αὐτὸν νὰ κάμνῃ πολὺν

τις ἂν πολὺν αὐτὸν ποιούμενον τὸν λόγον ὑπὲρ τοῦ μηδ' ὅλως εἶναι τούτων ἡμῖν περισπούδαστον.

2. «Ἔχοντες», γάρ φησι, «διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. Οἱ γὰρ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς ἐπιθυμίας ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν». Καὶ τί λέγω Παῦλον, ὅς, ὅτε τῆς ἄκρας φιλοσοφίας ἦν ὁ καιρὸς καὶ πολλὴ ἡ τοῦ πνεύματος χάρις, ἔλεγε ταῦτα; Ὁ γὰρ Ἀμὼς ὁ προφήτης τοῖς νηπίοις Ἰουδαίοις διαλεγόμενος, ἐφ' ὧν καὶ τρυφὴ συγκεχώρητο καὶ πολυτέλεια καὶ πάντα ὡς εἰπεῖν τὰ περιττά, ἄκουσον πῶς σφόδρα καθάπτεται τῶν τῇ τρυφῇ προσκειμένων λέγων· «Οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν, οἱ ἐγγίζοντες καὶ ἐφαπτόμενοι Σαββάτων ψευδῶν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά· οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων· οἱ πίνοντες τὸν διϋλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι· ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα».

να' Ὅτι εἰ καὶ ἐφεῖτο τρυφᾶν ἱκανὰ τὰ τοῦ γάμου λυπηρὰ ταύτην ἀφανίσαι τὴν ἡδονήν.

Ὅπερ οὖν ἔφην, μάλιστα μὲν οὐκ ἐφεῖτο τρυφᾶν, εἰ δὲ καὶ μηδὲν τούτων κεκώλυτο, ἀλλὰ πάντα συγκεχώρητο, ἔστιν ἕτερα τούτων ἀντίρροπα εἰς ἀθυμίας καὶ ὀδύνης λόγον, μᾶλλον δὲ οὕτω πλείονα καὶ μείζω, ὡς μηδὲ μικρὰν ἀπὸ τούτων ἡμᾶς λαμβάνειν τὴν αἴσθησιν ἀλλ' ἐκποδὼν πᾶσαν γίνεσθαι τὴν ἐξ αὐτῶν ἡδονήν.

---

39. Ἀμὼς 6, 3 - 6.

λόγον διὰ νὰ μὴ θεωροῦμεν τίποτε ἀπὸ ὅλα αὐτὰ σημαντικόν.

2. Πράγματι λέγει· «Ἔχοντες τρόφιμα καὶ σκεπάσματα, ἂς ἀρκούμεθα εἰς αὐτά. Διότι αὐτοὶ ποὺ ἐπιθυμοῦν νὰ πλουτοῦν κυριεύονται ἀπὸ ἀνοήτους καὶ βλαβερὰς ἐπιθυμίας, ποὺ βυθίζουν τοὺς ἀνθρώπους εἰς τὴν καταστροφὴν καὶ τὴν ἀπώλειαν». Καὶ διατί λέγω τὸν Παῦλον, ποὺ ἔλεγεν αὐτὰ ὅταν ἦτο καιρὸς τῆς ἀνωτάτης φιλοσοφίας καὶ πολλὴ ἡ χάρις τοῦ ἁγίου Πνεύματος; Διότι καὶ ὁ προφήτης Ἀμὼς ὁμιλῶν πρὸς τοὺς νηπίους Ἰουδαίους, εἰς τοὺς ὁποίους ἐπετρέπετο καὶ ἡ τρυφὴ καὶ ἡ πολυτέλεια καὶ ὅλα, ὅπως θὰ ἐλέγομεν, τὰ περιττά, ἄκουσε μὲ πόσην αὐστηρότητα κατηγορεῖ ἐκείνους ποὺ ἦσαν προσκολλημένοι εἰς τὴν τρυφήν, λέγων· «Ἀλλοίμονον εἰς ἐκείνους ποὺ συμμετέχουν εἰς ἡμέραν γεμάτην ἀπὸ κακίαν, ποὺ προσεγγίζουν εἰς σάββατα ψευδῆ, ποὺ κοιμῶνται εἰς ἐλεφάντινα κρεββάτια καὶ ἐπιδίδονται εἰς ἀσωτείας ἐπάνω εἰς τὰ στρώματά των, ποὺ τρώγουν ἐρίφια ἀπὸ τὰ ποίμνια καὶ μοσχάρια τρυφερὰ ἀπὸ τὰς ἀγέλας, ποὺ χειροκροτοῦν εἰς τὴν μουσικὴν τῶν ὀργάνων, ποὺ πίνουν τὸν διϋλισμένον οἶνον καὶ ἀρωματίζονται μὲ πολυτελῆ ἀρώματα· τὰ ἐθεώρησαν ὅλα αὐτὰ ὡς μόνιμα καὶ ὄχι ὡς παροδικά»[39].

να΄ Περὶ τοῦ ὅτι καὶ ἂν ἀκόμη ἐπετρέπετο ἡ τρυφή, εἶναι ἱκανὰ τὰ δυσάρεστα τοῦ γάμου νὰ ἐξαφανίσουν αὐτὴν τὴν ἡδονήν.

Ὅπως λοιπὸν εἶπα, δὲν ἐπετρέπετο βέβαια ἡ τρυφή, ἀλλὰ καὶ ἂν ἀκόμη δὲν ἠμποδίζετο κανένα ἀπὸ αὐτά, ἀλλ' ἐπετρέποντο τὰ πάντα, ὑπάρχουν ἄλλα ἀντίρροπα αὐτῶν ποὺ προκαλοῦν τὴν λύπην καὶ τὴν ὀδύνην, μάλιστα δὲ τόσον πολλὰ καὶ μεγαλύτερα, ὥστε νὰ μὴ ἔχωμεν, ἐξ αἰτίας αὐτῶν, οὔτε τὴν παραμικρὰν αἴσθησιν τῆς ἡδονῆς, ἀλλὰ νὰ ἐξαφανίζεται τελείως ἡ ἡδονὴ ποὺ προέρχεται ἀπὸ αὐτά.

νβ´ Ὅσον ἡ ζηλοτυπία κακόν.

1. Εἰ γάρ τις, εἰπέ μοι, φύσει ζηλότυπος ὢν τύχοι, ἢ καὶ ἔκ τινος προφάσεως οὐκ ἀληθοῦς τούτῳ ληφθείη τῷ κακῷ, τί τῆς τοιαύτης ψυχῆς ἐλεεινότερον γένοιτ᾽ ἄν; Ποῖον πόλεμον, τίνα χειμῶνα τῇ τοιαύτῃ παραβάλλοντες οἰκίᾳ ἀκριβῶς ἐπιτυχεῖν δυνησόμεθα τῆς εἰκόνος; Πάντα ἀηδίας μεστά, πάντα ὑποψίας καὶ στάσεως καὶ ταραχῆς. Τῶν γὰρ δαιμονώντων ἢ φρενίτιδι κατεχομένων νόσῳ οὐδὲν ἄμεινον διάκειται ὁ ταύτῃ τῇ μανίᾳ πληγείς. Οὕτω συνεχῶς ἐξάλλεται καὶ ἀποπηδᾷ καὶ δυσχεραίνει πρὸς ἅπαντας καὶ εἰς τοὺς παρόντας ἁπλῶς καὶ ἀνευθύνους ἀφίησιν ἀεὶ τὴν ὀργήν, κἂν δοῦλος ᾖ κἂν υἱὸς καὶ ὁστισοῦν ἕτερος. Καὶ ἡδονὴ μὲν ἀπελήλαται πᾶσα, κατηφείας δὲ ἅπαντα γέμει καὶ πένθους καὶ ἀηδίας. Κἂν οἴκοι μένῃ, κἂν εἰς ἀγορὰν ἐμβάλῃ, κἂν ἀποδημίαν στέλληται, πανταχοῦ τὸ δεινὸν ἀπέτεκεν θανάτου παντὸς χαλεπώτερον παρακνίζον καὶ ἐρεθίζον αὐτοῦ τὴν ψυχὴν καὶ οὐ συγχωροῦν ἠρεμεῖν. Οὐ γὰρ ἀθυμίαν μόνον αὕτη ἡ νόσος ἀλλὰ καὶ θυμὸν ἀφόρητον τίκτειν εἴωθε. Τούτων δὲ ἕκαστον καὶ καθ᾽ ἑαυτὸ μὲν ἱκανὸν ἀπολέσαι τὸν ἁλόντα· ὅταν δὲ καὶ ὁμοῦ συνελθόντα πολιορκῇ, συνεχῶς αὐτὸν πιέζοντα καὶ οὐδὲ βραχὺν ἀναπνεῖν συγχωροῦντα καιρόν, πόσων τοῦτο θανάτων οὐ χαλεπώτερον; Ἄν τε γὰρ πενίαν εἴποι τις τὴν ἐσχάτην, ἄν τε νόσον ἀνίατον ἄν τε πῦρ ἄν τε σίδηρον, οὐδὲν ἴσον ἐρεῖ καὶ τοῦτο οἱ πεῖραν λαβόντες ἴσασι μόνοι καλῶς· λόγος γὰρ οὐδεὶς ἂν παραστήσειε τοῦ δεινοῦ τὴν ὑπερβολήν. Ὅταν γὰρ τὴν μάλιστα πάντων ἀγαπωμένην καὶ ὑπὲρ ἧς ἂν ἡδέως καὶ τὴν ψυχὴν προοῖτο, ταύτην ἀναγ-

νβ' Περὶ τοῦ πόσον κακὸν εἶναι ἡ ζηλοτυπία.

1. Εἰπέ μου λοιπόν, ἐὰν κάποιος τύχῃ νὰ εἶναι ἐκ φύσεως φθονερὸς ἢ κυριευθῇ ἀπὸ αὐτὸ τὸ κακὸν ἀπὸ κάποιαν ἀφορμὴν ὄχι ἀληθινήν, τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἐλεεινότερον ἀπὸ αὐτὴν τὴν ψυχήν; Μὲ ποῖον πόλεμον, μὲ ποίαν τρικυμίαν θὰ πρέπει νὰ παρεμβάλωμεν αὐτὴν τὴν οἰκίαν, διὰ νὰ ἠμπορέσωμεν νὰ ἔχωμεν μίαν ἀκριβῆ εἰκόνα αὐτῆς; Ὅλα εἶναι γεμᾶτα ἀπὸ ὀδύνην, ὅλα γεμᾶτα ἀπὸ ὑποψίαν καὶ στάσιν καὶ ταραχήν. Αὐτὸς ποὺ θὰ πληγῇ ἀπὸ αὐτὴν τὴν μανίαν δὲν εἶναι εἰς καθόλου καλυτέραν κατάστασιν ἀπὸ τοὺς δαιμονισμένους καὶ τοὺς φρενοβλαβεῖς. Συνεχῶς εὑρίσκεται εἰς ἔξαλλον κατάστασιν καὶ κάμνει βιαίας κινήσεις καὶ ἀποστρέφεται ὅλους καὶ ὀργίζεται πάντοτε πρὸς τὸν τυχαῖον καὶ ἀνεύθυνον εἴτε δοῦλος εἶναι αὐτός, εἴτε υἱός του, εἴτε ὁποιοσδήποτε ἄλλος. Καὶ κάθε μὲν ἡδονὴ ἐξηφανίσθη, τὰ πάντα δὲ εἶναι γεμᾶτα ἀπὸ κατήφειαν καὶ πένθος καὶ ἀηδίαν. Καὶ εἴτε μένει εἰς τὴν οἰκίαν, εἴτε πηγαίνει εἰς τὴν ἀγοράν, εἴτε μεταβαίνει εἰς ξένην χώραν, παντοῦ τὸ φοβερὸν αὐτὸ κακὸν τὸν καταπιέζει φοβερώτερα καὶ ἀπὸ τὸν θάνατον, ταράσσον καὶ ἐρεθίζον τὴν ψυχήν του καὶ μὴ ἐπιτρέπον αὐτὴν νὰ ἠρεμῇ. Διότι ἡ νόσος αὐτὴ δὲν προξενεῖ μόνον στενοχώριαν, ἀλλὰ συνήθως καὶ γεννᾷ ἀφόρητον θυμόν. Τὸ καθένα ἀπὸ αὐτὰ βέβαια εἶναι ἱκανὸν νὰ καταστρέψῃ αὐτὸν ποὺ θὰ συλλάβῃ, ὅταν ὅμως συμβῇ ὅλα μαζὶ νὰ συγκεντρωθοῦν καὶ νὰ τὸν πολιορκοῦν, νὰ τὸν καταπιέζουν καὶ νὰ μὴ τὸν ἀφήνουν οὔτε πρὸς στιγμὴν ν' ἀναπνεύσῃ, ἀπὸ πόσους θανάτους αὐτὸ δὲν εἶναι φοβερώτερον; Διότι καὶ ἂν ἀναφέρῃ κανεὶς τὴν πιὸ χειροτέραν πτωχείαν, ἐὰν νόσον ἀθεράπευτον ἐὰν τὸ πῦρ ἢ τὸν σίδηρον, δὲν θὰ εἰπῇ τὸ ἰσοδύναμόν του καὶ αὐτὸ τὸ γνωρίζουν πολὺ καλὰ μόνον αὐτοὶ ποὺ κατελήφθησαν ἀπὸ αὐτό· καθ' ὅσον κανεὶς λόγος δὲν ἠμπορεῖ νὰ παραστήσῃ τὸ μέγεθος αὐτοῦ τοῦ κακοῦ. Διότι ὅταν κανεὶς ἀναγκάζεται νὰ ὑποπτεύεται συνεχῶς αὐτὴν ποὺ ἀγαπᾷ περισσότερον ἀπὸ κάθε τι καὶ ποὺ πρὸς χάριν

κάζηται δι' ὑποψίας ἔχειν ἀεί, τί τῶν ἁπάντων αὐτὸν παραμυθήσασθαι δύναιτ' ἄν;

2. Ἄν τε γὰρ εἰς εὐνὴν τρέπεσθαι, ἄν τε σῖτον ἑλέσθαι καὶ πότον δέῃ, τὴν μὲν τράπεζαν οἰήσεται δηλητηρίων γέμειν φαρμάκων μᾶλλον ἢ ἐδεσμάτων, ἐπὶ δὲ τῆς εὐνῆς οὐδὲ μικρὸν ἀτρεμεῖν ἀνέξεται χρόνον, ἀλλ' ὥσπερ ἀνθράκων ὑποκειμένων οὕτως θορυβεῖται καὶ μεταστρέφεται· καὶ οὔτε συνουσία φίλων οὔτε πραγμάτων φροντὶς οὔτε κινδύνων φόβος οὔτε ἡδονῆς ὑπερβολὴ οὔτε ἄλλο οὐδὲν τῆς τοιαύτης αὐτὸν ζάλης ἐπαγαγεῖν δυνήσεται, ἀλλὰ παντὸς μὲν χρηστοῦ, παντὸς δὲ λυπηροῦ τυραννικώτερον οὗτος αὐτοῦ κατακρατεῖ τὴν ψυχὴν ὁ χειμών. Ταῦτα διασκεψάμενος ὁ Σολομὼν ἔλεγε· «Σκληρὸς ὡς Ἅδης ζῆλος». Καὶ πάλιν· «Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως καὶ οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων».

3. Τοσαύτη γὰρ ἡ τῆς νόσου ταύτης μανία, ὡς μηδὲ μετὰ τὴν τοῦ λελυπηκότος τιμωρίαν ἀφεῖσθαι τῆς ὀδύνης. Πολλοὶ γοῦν πολλάκις ἀνελόντες τὸν μοιχόν, τὸν θυμὸν καὶ τὴν ἀθυμίαν οὐκ ἴσχυσαν ἀνελεῖν. Εἰσὶ δὲ οἳ καὶ μετὰ τὸ κατασφάξαι τὰς ἑαυτῶν γυναῖκας ἔμειναν ὁμοίως ἢ καὶ μειζόνως τηκόμενοι τῇ πυρᾷ. Καὶ ὁ μὲν ἀνὴρ τοσούτοις συζῇ κακοῖς καὶ ὅταν μηδὲν ἀληθὲς ὂν τύχῃ, ἡ δὲ ἀθλία καὶ ταλαίπωρος ἐκείνη πολλῷ χαλεπώτερα ὑπομένει τἀνδρός. Ὅταν γὰρ τὸν ὀφείλοντα εἶναι παραμυθίαν τῶν λυπηρῶν ἁπάντων καὶ ὅθεν προστασίαν ἐχρῆν προσδοκᾶν, τοῦτον ἐκτεθηριωμένον καὶ πάντων πολεμιώτερον ἴδῃ διακείμενον πρὸς αὐτήν, ποῦ δυνήσεται βλέψαι λοιπόν; Πρὸς τίνα καταφύγῃ; Πόθεν τῶν

---

40. Παροιμ. 6, 33 - 34.

της θὰ ἦτο δυνατὸν νὰ θυσιάσῃ εὐχαρίστως καὶ τὴν ψυχήν του, τί θὰ ἠμποροῦσε τότε ἀπὸ ὅλα γενικῶς τὰ πράγματα νὰ τὸν παρηγορήσῃ;

2. Πράγματι καὶ ὅταν πρέπει νὰ μεταβῇ εἰς τὴν κλίνην ἢ νὰ λάβῃ τροφὴν ἢ ποτόν, τὴν μὲν τράπεζαν θὰ τὴν θεωρῇ γεμάτην ἀπὸ δηλητήρια φάρμακα μᾶλλον παρὰ ἀπὸ ἐδέσματα, εἰς δὲ τὴν κλίνην οὔτε πρὸς στιγμὴν δὲν θὰ ἠμπορέσῃ νὰ ἡσυχάσῃ, ἀλλὰ ὡσὰν νὰ εὑρίσκωνται ἀπὸ κάτω του κάρβουνα ἀναμμένα ἔτσι θὰ ταράσσεται καὶ θὰ στριφογυρίζῃ. Καὶ οὔτε συντροφιὰ φίλων, οὔτε ἡ φροντὶς τῶν ὑποθέσεών του, οὔτε ὁ φόβος τῶν κινδύνων, οὔτε ἡ ὑπερβολὴ τῆς ἡδονῆς, οὔτε τίποτε ἄλλο θὰ ἠμπορέσῃ νὰ τὸν ἀπαλλάξῃ ἀπὸ αὐτὴν τὴν ζάλην, ἀλλ' αὐτὴ ἡ φουρτούνα καταπιέζει τὴν ψυχήν του τυραννικώτερα ἀπὸ κάθε χαρὰν καὶ κάθε λύπην. Αὐτὰ ἀναλογιζόμενος ὁ Σολομών, ἔλεγε· «Ἡ ζήλεια εἶναι σκληρὰ ὡσὰν τὸν Ἅδην». Καὶ πάλιν· «Ἡ ψυχὴ τοῦ ἀνδρός της εἶναι γεμάτη ἀπὸ ζήλειαν καὶ δὲν θὰ θεωρηθῇ ἄξιος λύπης κατὰ τὴν ἡμέραν τῆς κρίσεως καὶ δὲν θὰ ἀνταλλάξῃ τὴν ἔχθραν μὲ κανένα λύτρον οὔτε θὰ διαλυθῇ μὲ πολλὰ δῶρα»[40].

3. Τόσον μεγάλη εἶναι ἡ μανία αὐτῆς τῆς νόσου, ὥστε οὔτε μετὰ τὴν τιμωρίαν ἐκείνου ποὺ τὸν ἐλύπησε νὰ ἀπαλλάσσεται ἀπὸ τὴν ὀδύνην. Πολλοὶ βέβαια, πολλὲς φορές, φονεύσαντες τὸν μοιχόν, δὲν ἠμπόρεσαν ὅμως νὰ ἐξαφανίσουν τὸν θυμὸν καὶ τὴν λύπην. Ὑπάρχουν δὲ καὶ ἐκεῖνοι πού, ἂν καὶ κατέσφαξαν τὰς γυναῖκας των, ἐξηκολούθησαν καθ' ὅμοιον τρόπον ἢ καὶ φοβερώτερον νὰ λειώνουν ἐπάνω εἰς πυράν. Καὶ ὁ μὲν ἄνδρας συζῇ μὲ τὰ τόσα αὐτὰ κακὰ καὶ ἂν ἀκόμη τύχῃ νὰ μὴ εἶναι κανὲν ἀληθές, ἡ ἀθλία ὅμως καὶ ταλαίπωρος ἐκείνη σύζυγος ὑπομένει χειρότερα ἀπὸ τὸν ἄνδρα. Διότι, ὅταν ἰδῇ νὰ ὁμοιάζῃ μὲ θηρίον καὶ νὰ εἶναι ἐχθρικώτερος ἀπέναντί της ἀπὸ τὸν καθένα ἐκεῖνος ποὺ ὤφειλε νὰ εἶναι ἡ παρηγορία της εἰς ὅλα τὰ δυσάρεστα καὶ ἀπὸ τὸν ὁποῖον ἔπρεπε νὰ περιμένῃ προστασίαν, ποῦ θὰ ἠμπορέσῃ πλέον νὰ στρέψῃ τὰ βλέμματά της; Πρὸς ποῖον θὰ καταφύγῃ; Ἀπὸ ποῦ θὰ εὕρῃ τὴν ἀπαλλαγὴν ἀπὸ

κακῶν εὕρῃ τὴν ἀπαλλαγήν, τοῦ λιμένος αὐτῇ προσκεχωσμένου καὶ μυρίων γέμοντος προβόλων;

4. Τότε καὶ οἰκέται καὶ θεράπαιναι τἀνδρὸς ὑβριστικώτερον αὐτῇ κέχρηνται. Ὕποπτον μὲν γὰρ καὶ ἄλλως καὶ ἀχάριστον τοῦτο τὸ γένος, ὅταν δὲ καὶ παρρησίας μείζονος ἐπιλάβηται καὶ διαστασιάζοντας πρὸς ἀλλήλους ἴδῃ τοὺς κρατοῦντας αὐτῶν οὐ μικρὰν ἀφορμὴν τῆς οἰκείας λοιδορίας τὸν ἐκείνων λαμβάνουσι πόλεμον. Καὶ γὰρ συντιθέναι καὶ πλάττειν ὅσαπερ ἂν βούλοιντο, ἔξεστιν αὐτοῖς μετὰ ἀδείας ἁπάσης τότε, καὶ τὴν ὑποψίαν ταῖς παρ' αὐτῶν διαβολαῖς δυνατωτέραν ποιοῦσιν. Ἡ γὰρ ἅπαξ τῇ μοχθηρᾷ ταύτῃ νόσῳ κατασχεθεῖσα ψυχὴ πάντα εὐκόλως τίθεται καὶ πᾶσιν ἀναπετάσασα ἐξ ἴσης τὴν ἀκοὴν οὐκ ἀνέχεται διακρίνειν τοὺς συκοφάντας τῶν μὴ τοιούτων, ἀλλὰ καὶ αὐτοὶ μάλιστα πιστὰ λέγειν δοκοῦσιν, ὅσοι τὴν ὑποψίαν ἐπαίρουσιν, ὅσοι σπουδάζουσιν αὐτῆς καθελεῖν.

5. Ἐντεῦθεν λοιπὸν ἀνάγκη δεδοικέναι καὶ τρέμειν τοὺς συνοικοῦντας οὐχ ἧττον τοὺς δραπέτας ἐκείνους καὶ τὰς ἐκείνων γυναῖκας καὶ τὴν αὐτῇ πρέπουσαν τάξιν προεμένην αὐτοῖς τὴν ἐκείνων ἀντιλαβεῖν. Πότε οὖν ἀδακρυτὶ διαγαγεῖν δυνήσεται; Ποίαν νύκτα; ποίαν ἡμέραν; ποίαν ἑορτήν; πότε στεναγμῶν χωρὶς καὶ θρήνων καὶ ὀδυρμῶν; Ἀπειλαὶ καὶ ὕβρεις καὶ λοιδορίαι διὰ παντὸς - αἱ μὲν παρὰ τοῦ τετρωμένου μάτην ἀνδρός, αἱ δὲ παρὰ τῶν μιαρῶν θεραπόντων -, φυλακαί, προφυλακαί, καὶ ἅπαντα δέους καὶ τρόμου μεστά. Οὐ γὰρ εἴσοδοι καὶ ἔξοδοι πολυπραγμονοῦνται μόνον ἀλλὰ καὶ ῥήματα καὶ βλέμματα καὶ στεναγμὸς μετὰ πολλῆς βασανίζεται τῆς ἀκριβείας καὶ ἀνάγκη ἢ τῶν λίθων ἀκινητοτέραν εἶναι καὶ σιγῇ πάντα φέρειν καὶ τῷ θαλάμῳ προσηλῶσθαι διαπαντὸς δεσμώτου χεῖρον, ἢ βουλομένην φθέγ-

τὰ κακά, ὅταν τὸ λιμάνι ἔχει ἀποφραχθῆ καὶ εἶναι γεμᾶτον ἀπὸ μύρια προσκόμματα;

4. Τότε καὶ οἱ ὑπηρέται καὶ αἱ ὑπηρέτριαι τῆς συμπεριφέρονται ὑβριστικώτερα ἀπὸ τὸν ἄνδρα της. Βέβαια αὐτὸ τὸ γένος εἶναι καὶ εἰς τὰ καλὰ καθούμενα ὕποπτον καὶ ἀχάριστον, ὅταν ὅμως λάβῃ μεγαλύτερον θάρρος καὶ ἰδῇ τοὺς κυρίους των νὰ φιλονεικοῦν καὶ νὰ στασιάζουν δὲν εἶναι μικρὴ ἡ ἀφορμὴ ποὺ λαμβάνουν ἀπὸ τὴν ἐχθρότητα ἐκείνων διὰ νὰ ἐκδηλώσουν τὴν ἰδικήν των αὐθάδειαν. Διότι τότε εἶναι δυνατὸν μὲ ὅλην τὴν ἐλευθερίαν των νὰ συνθέτουν καὶ νὰ πλάθουν ὅσα θὰ ἤθελον καὶ ν' αὐξάνουν τὴν ὑποψίαν τῶν συζύγων μὲ τὰς διαβολὰς ἐναντίον των. Διότι ἡ ψυχὴ ποὺ προσεβλήθη μίαν φορὰν ἀπὸ τὴν νόσον αὐτήν, ὅλα τὰ δέχεται εὐκόλως καὶ στρέφουσα ἐξ ἴσου πρὸς ὅλους τὴν ἀκοὴν δὲν ἀνέχεται νὰ διακρίνῃ τοὺς συκοφάντας ἀπὸ τοὺς μὴ συκοφάντας, ἀλλὰ νομίζει ὅτι εἶναι περισσότερον ἀξιόπιστοι αὐτοὶ ποὺ ἐνισχύουν τὴν ὑποψίαν καὶ ὄχι ἐκεῖνοι ποὺ φροντίζουν νὰ τὴν ἀποβάλουν.

5. Ἄρα λοιπὸν εἶναι ἀνάγκη νὰ φοβοῦνται καὶ νὰ τρέμουν οἱ σύζυγοι πολὺ περισσότερον ἐκείνους τοὺς δραπέτας καὶ τὰς γυναῖκας των καὶ νὰ παραχωρῇ αὐτὴ τὴν θέσιν ποὺ τῆς ἁρμόζει εἰς ἐκείνους καὶ νὰ λαμβάνῃ τὴν ἰδικήν των. Πότε λοιπὸν θὰ ἠμπορέσῃ νὰ μείνῃ χωρὶς δάκρυα; Ποίαν νύκτα; ποίαν ἡμέραν; ποίαν ἑορτήν; πότε θὰ μείνῃ χωρὶς στεναγμοὺς καὶ θρήνους καὶ ὀδυρμούς; Συνεχῶς θὰ περιβάλλεται ἀπὸ ἀπειλάς, ὕβρεις καὶ ἐμπαιγμοὺς — ἄλλα μὲν θὰ προέρχωνται ἀπὸ τὸν ἄδικα πληγωμένον σύζυγον, ἄλλα δὲ ἀπὸ τοὺς μωροὺς ὑπηρέτας — συνεχῶς φυλάξεις καὶ προφυλάξεις καὶ ὅλα θὰ εἶναι γεμᾶτα ἀπὸ φόβον καὶ τρόμον. Διότι δὲν ἐλέγχονται μόνον αἱ εἴσοδοι καὶ αἱ ἔξοδοι, ἀλλὰ καὶ τὰ λόγια καὶ τὰ βλέμματα καὶ ἐξετάζεται μὲ πολλὴν προσοχὴν καὶ ὁ στεναγμός της καὶ εἶναι ἀνάγκη ἢ νὰ εἶναι ἀκινητοτέρα καὶ ἀπὸ τοὺς λίθους καὶ ὅλα νὰ τὰ ὑπομένῃ σιωπηλᾶ καὶ νὰ μένῃ κλεισμένη εἰς τὸ δωμάτιόν της διαρκῶς χειρότερα ἀπὸ φυλακισμένον, ἢ ἐὰν θελήσῃ νὰ εἰπῇ κάτι καὶ νὰ στενάζῃ καὶ νὰ ἐξέλθῃ εἶναι ὑπεύθυνη

γεσθαι καὶ στένειν καὶ ἐξιέναι πάντων εὐθύνας ὑπέχειν καὶ λόγον ἐν τοῖς διεφθαρμένοις ἐκείνοις δικασταῖς, ταῖς θεραπαινίσι λέγω καὶ τῷ πλήθει τῶν οἰκετῶν.

6. Τούτων, εἰ βούλει, μεταξὺ τῶν δεινῶν τίθει καὶ πλοῦτον ἄφατον καὶ τραπέζης πολυτέλειαν καὶ οἰκετῶν ἀγέλας, γένους λαμπρότητα, δυναστείας μέγεθος, δόξαν πολλήν, προγόνων περιφάνειαν. Μηδὲν ὅλως ἀφῇς τῶν δοκούντων ζηλωτὸν τὸν παρόντα βίον ποιεῖν, ἀλλὰ πάντα ἀκριβῶς συναγαγὼν ἀντίθες ταύτῃ τῇ λύπῃ καὶ οὐδὲ φαινομένην ὄψει τὴν ἐξ ἐκείνων ἡδονήν, ἀλλ' οὕτως ἠφανισμένην ὥσπερ ἐν πελάγει πολλῷ σπινθῆρα μικρὸν ἐμπεσόντα σβεσθῆναι εἰκός. Καὶ ταῦτα μὲν ὅταν ὁ ἀνὴρ ζηλοτυπῇ· ἂν δὲ ἐπὶ τὴν γυναῖκά ποτε μεταβαίη τὸ πάθος - οὐκ ὀλιγάκις δὲ τοῦτο εἴωθε γίνεσθαι -, ἐκεῖνος μὲν ῥᾷον διακείσεται τῆς γυναικός, τὸ δὲ πλέον τῆς ὀδύνης πάλιν ἐπὶ τὴν ἀθλίαν ἐκείνην μετέπεσεν. Οὔτε γὰρ τοῖς αὐτοῖς ὅπλοις χρήσασθαι ἐπὶ τὸν ὑποπτευθέντα δυνήσεται. Τίς γὰρ ἀνέξεται γυναικὸς κελευούσης οἴκοι μένειν διὰ παντός;

7. Τίς δὲ τὸν δεσπότην τολμήσει παρατηρεῖσθαι τῶν οἰκετῶν καὶ οὐκ εὐθέως ἐπὶ τὸ βάραθρον ἀπαχθήσεται; Οὔτε οὖν τούτοις δυνήσεται ἑαυτὴν παραμυθήσασθαι τοῖς μηχανήμασιν, οὔτε γοῦν τὴν ὀργὴν διὰ τῶν ῥημάτων ἐξενεγκεῖν, ἀλλ' ἅπαξ μὲν αὐτὴν ἴσως χαλεπαίνουσαν οἴσει καὶ δὶς ὁ ἀνήρ, ἐὰν δὲ ἐπιμείνῃ συνεχῶς ἐγκαλοῦσα, διδάξει ταχέως αὐτήν, ὅτι βέλτιον σιγῇ τὰ τοιαῦτα φέρειν καὶ τήκεσθαι. Καὶ ταῦτα μὲν ἐν ταῖς ὑποψίαις, ὅταν δὲ ἀληθὲς ὂν τύχῃ τὸ δεινόν, τὴν μὲν γυναῖκα οὐδεὶς ἐξαιρήσεται τῶν τοῦ ἠδικημένου χειρῶν, ἀλλ' ἔχων αὐτῷ βοηθοῦντας τοὺς νόμους τὴν ἁπάντων αὐτῷ φιλτάτην εἰς δικαστήριον ἀγαγὼν κατέσφαξεν. Ὁ δὲ ἀνὴρ τὴν μὲν ἀπὸ τῶν νόμων διαφεύγει τιμωρίαν, τὴν δὲ ἄνωθεν καὶ τῇ τοῦ Θεοῦ τετήρηται ψήφῳ.

ἀπέναντι ὅλων καὶ ἔχει νὰ δώσῃ λόγον εἰς ἐκείνους τοὺς διεφθαρμένους δικαστάς, ἐννοῶ τὰς θεραπαινίδας καὶ τὸ πλῆθος τῶν ὑπηρετῶν.

6. Ἐὰν θέλῃς, θέσε μεταξὺ αὐτῶν τῶν δεινῶν καὶ πλοῦτον ἄφθονον καὶ πολυτέλειαν τραπέζης καὶ ὑπηρετῶν ἀγέλας, λαμπρότητα καταγωγῆς, μέγεθος ἐξουσίας, δόξαν μεγάλην, προγόνους ἐνδόξους. Μὴ ἀφήσῃς ἐντελῶς κανένα ἀπὸ ἐκεῖνα ποὺ θεωροῦνται ὅτι κάνουν ἀξιοζήλευτον τὴν παροῦσαν ζωήν, ἀλλ' ἀπολύτως ὅλα, ἀφοῦ τὰ συγκεντρώσῃς, θέσε τα ἀπέναντι εἰς αὐτὴν τὴν λύπην καὶ θὰ ἰδῇς ὅτι οὔτε κἂν φαίνεται ἡ ἡδονὴ ποὺ προέρχεται ἀπὸ αὐτά, ἀλλὰ ἔτσι ἔχει ἐξαφανισθῆ, ὅπως ἀκριβῶς φυσικὸν εἶναι νὰ σβήσῃ ἕνας μικρὸς σπινθὴρ ποὺ ἔπεσε μέσα εἰς τὸ ἀπέραντον πέλαγος. Καὶ ὅλα αὐτὰ μὲν ἐὰν εἶναι ζηλιάρης ὁ ἄνδρας, ἐὰν ὅμως συμβῇ νὰ κυριεύσῃ τὴν γυναῖκα αὐτὸ τὸ πάθος — δὲν γίνεται αὐτὸ συνήθως καὶ ὀλίγας φορὰς — ὁ μὲν ἄνδρας εὐκολώτερον ἀντιμετωπίζει τὴν γυναῖκα, τὸ περισσότερον ὅμως τῆς ὀδύνης καὶ πάλιν πίπτει εἰς τὴν ἀθλίαν ἐκείνην. Διότι δὲν ἠμπορεῖ οὔτε νὰ χρησιμοποιήσῃ τὰ ἴδια ὅπλα ἐναντίον τοῦ συζύγου της ποὺ τὸν ὑποπτεύεται. Ποῖος δηλαδὴ θ' ἀνεχθῇ τὴν ἀξίωσιν τῆς γυναικός του νὰ μένῃ συνεχῶς μέσα εἰς τὴν οἰκίαν;

7. Ποῖος δὲ ἀπὸ τοὺς ὑπηρέτας θὰ τολμήσῃ νὰ παρακολουθῇ τὸν κύριόν του καὶ δὲν θὰ ὁδηγηθῇ ἀμέσως εἰς τὸ βάραθρον; Οὔτε λοιπὸν μὲ αὐτὰ τὰ τεχνάσματα θὰ ἠμπορέσῃ νὰ παρηγορηθῇ, οὔτε βέβαια νὰ ἐκδηλώσῃ τὴν ὀργήν της μὲ λόγους, ἀλλὰ μίαν μὲν φορὰν καὶ δύο ἴσως τὴν ὑποφέρει ὁ ἄνδρας ἐξωργισμένην, ἐὰν ὅμως ἐπιμείνῃ συνεχῶς νὰ τὸν ἐλέγχῃ, θὰ τῆς εἰπῇ γρήγορα, ὅτι εἶναι προτιμότερον νὰ τὰ ὑπομένῃ αὐτὰ σιωπηλᾶ καὶ νὰ λειώνῃ. Καὶ αὐτὰ μὲν ὅσον ἀφορᾷ τὰς ὑποψίας, ὅταν δὲ τύχῃ τὸ κακὸν νὰ εἶναι ἀληθινόν, τὴν μὲν γυναῖκα κανεὶς δὲν θὰ τὴν σώσῃ ἀπὸ τὰ χέρια τοῦ ἠδικημένου συζύγου, ἀλλ' ἔχων βοηθοὺς τοὺς νόμους, τὴν πιὸ ἀγαπητὴν ἀπὸ ὅλα τὴν ὁδηγεῖ εἰς τὸ δικαστήριον καὶ τὴν κατασφάζει. Ὁ ἄνδρας ὅμως τὴν μὲν τιμωρίαν τῶν νόμων τὴν διαφεύγει, τὴν δὲ

Ἀλλ' οὐχ ἱκανὸν τοῦτο παραμυθήσασθαι τὴν ἀθλίαν ἐκείνην, ἀλλ' ἀνάγκη μακρόν τινα καὶ ἐλεεινὸν ὑπομένειν θάνατον, τὸν ἀπὸ τῶν μαγγάνων, τὸν ἀπὸ τῶν φαρμάκων ἅπερ αἱ πορνευόμεναι γυναῖκες κατασκευάζουσιν. Εἰσὶ δὲ αἷς οὔτε ἐπιβουλῆς ἐπὶ τὰς ἠδικημένας ἐδέησεν, ἀλλ' ἔφθασαν ἐκεῖναι προαναρπασθεῖσαι τῇ τῆς ἀθυμίας σφοδρότητι. Ὥστε εἰ καὶ πάντες ἄνδρες ἐπέτρεχον τῷ γάμῳ, τὰς γυναῖκας οὐκ ἐχρῆν αὐτὸν διώκειν. Οὔτε γὰρ ἂν ἔχοιεν εἰπεῖν ὡς τοσαύτη παρ' αὐταῖς τῆς ἐπιθυμίας ἡ τυραννὶς καὶ τῶν τοῦ πράγματος κακῶν τὸ πλέον αὗται καρποῦνται μέρος, ὥσπερ οὖν καὶ ὁ λόγος ἀπέδειξε.

8. Τί οὖν; φησίν, ἅπασι τοῦτο πρόσεστι τοῖς γάμοις; Ἀλλ' οὐδὲ πάντων ἄπεστι, παρθενίας δὲ πόρρω καὶ μακρὰν πάσης ἐστί. Καὶ ἡ μὲν γαμηθεῖσα κἂν μὴ τῷ δεινῷ περιπέσῃ, ἀλλὰ τῇ τοῦ δεινοῦ προσδοκίᾳ περιπεσεῖται. Οὐ γάρ ἐστι τὴν ἀνδρὶ μέλλουσαν ὁμιλεῖν μὴ μετὰ τῆς ὁμιλίας πάντα ἀναλογίζεσθαι καὶ δεδοικέναι τὰ δεινά. Ἡ δὲ παρθένος οὐ μόνον τῶν δυσχερῶν πραγμάτων ἀλλὰ καὶ τῆς ὑποψίας ἀπήλλακται. Οὐ πρόσεστι τοῦτο πᾶσι τοῖς γάμοις. Οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι, ἀλλ' ἐὰν τοῦτο μὴ προσῇ, πολλὰ ἕτερα πρόσεστι, κἂν ἐκεῖνά τις διαφύγῃ, πάντα ἁπλῶς διαφυγεῖν οὐ δυνήσεται. Ἀλλ' ὥσπερ ἐπὶ τῶν ἀκανθῶν τῶν τοῖς ἱματίοις προσπηγνυμένων ἐν τῷ τὰς αἱμασιὰς διαβαίνειν, ὅταν ἐπιστραφῇ τις τὴν μίαν ἐξελεῖν, ἑτέραις κατέχεται πλείοσιν, οὕτω καὶ ἐπὶ τῶν τοῦ γάμου πραγμάτων, ὁ τοῦτο διαδρὰς ἐκείνῳ περιπείρεται πάλιν, καὶ ὁ τοῦτο διαδὺς ἄλλῳ προσέπταισε, καὶ ὅλως οὐκ ἔνι γάμον πάσης εὑρεῖν ἀηδίας ἐλεύθερον.

ἄνωθεν τιμωρίαν τὴν ἀφήνει εἰς τὴν κρίσιν τοῦ Θεοῦ. Ὅμως αὐτὸ δὲν εἶναι ἱκανὸν νὰ παρηγορήσῃ τὴν ἀθλίαν ἐκείνην ἀλλ᾽ εἶναι ἀναγκασμένη νὰ ὑπομένῃ ἕνα μιαρὸν καὶ ἐλεεινὸν θάνατον ἀπὸ τὰς μαγγανείας καὶ τὰς μαγείας διὰ φαρμάκων ποὺ τὰς κάμνουν αἱ πορνευόμεναι γυναῖκες. Ὑπάρχουν δὲ καὶ ἐκεῖναι ποὺ δὲν ἐχρειάσθησαν αὐτὰ τὰ ἀπατηλὰ μέσα, ἀλλά, κυριευθεῖσαι ἀπὸ σφοδρὰν λύπην, ἐτερμάτισαν τὴν ζωήν των. Ὥστε, καὶ ἂν ἀκόμη ὅλοι οἱ ἄνδρες ἔτρεχαν πρὸς τὸν γάμον, αἱ γυναῖκες δὲν ἔπρεπε νὰ τὸ ἐπιδιώκουν αὐτό. Διότι δὲν θὰ ἠμποροῦσαν νὰ εἰποῦν, ὅτι ἡ τυραννία τῆς ἐπιθυμίας εἶναι τόσον μεγάλη εἰς αὐτὰς καθ᾽ ὅτι αὐταὶ καρποῦνται τὸ μεγαλύτερον μέρος τῶν κακῶν ποὺ συνοδεύουν αὐτόν, ὅπως ἀκριβῶς βέβαια τὸ ἀπέδειξε καὶ ὁ λόγος.

8. Τί λοιπόν; λέγει· εἰς ὅλους τοὺς γάμους τὸ ἴδιο συμβαίνει; Ἀλλὰ δὲν ἀπουσιάζει ἀπὸ ὅλους, ἐνῷ εὑρίσκεται μακρυὰ ἀπὸ κάθε παρθενίαν. Καὶ ἡ μὲν ἔγγαμος καὶ ἂν ἀκόμη δὲν ὑποπέσῃ εἰς αὐτὸ τὸ κακόν, ὁπωσδήποτε ὅμως θὰ περιπέσῃ εἰς τὸ ν᾽ ἀναμένῃ τὸν ἐρχομὸν τοῦ κακοῦ. Διότι δὲν εἶναι δυνατὸν ἡ γυναῖκα, ποὺ πρόκειται νὰ ἔλθῃ εἰς γάμον, νὰ μὴ σκέπτεται μαζὶ μὲ τὸν γάμον καὶ νὰ φοβῆται ὅλα τὰ κακά. Ἡ παρθένος ὅμως εἶναι ἀπηλλαγμένη ὄχι μόνον ἀπὸ αὐτὰ τὰ δυσάρεστα γεγονότα ἀλλὰ καὶ ἀπὸ αὐτὴν τὴν ὑποψίαν ἀκόμη. Ἀλλὰ δὲν συμβαίνει αὐτὸ εἰς ὅλους τοὺς γάμους. Οὔτε ἐγὼ βέβαια ἰσχυρίζομαι αὐτό, ἀλλ᾽ ἐὰν αὐτὸ δὲν συμβαίνῃ, συμβαίνουν πολλὰ ἄλλα, καὶ ἂν τὰ ἀποφύγῃ κανεὶς ἐκεῖνα, δὲν θὰ ἠμπορέσῃ ὅμως νὰ τὰ ἀποφύγῃ ὅλα γενικῶς. Ἀλλ᾽ ὅπως ἀκριβῶς συμβαίνει μὲ τὰ ἀγκάθια, ποὺ καρφώνονται εἰς τὰ ἐνδύματα, ὅταν κανεὶς περνᾷ τοὺς φράκτας, πού, ὅταν γυρίσῃ νὰ βγάλῃ τὸ ἕνα, καρφώνονται πάρα πολλὰ ἄλλα, ἔτσι καὶ εἰς τὰ πράγματα τοῦ γάμου, αὐτὸς ποὺ θ᾽ ἀποφύγῃ αὐτό, θὰ περιπέσῃ εἰς ἄλλο, καὶ γενικὰ δὲν εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς γάμον ἀπηλλαγμένον τελείως ἀπὸ τὰ δυσάρεστα πράγματα.

νγ' Ὅτι τὸ ἀπὸ πλουσίων γαμεῖν οὐ ζηλωτὸν ἀλλὰ τοῦ ἀπὸ πενήτων χαλεπώτερον.

Ἀλλά, εἰ βούλει, τὰ δυσχερῆ τέως ἀφέντες τὸ δοκοῦν εἶναι ἐν αὐτῷ μακαριστὸν καὶ οὗ πολλοὶ πολλάκις, μᾶλλον δὲ πάντες εὔχονται ἐπιτυχεῖν, τοῦτο ἀγαγόντες εἰς μέσον ἐξετάσωμεν νῦν. Τί δὴ τοῦτό ἐστιν; Τὸ πένητα ὄντα καὶ εὐτελῆ καὶ ταπεινὸν ἀπὸ μεγάλων καὶ δυνατῶν καὶ πολλὰ χρήματα κεκτημένων γυναῖκα λαβεῖν. Ἀλλὰ τοῦτο τὸ ζηλωτὸν ἐκείνου τοῦ ἀπευκτοῦ οὐκ ἐλάττους εὑρήσομεν ἔχον συμφοράς. Ἔστι μὲν γὰρ καὶ ἄλλως τὸ τῶν γυναικῶν γένος ὑπεροπτικὸν καὶ ἀσθενέστερον, διὸ καὶ μᾶλλον ὑπὸ τοῦ πάθους ἁλίσκεται, ὅταν δὲ καὶ ἀφορμὰς ἔχῃ τὰς ὑπεροψίας πολλάς, οὐδέν ἐστι τὸ κατέχον αὐτάς. Ἀλλ' ὥσπερ ὕλης τινὸς λαβομένη φλὸξ οὕτως εἰς ὕψος ἄφατον αἴρονται καὶ τὴν τάξιν ἀντιστρέφουσι καὶ πάντα ἄνω καὶ κάτω ποιοῦσιν. Οὐ γὰρ ἀφίησιν ἐν τῇ τῆς κεφαλῆς χώρᾳ μένειν τὸν ἄνδρα ἡ γυνή, ἀλλ' ὑπὸ φρονήματος καὶ ἀπονοίας ἀπωσαμένη τῆς τάξεως αὐτὸν ἐκείνης καὶ εἰς τὴν αὐτῇ προσήκουσαν ἄγουσα τὴν τῆς ὑποταγῆς, αὐτὴ γίνεται κεφαλὴ καὶ ἀρχή. Τί οὖν ταύτης τῆς ἀνωμαλίας χεῖρον γένοιτ' ἄν; Καὶ σιωπῶ τὰ ὀνείδη, τὰς ὕβρεις, τὰς ἀηδίας, ἃ πάντων ἐστὶν ἀφορητότερα.

νδ' Ὅτι, κἂν δυνηθῇ τις τὴν πλουτοῦσαν ὑποτάξαι γυναῖκα, μείζων ἡ ἀηδία.

Εἰ δὲ λέγοι τις - καὶ γὰρ πολλῶν ἤκουσε λεγόντων ἐγώ, ὅταν τοιοῦτοι γίνωνται λόγοι - πλουτείτω μόνον καὶ εὔπορος ἔστω καὶ οὐδὲν ἔργον ἐστὶ κατενεγκεῖν αὐτῆς καὶ ταπεινῶσαι

νγ' Περὶ τοῦ ὅτι δὲν εἶναι ἀξιοζήλευτον ἡ σύναψις πλουσίου γάμου, ἀλλὰ φοβερώτερον ἀπὸ ἕνα πτωχὸν γάμον.

Ἀλλά, ἐὰν θέλῃς, ἄς ἀφήσωμεν τὰ δυσάρεστα καὶ ἄς ἔλθωμεν νὰ ἐξετάσωμεν τώρα αὐτὸ ποὺ θεωρεῖται ἀξιομακάριστον καὶ τὸ ὁποῖον πολλάκις οἱ πιὸ πολλοί, μᾶλλον δὲ ὅλοι, εὔχονται νὰ ἐπιτύχουν. Ποῖο λοιπὸν εἶναι αὐτό; Τὸ νὰ πάρῃ κανεὶς γυναῖκα, ἐνῷ εἶναι πτωχὸς καὶ ταπεινῆς καταγωγῆς, ἀπὸ μεγάλην, δυνατὴν καὶ πλουσίαν οἰκογένειαν. Ἀλλ' αὐτὸ τὸ ἀξιοζήλευτον θὰ εὕρωμεν νὰ ἔχῃ ὄχι ὀλιγοτέρας συμφορὰς ἀπὸ τὸ ἀντίθετον ποὺ δὲν τὸ ἐπιθυμοῦν. Πράγματι τὸ φῦλον τῶν γυναικῶν εἶναι καὶ ἄλλως ὑπεροπτικὸν καὶ ἀσθενέστερον, διὰ τοῦτο καὶ περισσότερον κυριεύεται ἀπὸ τὸ πάθος αὐτό, ὅταν ὅμως ἔχῃ καὶ πολλὰς ἀφορμὰς ὑπεροψίας, τίποτε δὲν ἠμπορεῖ νὰ τὰς συγκρατήσῃ. Ἀλλ' ὅπως ἀκριβῶς ἡ φλόγα κατακαίει ἕνα σωρὸν ξύλων, ἔτσι καὶ αὐταὶ κυριεύονται ἀπὸ ἀπερίγραπτον ἔξαρσιν καὶ ἀνατρέπουν τὴν τάξιν καὶ τὰ κάνουν ὅλα ἄνω κάτω. Διότι δὲν ἀφήνει ἡ γυναῖκα τὸν ἄνδρα νὰ μένῃ εἰς τὴν θέσιν τῆς κεφαλῆς, ἀλλὰ ἀπὸ ὑπερηφάνειαν καὶ ἀλαζονείαν ἀπομακρύνουσα αὐτὸν ἀπὸ τὴν θέσιν ἐκείνην καὶ ὁδηγοῦσα αὐτὸν εἰς τὴν θέσιν τῆς ὑποταγῆς, ποὺ ἁρμόζει εἰς αὐτήν, γίνεται αὐτὴ κεφαλὴ καὶ ἐξουσιαστής. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν ἀνωμαλίαν; Καὶ ἀποσιωπῶ τοὺς χλευασμούς, τὰς ὕβρεις καὶ τὰς ἀηδίας ποὺ εἶναι πιὸ ἀφόρητα ἀπὸ ὅλα.

νδ' Περὶ τοῦ ὅτι καὶ ἂν ἀκόμη ἠμπορέσῃ κάποιος νὰ ὑποτάξῃ τὴν πλουσίαν γυναῖκα, ἡ ἀηδία πάλιν εἶναι μεγαλυτέρα.

Ἐν ὅμως ἤθελεν εἰπεῖ κάποιος — καθ' ὅσον ἤκουσα πολλοὺς νὰ λέγουν ὅταν γίνωνται τέτοιου εἴδους συζητήσεις —· "Ἂς πλουτήσῃ μόνον καὶ ἄς γίνῃ πλούσιος καὶ

τὸ φρόνημα. Εἴ τις οὖν ταῦτα λέγοι, πρῶτον μὲν ἀγνοεῖ ὅτι τῶν σφόδρα δυσκόλων ἐστίν. Ἔπειτα ὅτι κἂν γένοιτο, οὐ μικρὰν ἔχει τὴν ζημίαν. Τὸ γὰρ ἀνάγκῃ καὶ δεδοικυῖαν καὶ μετὰ βίας ὑποτετάχθαι τῷ ἀνδρὶ τοῦ μετὰ πάσης ἐξουσίας ἐπιτάττειν αὐτῷ βαρύτερον ἔσται καὶ ἀηδέστερον. Τί δήποτε; Ὅτι πᾶσαν ἐκβάλλει φιλίαν καὶ ἡδονὴν αὕτη ἡ βία· φιλίας δὲ οὐκ οὔσης οὐδὲ πόθου, ἀλλ' ἀντὶ τούτων φόβου καὶ ἀνάγκης, τίνος ὁ τοιοῦτος ἄξιος ἔσται γάμος λοιπόν;

νε΄ Ὅτε ἀφόρητον κακὸν πλουσιώτερον ἄνδρα λαβεῖν.

Καὶ ταῦτα μὲν ὅταν ἡ γυνὴ εὔπορος ᾖ. Εἰ δὲ συμβαίη ταύτην μὲν μηδὲν ἔχειν, τὸν δὲ ἄνδρα πλουτεῖν, θεράπαινα μὲν ἀντὶ γαμετῆς καὶ ἀντ' ἐλευθέρας γίνεται δούλη, καὶ τὴν αὐτῇ προσήκουσαν παρρησίαν ἀπολέσασα, τῶν ἀργυρωνήτων οὐδὲν ἄμεινον διακείσεται, ἀλλὰ κἂν ἀσελγαίνειν κἂν παροινεῖν ἐκεῖνος ἐθέλῃ κἂν ἀγαγεῖν ἐπ' αὐτὴν τὴν ἐκείνης εὐνὴν ἑταιριζομένων πλῆθος γυναικῶν, πάντα φέρειν ἀνάγκη καὶ ἀσμενίζειν ἢ τῆς οἰκίας ἐκπεσεῖν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι τἀνδρὸς οὕτω διακειμένου οὔτε οἰκέταις οὔτε θεραπαινίσι μετ' ἐλευθερίας ἐπιτάττειν δυνήσεται, ἀλλ' ὥσπερ ἐν ἀλλοτρίοις ζῶσα καὶ τῶν οὐ προσηκόντων ἀπολαύουσα καὶ δεσπότῃ μᾶλλον ἢ ἀνδρὶ συνοικοῦσα οὕτω καὶ πράττειν καὶ πάσχειν ἅπαντα ἀναγκάζεται. Εἰ δὲ καὶ ἐξ ὁμοίων τις θέλοι γαμεῖν, πάλιν τῷ τῆς ὑποταγῆς νόμῳ τὰ τῆς ὁμοτιμίας λυμαίνεται, τοῦ τῆς οὐσίας μέτρου πείθοντος αὐτὴν ἐξισοῦσθαι τῷ ἀνδρί. Τί οὖν ἄν τις ποιήσειε τοσαύτης δυσκο-

δὲν εἶναι καθόλου δύσκολον νὰ λυγίση καὶ νὰ ταπεινώση τὸ φρόνημά της'. Ἐὰν λοιπὸν κάποιος τὰ λέγῃ αὐτά, κατὰ πρῶτον μὲν ἀγνοεῖ ὅτι αὐτὸ εἶναι ἀπὸ τὰ πάρα πολὺ δύσκολα. Ἔπειτα καὶ ἂν ἀκόμη συμβῆ, δὲν εἶναι μικρὰ ἡ ζημία ποὺ ἔχει. Διότι εἶναι πιὸ ἀνυπόφορον καὶ ἀηδέστερον τὸ νὰ ὑποτάσσῃ αὐτὴν μὲ ἐξαναγκασμὸν καὶ φόβον καὶ βίαν, ἀπὸ τὸ νὰ ἐξουσιάζῃ αὐτὸν μὲ ὅλην τὴν ἐξουσίαν. Καὶ διατί τέλος πάντων; Διότι ἐξαφανίζει κάθε ἴχνος ἀγάπης καὶ ἡδονῆς αὐτὴ ἡ βία· ἐὰν δὲ δὲν ὑπάρχῃ ἀγάπη, οὔτε πόθος, ἀλλ' ἀντὶ αὐτῶν ὑπάρχῃ φόβος καὶ ἐξαναγκασμός, ποίαν ἀξίαν πλέον ἠμπορεῖ νὰ ἔχῃ ἕνας τέτοιος γάμος;

νε' Περὶ τοῦ ὅτι εἶναι ἀνυπόφορον κακὸν ἐὰν πάρῃ κάποια πλουσιώτερον ἄνδρα.

Καὶ αὐτὰ μὲν ὅταν ἡ γυναῖκα εἶναι πλουσία. Ἐὰν ὅμως ἤθελε συμβῆ αὐτὴ μὲν νὰ μὴ ἔχῃ τίποτε, ὁ δὲ ἄνδρας νὰ εἶναι πλούσιος, γίνεται τότε ὑπηρέτρια, ἀντὶ σύζυγος, καὶ δούλη, ἀντὶ ἐλευθέρα, καὶ ἀφοῦ χάσῃ τὴν πρέπουσαν ἐλευθερίαν της, δὲν θὰ εἶναι καλύτερον ἀπὸ τὰς ἀγοραζομένας γυναῖκας, ἀλλὰ καὶ ἂν ἀκόμη ἐκεῖνος θέλῃ νὰ διαπράττῃ ἀσελγείας, καὶ ἂν ἀκόμη θέλῃ νὰ πίνῃ καὶ νὰ ὁδηγήσῃ εἰς τὴν ἰδίαν τὴν συζυγικὴν κλίνην ἄπειρον πλῆθος ἀπὸ ἑταίρας, εἶναι ἀναγκασμένη νὰ τὰ ὑποφέρῃ ὅλα καὶ νὰ τὰ δέχεται εὐχαρίστως, ἢ νὰ φύγῃ ἀπὸ τὴν οἰκίαν. Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ κακόν, ἀλλ' ὅταν ὁ ἄνδρας συμπεριφέρεται ἔτσι πρὸς τὴν γυναῖκα του δὲν θὰ ἠμπορέσῃ νὰ διατάσσῃ μὲ ἐξουσίαν οὔτε τοὺς ὑπηρέτας οὔτε τὰς ὑπηρετρίας, ἀλλ' ὡσὰν ἀκριβῶς νὰ ζῇ εἰς ξένον περιβάλλον καὶ χωρὶς ν' ἀπολαμβάνῃ τὰ πρέποντα καὶ νὰ συγκατοικῇ μὲ κύριον μᾶλλον παρὰ μὲ σύζυγον, ἔτσι εἶναι ἀναγκασμένη νὰ ἐνεργῇ καὶ νὰ τὰ ὑποφέρῃ ὅλα. Ἐὰν ὅμως ἤθελε κάποιος συνάψει γάμον μὲ γυναῖκα τῆς αὐτῆς τάξεως, πάλιν καταστρέφονται τὰ τῆς ἰσοτιμίας ἀπὸ τὸν νόμον τῆς ὑποταγῆς, διότι τὴν ἀναγκάζει, τὸ γεγονὸς ὅτι ἔχει τὴν αὐτὴν περιουσίαν, νὰ ἐξισώνεται μὲ τὸν ἄνδρα. Τί λοιπὸν

λίας πανταχοῦ οὔσης; Μὴ γάρ μοι, εἴ που σφόδρα ὀλίγοι καὶ εὐαρίθμητοι ταῦτα διέφυγον γάμοι, τούτους εἰς μέσον ἀγάγῃς· οὐ γὰρ ἀπὸ τῶν σπανιζόντων, ἀλλ' ἀπὸ τῶν ἀεὶ συμβαινόντων χαρακτηρίζειν τὰ πράγματα προσῆκεν.

νς' Ὅτι πολλὰς ἔχει λύπης ἀνάγκας ἡ γαμηθεῖσα.

1. Ἐπὶ μὲν γὰρ τῆς παρθενίας δύσκολον ταῦτα γενέσθαι, μᾶλλον δὲ ἀδύνατον, ἐπὶ δὲ τῶν γάμων δύσκολον μὴ γενέσθαι. Εἰ δὲ ἐπὶ τοῖς δοκοῦσιν εἶναι χρηστοῖς τοσαῦτα τίκτονται ἀηδίαι καὶ συμφοραί, τί ἄν τις ἐπὶ τοῖς ὡμολογημένοις εἴποι λυπηροῖς; Οὐ γὰρ ὑπὲρ ἑνὸς δέδοικε θανάτου μόνον, καίτοι γε ἅπαξ μέλλουσα ἀποθανεῖσθαι, οὐδὲ ὑπὲρ μιᾶς φροντίζει ψυχῆς, μίαν ἔχουσα μόνην, ἀλλὰ τρέμει μὲν ὑπὲρ ἀνδρός, τρέμει δὲ ὑπὲρ παίδων, τρέμει δὲ ὑπὲρ τῶν ἐκείνοις προσηκόντων γυναικῶν πάλιν καὶ παίδων, καὶ ὅσῳπερ ἂν εἰς πλείονας ἐκτείνηται κλάδους ἡ ῥίζα, τοσούτῳ πλεονάζει καὶ τὰ τῶν φροντίδων αὐτῇ, καὶ καθ' ἕκαστον τούτων εἴτε ζημία χρημάτων, εἴτε σώματος ἀρρωστία, εἴτε ἕτερόν τι συμβαίη τῶν ἀβουλήτων, ἀνάγκη κόπτεσθαι καὶ θρηνεῖν τῶν πασχόντων οὐχ ἧττον αὐτῶν. Κἂν μὲν προαπέλθωσιν ἅπαντες ἀφόρητον τὸ πένθος, ἂν δὲ οἱ μὲν μένωσιν, οἱ δὲ ἀώροις ἀπενεχθῶσι θανάτοις, οὐδὲ οὕτως καθαρὰν εὕροι τις ἂν παραμυθίαν.

2. Ὁ γὰρ ὑπὲρ τῶν ζώντων ἀεὶ φόβος κατασείων τὴν ψυχὴν οὐκ ἐλάττων τῆς ἐπὶ τοῖς τετελευτηκόσι γίνεται λύπης, ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, χαλεπώτερος. Τὴν μὲν γὰρ ἐπὶ τοῖς κειμένοις ἀθυμίαν ὁ χρόνος ἐμάλαξε, τὰς

θὰ ἠμποροῦσε νὰ κάνῃ κανεὶς τὴν στιγμὴν ποὺ ὑπάρχει παντοῦ τόση δυσκολία; Μὴ βέβαια μοῦ προβάλῃς τὸ ὅτι πάρα πολλοὶ ὀλίγοι γάμοι καὶ δακτυλομετρούμενοι διέφυγον ὅλα αὐτά· διότι ἁρμόζει νὰ κρίνωμεν τὰ πράγματα ὄχι ἀπὸ αὐτὰ ποὺ συμβαίνουν σπάνια, ἀλλὰ ἀπὸ αὐτὰ ποὺ συμβαίνουν πάντοτε.

νς΄ Περὶ τοῦ ὅτι ἡ ἔγγαμος ἔχει πολλὰς ἀφορὰς λύπης.

1. Εἰς τὴν μὲν παρθενίαν λοιπὸν εἶναι δύσκολον αὐτὰ νὰ συμβαίνουν, μᾶλλον δὲ ἀδύνατον, εἰς δὲ τοὺς γάμους εἶναι δύσκολον νὰ μὴ συμβαίνουν. Ἐὰν ὅμως εἰς αὐτὰ ποὺ θεωροῦνται καλὰ γεννῶνται τόσαι ἀηδίαι καὶ συμφοραί, τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς δι' αὐτὰ ποὺ ὁμολογουμένως εἶναι δυσάρεστα; Διότι δὲν φοβεῖται μόνον δι' ἕνα θάνατον ἂν καὶ μίαν φορὰν πρόκειται ν' ἀποθάνῃ, οὔτε φροντίζει διὰ μίαν μόνον ψυχήν, ἂν καὶ ἔχει μίαν μόνην, ἀλλὰ τρέμει μὲν διὰ τὸν ἄνδρα της, τρέμει δὲ διὰ τὰ παιδιά της, τρέμει καὶ διὰ τὰς γυναῖκας καὶ τὰ παιδιὰ τῶν παιδιῶν της, καὶ εἰς ὅσον περισσοτέρους κλάδους ἐπεκτείνεται ἡ ρίζα, τόσον περισσότερον αὐξάνουν καὶ αἱ φροντίδες της καὶ διὰ τὸ καθένα ἀπὸ αὐτά, εἴτε πρόκειται διὰ χρηματικὴν ζημίαν, εἴτε διὰ σωματικὴν ἀσθένειαν, εἴτε ἤθελε συμβῇ κάποιο ἄλλο ἀπὸ τὰ ἀνεπιθύμητα, εἶναι ἀναγκασμένη νὰ κλαίῃ καὶ νὰ θρηνῇ αὐτὰ ὄχι ὀλιγώτερον ἀπὸ τοὺς ἰδίους τοὺς πάσχοντας. Καὶ ἂν μὲν ἀποθάνουν πρὶν ἀπὸ αὐτὴν ὅλοι εἶναι ἀνυπόφορον τὸ πένθος, ἂν δὲ ἄλλοι μὲν ζοῦν, ἄλλοι δὲ ἀπέθανον πρόωρα, οὔτε ἔτσι θὰ ἠμποροῦσε νὰ εὕρῃ κανεὶς καθαρὰν παρηγορίαν.

2. Ὁ φόβος λοιπὸν ὑπὲρ τῶν ζώντων ποὺ κατασείει συνεχῶς τὴν ψυχὴν δὲν εἶναι μικρότερος ἀπὸ τὴν λύπην διὰ τοὺς ἀποθανόντας, μάλιστα δέ, ἐὰν πρέπει νὰ εἰποῦμεν καὶ κάτι τὸ θαυμαστόν, εἶναι φοβερώτερος. Διότι τὴν μὲν λύπην διὰ τοὺς ἀποθανόντας τὴν μαλακώνει ὁ χρόνος, τὰς φροντίδας ὅμως διὰ τοὺς ζῶντας ἢ εἶναι ἀνάγκη νὰ ὑπάρ-

δὲ ὑπὲρ τῶν ζώντων φροντίδας ἢ μένειν ἀνάγκη διὰ παντὸς ἢ θανάτῳ παύσασθαι μόνῳ. Εἰ δὲ τοῖς οἰκείοις οὐκ ἀρκοῦμεν πάθεσι, ποῖον βιωσόμεθα βίον τὰς ἑτέρων πενθεῖν ἀναγκαζόμενοι συμφοράς; Πολλαὶ πολλάκις ἐγένοντο γονέων λαμπρῶν, ἀνετράφησαν μετὰ πολλῆς τῆς τρυφῆς, ἐξεδόθησάν τινι τῶν μεγάλα δυναμένων ἀνδρῶν, εἶτα ἐξαίφνης πρὶν ἐπὶ τούτοις μακαρισθῆναι, κινδύνου τινὸς καθάπερ καταιγίδος ἢ πνεύματος προσπεσόντος, κατέδυσαν καὶ αὗται καὶ τῶν τοῦ ναυαγίου συμμετέσχον δεινῶν καὶ μυρίων πρὸ τοῦ γάμου καλῶν ἀπολαύουσαι πρὸς τὴν ἐσχάτην ἀπὸ τοῦ γάμου κατέπεσον συμφοράν. Ἀλλ' οὐδὲ ταῦτα, φησί, πᾶσιν οὐδὲ ἀεὶ συμπίπτειν εἴωθεν. Ἀλλ' οὐδὲ πάντων κεχώρισται - καὶ γὰρ κἀγὼ τὸ αὐτὸ πάλιν ἐρῶ -, ὅτι τοῖς μὲν τοιαῦτα καὶ διὰ τῆς πείρας ἐπῆλθεν, ὅσοι δὲ τὴν πεῖραν διέφυγον, τούτους διὰ τῆς προσδοκίας ἠνίασε. Παρθένος δὲ πᾶσα καὶ τῆς πείρας καὶ τῆς προσδοκίας ἕστηκεν ἀνωτέρω.

νζ' Περὶ τῶν παντὶ γάμῳ προσόντων λυπηρῶν.

1. Πλὴν ἀλλ' εἰ δοκεῖ ἐκεῖνα ἀφέντες, ἃ συγκεκλήρωται φύσει τῷ γάμῳ καὶ ἅπερ οὐδεὶς ἂν οὔτε ἑκὼν οὔτε ἄκων διαφύγοι, ταῦτα ἐπισκεψώμεθα νῦν. Τίνα οὖν ἐστι ταῦτα; Ὠδῖνες καὶ τόκοι καὶ παιδία. Μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν καὶ τὰ πρὸ τοῦ γάμου καταμάθωμεν ὡς δυνατόν. Μετὰ ἀκριβείας γὰρ οἱ παθόντες ἴσασι μόνοι. Ἐπέστη τῆς μνηστείας ὁ καιρός, καὶ φροντίδες εὐθέως ἐπάλληλοι καὶ ποικίλαι, τίνα ἄρα λήψεται ἄνδρα, μὴ δυσγενῆ, μὴ τῶν ἀτίμων τινά, μὴ αὐθάδη, μὴ ἀπατεῶνα, μὴ ἀλαζόνα, μὴ θρασύν,

χουν ἐφ' ὅρῳ ζωῆς, ἢ μόνον μὲ τὸν θάνατον νὰ παύσουν. Ἐὰν δὲ δὲν ἐπαρκοῦμεν διὰ τὰς ἰδικάς μας συμφοράς, ποία θὰ εἶναι ἡ ζωή μας, ὅταν εἴμεθα ἀναγκασμένοι νὰ πενθοῦμεν τὰς συμφορὰς τῶν ἄλλων; Πολλὰς φορὰς πολλαὶ γυναῖκες, καταγόμεναι ἀπὸ ἐνδόξους γονεῖς καὶ ἀναστραφεῖσαι μέσα εἰς πολλὴν χλιδήν, ὑπανδρεύθησαν μὲ κάποιον ἐκ τῶν μεγάλων ἀνδρῶν, ἔπειτα ὅμως τελείως ξαφνικὰ καὶ πρὶν μακαρισθοῦν δι' αὐτὰ ἐξ αἰτίας κάποιου κινδύνου ποὺ ἐπέπεσεν ὡσὰν καταιγὶς ἢ ἀνεμοστρόβιλος κατεβυθίσθησαν καὶ αὐταί, ἀφοῦ ἔλαβον μέρος εἰς τὰ δεινὰ τοῦ ναυαγίου, καὶ ἂν καὶ ἀπήλαυσαν πρὸ τοῦ γάμου των μυρίων ἀγαθῶν, περιέπεσον εἰς τὴν πιὸ φοβερὰν συμφορὰν ἀπὸ τὴν στιγμὴν ποὺ ὑπανδρεύθησαν. Ἀλλ' συνήθως οὔτε αὐτά, λέγει, συμβαίνουν εἰς ὅλους, οὔτε συμβαίνουν πάντοτε. Ἀλλ' οὔτε καὶ λείπουν ἀπὸ ὅλους — καθ' ὅσον καὶ ἐγὼ θὰ εἰπῶ καὶ πάλιν τὸ ἴδιο —, διότι ἄλλοι μὲν ἐδοκίμασαν αὐτὰ προσωπικά, ὅσοι δὲ διέφυγον τὴν πεῖραν αὐτοὺς τοὺς ἐλύπει τὸ γεγονὸς μήπως τοὺς συμβοῦν. Ἡ κάθε παρθένος ὅμως εὑρίσκεται μακρυὰ καὶ ἀπὸ τὴν πεῖραν καὶ ἀπὸ τὴν προσδοκίαν.

νζ' Περὶ τῶν δυσαρέστων ποὺ συμβαίνουν εἰς κάθε γάμον.

1. Πλὴν ὅμως, ἐὰν θεωρῆτε σκόπιμον, ἀφοῦ ἀφήσωμεν ἐκεῖνα ποὺ ἐκ φύσεως συνδέονται μὲ τὸν γάμον καὶ τὰ ὁποῖα κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ διαφύγῃ εἴτε τὸ θέλει εἴτε ὄχι, ἂς ἐξετάσωμεν τώρα αὐτά. Ποῖα λοιπὸν εἶναι αὐτά; Ὠδῖνες καὶ τόκοι καὶ παιδιά. Μᾶλλον δὲ ἂς φέρωμεν τὸν λόγον ἐνωρίτερα καὶ ἂς ἐξετάσωμεν ὅσον εἶναι δυνατὸν τὰ πρὸ τοῦ γάμου. Διότι μὲ ἀκρίβειαν τὰ γνωρίζουν μόνον οἱ παθόντες. Ἔφθασεν ὁ καιρὸς τῆς μνηστείας καὶ ἀμέσως ἀρχίζουν αἱ ἀλληπάλληλοι καὶ ποικίλαι φροντίδες, ποῖον δηλαδὴ ἄνδρα θὰ πάρῃ, μήπως θὰ εἶναι ταπεινῆς καταγωγῆς, μήπως κάποιος ἀπὸ τοὺς ἀσήμους, μήπως αὐθάδης, μήπως ἀπατεών, μήπως ἀλαζών, μήπως θρασύς,

μὴ ζηλότυπον, μὴ σμικρολόγον τινά, μὴ εὐήθη, μὴ πονηρόν, μὴ σκληρόν, μὴ ἄνανδρον. Ταῦτα γὰρ ἅπαντα συμβαίνειν μὲν οὐκ ἀνάγκη ταῖς γαμουμέναις ἁπάσαις, μεριμνᾶν δὲ ἀνάγκη καὶ φροντίζειν ἅπαντα. Οὔπω γὰρ ὄντος τοῦ κληρωθησομένου δήλου, ἀλλ' ἔτι τῆς ἐλπίδος μετεώρου μενούσης πάντα ἡ ψυχὴ δέδοικε καὶ τρέμει καὶ οὐδέν ἐστιν ὅπερ οὐ λογίζεται τούτων. Εἰ δὲ λέγοι τις ὅτι καὶ τὰ ἐναντία προσδοκῶσα εὐφραίνεσθαι δύναιτ' ἄν, εὖ ἴστω, ὅτι οὐχ οὕτως ἡμᾶς αἱ τῶν ἀγαθῶν ἐλπίδες παραμυθοῦνται, ὡς αἱ τῶν πονηρῶν προσδοκίαι λυποῦσι. Τὰ μὲν γὰρ ἀγαθὰ ὅταν ἐλπισθῇ βεβαίως, τότε μόνον τίκτει τὴν ἡδονήν, τὰ κακὰ δὲ κἂν ὑποπτευθῇ μόνον, εὐθέως συνέχεε καὶ συνετάραξε τὴν ψυχήν.

2. Ὥσπερ δὲ ἐπὶ τῶν ἀνδραπόδων ἢ τῶν ἐσομένων ἀδηλία δεσποτῶν οὐκ ἀφίησιν ἠρεμῆσαι τὴν ἐκείνων ψυχήν, οὕτως καὶ ἐπὶ τῶν παρθένων πάντα τὸν ἀπὸ τῆς μνηστείας καιρὸν χειμαζομένῳ πλοίῳ προσέοικεν αὐτῶν ἡ ψυχή, καθ' ἑκάστην ἡμέραν τῶν γονέων τοὺς μὲν ἐγκρινόντων, τοὺς δὲ ἐκβαλλόντων. Τὸν γὰρ νικήσαντα χθὲς τῶν μνηστήρων σήμερον παρευδοκίμησεν ἕτερος καὶ τοῦτον πάλιν ἐξέβαλλεν ἄλλος. Ἔστι δὲ ὅτε καὶ πρὸς αὐταῖς τοῦ γάμου ταῖς θύραις ὁ μὲν προσδοκηθεὶς νυμφίος κεναῖς ἀπήλλακται χερσί, τῷ δὲ μὴ ἐλπισθέντι τὴν κόρην παρέδωκαν οἱ γονεῖς. Οὐ γυναῖκες δὲ μόνον ἀλλὰ καὶ ἄνδρες χαλεπὰς ἔχουσι τὰς φροντίδας. Τούτους μὲν γὰρ καὶ πολυπραγμονεῖν ἔνεστι, τὴν δὲ ἔνδον συγκεκλεισμένην διὰ παντὸς πῶς ἄν τις περιεργάσαιτο ἢ τρόπων ἕνεκεν ἢ μορφῆς; Καὶ ταῦτα μὲν κατὰ τὸν τῆς μνηστείας καιρόν, ὅταν δὲ ὁ τοῦ γάμου παραγένηται, ἐπιδίδωσιν ἡ ἀγωνία καὶ τῆς ἡδονῆς πλείων ὁ φόβος, μήποτε ἀπ' αὐτῆς τῆς ἑσπέρας ἀηδής τις εἶναι δόξῃ καὶ τῆς προσδοκίας

μήπως ζηλιάρης, μήπως κάποιος μικροπρεπής, μήπως μωρός, μήπως πονηρός, μήπως σκληρός, μήπως ἄνανδρος. Ὅλα αὐτὰ βέβαια δὲν εἶναι ὑποχρεωτικὸν νὰ συμβαίνουν εἰς ὅλας τὰς ἐγγάμους γυναῖκας, εἶναι ὅμως ὑποχρεωμέναι νὰ φροντίζουν δι' ὅλα. Διότι δὲν εἶναι βέβαια ἀκόμη φανερὸν ποῖος θὰ τῆς κληρωθῇ, ἀλλ' ἐνῷ μένει ἀβεβαία ἡ ἐλπίς, φοβεῖται καὶ τρέμει ἡ ψυχὴ τὰ πάντα καὶ δὲν ὑπάρχει κανένα ἀπὸ αὐτὰ ποὺ νὰ μὴ τὸ σκέπτεται. Ἐὰν ὅμως ἤθελεν εἰπεῖ κάποιος, ὅτι θὰ ἠμποροῦσε νὰ εὐφραίνεται προσμένουσα τὰ ἀντίθετα, ἂς γνωρίζῃ καλά, ὅτι δὲν μᾶς παρηγοροῦν τόσον αἱ ἐλπίδες τῶν ἀγαθῶν, ὅσον μᾶς λυποῦν τὰ ἀναμενόμενα κακά. Διότι τὰ μὲν ἀγαθὰ τότε μόνον προξενοῦν τὴν ἡδονήν, ὅταν ἐλπίζωνται μὲ βεβαιότητα, ἐνῷ τὰ κακὰ καὶ μόνον νὰ τὰ σκεφθῇ κανείς, ἀμέσως συγχέουν καὶ συνταράσσουν τὴν ψυχήν.

2. Ὅπως ἀκριβῶς δὲ συμβαίνει μὲ τοὺς δούλους ποὺ τὸ ἀβέβαιον τῶν μελλοντικῶν κυρίων των δὲν ἀφήνει τὴν ψυχήν των νὰ ἠρεμήσῃ, ἔτσι συμβαίνει καὶ μὲ τὰς παρθένους, τῶν ὁποίων ἡ ψυχὴ καθ' ὅλον τὸν χρόνον τῆς μνηστείας ὁμοιάζει μὲ θαλασσοδερμένον πλοῖον, μὲ τοὺς γονεῖς των καθημερινῶς ἄλλους μὲν νὰ ἐγκρίνουν καὶ ἄλλους νὰ τοὺς διώχνουν. Διότι ἀπὸ τοὺς μνηστῆρας ἐκεῖνον ποὺ ἐνίκησε χθὲς σήμερον τὸν ὑπερέβαλεν ἄλλος καὶ αὐτὸν πάλιν τὸν ὑπερέβαλεν ἄλλος. Μάλιστα δὲ συνέβη καὶ πρὸ τῶν θυρῶν τοῦ γάμου, αὐτὸς ποὺ ἤλπισε νὰ λάβῃ τὴν θέσιν τοῦ νυμφίου, νὰ φεύγῃ μὲ ἄδεια χέρια, οἱ δὲ γονεῖς παρέδωσαν τὴν κόρην εἰς ἐκεῖνον ποὺ δὲν ἤλπιζεν. Καὶ ὄχι μόνον αἱ γυναῖκες, ἀλλὰ καὶ οἱ ἄνδρες ἔχουν φοβερὰς φροντίδας. Διότι εἰς αὐτοὺς ὑπάρχει ἡ δυνατότης καὶ νὰ ἐξετάζουν τὴν ὑποψηφίαν, ἐνῷ τὴν κόρην, ποὺ εἶναι μέσα κλεισμένη συνεχῶς, πῶς θὰ ἠμποροῦσε κανεὶς νὰ ἐξετάσῃ τὸ χαρακτῆρα ἢ τὴν μορφήν της; Καὶ αὐτὰ μὲν κατὰ τὴν διάρκειαν τῆς μνηστείας, ὅταν ὅμως ἔλθῃ ὁ καιρὸς τοῦ γάμου αὐξάνει ἡ ἀγωνία καὶ ὁ φόβος εἶναι μεγαλύτερος ἀπὸ τὴν ἡδονήν, μὴ τυχὸν ἀπὸ τὴν πρώτην νύκτα φανῇ φορτικὴ καὶ πολὺ κατωτέρα ἀπὸ ὅ,τι ἀνεμένετο.

πολλῷ καταδεεστέρα. Τὸ μὲν γὰρ παρὰ τὴν ἀρχὴν εὐδοκιμήσασαν ὕστερον καταφρονηθῆναι φορητόν, ὅταν δὲ ἀπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς γραμμῆς φαίνηται προσκορής, πότε δυνήσεται θαυμασθῆναι λοιπόν;

3. Καὶ μή μοι τοῦτο εἴπῃς· τί δαὶ ἂν εὔμορφος οὖσα τύχῃ; Οὐδὲ γὰρ οὕτω ταύτης ἀπήλλακται τῆς φροντίδος. Πολλαὶ γοῦν διαλάμψασαι σφόδρα κατὰ τὴν τοῦ σώματος ὥραν οὐκ ἴσχυσαν ἄνδρας ἑλεῖν τοὺς αὐτῶν, ἀλλὰ ἀφέντες αὐτὰς ἐκεῖνοι, ταῖς σφόδρα λειπομέναις αὐτῶν ἐξέδωκαν ἑαυτούς. Καὶ ταύτης δὲ τῆς φροντίδος λυθείσης ἑτέρα πάλιν ἐπεισέρχεται· τὰς γὰρ ἀηδίας τὰς ἐν τῇ τῆς προικὸς καταβολῇ ὅ τε κηδεστὴς οὐ μετὰ προθυμίας ἀποδιδούς, ἅτε προῖκα κατατιθείς, ὅ τε νυμφίος πάντα μὲν ἀπολαβεῖν σπεύδων, τὴν δὲ εἴσπραξιν μετὰ αἰδοῦς ποιεῖσθαι ἀναγκαζόμενος, ἥ τε γυνὴ ἐν τῇ τῆς ἐκτίσεως ἀναβολῇ αἰσχυνομένη καὶ ἐρυθριῶσα τὸν ἄνδρα παντὸς μᾶλλον ἀγνώμονος ὀφειλέτου τυχοῦσα πατρὸς - παρίημι νῦν.

4. Ἀλλὰ γὰρ ἐκείνης τῆς φροντίδος λυθείσης ὁ τῆς ἀπαιδίας εὐθέως ἐπεισέρχεται φόβος καὶ πρὸς τούτῳ πάλιν ἡ τῆς πολυπαιδίας φροντὶς καὶ οὐδενὸς ὄντος τούτων οὐδέπω φανεροῦ ταῖς ἀμφοτέρων ἐξ ἀρχῆς ταράττονται φροντίσι. Κἂν μὲν εὐθέως κυήσῃ, μετὰ φόβου πάλιν ἡ χαρά· οὐδὲν γὰρ τῶν ἐν τῷ γάμῳ φόβου χωρίς. Ὁ δὲ φόβος, μήποτε γενομένης ἀμβλώσεως διαφθαρῇ μὲν τὸ συλληφθέν, κινδυνεύσει δὲ περὶ τῶν ἐσχάτων ἡ κύουσα. Ἂν δὲ πολὺς μεταξὺ γένηται χρόνος, ἀπαρρησίαστος ἡ γυνὴ ὥσπερ αὐτὴ κυρία οὖσα τοῦ τεκεῖν. Ὅταν δὲ ὁ τοῦ τόκου καιρὸς ἐπιστῇ διακόπτουσι μὲν καὶ διασπῶσι τὴν ἐπὶ τοσούτῳ χρόνῳ πονηθεῖσαν νηδὺν ὠδῖνες, αἳ καὶ μόναι ἱκαναὶ πάντα συσκιάσαι τὰ τοῦ γάμου χρηστά. Θορυβοῦσι δὲ αὐτὴν καὶ ἄλλαι μετὰ τούτων φροντίδες. Ἡ γὰρ ἀθλία καὶ ταλαίπωρος κόρη καίτοι

Διότι τὸ νὰ δημιουργήσῃ ἀπὸ τὴν ἀρχὴν καλὴν γνώμην καὶ ὕστερα νὰ καταφρονηθῇ εἶναι ὑποφερτόν, ὅταν ὅμως ἀπὸ τὴν πρώτην στιγμήν, ὅπως θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ, φαίνεται βαρετή, πότε πλέον θὰ ἠμπορέσῃ νὰ θαυμασθῇ;

3. Καὶ μὴ μοῦ εἰπῇς αὐτό· τί θὰ ἠμποροῦσε νὰ συμβῇ ἐὰν τύχῃ νὰ εἶναι εὔμορφος; Οὔτε βέβαια καὶ τότε εἶναι ἀπηλλαγμένη τῆς φροντίδος. Διότι πολλαὶ ποὺ διέλαμψαν πάρα πολὺ μὲ τὴν σωματικὴν ὡραιότητά των δὲν ἠμπόρεσαν νὰ κρατήσουν τοὺς ἄνδρας των, ἀλλ' ἐγκαταλείψαντες αὐτάς, παρέδωσαν τοὺς ἑαυτούς των εἰς ἄλλας κατὰ πολὺ ὑπολειπομένας αὐτῶν. Καὶ ὅταν τελειώσῃ καὶ αὐτὴ ἡ φροντίς, παρουσιάζεται καὶ πάλιν ἄλλη· τὰς ἀηδίας δὲ σχετικὰ μὲ τὴν καταβολὴν τῆς προικός, τὴν ὁποίαν ὁ μὲν πενθερὸς δὲν τὴν δίδει μὲ προθυμίαν καθ' ὅσον δωρεὰν τὴν δίδει, ὁ δὲ γαμβρὸς ἐνῷ ἀνυπομονεῖ νὰ τὰ λάβῃ ὅλα, ὅμως ἀναγκάζεται νὰ κάνῃ τὴν εἴσπραξιν μὲ ἐντροπήν· ἡ γυναῖκα πάλιν ἐπειδὴ ἀναβάλλεται ἡ καταβολὴ τῆς προικός, ἐντρέπεται καὶ κοκκινίζει ἐμπρὸς εἰς τὸν ἄνδρα της ποὺ ἔτυχε πατέρα δυσκολώτερον καὶ ἀπὸ τὸν πλέον ἀγνώμονα ὀφειλέτην, τὰς παραλείπω τώρα.

4. Μόλις ὅμως λήξῃ ἐκείνη ἡ φροντὶς ἐμφανίζεται ἀμέσως ὁ φόβος τῆς ἀτεκνίας καὶ μαζὶ μὲ αὐτὸ πάλιν ἡ φροντὶς τῆς πολυπαιδίας, καὶ ἐπειδὴ κανὲν ἀπὸ αὐτὰ δὲν εἶναι ποτὲ φανερόν, νοιώθει ἐξ ἀρχῆς ταραχὴν καὶ ἀπὸ τὰς δύο φροντίδας. Καὶ ἐὰν μὲν μείνῃ ἀμέσως ἔγκυος, πάλιν ἡ χαρὰ συνοδεύεται ἀπὸ φόβον· διότι τίποτε ἀπὸ τὰ τοῦ γάμου δὲν εἶναι χωρὶς φόβον. Ὁ δὲ φόβος εἶναι μήπως συμβῇ ἀποβολὴ καὶ τὸ μὲν συλληφθὲν ἀποθάνῃ, ἡ δὲ ἔγκυος διατρέξει τὸν ἔσχατον κίνδυνον. Ἂν δὲ μεσολαβήσῃ πολὺς χρόνος χάνει τὴν παρρησίαν της ἡ γυναῖκα, ὡσὰν νὰ ἐξαρτᾶται ἀπὸ αὐτὴν ὁ τοκετός. Ὅταν δὲ ἔλθῃ ἡ ὥρα τοῦ τοκετοῦ ξεσχίζουν καὶ συνταράσσουν τὴν ἐπὶ τόσον χρόνον καταπονηθεῖσαν κοιλίαν της οἱ πόνοι τοῦ τοκετοῦ, αὐτοὶ ποὺ καὶ μόνοι εἶναι ἱκανοὶ νὰ ἐπισκιάσουν ὅλα τὰ καλὰ τοῦ γάμου. Τὴν ἀνησυχοῦν δὲ μαζὶ μὲ αὐτὰ καὶ ἄλλαι φροντίδες. Διότι ἡ ἀθλία καὶ ταλαίπωρος ἐκείνη κό-

οὕτω σφοδρῶς ὑπὸ τῶν ἀλγηδόνων ἐκείνων κατατεινομένη, δέδοικε τούτων οὐχ ἧττον, μήποτε λελωβημένον καὶ ἀνάπηρον ἀντὶ ἀρτίου καὶ ὑγιοῦς προέλθῃ, μήποτε ἀντὶ ἄρρενος θῆλυ. Καὶ γὰρ καὶ αὕτη οὐχ ἧττον αὐτὰς τῶν ὠδίνων ἡ ἀγωνία θορυβεῖ τότε· οὐδὲ γὰρ ἐν οἷς εἰσιν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ὧν τῆς αἰτίας ἀφίενται κἂν τούτοις δεδοίκασι τοὺς ἄνδρας οὐκ ἔλαττον ἢ ἐν ἐκείνοις, καὶ τὴν ἰδίαν ἀσφάλειαν ἀφεῖσαι σκοπεῖν ἐν τοσούτῳ κινδύνῳ, μεριμνῶσι μή τι τἀνδρὶ τῶν ἀβουλήτων γένηται. Τοῦ δὲ παιδίου πεσόντος εἰς τὴν γῆν καὶ πρώτην ἀφέντος φωνὴν ἕτεραι πάλιν διαδέχονται φροντίδες, ὑπὲρ τῆς σωτηρίας καὶ τῆς ἀνατροφῆς.

5. Κἂν μὲν εὐφυὲς ὂν τύχῃ καὶ πρὸς ἀρετὴν ἐπιτήδειον, πάλιν ἐν φόβοις οἱ τεκόντες μή τι πάθῃ δεινὸν τὸ τεχθέν, μὴ θάνατον ἄωρον ὑποστῇ, μὴ μεταβάλῃ πρὸς κακίαν τινά. Οὐδὲ γὰρ ἐκ πονηρῶν χρηστοὶ γίνονται μόνον, ἀλλὰ καὶ ἀπὸ σπουδαίων φαῦλοι καὶ πονηροί. Κἂν μὲν τούτων τι γένηται τῶν ἀπευκτῶν, ἀφορητοτέραν ἔχει τὴν λύπην ἢ εἰ παρὰ τὴν ἀρχὴν ταῦτα συνέπεσεν. Ἐὰν δὲ ἅπαντα μένῃ τὰ χρηστὰ βέβαια, ὁ γοῦν ἀπὸ τῆς μεταβολῆς ἀεὶ πάρεστιν αὐτοῖς φόβος κατασείων τὴν ψυχὴν τῶν τεκόντων καὶ πολὺ τῆς ἡδονῆς ὑποτεμνόμενος μέρος. Ἀλλ᾿ οὐ πᾶσι τοῖς γεγαμηκόσι παῖδας ἔχειν συμβαίνει. Οὐκοῦν ἑτέραν ὁμολογεῖς πάλιν ἀθυμίας ὑπόθεσιν; Ὅταν οὖν καὶ παίδων ὄντων καὶ οὐκ ὄντων καὶ χρηστῶν γενομένων καὶ πονηρῶν διαφόροις συνέχωνται λύπαις καὶ φροντίσι, πόθεν λοιπὸν ἡδίστην καλέσομεν τὴν ἐν τῷ γάμῳ ζωήν;

4. Πράγματι πολλοὶ μὲν καὶ ἐνόσῳ ἔζων, δὲν ἠμπόρεσαν νὰ κρατήσουν τὸν ἄργυρον ἀπομακρυνόμενον ἀπὸ τὴν ἐξουσίαν των. Εἰς ἐκείνους δὲ ποὺ παρέμεινε μέχρι τέλους τῆς ζωῆς των, κατὰ τὴν ὥραν τοῦ θανάτου καὶ θέλοντες καὶ μὴ θέλοντες ἔχασαν τὴν ἐξουσίαν ἐπ' αὐτοῦ. Καὶ ὄχι μόνον εἰς τὴν περίπτωσιν τοῦ ἀργύρου καὶ τοῦ χρυσοῦ, ἀλλὰ καὶ εἰς τὴν περίπτωσιν τῶν λουτρῶν καὶ τῶν κήπων καὶ τῶν οἰκιῶν θὰ ἠμποροῦσε κανεὶς νὰ διαπιστώσῃ ὅτι τὸ 'ἰδικόν μου καὶ ὄχι ἰδικόν μου' εἶναι ἁπλαῖ καὶ μόνον λέξεις. Διότι ἡ χρῆσις ὅλων αὐτῶν εἶναι κοινή, πλεονεκτοῦν δὲ αὐτοὶ ποὺ θεωροῦν τὸν ἑαυτόν των κύριον αὐτῶν ἀπὸ ἐκείνους ποὺ δὲν ἔχουν αὐτὸν ὑπὸ τὴν ἐξουσίαν των μόνον ὡς πρὸς τὰς φροντίδας δι' αὐτά. Διότι αὐτοὶ μὲν ἁπλῶς τὰ ἀπολαμβάνουν αὐτά, ἐνῷ οἱ ἄλλοι μὲ πάρα πολλὰς φροντίδας ἀπολαμβάνουν τὸ ἴδιο πρᾶγμα ποὺ ἐκεῖνοι τὸ ἀπολαμβάνουν χωρὶς φροντίδα.

ξη' Περὶ τοῦ ὅτι εἶναι γεμᾶται ἀπὸ πολλὴν ἀηδίαν αἱ πολυτελεῖς τράπεζαι.

1. Ἐὰν ὅμως κανεὶς θαυμάζῃ τὴν πολλὴν τρυφήν, ὅ-

κατακοπτομένων πλῆθος κρεῶν, τὴν περιττὴν τοῦ οἴνου δαπάνην, τῶν καρυκευμάτων τὴν περιεργίαν, τραπεζοποιῶν καὶ σιτοποιῶν καὶ μαγείρων τέχνας, παρασίτων καὶ δαιτυμόνων ὄχλον, εὖ ἴστω ὅτι τῶν μαγείρων αὐτῶν οὐδὲν ἄμεινον ἐν τοῖς τοιούτοις οἱ πλουτοῦντες διάκεινται. Καθάπερ γὰρ ἐκεῖνοι τοὺς δεσπότας οὕτω τοὺς κεκλημένους αὐτοὶ δεδοίκασι μή τινος ἐπιλάβωνται τῶν μετὰ πολλοῦ πόνου καὶ δαπάνης παρασκευασθέντων αὐτοῖς. Καὶ τούτῳ μὲν ἐξισοῦται τοῖς οἰκέταις, καθ' ἕτερον δὲ καὶ πλεονεκτοῦσιν αὐτῶν ἐκεῖνοι. Οὐ γὰρ μόνον κατηγόρους ἀλλὰ καὶ βασκάνους δεδοίκασι. Πολλοῖς γὰρ πολλάκις ἀπὸ τῶν τοιούτων συμποσίων ἐτέχθησαν φθόνοι, καὶ οὐ πρότερον ἔστησαν ἕως κινδύνους ἐπήγαγον τοὺς ἐσχάτους. Ἀλλὰ τὸ σιτεῖσθαι πολλὰ πολλάκις ἡδύ. Ἄπαγε.

2. Καὶ γὰρ ὅταν καρηβαρίαι καὶ γαστρὸς διατάσεις καὶ πνεύματος ἐμφράξεις καὶ σκοτοδινίαι καὶ ἴλιγγοι καὶ ἀχλύες καὶ τὰ ἔτι τούτων ἀτοπώτερα ἀπὸ τῆς τρυφῆς ταύτης ἀναβλαστάνῃ δεινά, ποίαν ἡδονὴν καρπωσόμεθα; Καὶ εἴθε μέχρι τῶν παρ' ἡμέραν λυπηρῶν καὶ τὰ τῆς ἀσχημοσύνης ἐκείνης καὶ τὰ τῆς ζημίας ἵστατο μόνον. Νυνὶ δὲ αἱ μάλιστα τῶν νόσων δυσίατοι ἀπὸ τῶν τοιούτων τραπεζῶν ἔχουσι τὴν ἀρχήν Καὶ γὰρ ποδαλγίαι καὶ φθόη καὶ νόσος καὶ παράλυσις καὶ σπασμὸς τὸ σῶμα πολιορκεῖ ἕως ἐσχάτης ἀναπνοῆς. Τίνα οὖν ἄν τις ἔχοι τούτων ἀντίρροπον τῶν κακῶν ἡδονὴν εἰπεῖν; Ποίαν δὲ οὐκ ἄν τις ἕλοιτο σκληραγωγίαν ὑπὲρ τῆς τούτων ἀπαλλαγῆς;

πως τὸ πλῆθος τῶν κατακοπτομένων κρεάτων, τὴν περιττὴν κατανάλωσιν οἴνου, τὴν ἀνωφελῆ χρῆσιν τῶν καρυκευμάτων, τὰς τέχνας τῶν τραπεζοκόμων καὶ τῶν ἀρτοποιῶν καὶ τῶν μαγείρων, τὸ πλῆθος τῶν παρασίτων καὶ συνδαιτυμόνων, ἂς γνωρίζῃ καλὰ ὅτι οἱ πλούσιοι δὲν εὑρίσκονται εἰς καλυτέραν κατάστασιν σχετικὰ μὲ αὐτὰ τὰ πράγματα ἔναντι τῶν μαγείρων. Διότι ὅπως ἀκριβῶς οἱ μάγειροι φοβοῦνται τοὺς κυρίους των, ἔτσι καὶ αὐτοὶ φοβοῦνται τοὺς προσκεκλημένους των, μὴ τυχὸν δὲν τοὺς ἀρέσῃ κάτι ἀπὸ αὐτὰ ποὺ μὲ τόσον κόπον καὶ ἔξοδα ἑτοιμάσθησαν δι' αὐτούς. Καὶ ὡς πρὸς αὐτὸ μὲν ἐξισώνονται μὲ τοὺς ὑπηρέτας, εἰς ἄλλην περίπτωσιν ὅμως εὑρίσκονται εἰς πιὸ πλεονεκτικὴν θέσιν οἱ ὑπηρέται τῶν κυρίων των. Διότι δὲν φοβοῦνται μόνον τοὺς κατηγόρους, ἀλλὰ καὶ τοὺς φθονερούς. Καθ' ὅσον πολλὲς φορὲς εἰς πολλοὺς ἐγεννήθησαν ἐξ αἰτίας αὐτῶν τῶν συμποσίων φθόνοι καὶ δὲν ἐσταμάτησαν προηγουμένως πρὶν προξενήσουν τοὺς ἐσχάτους κινδύνους. Ἀλλὰ ἡ πολυφαγία πολλὲς φορὲς εἶναι εὐχάριστος. Μακρυὰ μιὰ τέτοια σκέψις.

2. Καθ' ὅσον ποίαν ἡδονὴν θὰ καρπωθοῦμεν, ὅταν ἀναβλαστάνουν ἀπὸ αὐτὴν τὴν τρυφὴν πονοκέφαλοι, καὶ φουσκώματα τῆς κοιλίας, καὶ δύσπνοιαι καὶ σκοτοδίναι, καὶ ἴλιγγοι καὶ ψυχικὴ συσκότισις καὶ τὰ ἄλλα τὰ κακὰ ποὺ εἶναι φοβερώτερα ἀπὸ αὐτά; Καὶ μακάρι νὰ ἐσταματοῦσαν αὐταὶ αἱ αἰσχρότητες καὶ ἡ ζημία μόνον εἰς τὰ καθημερινὰ δυσάρεστα. Τώρα ὅμως ἀπὸ αὐτὰς τὰς τραπέζας ἀρχίζουν αἱ κατ' ἐξοχὴν ἀθεράπευτοι ἀσθένειαι. Καθ' ὅσον ἀπὸ ἐκεῖ ἀρχίζουν αἱ ποδαλγίαι, αἱ φυματιώσεις, αἱ νόσοι καὶ ἡ παράλυσις καὶ σπασμοὶ σωματικοὶ ποὺ πολιορκοῦν τὸ σῶμα μέχρι θανάτου. Ποίαν λοιπὸν ἡδονὴν θὰ ἠμποροῦσε κανεὶς νὰ προβάλῃ ὡς ἀντίρροπον αὐτῶν τῶν κακῶν; Ποίαν δὲ σκληραγωγίαν δὲν θὰ ἐπροτιμοῦσε κανεὶς διὰ ν' ἀπαλλαγῇ ἀπὸ αὐτά;

ο΄ Ὅτι χρησιμώτερον καὶ ἥδιον τὸ μὴ τρυφᾶν τοῦ τρυφᾶν.

1. Ἀλλ' οὐχ ἡ εὐτέλεια τοιαύτη, ἀλλὰ πόρρω τούτων ἀφέστηκε τῶν δυσχερῶν, ὑγιείας καὶ εὐεξίας ποιητική, ἣν μείζονα οὖσαν εὑρήσεις τῆς τρυφῆς. Καὶ πρῶτον μὲν ἀπὸ τοῦ ἐρρῶσθαι καὶ μηδενὶ τῶν κακῶν ἐνοχλεῖσθαι ἐκείνων ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ πᾶσαν ἱκανὸν σβέσαι καὶ ἀνατρέψαι ἐκ βάθρων ἡδονήν. Δεύτερον δὲ καὶ ἀπὸ τῶν σιτίων αὐτῶν. Πῶς; Ὅτι ἡδονῆς ποιητικὸν ἐπιθυμία, ἐπιθυμίαν δὲ οὐχ ὁ κόρος οὐδὲ ἡ πλησμονή, ἀλλ' ἡ ἔνδεια καὶ ἡ σπάνις ποιεῖ. Αὕτη δὲ οὐκ ἐν ἐκείνοις τοῖς συμποσίοις τοῖς τῶν πλουτούντων, ἀλλ' ἐν τοῖς τῶν πενομένων ἀεὶ πάρεστι, παντὸς τραπεζοποιοῦ καὶ μαγείρου μᾶλλον ἐπιστάζουσα πολὺ τοῖς προκειμένοις τὸ μέλι. Οἱ μὲν γὰρ πλουτοῦντες οὔτε πεινῶντες ἐσθίουσι καὶ χωρὶς τοῦ διψεῖν πίνουσι, καὶ πρὶν αὐτοῖς σφοδρῶς ἐπελθεῖν τὴν ἀνάγκην τοῦ ὕπνου καθεύδουσιν. Οὗτοι δὲ ἐν χρείᾳ τούτων ἁπάντων καθιστάμενοι πρότερον οὕτως αὐτῶν μετέχουσιν, ὃ μάλιστα πάντων αὔξει τὰ τῆς ἡδονῆς.

2. Διὰ τί γάρ, εἰπέ μοι, καὶ ὁ Σολομὼν τὸν ὕπνον τοῦ δούλου φησὶν εἶναι ἡδὺν οὑτωσὶ λέγων· «Ἡδὺς ὕπνος τῷ δούλῳ ἄν τε πολὺ ἄν τε ὀλίγον φάγῃ»; Ἆρα διὰ τὴν στρωμνὴν τὴν ἁπαλήν; Καὶ μὴν ἐπὶ ἐδάφους ἢ ἐπὶ στιβάδος οἱ πλείους καθεύδουσιν. Ἀλλὰ διὰ τὴν ἄδειαν; Ἀλλ' οὐδὲ μικρᾶς καιροῦ ῥοπῆς εἰσι κύριοι. Ἀλλὰ διὰ τὴν ῥᾳστώνην; Ἀλλ' οὐ διαλιμπάνουσι μόχθοις κοπτόμενοι καὶ ταλαιπωρίαις. Τί ποτ' οὖν ἐστι τὸ ποιοῦν τὸν ὕπνον ἡδύν; Οἱ πόνοι, καὶ τὸ πρότερον εἰς χρείαν καταστάντας οὕτως αὐτοῦ μεταλαμβάνειν. Τοὺς δὲ πλουτοῦντας ἂν μὴ μέθη βαπτισθέντας ἢ

---

44. Ἐκκλ. 5, 11.

ο΄ Περὶ τοῦ ὅτι εἶναι χρησιμωτέρα καὶ πιὸ εὐχάριστος ἡ μὴ τρυφηλὴ ζωὴ ἀπὸ τὴν τρυφηλὴν ζωήν.

1. Δὲν εἶναι ὅμως τέτοια ἡ λιτότης, ἀλλὰ εὑρίσκεται πολὺ μακρυὰ ἀπὸ αὐτὰ τὰ δυσάρεστα, καὶ εἶναι πρόξενος ὑγείας καὶ εὐεξίας, καὶ τὴν ὁποίαν θὰ εὕρῃς νὰ εἶναι σπουδαιοτέρα ἀπὸ τὴν τρυφήν. Καὶ πρῶτον ὅτι εἶναι κανεὶς ὑγιὴς καὶ δὲν ἐνοχλεῖται ἀπὸ κανένα κακὸν ἀπὸ ἐκεῖνα ποὺ τὸ καθένα καὶ μόνον του εἶναι ἱκανὸν νὰ σβήσῃ καὶ νὰ ἀνατρέψῃ ἐκ βάθρων ὅλην τὴν ἡδονήν. Δεύτερον δὲ καὶ ἀπὸ τὰ ἴδια τὰ φαγητά. Πῶς; Διότι τὴν ἡδονὴν τὴν προξενεῖ ἡ ἐπιθυμία, τὴν δὲ ἐπιθυμίαν δὲν τὴν προξενεῖ οὔτε ὁ κορεσμὸς οὔτε ὁ χορτασμός, ἀλλ' ἡ ἔλλειψις καὶ ἡ στέρησις. Αὐτὴ δὲ δὲν εὑρίσκεται εἰς ἐκεῖνα τὰ συμπόσια τῶν πλουσίων, ἀλλ' εὑρίσκεται πάντοτε εἰς τὰς τραπέζας τῶν πτωχῶν καὶ ἐπιστάζει πολὺ μέλι εἰς τοὺς συμμετέχοντας εἰς αὐτά, ἀπὸ ὁποιονδήποτε τραπεζοκόμον καὶ μάγειρον. Διότι οἱ μὲν πλούσιοι τρώγουν χωρὶς νὰ πεινοῦν καὶ πίνουν χωρὶς νὰ διψοῦν καὶ κοιμῶνται προτοῦ αἰσθανθοῦν εἰς μεγάλον βαθμὸν τὴν ἀνάγκην τοῦ ὕπνου. Ἐνῷ αὐτοὶ ἀφοῦ κυριευθοῦν πρῶτα ἀπὸ τὴν ἀνάγκην ὅλων αὐτῶν μετὰ λαμβάνουν μέρος εἰς αὐτά, πρᾶγμα ποὺ προπάντων αὐξάνει τὰ τῆς ἡδονῆς.

2. Διατί λοιπόν, εἰπέ μου, καὶ ὁ Σολομὼν λέγει ὅτι ὁ ὕπνος τοῦ δούλου εἶναι γλυκύς, λέγων αὐτὰ ἐδῶ· «Εἶναι γλυκὺς ὁ ὕπνος εἰς τὸν δοῦλον, εἴτε φάγει πολὺ εἴτε ὀλίγον»[44]; Εἶναι γλυκὺς μήπως ἐξ αἰτίας τῆς ἁπαλότητος τοῦ στρώματός του; Μὰ οἱ δοῦλοι κοιμῶνται ὡς ἐπὶ τὸ πλεῖστον ἐπάνω εἰς τὸ ἔδαφος ἢ ἐπάνω εἰς ἀχυρένια στρώματα. Μήπως ἐξ αἰτίας τῆς ἀνέσεως; Ἀλλὰ δὲν εἶναι οὔτε πρὸς στιγμὴν ἐλεύθεροι. Μήπως ἐξ αἰτίας τῆς ὀκνηρίας των; Ἀλλὰ δὲν ἀφήνονται ἀπὸ τοὺς συνεχεῖς μόχθους καὶ τὰς ταλαιπωρίας. Τί τέλος πάντων εἶναι ἐκεῖνο ποὺ κάμνει τὸν ὕπνον γλυκύν; Οἱ κόποι καὶ τὸ ὅτι κοιμῶνται ἀφοῦ προηγουμένως αἰσθανθοῦν τὴν ἀνάγκην τοῦ ὕπνου. Ἐνῷ οἱ πλούσιοι ἐὰν δὲν τοὺς εὕρῃ ἡ νύκτα βουτηγμένους εἰς

νὺξ καταλάβῃ, ἀνάγκη διὰ παντὸς ἀγρυπνεῖν καὶ ἐπιστρέφεσθαι καὶ ἀλύειν ἐπὶ τῶν μαλακῶν κειμένους στρωμάτων.

οα΄ Ὅτι καὶ ψυχὴν λυμαίνεται ἡ τρυφή.

Ἐνῆν καὶ ἑτέρωθεν δεῖξαι τῆς τρυφῆς τὴν ἀηδίαν καὶ τὴν ζημίαν καὶ τὴν ἀσχημοσύνην τὰς νόσους καταλέγοντα ὅσας ἐναπομόργνυται τῇ ψυχῇ πολλῷ πλείους καὶ χαλεπωτέρας οὔσας τῶν σωματικῶν. Καὶ γὰρ μαλακοὺς καὶ ἀνάνδρους καὶ θρασεῖς καὶ ἀλαζόνας καὶ ἀσελγεῖς καὶ ὑβριστὰς καὶ ἀκολάστους καὶ ἀκροχόλους καὶ ὠμοὺς καὶ ἀγεννεῖς καὶ πλεονέκτας καὶ δουλοπρεπεῖς καὶ πρὸς ἅπαν εἰπεῖν τῶν χρησίμων καὶ ἀναγκαίων ἀχρήστους καθίστησιν, ὧν τἀναντία πάντα ἡ αὐτάρκεια ποιεῖ. Ἀλλὰ νῦν πρὸς ἕτερον ἡμῖν ὁ λόγος ἐπείγεται· διὸ μόνον ἐκεῖνο προσθέντες τῶν ἀποστολικῶν πάλιν ἀψώμεθα ῥημάτων. Εἰ γὰρ τὰ δοκοῦντα εἶναι ζηλωτὰ τοσούτων γέμει κακῶν καὶ τοσοῦτον τῇ ψυχῇ καὶ τῷ σώματι τὸν νιφετὸν ἐπάγει τῶν νοσημάτων, ποῦ τὰ λυπηρὰ θήσομεν; Οἷον ἀρχόντων φόβους, δήμων ὁρμάς, συκοφαντῶν καὶ βασκάνων ἐπιβουλάς, ἃ μάλιστα τοὺς πλουτοῦντας περιστοιχίζεται, ἐν οἷς καὶ τὰς γυναῖκας μειζόνως τῶν κακῶν ἀνάγκη κοινωνεῖν διὰ τὸ μὴ γενναίως τὰς τοιαύτας φέρειν μεταβολάς.

οβ΄ Ὅτι μετὰ τῶν ἄλλων κακῶν καὶ τὰς μεταβολὰς ἀφορήτους ποιεῖ τὸ τρυφᾶν.

Καὶ τί λέγω γυναῖκας; Καὶ γὰρ αὐτοὶ οἱ ἄνδρες ταλαιπώρως ὑπὸ τῶν τοιούτων ἁλίσκονται. Ὁ μὲν γὰρ ἐν αὐταρκείᾳ ζῶν οὐδεμίαν μετάπτωσιν δέδοικεν, ὁ δὲ ἐν ἐκείνῳ τῷ

τὴν μέθην, εἶναι ἀναγκασμένοι ὅλην τὴν νύκτα νὰ εἶναι ἄγρυπνοι καὶ νὰ στριφογυρίζουν καὶ νὰ ὑποφέρουν ἐξαπλωμένοι ἐπάνω εἰς τὰ μαλακὰ στρώματα.

οα΄ Περὶ τοῦ ὅτι ἡ τρυφὴ καταστρέφει καὶ τὴν ψυχήν.

Θὰ ἦτο δυνατὸν καὶ κατ' ἄλλον τρόπον ν' ἀποδείξω τῆς τρυφῆς τὴν ἀηδίαν καὶ τὴν ζημίαν καὶ τὴν ἀσχημοσύνην, περιγράφων τὰς νόσους ποὺ ἐπισωρεύει εἰς τὴν ψυχὴν ποὺ εἶναι πολὺ περισσότεραι καὶ φοβερώτεραι ἀπὸ τὰς σωματικάς. Καθ' ὅσον καθιστᾷ τοὺς ἀνθρώπους μαλθακούς, ἀνάνδρους, ἀλαζόνας, ἀσελγεῖς, ὑβριστάς, ἀκολάστους, ὀργίλους, σκληρούς, ἀγενεῖς, πλεονέκτας, δουλοπρεπεῖς καὶ μὲ μίαν λέξιν ἀχρήστους πρὸς κάθε χρήσιμον καὶ ἀναγκαῖον, ἐν ἀντιθέσει πρὸς τὴν αὐτάρκειαν ποὺ κάμνει ἐντελῶς τὸ ἀντίθετον. Ἀλλὰ τώρα ὁ λόγος μᾶς ὁδηγεῖ ἀλλοῦ· διὰ τοῦτο, ἀφοῦ προσθέσωμεν μόνον αὐτό, θὰ ἐπανέλθωμεν εἰς τοὺς ἀποστολικοὺς λόγους. Ἐὰν δηλαδή, αὐτὰ ποὺ θεωροῦνται ἀξιοζήλευτα, εἶναι γεμᾶτα ἀπὸ τόσα κακὰ καὶ προξενοῦν εἰς τὴν ψυχὴν καὶ τὸ σῶμα τόσην πληθώραν νοσημάτων, ποῦ θὰ θέσωμεν τότε τὰ δυσάρεστα, ὅπως τοὺς φόβους τῶν ἀρχόντων, τὰς ἐξεγέρσεις τοῦ πλήθους, τὰς ἐπιβουλὰς τῶν συκοφαντῶν καὶ τῶν φθονερῶν, τὰ ὁποῖα πρὸ πάντων περιστοιχίζουν τοὺς πλουσίους, εἰς τὰ ὁποῖα κακὰ κατ' ἀνάγκην μετέχουν πολὺ περισσότερον καὶ αἱ γυναῖκες, ἐπειδὴ δὲν ἠμποροῦν νὰ ὑποφέρουν μὲ γενναιότητα αὐτὰς τὰς μεταβολάς;

οβ΄ Περὶ τοῦ ὅτι ἡ τρυφὴ μαζὶ μὲ τὰ ἄλλα κακὰ προξενεῖ καὶ τὰς ἀφορήτους μεταβολὰς τῆς ζωῆς.

Καὶ διατί λέγω τὰς γυναῖκας; Καθ' ὅσον οἱ ἴδιοι οἱ ἄνδρες ὑποβάλλονται εἰς πολλὰς ταλαιπωρίας ἐξ αἰτίας αὐτῶν τῶν κακῶν. Διότι ἐκεῖνος μὲν ποὺ ζῇ εἰς τὴν αὐτάρκειαν δὲν φοβεῖται καμμίαν μετάπτωσιν, ἐνῷ αὐτὸς ποὺ

ὑγρῷ καὶ διακεχυμένῳ βίῳ δαπανηθείς, εἴποτε συμβαίη κατὰ περίστασίν τινα καὶ ἀνάγκην παραδοθῆναι πενίᾳ, τεθνήξεται πρότερον ἢ ταύτην οἴσει τὴν μεταβολὴν διὰ τὸ ἀμελέτητον καὶ ἀγύμναστον. Διὰ ταῦτα ὁ μακάριος Παῦλος ἔλεγε· «Θλῖψιν τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι». Εἶτα μετὰ τοῦτό φησιν· «Ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν».

ογ΄ Ὅτι οὐ γάμου ὁ καιρὸς ὁ παρών.

1. Καὶ τί τοῦτο πρὸς τὸν γάμον; ἴσως ἂν εἴποι τις. Καὶ σφόδρα μὲν οὖν πρὸς αὐτόν. Εἰ γὰρ ἐν τῷ παρόντι βίῳ συγκέκλεισται, ἐν δὲ τῷ μέλλοντι οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ὁ δὲ παρὼν καιρὸς πρὸς τὸ τέλος ἐπείγεται καὶ ἐπὶ θύραις τὰ τῆς ἀναστάσεως ἕστηκεν, οὐ γάμων καιρὸς οὐδὲ κτημάτων ἀλλ' ἐνδείας καὶ τῆς ἄλλης φιλοσοφίας ἁπάσης τῆς ἐκεῖ χρησιμευούσης ἡμῖν. Ὥσπερ γὰρ ἡ παρθένος ἕως μὲν ἂν οἴκοι μένῃ μετὰ τῆς μητρὸς πολλὴν τῶν παιδικῶν ἁπάντων ποιεῖται φροντίδα καὶ κιβώτιον ἐν τῷ ταμιείῳ καταθεμένη τῶν ἀποκειμένων ἐκεῖ καὶ τὴν κλεῖν αὐτὴ κέκτηται καὶ τὴν ἐξουσίαν ἅπασαν ἔχει, καὶ τοσαύτην ὑπὲρ τῆς τῶν μικρῶν ἐκείνων καὶ φαύλων φυλακῆς ἀναδέχεται μέριμναν ὅσην οἱ τὰς μεγάλας ἐπιτροπεύοντες οἰκίας. Ἐπειδὰν δὲ μνηστεύεσθαι δέῃ καὶ ὁ τοῦ γάμου καιρὸς ἀναγκάζῃ τὴν πατρῴαν οἰκίαν ἀφεῖναι, τότε τῆς εὐτελείας ἐκείνης ἀπαλλαγεῖσα καὶ τῆς ταπεινότητος, οἰκίας προστασίαν καὶ κτημάτων καὶ ἀνδραπόδων πλῆθος καὶ ἀνδρὸς θεραπείαν καὶ τὰ ἄλλα τὰ τούτων πολλῶν μείζονα μεριμνᾶν ἀναγκάζεται. Οὕτω καὶ

45. Α΄ Κορ. 7, 28.
46. Α΄ Κορ. 7, 29.

ἐπέρασε τὴν ζωήν του μέσα εἰς ἐκεῖνον τὸν φιλήδονον καὶ ἔκλυτον βίον, ἐὰν κάποτε ἤθελε συμβῆ ἐξ αἰτίας κάποιας περιστάσεως καὶ ἀνάγκης νὰ παραδοθῇ εἰς τὴν πτώχειαν, θὰ προτιμήσῃ ν' ἀποθάνῃ, παρὰ νὰ ὑποφέρῃ αὐτὴν τὴν μεταβολήν, καθ' ὅσον εἶναι ἀπροετοίμαστος καὶ ἀσυνήθιστος. Διὰ τοῦτο ὁ μακάριος Παῦλος ἔλεγεν· «Αὐτοὶ θὰ ἔχουν θλῖψιν εἰς τὴν ζωήν των, ἐγὼ ὅμως σᾶς λυποῦμαι»[45]. Εἰς τὴν συνέχειαν μετὰ ἀπὸ αὐτὸ λέγει· «Ὁ καιρὸς πλέον εἶναι περιωρισμένος»[46].

ογ' Περὶ τοῦ ὅτι δὲν εἶναι ἡ παροῦσα ζωὴ διὰ γάμον.

1. Καὶ τί σχέσιν ἔχει αὐτὸ πρὸς τὸν γάμον; θὰ ἠμποροῦσε ἴσως κάποιος νὰ εἰπῇ. Ἔχει καὶ μάλιστα πολὺ μεγάλην σχέσιν. Διότι, ἐφ' ὅσον περιορίζεται εἰς τὴν παροῦσαν ζωήν, εἰς δὲ τὴν μέλλουσαν ζωὴν οὔτε νυμφεύονται οὔτε ὑπανδρεύονται καὶ βαδίζει πρὸς τὸ τέλος της ἡ παροῦσα ζωὴ καὶ εὑρίσκονται ἐμπρὸς εἰς τὰς θύρας τὰ τῆς ἀναστάσεως, δὲν εἶναι καιρὸς διὰ γάμους καὶ διὰ κτήματα, ἀλλ' εἶναι καιρὸς λιτότητος καὶ ὅλης τῆς ἄλλης γενικῶς εὐσεβείας ποὺ μᾶς εἶναι χρήσιμος ἐκεῖ. Διότι, ὅπως ἀκριβῶς ἡ παρθένος ἐν ὅσῳ μὲν παραμένει εἰς τὴν οἰκίαν της μὲ τὴν μητέρα της καταβάλλει μεγάλην φροντίδα δι' ὅλα τὰ παιδικὰ πράγματα καὶ κιβώτιον ἔχει μέσα εἰς τὴν ἀποθήκην μὲ ὅλα τὰ πράγματά της ἐκεῖ μέσα, καὶ τὸ κλειδὶ τὸ ἔχει ἡ ἰδία καὶ ἔχει ὅλην τὴν ἐξουσίαν ἐπ' αὐτοῦ καὶ ἐπιδεικνύει τόσην φροντίδα διὰ τὴν φύλαξιν τῶν ἀσημάντων καὶ εὐτελῶν ἐκείνων πραγμάτων, ὅσην ἐπιδεικνύουν αὐτοὶ ποὺ συντηροῦν τὰς μεγάλας οἰκογενείας. Ὅταν ὅμως φθάνῃ ὁ καιρὸς νὰ μνηστευθῇ καὶ ὁ καιρὸς τοῦ γάμου τὴν ἀναγκάζῃ ν' ἀφήσῃ τὴν πατρικὴν οἰκίαν, τότε ἀφοῦ ἀπαλλαγῇ ἀπὸ τὴν εὐτέλειαν ἐκείνην καὶ τὴν ταπεινότητα, ἀναγκάζεται νὰ φροντίζῃ διὰ τὴν προστασίαν τῆς οἰκίας καὶ τῶν κτημάτων καὶ τοῦ πλήθους τῶν δούλων καὶ τὴν περιποίησιν τοῦ ἀνδρός της καὶ δι' ὅλα τὰ ἄλλα τὰ πιὸ σπουδαιότερα. Ἔτσι καὶ ἡμεῖς πρέπει νὰ κάμνωμεν·

ἡμᾶς χρὴ ποιεῖν, ἐπειδὴ πρὸς τὸν τέλειον ἀγόμεθα βίον καὶ τὸν ἀνδράσι προσήκοντα, τὰ ἐπὶ τῆς γῆς πάντα ἀφέντας τὰ ὄντως παιδικὰ ἀθύρματα, φαντάζεσθαι τὸν οὐρανὸν καὶ τῆς ἐκεῖ διατριβῆς τὴν λαμπρότητα καὶ τὴν δόξαν ἅπασαν.

2. Ἡρμόσθημεν γὰρ καὶ ἡμεῖς νυμφίῳ οὕτως ζητοῦντι παρ' ἡμῶν ἀγαπᾶσθαι, ὡς μὴ τῶν ἐν τῇ γῇ μόνον μηδὲ τῶν μικρῶν τούτων καὶ εὐτελῶν, ἀλλὰ καὶ τῆς ψυχῆς αὐτῆς ἀφίστασθαι δι' αὐτὸν ὅταν δέῃ. Ἐπεὶ οὖν ἐκεῖ λοιπὸν ἀπιέναι χρὴ ἀπαλλάξωμεν ἑαυτοὺς τῆς φροντίδος τῆς εὐτελοῦς. Οὐδὲ γὰρ εἰς βασιλείαν μεθίστασθαι μέλλοντες ἀπὸ πενιχρᾶς οἰκίας, κεραμίδων καὶ ξύλων καὶ ἐπίπλων καὶ τῆς ἄλλης τῆς κατὰ τὴν οἰκίαν ἐφροντίσαμεν ἂν πενίας. Μὴ τοίνυν μηδὲ νῦν τὰ ἐν τῇ γῇ μεριμνῶμεν· ὁ γὰρ καιρὸς ἡμᾶς ἤδη καλεῖ πρὸς τὸν οὐρανόν, καθάπερ καὶ Ρωμαίοις ἐπιστέλλων ὁ μακάριος Παῦλος ἔλεγε· «Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε». Καὶ πάλιν· «Ἐνταῦθα ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσι».

3. Τί οὖν δεῖ γάμου τοῖς οὐ μέλλουσιν ἀπολαύεσθαι γάμου, ἀλλ' ἐν ἴσῳ τοῖς οὐκ ἔχουσι διακείσεσθαι; Τί δαὶ χρημάτων τί δαὶ κτημάτων, τί δαὶ τῶν βιωτικῶν, τῆς χρήσεως αὐτῶν ἀώρου λοιπὸν οὔσης καὶ παρὰ καιρόν; Εἰ γὰρ οἱ μέλλοντες δικαστηρίῳ παραστήσεσθαι τῷ παρ' ἡμῖν καὶ λόγον ὑφέξειν τῶν πεπλημμελημένων, τῆς κυρίας γενομένης ἐγγύς, οὐ γυναικὸς μόνον ἀλλὰ καὶ σίτων καὶ ποτῶν καὶ πάσης ἑαυτοὺς ἀποστήσαντες φροντίδος τῆς ἀπολογίας γίνονται μόνης, πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐκ ἐπιγείῳ τινὶ δικαστηρίῳ, ἀλλ' οὐρανίῳ βήματι παραστήσεσθαι μέλλοντας

---

47. Ρωμ. 13, 1.
48. Α' Κορ. 7, 29.

ἐπειδὴ βαδίζομεν πρὸς τὴν τελείαν ζωὴν καὶ ποὺ ταιριάζει εἰς τοὺς ἄνδρας, ἀφοῦ ἀφήσωμεν κατὰ μέρος ὅλας τὰς κοσμικὰς φροντίδας ποὺ εἶναι πράγματι παιδικὰ παιχνίδια, νὰ σκεπτώμεθα τὸν οὐρανὸν καὶ τὴν λαμπρότητα καὶ ὅλην τὴν δόξαν τῆς ἐκεῖ διαμονῆς μας.

2. Πράγματι ἐμνηστεύθημεν καὶ ἡμεῖς μὲ νυμφίον ποὺ τόσον πολὺ θέλει ν' ἀγαπᾶται ἀπὸ ἡμᾶς, ὥστε ὄχι μόνον ν' ἀπαρνηθῶμεν τὰ ἐπίγεια καὶ αὐτὰ τὰ μικρὰ καὶ ἀσήμαντα πράγματα, ἀλλὰ καὶ τὴν ἰδίαν τὴν ψυχήν μας ὅταν παραστῇ ἀνάγκη. Ἐπειδὴ λοιπὸν βαδίζομεν πρὸς τὰ ἐκεῖ πλέον, πρέπει ν' ἀπαλλάξωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὴν εὐτελῆ φροντίδα. Διότι οὔτε, ὅταν πρόκειται νὰ μεταβῶμεν ἀπὸ πτωχὴν οἰκίαν εἰς βασιλικὰ ἀνάκτορα, φροντίζομεν διὰ τὰ κεραμίδια καὶ τὰ ξύλα καὶ τὰ ἔπιπλα καὶ τὰ ἄλλα τὰ πτωχικὰ οἰκιακὰ πράγματα. Μὴ λοιπόν, οὔτε τώρα νὰ φροντίζωμεν διὰ τὰ γήϊνα πράγματα˙ διότι ὁ καιρὸς πλέον μᾶς προσκαλεῖ πρὸς τὸν οὐρανόν, ὅπως ἀκριβῶς ἔλεγεν ὁ μακάριος Παῦλος γράφων πρὸς τοὺς Ρωμαίους˙ «Διότι τώρα εἶναι πλησιέστερα ἡ σωτηρία μας ἀπὸ ὅ,τι ὅταν ἐπιστεύσαμεν˙ ἡ νύκτα ἐπροχώρησε πολύ, ἡ δὲ ἡμέρα ἐπλησίασεν»[47]. Καὶ πάλιν˙ «Ὁ καιρὸς τῆς παρούσης ζωῆς εἶναι περιωρισμένος πλέον, ὥστε καὶ ἐκεῖνοι ποὺ ἔχουν γυναῖκας ἃς ζοῦν ὡσὰν νὰ μὴ ἔχουν γυναῖκας»[48].

3. Τί λοιπὸν χρειάζεται ὁ γάμος δι' αὐτοὺς ποὺ δὲν πρόκειται ν' ἀπολαύσουν τὸν γάμον, ἀλλὰ θὰ ζήσουν ὡσὰν ἐκείνους ποὺ δὲν ἔχουν γυναῖκας; Τί χρειάζονται τὰ χρήματα, τί τὰ κτήματα, τί αἱ κοσμικαὶ μέριμναι, τὴν στιγμὴν ποὺ ἡ χρῆσις αὐτῶν εἶναι ἀκατάλληλος καὶ παράκαιρος; Διότι, ἐὰν αὐτοὶ ποὺ πρόκειται νὰ παρουσιασθοῦν εἰς τὸ κοσμικὸν δικαστήριον καὶ νὰ ἀπολογηθοῦν διὰ τὰ πταίσματά των, ὅταν φθάσῃ ἡ καθωρισμένη ἡμέρα, ἐγκαταλείποντες ὄχι μόνον τὰς φροντίδας διὰ τὴν γυναῖκα των ἀλλὰ καὶ διὰ τὴν τροφὴν καὶ τὰ ποτὰ καὶ διὰ κάθε ἄλλο πρᾶγμα καὶ φροντίζουν μόνον διὰ τὴν ἀπολογίαν των, πολὺ περισσότερον ἡμεῖς ποὺ πρόκειται νὰ παρουσιασθῶμεν ὄχι εἰς κάποιο ἐπίγειον δικαστήριον, ἀλλὰ εἰς τὸ οὐράνιον βῆμα

καὶ ῥημάτων καὶ πραγμάτων καὶ ἐννοιῶν εὐθύνας ὑφέξειν, πάντων ἀφίστασθαι χρὴ καὶ χαρᾶς καὶ λύπης τῆς ἐπὶ τοῖς παροῦσι πράγμασι καὶ τὴν φοβερὰν μόνον ἐκείνην ἡμέραν μεριμνᾶν. «Εἴ τις», γάρ φησιν, «ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου μαθητὴς εἶναι. Καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ καὶ ἔρχεται ὀπίσω μου οὐ δύναταί μου εἶναι μαθητής».

4. *Σὺ δὲ παρακάθῃ σχολάζων ἐπιθυμίαις γυναικὸς καὶ γέλωτι καὶ διαχύσει καὶ τρυφῇ; «Ὁ Κύριος ἐγγύς», σὺ δὲ ὑπὲρ χρημάτων φροντίζεις καὶ μεριμνᾷς; «Ἡ βασιλεία τῶν οὐρανῶν ἐφέστηκε», σὺ δὲ περὶ οἰκίας καὶ τρυφῆς καὶ τῆς ἄλλης σκοπεῖς ἡδονῆς; «Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου». Τί οὖν κόπτεις σαυτὸν ἐν τοῖς τοῦ κόσμου πράγμασι τοῖς οὐ μένουσιν, ἀλλὰ δαπανωμένοις, τῶν μενόντων καὶ βεβαίων ἀμελῶν; Οὐκέτι γάμος, οὐδὲ ὠδῖνες, οὐχ ἡδονὴ καὶ μῖξις, οὐ χρημάτων εὐπορία οὐδὲ κτημάτων ἐπιμέλεια, οὐ τροφὴ οὐδὲ ἐνδύματα, οὐ γεωργίαι καὶ ναυτιλίαι, οὐ τέχναι οὔτε οἰκοδομαί, οὐ πόλεις οὐδὲ οἰκίαι, ἀλλ' ἑτέρα τις κατάστασις καὶ διαγωγή. Ταῦτα δὲ πάντα μικρὸν ὕστερον ἀπολεῖται. Τοῦτο γάρ ἐστι τὸ εἰρημένον, «Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου». Τί τοίνυν ὡς εἰς τοὺς αἰῶνας ἅπαντας ἐνθάδε μενοῦντες, οὕτως πᾶσαν σπουδὴν ἐπιδεικνύμεθα, ὑπὲρ πραγμάτων μεριμνῶντες ὧν πρὸ τῆς ἑσπέρας πολλάκις ἀποστησόμεθα; Τί τὸν μοχθηρὸν αἱρούμεθα βίον ἐπὶ τὸν ἀπράγμονα καλοῦντος ἡμᾶς τοῦ Χριστοῦ; «Θέλω», γὰρ «ὑμᾶς», φησίν, «ἀμερίμνους εἶναι. Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου».*

---

49. Λουκᾶ 14, 26 - 27.
50. Φιλιππ. 4, 6.
51. Α' Κορ. 7, 31.
52. Α' Κορ. 7, 32.

καὶ νὰ δώσωμεν λόγον διὰ τοὺς λόγους μας, τὰς πράξεις μας καὶ τὰς σκέψεις μας, πρέπει ν' ἀπαλλαγῶμεν ἀπὸ ὅλα καὶ ἀπὸ τὴν χαρὰν καὶ ἀπὸ τὴν λύπην διὰ τὰ παρόντα πράγματα καὶ νὰ φροντίζωμεν μόνον διὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν. Διότι λέγει˙ «Ἐὰν κανεὶς ἔρχεται πρὸς ἐμένα καὶ δὲν μισεῖ τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ τὰ παιδιά του καὶ τὰ ἀδέλφια του καὶ τὰς ἀδελφάς του, ἀκόμη δὲ καὶ τὴν ψυχήν του, δὲν ἠμπορεῖ νὰ εἶναι μαθητής μου. Καὶ ὅποιος δὲν σηκώνει τὸν σταυρόν του διὰ νὰ μὲ ἀκολουθήσῃ δὲν ἠμπορεῖ νὰ εἶναι μαθητής μου»[49].

4. Σὺ ὅμως κάθεσαι καὶ ἀσχολεῖσαι μὲ τὰς ἐπιθυμίας τῆς γυναικὸς καὶ τὸν γέλωτα καὶ τὰς εὐθυμίας καὶ τὰς ἀπολαύσεις; «Ὁ Κύριος εὑρίσκεται πλησίον»[50], καὶ σὺ φροντίζεις καὶ μεριμνᾷς διὰ τὰ χρήματα; «Ἡ βασιλεία τῶν οὐρανῶν ἔφθασε», καὶ σὺ σκέπτεσαι τὴν οἰκίαν, τὴν ἀπόλαυσιν καὶ τὴν ὑπόλοιπον ἡδονήν; «Παρέρχεται καὶ χάνεται ἡ μορφὴ τοῦ κόσμου αὐτοῦ»[15]. Διατί ταλαιπωρεῖς τὸν ἑαυτόν σου μὲ τὰ πράγματα τοῦ κόσμου ποὺ δὲν μένουν σταθερά, ἀλλὰ ἐξαφανίζονται, παραμελῶν διὰ τὰ μόνιμα καὶ σταθερά; Δὲν χρειάζεται πλέον γάμος, οὔτε ὠδῖνες, οὔτε ἡδονὴ καὶ σαρκικαὶ ἀπολαύσεις, οὔτε χρημάτων ἀφθονία, οὔτε κτημάτων φροντίς, οὔτε τροφή, οὔτε ἐνδύματα, οὔτε γεωργικαὶ καὶ ναυτιλιακαὶ ἐνασχολήσεις, οὔτε τέχναι καὶ οἰκοδομαί, οὔτε πόλεις καὶ κατοικίαι, ἀλλὰ κάποια ἄλλη κατάστασις καὶ τρόπος ζωῆς. Διότι ὅλα αὐτὰ μετὰ ἀπὸ ὀλίγον θὰ χαθοῦν. Καθ' ὅσον αὐτὸ σημαίνουν τὰ λόγια, «Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου». Διατί λοιπόν, ὡσὰν νὰ πρόκειται νὰ μείνωμεν ἐδῶ αἰωνίως, καταβάλλομεν τόσην φροντίδα, φροντίζοντες διὰ πράγματα ποὺ πολλὲς φορὲς τὰ στερούμεθα καὶ πρὶν ἀκόμη ἔλθῃ ἡ ἑσπέρα; Διατί προτιμοῦμεν τὸν κοπιώδη βίον, τὴν στιγμὴν ποὺ ὁ Χριστὸς μᾶς καλεῖ εἰς τὸν ἀμέριμνον; Διότι λέγει˙ «Θέλω νὰ εἶσθε ἀμέριμνοι. Ὁ γάμος μεριμνᾷ διὰ τὰ πράγματα τοῦ Κυρίου»[52].

οδ' Πῶς θέλων ἡμᾶς ἀμερίμνους εἶναι κελεύει μεριμνᾶν.

1. Πῶς οὖν ἡμᾶς ἀμερίμνους εἶναι βούλει εἰς ἑτέραν πάλιν ἐμβαλὼν φροντίδα; Ὅτι οὔτε φροντίζειν τοῦτό ἐστιν, ὥσπερ οὖν οὐδὲ θλίβεσθαι τὸ διὰ τὸν Χριστὸν θλίβεσθαι οὐ διὰ τὸ μεταβάλλεσθαι τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ διὰ τὸ τὴν προαίρεσιν τῶν ταῦτα φερόντων μεθ' ἡδονῆς καὶ τῆς τῶν πραγμάτων φύσεως κρατεῖν. Ὁ μὲν γὰρ ὑπὲρ τούτων φροντίζων ὧν οὐκ εἰς μακρὸν ἀπολαύσεται χρόνον, πολλάκις δὲ οὐδὲ εἰς βραχὺν εἰκότως ἂν λέγοιτο μεριμνᾶν, ὁ δὲ μείζονας τῶν φροντίδων ἀποληψόμενος τοὺς καρποὺς ἐν τοῖς ἀμερίμνοις παντί που δικαίως ἂν τάττοιτο λόγῳ. Καὶ τούτων δὲ χωρὶς τοσοῦτον τῆς μερίμνης ἑκατέρας τὸ μέσον, ὡς μηδὲ μέριμναν ταύτην ἐκείνῃ παραβαλλομένην νομίζεσθαι· οὕτως κουφότερά τέ ἐστιν ἐκείνης καὶ σφόδρα εὐκολωτέρα. Καὶ ταῦτα ἅπαντα διὰ τῶν ἔμπροσθεν ἀπεδείξαμεν λόγων· «Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου», ἀλλ' ὁ μὲν παράγει, ὁ δὲ μένει.

2. Τοῦτο οὖν μόνον οὐχ ἱκανὸν δεῖξαι τὸ τῆς παρθενίας ἀξίωμα; Ὅσον γὰρ τοῦ Θεοῦ πρὸς τὸν κόσμον τὸ διάφορον, τοσοῦτον αὕτη βελτίων ἐκείνης ἡ φροντίς. Πῶς οὖν συγχωρεῖς τὸν γάμον τὸν προσηλοῦντα ἡμᾶς ταῖς φροντίσι καὶ τῶν πνευματικῶν ἀπάγοντα; Διὰ γὰρ τοῦτο, φησίν, εἶπον· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, ἵνα οἱ φθάσαντες ἤδη δεθῆναι ἢ καὶ μέλλοντες ἑτέρῳ τινὶ τρόπῳ χαυνότερον ἐργάσωνται τὸν δεσμόν. Ἐπειδὴ γὰρ διαρρῆξαι

53. Β' Κορ. 7, 32-33.

οδ΄ Πῶς συμβαίνει νὰ θέλῃ νὰ εἴμεθα ἀμέριμνοι καὶ νὰ μᾶς προτρέπει νὰ μεριμνῶμεν.

1. Πῶς λοιπὸν θέλεις νὰ εἴμεθα ἀμέριμνοι τὴν στιγμὴν ποὺ μᾶς ἐμβάλλεις εἰς ἄλλην καὶ πάλιν φροντίδα; Διότι αὐτὸ δὲν εἶναι φροντίς, ὅπως ἀκριβῶς βέβαια οὔτε εἶναι θλῖψις ἡ θλῖψις διὰ τὸν Χριστόν, ὄχι ἐπειδὴ μεταβάλλεται ἡ φύσις τῶν πραγμάτων, ἀλλ᾽ ἐξ αἰτίας τῆς προαιρέσεως αὐτῶν ποὺ τὰ ὑπομένουν αὐτὰ μὲ χαρὰν καὶ ἡ ὁποία νικᾷ τὴν φύσιν τῶν πραγμάτων. Διότι αὐτὸς μὲν ποὺ φροντίζει δι᾽ αὐτὰ ποὺ δὲν θὰ τὰ ἀπολαύσῃ ἐπὶ μακρὸν χρόνον, πολλὲς φορὲς δὲ οὔτε καὶ ἐπ᾽ ὀλίγον, πολὺ δίκαια θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ ὅτι μεριμνᾷ, ἐνῷ αὐτὸς ποὺ θὰ λάβῃ μεγαλυτέρους καρποὺς ἀπὸ τὰς φροντίδας, δικαίως θὰ ἠμποροῦσε νὰ καταταχθῇ μεταξὺ τῶν τελείως ἀμερίμνων. Ἐκτὸς δὲ ἀπὸ αὐτὸ εἶναι τόση ἡ ἀπόστασις μεταξὺ τῆς μιᾶς μερίμνης καὶ τῆς ἄλλης, ὥστε οὔτε κἂν νὰ θεωρῆται αὐτὴ μέριμνα συγκρινομένη μὲ τὴν κοσμικὴν μέριμναν· τόσον ἐλαφροτέρα εἶναι ἀπὸ ἐκείνην καὶ πάρα πολὺ εὐκολωτέρα. Καὶ ὅλα αὐτὰ τὰ ἀπεδείξαμεν μὲ ὅσα εἴπαμεν προηγουμένως· «Ὁ ἄγαμος μεριμνᾷ διὰ τὰ πράγματα τοῦ Κυρίου, ἐνῷ ὁ ἔγγαμος μεριμνᾷ διὰ τὰ πράγματα τοῦ κόσμου»[53], ἀλλ᾽ ὁ μὲν κόσμος παρέρχεται, ὁ Κύριος ὅμως μένει αἰωνίως.

2. Αὐτὸ λοιπὸν καὶ μόνον δὲν εἶναι ἱκανὸν νὰ δείξῃ τὸ ἀξίωμα τῆς παρθενίας; Διότι ὅση εἶναι ἡ διαφορὰ τοῦ Θεοῦ πρὸς τὸν κόσμον, τόσον περισσότερον σπουδαιοτέρα εἶναι αὐτὴ ἡ φροντὶς ἀπὸ τὴν κοσμικὴν φροντίδα. Πῶς λοιπὸν ἐπιτρέπεις τὸν γάμον ποὺ μᾶς προσηλώνει εἰς τὰς φροντίδας καὶ μᾶς ἀπομακρύνει ἀπὸ τὰ πνευματικά; Διότι, λέγει, διὰ τοῦτο εἶπα, ὥστε καὶ αὐτοὶ ποὺ ἔχουν γυναῖκα νὰ ζοῦν ὡσὰν νὰ μὴ ἔχουν γυναῖκα, ὥστε καὶ αὐτοὶ ποὺ ἤδη ἐδέθησαν μὲ τὸν γάμον ἢ καὶ ποὺ πρόκειται νὰ δεθοῦν, νὰ κάνουν τὸν δεσμὸν μὲ κάποιον ἄλλον τρόπον χαλαρώτερον. Διότι, ἐπειδὴ δὲν εἶναι δυνατόν, ἅπαξ καὶ ἐδέθης, νὰ

αὐτὸν οὐκ ἔνι περιβληθέντα ἅπαξ, ἀνεκτότερον αὐτὸν ποίησον. Ἔξεστι γάρ, ἂν βουλώμεθα, πάντα περικόπτειν τὰ περιττὰ καὶ μὴ μειζόνως τῶν ἀπὸ τῆς τοῦ πράγματος φύσεως τικτομένων φροντίδων τὰ παρὰ τῆς ἡμετέρας προστιθέναι νωθείας.

οε΄ Πῶς ἔστιν ἔχοντα γυναῖκα μὴ ἔχειν.

1. Εἰ δὲ καὶ σαφέστερόν τις θέλοι μαθεῖν τί ποτέ ἐστιν ἔχοντα γυναῖκα καὶ μὴ ἔχειν, τοὺς οὐκ ἔχοντας ἐννοείτω τοὺς ἐσταυρωμένους πῶς διάκεινται. Πῶς οὖν ἐκεῖνοι διάκεινται; Οὐ θεραπαινίδων ἀναγκάζονται πλῆθος ὠνεῖσθαι, οὐ χρυσία καὶ περιδέραια, οὐκ οἰκίας λαμπρὰς καὶ μεγάλας, οὐ πλέθρα γῆς τόσα καὶ τόσα, ἀλλὰ ταῦτα πάντα ἀφέντες ὑπὲρ ἱματίου φροντίζουσιν ἑνὸς καὶ τρυφῆς τῆς αὐτῶν. Ἔξεστι καὶ τῷ γυναῖκα ἔχοντι εἰς ταύτην ἑαυτὸν ἀγαγεῖν τὴν φιλοσοφίαν. Τὸ γὰρ ἀνωτέρω λεχθέν, «Μὴ ἀποστερεῖτε ἀλλήλους», περὶ μίξεως εἴρηται μόνης. Ἐν τούτῳ γὰρ ἕπεσθαι ἀλλήλοις κελεύει καὶ οὐδένα ἀφίησιν ἑαυτοῦ κύριον εἶναι· ἔνθα δὲ ἂν δέῃ τὴν ἄλλην φιλοσοφίαν ἀσκεῖν, τὴν ἐν τοῖς ἱματίοις, τὴν ἐν τῇ διαίτῃ, τὴν ἐν τοῖς ἄλλοις ἅπασιν, οὐκέτι θατέρῳ λοιπὸν ὁ ἕτερος ὑπεύθυνος γίνεται, ἀλλ᾽ ἔξεστι τοῖς ἀνδράσι, κἂν ἡ γυνὴ μὴ βούληται, περικόψαι τρυφὴν ἅπασαν καὶ τὸν περιρρέοντα τῶν φροντίδων ὄχλον. Καὶ γυναικὶ πάλιν ὁμοίως οὐδεμία ἀνάγκη, μὴ βουλομένῃ, καλλωπίζεσθαι καὶ κενοδοξεῖν καὶ περιττὰ μεριμνᾶν, εἰκότως. Ἐκείνη μὲν γὰρ ἡ ἐπιθυμία φυσική τίς ἐστι καὶ διὰ τοῦτο πολλῆς ἔτυχε τῆς συγγνώμης, καὶ οὐκ ἔστι κύριος ὁ ἕτερος ἀποστερεῖν τὸν ἕτερον μὴ βουλόμενον· ἡ δὲ τῆς τρυφῆς καὶ τῆς θεραπείας

54. Α΄ Κορ. 7, 5.

διαρρήξης τὸν δεσμόν, κάνε τον ἀνεκτότερον. Καθ' ὅσον εἶναι δυνατόν, ἐὰν θέλωμεν, νὰ περικόπτωμεν ὅλα τὰ περιττὰ καὶ νὰ μὴ προσθέτωμεν, ἐξ αἰτίας τῆς ἰδικῆς μας νωθρότητος, μεγαλυτέρας φροντίδας εἰς τὰς φροντίδας ποὺ ἐκ φύσεως συνοδεύουν τὸν γάμον.

οε' Πῶς εἶναι δυνατὸν νὰ ἔχῃ κανεὶς γυναῖκα καὶ νὰ εἶναι ὡσὰν νὰ μὴ ἔχῃ.

1. Ἐὰν δὲ θέλῃ κανεὶς νὰ μάθῃ ἀκριβέστερα τί τέλος πάντων σημαίνει νὰ ἔχῃ κανεὶς γυναῖκα καὶ νὰ ζῇ ὡσὰν νὰ μὴ ἔχῃ, ἂς σκεφθῇ πῶς ζοῦν αὐτοὶ ποὺ δὲν ἔχουν, ποὺ σηκώνουν τὸν σταυρὸν τοῦ Χριστοῦ. Πῶς λοιπὸν ἐκεῖνοι ζοῦν; Δὲν ἀναγκάζονται νὰ ἀγοράζουν πλῆθος ὑπηρετριῶν, οὔτε χρυσᾶ κοσμήματα καὶ περιδέραια, οὔτε λαμπρὰς καὶ μεγάλας οἰκίας, οὔτε τόσα καὶ τόσα μέτρα γῆς, ἀλλ' ἀφήσαντες ὅλα αὐτὰ φροντίζουν μόνον δι' ἕνα ἔνδυμα καὶ τὴν τροφήν των. Εἶναι δυνατὸν καὶ εἰς ἐκεῖνον ποὺ ἔχει γυναῖκα νὰ ἐφαρμόσῃ εἰς τὸν ἑαυτόν του αὐτὸν τὸν τρόπον ζωῆς. Διότι αὐτὸ ποὺ ἐλέχθη προηγουμένως, «Μὴ στερῆτε ὁ ἕνας τὸν ἄλλον»[54], ἔχει λεχθῆ μόνον διὰ τὴν σαρκικὴν ἕνωσιν. Εἰς αὐτὸ δηλαδὴ λέγει ν' ἀκολουθῇ ὁ ἕνας τὸν ἄλλον καὶ δὲν ἐπιτρέπει κανένα νὰ εἶναι κύριος τοῦ ἑαυτοῦ του, ὅπου ὅμως χρειάζεται ἡ ἄσκησις τοῦ ἄλλου τρόπου ζωῆς, ὅπως εἶναι τὰ ἐνδύματα, ἡ τροφὴ καὶ ὅλα τὰ ἄλλα γενικῶς, δὲν εἶναι πλέον ὁ ἕνας ὑπεύθυνος διὰ τὸν ἄλλον, ἀλλ' εἶναι δυνατὸν εἰς τὸν ἄνδρα, καὶ ἂν ἀκόμη ἡ γυναῖκα δὲν τὸ θέλῃ, νὰ καταργήσῃ ὅλην τὴν τρυφὴν καὶ τὸ πλῆθος τῶν φροντίδων ποὺ τὸν περιβάλλουν. Καὶ τὴν γυναῖκα πάλιν καθ' ὅμοιον τρόπον κανεὶς δὲν τὴν ἀναγκάζει, ἐὰν δὲν θέλῃ, νὰ καλλωπίζεται καὶ νὰ ματαιοδοξῇ καὶ νὰ μεριμνᾷ διὰ περιττὰ πράγματα, καὶ πολὺ φυσικά, διότι ἐκείνη μὲν ἡ ἐπιθυμία τῆς σαρκικῆς ἑνώσεως εἶναι μία φυσικὴ ἀνάγκη καὶ διὰ τοῦτο ἔτυχε μεγάλης συγγνώμης, καὶ δὲν ἔχει τὴν ἐξουσίαν ὁ ἕνας νὰ τὴν στερῇ ἀπὸ τὸν ἄλλον ἐὰν δὲν θέλῃ, ἐνῷ ἡ ἐπιθυμία τῆς τρυφῆς

τῆς περιττῆς καὶ τῆς φροντίδος τῆς ἀνονήτου οὐκ ἀπὸ τῆς φύσεως ὁρμᾶται, ἀλλ' ἀπὸ τῆς ῥαθυμίας καὶ τῆς πολλῆς ὕβρεως τίκτεται. Διὰ τοῦτο οὐκ ἀναγκάζει καὶ ἐν τούτοις τοὺς γεγαμηκότας ὑποκεῖσθαι ἀλλήλοις καθάπερ καὶ ἐν ἐκείνοις.

2. Τοῦτο τοίνυν ἐστὶν ἔχοντα γυναῖκα μὴ ἔχειν ὅταν τὰς περιττὰς φροντίδας τὰς διὰ τὸν ἀκκισμὸν καὶ τὴν διάθρυψιν γινομένας τῶν γυναικῶν μὴ δεχώμεθα, ἀλλὰ τοσαύτην λάβωμεν προσθήκην φροντίδος, ὅσην εἰκὸς μιᾶς ψυχῆς προστεθείσης ἡμῖν καὶ ταύτης φιλοσόφως καὶ εὐτελῶς ζῆν προαιρουμένης. Ὅτι γὰρ τοῦτό φησι, διὰ τῆς ἐπαγωγῆς ἐδήλωσε. Καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες καὶ οἱ χαίροντες ἐν κτήσεσιν ὡς μὴ χαίροντες». Οἱ γὰρ μὴ χαίροντες οὐδὲ τῆς κτήσεως ἐπιμελήσονται καὶ οἱ μὴ κλαίοντες οὔτε τὴν πενίαν δυνήσονται φέρειν οὔτε τὴν αὐτάρκειαν ἀποστρέφεσθαι. Τοῦτό ἐστιν ἔχειν γυναῖκα καὶ μὴ ἔχειν, τοῦτό ἐστι κεχρῆσθαι τῷ κόσμῳ καὶ μὴ κατακεχρῆσθαι.

3. «Ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου». Ὅταν οὖν καὶ ἐνταῦθα κἀκεῖ μέριμνα ᾖ καὶ ἐνταῦθα μὲν εἰκῇ καὶ μάτην, μᾶλλον δὲ καὶ ἐπὶ λύπῃ - «Θλῖψιν γὰρ τῇ σαρκί», φησίν, «ἕξουσιν οἱ τοιοῦτοι» -, ἐκεῖ δὲ ἐπὶ τοῖς ἀπορρήτοις ἀγαθοῖς, τί μὴ ταύτην αἱρούμεθα μᾶλλον τὴν φροντίδα, οὐ τῷ τοιαύτας καὶ τοσαύτας ἔχειν τὰς ἀντιδόσεις ἀλλὰ καὶ τῇ φύσει κουφοτέραν οὖσαν ἐκείνης; Τί γὰρ ἡ μὴ γαμηθεῖσα μεριμνᾷ; Ἆρα ὑπὲρ χρημάτων, ὑπὲρ οἰκετῶν, ὑπὲρ οἰκονόμων, ὑπὲρ ἀγρῶν καὶ τῶν ἄλλων; Μαγείροις ἐφέστηκε καὶ ὑφάνταις καὶ τῇ λοιπῇ θεραπείᾳ; Ἄπαγε. Οὐδὲν τούτων εἰς νοῦν

55. Α΄ Κορ. 7, 30.
66. Α΄ Κορ. 7, 31.
57. Α΄ Κορ. 7, 33.
58. Α΄ Κορ. 7, 28.

καὶ τῆς περιττῆς περιποιήσεως καὶ τῆς ἀνωφελοῦς φροντίδος δὲν προέρχεται ἀπὸ τὴν φύσιν, ἀλλὰ γεννᾶται ἀπὸ τὴν ὀκνηρίαν καὶ τὴν πολλὴν ἀναίδειαν. Διὰ τοῦτο δὲν ἐξαναγκάζει τοὺς ἐγγάμους καὶ εἰς αὐτὰ νὰ ἔχῃ ἐξουσίαν ὁ ἕνας ἐπὶ τοῦ ἄλλου ὅπως ἀκριβῶς συμβαίνει καὶ μὲ ἐκεῖνα τῆς συζυγικῆς σχέσεως.

2. Αὐτὸ λοιπὸν σημαίνει νὰ ἔχωμεν γυναῖκα καὶ νὰ ζῶμεν ὡσὰν νὰ μὴ ἔχωμεν, ὅταν δὲν δεχώμεθα τὰς περιττὰς φροντίδας ποὺ προέρχονται ἀπὸ τὴν φιλαρέσκειαν καὶ τὴν ὑπερηφάνειαν τῶν γυναικῶν, ἀλλὰ νὰ φροντίζωμεν τόσον μόνον ἐπὶ πλέον τῶν συζυγικῶν ὑποχρεώσεων, ὅσον εἶναι φυσικὸν διὰ μίαν ψυχὴν ποὺ προσετέθη εἰς ἡμᾶς καὶ ἡ ὁποία θέλει νὰ ζῇ μὲ εὐσέβειαν καὶ ἁπλότητα. Τὸ ὅτι βέβαια ἐννοεῖ αὐτό, τὸ ἐδήλωσε μὲ ἐκεῖνα ποὺ ἀνέφερεν εἰς τὴν συνέχειαν. «Καὶ ἐκεῖνοι ποὺ κλαίουν νὰ ζοῦν ὡσὰν νὰ μὴ κλαίουν, καὶ ἐκεῖνοι ποὺ χαίρονται ὡσὰν νὰ μὴ χαίρωνται»[55]. Διότι αὐτοὶ ποὺ δὲν χαίρονται δὲν θὰ φροντίσουν οὔτε διὰ τὰ κτήματα καὶ αὐτοὶ ποὺ δὲν κλαίουν οὔτε τὴν πτώχειαν θὰ ὑποφέρουν μὲ κλάματα οὔτε θ' ἀποστραφοῦν τὴν αὐτάρκειαν. Αὐτὸ σημαίνει νὰ ἔχῃ κανεὶς γυναῖκα καὶ νὰ ζῇ ὡσὰν νὰ μὴ ἔχῃ, αὐτὸ σημαίνει τὸ νὰ ἀσχολῆται κανεὶς μὲ τὸν κόσμον καὶ νὰ εἶναι ὡσὰν νὰ μὴ ἀσχολῆται μὲ αὐτόν[56].

3. «Ὁ ἔγγαμος ὅμως μεριμνᾷ διὰ τὰ πράγματα τοῦ κόσμου»[57]. Ὅταν λοιπὸν καὶ ἐδῶ καὶ ἐκεῖ ὑπάρχῃ μέριμνα, καὶ ἐδῶ μὲν εἶναι ἄσκοπος καὶ ματαία, μᾶλλον δὲ καὶ γεμάτη ἀπὸ λύπην — διότι λέγει· «Αὐτοὶ οἱ ἄνθρωποι θὰ ὑποφέρουν εἰς τὴν ζωήν των»[58] —, ἐνῷ εἰς τὴν περίπτωσιν τὴν ἄλλην ἀποσκοπεῖ διὰ τὰ ἀπόρρητα ἀγαθά, διατί δὲν προτιμοῦμεν αὐτὴν μᾶλλον τὴν φροντίδα, ποὺ δὲν ἔχει τέτοιας καὶ τόσας πολλὰς ἀνταποδόσεις καὶ ποὺ ἐκ φύσεως εἶναι ἐλαφροτέρα ἀπὸ ἐκείνην; Διότι ποία εἶναι ἡ μέριμνα τῆς ἀγάμου; Μήπως μεριμνᾷ διὰ χρήματα, διὰ δούλους, διὰ οἰκονόμους, διὰ ἀγροὺς καὶ ὅλα τὰ ἄλλα; Μήπως ἐπιβλέπει τοὺς μαγείρους καὶ τοὺς ὑφαντὰς καὶ τοὺς ἄλλους ὑπηρέτας; Κάθε ἄλλο. Τίποτε ἀπὸ αὐτὰ δὲν σκέπτεται,

βάλλεται, ἀλλ' ἓν φροντίζει μόνον, τὴν αὐτῆς οἰκοδομεῖν ψυχήν, τὸν ναὸν κοσμεῖν ἐκεῖνον τὸν ἅγιον οὐκ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις, οὐκ ἐπιτρίμμασιν οὐδὲ ὑπογραφαῖς, οὐ ταῖς ἄλλαις δυσκολίαις καὶ μοχθηρίαις, ἀλλὰ τῇ ἁγιωσύνῃ τῇ κατὰ σῶμα καὶ κατὰ πνεῦμα.

4. «Ἡ δὲ γαμηθεῖσα», φησί, «μεριμνᾷ πῶς ἀρέσει τῷ ἀνδρί». Σφόδρα συνετῶς οὐκ ἦλθεν ἐπὶ τὴν τῶν πραγμάτων αὐτῶν ἐξέτασιν, οὐδὲ εἶπεν ὅσα πάσχουσι γυναῖκες ὑπὲρ τῆς εἰς τοὺς ἄνδρας ἀρεσκείας καὶ τῷ σώματι καὶ τῇ ψυχῇ, τὸ μὲν βασανίζουσαι καὶ κονιῶσαι καὶ ἑτέραις κολάσεσι κατατείνουσαι, τὴν δὲ ἀνελευθερίας, κολακείας, ὑποκρίσεως, μικροψυχίας, φροντίδων περιττῶν καὶ ἀνοήτων πληροῦσαι. Ἀλλὰ μιᾷ ῥήσει πάντα ταῦτα αἰνιξάμενος ἀφῆκε τῷ συνειδότι τῶν ἀκουόντων αὐτὰ ἀναλογίσασθαι, καὶ δείξας οὕτω τῆς παρθενίας τὴν ὑπεροχὴν καὶ πρὸς αὐτὸν ἄρας αὐτὴν τὸν οὐρανόν, πάλιν μετατίθησιν ἐπὶ τὴν τοῦ γάμου συγχώρησιν τὸν λόγον, πανταχοῦ δεδοικὼς μή τις τὸ πρᾶγμα ἐπίταγμα εἶναι νομίσῃ. Διόπερ οὐδὲ ἠρκέσθη ταῖς προτέραις περαινέσεσιν, ἀλλ' εἰπών, «Ἐπιταγὴν Κυρίου οὐκ ἔχω», καὶ «Ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε», πάλιν ἐνταῦθά φησιν· «Οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω».

ος' Ὅτι οὐχ ἡ παρθενία βρόχος ἀλλὰ τὸ ἡμῖν ἀπρόθυμον.

1. Ὑπὲρ οὗ καὶ διαπορήσειεν ἄν τις εἰκότως, πῶς ἀνωτέρω λύσιν δεσμῶν τὸ πρᾶγμα καλῶν καὶ πρὸς τὸ συμφέρον ἡμῖν αὐτὸ συμβουλεύειν λέγων, καὶ ἵνα θλῖψιν μὴ ἔχωμεν καὶ ἵνα ἀμέριμνοι ὦμεν καὶ ἐπειδὴ φείδεται ἡμῶν καὶ διὰ τούτων ἁπάντων δεικνὺς τὸ κοῦφον αὐτοῦ καὶ φορητὸν ἐνταῦθά φησιν· «Οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω»; Τί οὖν ἐστιν; Οὐ τὴν παρθενίαν βρόχον ἐκάλεσεν - ἄπαγε -

---

59. Α' Κορ. 7, 34.
60. Α' Κορ. 7, 25.
61. Α' Κορ. 7, 35.

ἀλλὰ δι' ἓν φροντίζει μόνον, νὰ ἐποικοδομῇ τὴν ψυχήν της, νὰ κοσμῇ τὸν ἅγιον ἐκεῖνον ναὸν ὄχι μὲ χρυσᾶ στολίδια ἢ μαργαριτάρια, ὄχι μὲ σκόνας καλλωπισμοῦ καὶ βαφάς, οὔτε μὲ τὰς δυσκολίας καὶ μοχθηρίας, ἀλλὰ μὲ τὴν ἁγιωσύνην τοῦ σώματος καὶ τοῦ πνεύματος.

4. «Ἡ δὲ ἔγγαμος μεριμνᾷ», λέγει, «πῶς ν' ἀρέσῃ εἰς τὸν ἄνδρα»[59]. Μὲ πάρα πολὺ μεγάλην σύνεσιν δὲν ἦλθε νὰ ἐξετάσῃ αὐτὰ τὰ πράγματα οὔτε εἶπεν ὅσα ὑποφέρουν αἱ γυναῖκες διὰ νὰ ἀρέσουν εἰς τοὺς ἄνδρας ὡς πρὸς τὸ σῶμα καὶ τὴν ψυχήν, αἱ ὁποῖαι τὸ μὲν σῶμα βασανίζουν μὲ τὸ νὰ τὸ ἀλείφουν μὲ σκόνας καὶ μὲ τὸ νὰ τὸ ταλαιπωροῦν μὲ πολλὰ βάσανα, τὴν δὲ ψυχὴν τὴν γεμίζουν μὲ δουλικότητα, κολακείαν, ὑποκρισίαν, μικροψυχίαν, περιττὰς φροντίδας καὶ ἀνωφελεῖς. Ἀλλὰ μὲ μίαν λέξιν ἀφοῦ ὑπηνίχθη ὅλα αὐτά, ἄφησεν εἰς τὴν συνείδησιν τῶν ἀκροατῶν νὰ σκεφθῇ αὐτά, καὶ ἀφοῦ ἔδειξεν ἔτσι τὴν ὑπεροχὴν τῆς παρθενίας καὶ τὴν ὕψωσε καὶ μέχρι εἰς αὐτὸν τὸν οὐρανόν, πάλιν μεταφέρει τὸν λόγον εἰς τὴν συγχώρησιν τοῦ γάμου, φοβούμενος πάντοτε μήπως κανεὶς νομίσῃ ὅτι τὸ πρᾶγμα εἶναι ἐντολή. Διὰ τοῦτο ἀκριβῶς δὲν ἠρκέσθη εἰς τὰς προηγουμένας συμβουλάς, ἀλλ' ἀφοῦ εἶπε, «Δὲν ἔχω ἐντολὴν τοῦ Κυρίου», καὶ «Ἐὰν συνάψῃ γάμον ἡ παρθένος δὲν ἡμάρτησεν»[61], πάλιν ἐδῶ λέγει· «Ὄχι διὰ νὰ σᾶς βάλω θηλιὰν εἰς τὸν λαιμόν»[61].

ος' Περὶ τοῦ ὅτι ἡ παρθενία δὲν εἶναι βρόχος, ἀλλ' ἡ ἰδική μας ἀπροθυμία.

1. Δι' αὐτὸ φυσικὸν εἶναι καὶ ν' ἀπορήσῃ κανεὶς πῶς, ἐνῷ προηγουμένως ὀνομάζει τὸ πρᾶγμα λύσιν ἀπὸ τὰ δεσμὰ καὶ λέγει ὅτι μᾶς συμβουλεύει διὰ τὸ συμφέρον μας, καὶ διὰ νὰ μὴ ἔχωμεν θλῖψιν καὶ νὰ εἴμεθα ἀμέριμνοι, καὶ ἐπειδὴ μᾶς λυπεῖται καὶ δεικνύων μὲ ὅλα αὐτὰ ὅτι ἡ παρθενία εἶναι ἐλαφρὰ καὶ ὑποφερτή, ἐδῶ λέγει «Ὄχι διὰ νὰ σᾶς βάλω θηλιάν»; Τί συμβαίνει λοιπόν; Δὲν ὠνόμασε βρόχον τὴν παρθενίαν — μακρυὰ μία τέτοια σκέψις — ἀλλὰ

ἀλλὰ τὸ μετὰ βίας καὶ ἀνάγκης αἱρεῖσθαι τοῦτο τὸ καλόν. Καὶ γὰρ οὕτως ἔχει. Πᾶν ὅπερ ἂν βιαζόμενος καὶ μετὰ τοῦ μὴ βούλεσθαι καταδέχηταί τις, κἂν σφόδρα κοῦφον ᾖ, πάντων ἀφορητότερον γίνεται καὶ ἀγχόνης χαλεπώτερον τὴν ἡμετέραν ἀποπνίγει ψυχήν. Διὰ τοῦτο εἶπεν· «Οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω», τοῦτό ἐστιν· ἅπαντα τὰ καλὰ τῆς παρθενίας εἶπον καὶ ἀπέδειξα, καὶ μετὰ ταῦτα ὅμως ἅπαντα τὴν αἵρεσιν ὑμῖν ἐπιτρέπω τοῦ πράγματος, οὐχὶ μὴ βουλομένους ἕλκω πρὸς τὴν ἀρετήν. Οὐδὲ γὰρ ὑμᾶς θλῖψαι βουλόμενος ταῦτα συνεβούλευσα, ἀλλ' ὥστε μὴ τὴν εὐσχήμονα προσεδρίαν ὑπὸ τῶν βιωτικῶν ἐκκοπῆναι πραγμάτων.

2. Σὺ δέ μοι θέα κἀνταῦθα τοῦ Παύλου τὴν σύνεσιν, πῶς ταῖς παραιτήσεσι πάλιν παραίνεσιν ἐπεισήγαγε καὶ διὰ τῆς συγχωρήσεως συμβουλήν. Τὸ γὰρ εἰπεῖν «Οὐκ ἀναγκάζω ἀλλὰ παραινῶ», καὶ προσθεῖναι «διὰ τὸ εὔσχημον καὶ εὐπρόσεδρον», ἔδειξε τῆς παρθενίας τὸ θαυμαστὸν καὶ τὸ κέρδος ὅσον ἡμῖν ἐν τῇ κατὰ Θεὸν ἀπ' αὐτῆς γίνεται πολιτείᾳ. Οὐ γὰρ ἔνι τὴν βιωτικαῖς ἐμπεπλεγμένην φροντίσι καὶ πανταχοῦ περιελκομένην εὐπρόσεδρον εἶναι, τῆς σπουδῆς καὶ σχολῆς ἁπάσης εἰς πολλὰ μεριζομένης, εἰς ἄνδρα λέγω καὶ οἰκίας ἐπιμέλειαν καὶ τῶν ἄλλων ἁπάντων ἅπερ ὁ γάμος ἐπισύρεσθαι εἴωθεν.

οζ' Ὅτι ἡ τὰ βιωτικὰ μεριμνῶσα οὐκ ἂν εἴη παρθένος.

Τί οὖν, φησιν, ὅταν καὶ ἡ παρθένος πολλὰ πραγματεύηται καὶ μερίμνας ἔχῃ βιωτικάς; ἄπαγε· ἔξω ταύτην ἑλκύσας

τὸ ν' ἀκολουθήσῃ κανεὶς αὐτὸ τὸ καλὸν μὲ τὴν βίαν καὶ τὸν ἐξαναγκασμόν. Καὶ πράγματι ἔτσι ἔχει τὸ πρᾶγμα. Κάθε τι ποὺ τὸ ἀποδέχεται κανεὶς μὲ τὴν βίαν καὶ χωρὶς νὰ τὸ θέλῃ, καὶ ἂν ἀκόμη εἶναι ἐλαφρόν, γίνεται τὸ πιὸ ἀφόρητον ἀπὸ ὅλα καὶ πνίγει τὴν ψυχήν μας φοβερώτερα καὶ ἀπὸ τὴν ἀγχόνην. Διὰ τοῦτο εἶπεν' «Ὄχι διὰ νὰ σᾶς βάλω θηλιὰν εἰς τὸν λαιμόν», πρᾶγμα ποὺ σημαίνει' Ὅλα τὰ καλὰ τῆς παρθενίας σᾶς τὰ εἶπα καὶ σᾶς τὰ ἀπέδειξα καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ὅμως ἀφήνω τὸ πρᾶγμα εἰς τὴν ἐλευθέραν ἐκλογήν σας, καὶ δὲν σᾶς σύρω πρὸς τὴν ἀρετὴν χωρὶς νὰ τὸ θέλετε. Οὔτε βέβαια σᾶς ἔδωσα αὐτὰς τὰς συμβουλὰς ἐπειδὴ θέλω νὰ σᾶς στενοχωρήσω, ἀλλὰ διὰ νὰ μὴ ἐμποδισθῇ ἡ ὡραία προσπάθειά σας ἀπὸ τὰ κοσμικὰ πράγματα.

2. Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε καὶ ἐδῶ τοῦ Παύλου τὴν σύνεσιν, πῶς μὲ τὰς ὑπεκφυγὰς εἰσήγαγε καὶ πάλιν τὴν παραίνεσιν καὶ μὲ τὴν παραχώρησιν τὴν συμβουλήν. Διότι μὲ τὸ νὰ εἰπῇ' «Δὲν σᾶς ἀναγκάζω, ἀλλὰ σᾶς συμβουλεύω», καὶ νὰ προσθέσῃ «διὰ νὰ δείξετε καλὴν συμπεριφορὰν καὶ νὰ μείνετε στερεοί», ἔδειξε τὸ ἀξιοθαύμαστον τῆς παρθενίας καὶ τὸ πόσον μεγάλο εἶναι τὸ κέρδος μας ἀπὸ αὐτὸν τὸν τρόπον ζωῆς σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ. Διότι δὲν εἶναι δυνατὸν αὐτὴ ποὺ εἶναι μπλεγμένη μὲ τὰς κοσμικὰς φροντίδας καὶ εἶναι περισπασμένη παντοῦ, νὰ ἀφοσιώνεται μὲ ζῆλον εἰς τὰ πράγματα τοῦ Κυρίου, τὴν στιγμὴν ποὺ ἡ φροντίς της καὶ ὅλη ἡ ἐνέργειά της διασπᾶται εἰς πολλὰ μέρη, δηλαδὴ εἰς τὸν ἄνδρα, τὴν φροντίδα τῆς οἰκίας καὶ εἰς ὅλα τὰ ἄλλα ποὺ ὁ γάμος συνήθως ἐπισύρει μαζί του.

οζ' Περὶ τοῦ ὅτι αὐτὴ ποὺ μεριμνᾷ διὰ τὰ κοσμικὰ πράγματα δὲν εἶναι παρθένος.

Τί λοιπόν, λέγει, ὅταν καὶ ἡ παρθένος ἀσχολῆται μὲ πολλὰ πράγματα καὶ ἔχῃ κοσμικὰς φροντίδας; Μακρυὰ μιὰ τέτοια σκέψις' αὐτὴν θὰ τὴν ἀποχωρίσωμεν ἀπὸ τὸν χο-

τοῦ τῶν παρθένων χοροῦ. Οὐ γὰρ ἀρκεῖ τὸ μὴ γαμηθῆναι ποιῆσαι παρθένον, ἀλλὰ δεῖ καὶ τῆς ψυχικῆς ἁγνείας· ἁγνείαν δὲ λέγω οὐ τὸ πονηρᾶς καὶ αἰσχρᾶς ἐπιθυμίας ἀπηλλάχθαι μόνον καὶ καλλωπισμάτων καὶ περιεργίας, ἀλλὰ καὶ φροντίδος εἶναι καθαρὰν βιωτικῆς. Ἂν δὲ μὴ τοῦτο ᾖ, τί τὸ ὄφελος τῆς σωματικῆς καθαρότητος; Ὥσπερ γὰρ στρατιώτου οὐδὲν αἰσχρότερον γένοιτ' ἂν τὰ ὅπλα ῥίψαντος καὶ καπηλείοις σχολάζοντος, οὕτως οὐδὲ παρθένων ἀσχημονέστερον βιωτικαῖς ἐνδεδεμένων φροντίσι. Καὶ γὰρ αἱ πέντε ἐκεῖναι καὶ λαμπάδας εἶχον καὶ παρθενίαν ἤσκησαν, ἀλλ' οὐδενὸς τούτων ἀπώναντο, ἀλλά, τῶν θυρῶν ἀποκλεισθεισῶν, ἔμενον ἔξω καὶ ἀπώλλυντο. Καὶ γὰρ ἡ παρθενία διὰ τοῦτο καλόν, ὅτι πᾶσαν ἐκκόπτει φροντίδος ὑπόθεσιν περιττῆς καὶ πᾶσαν σχολὴν τοῖς κατὰ Θεὸν ἀνατίθησιν ἔργοις, ὡς ἂν μὴ τοῦτο ἔχοι, πολὺ τοῦ γάμου πάλιν ἐλάττων γίνεται, ἀκάνθας ἐν τῇ ψυχῇ περιφέρουσα καὶ τὸν καθαρὸν καὶ οὐράνιον συμπνίγουσα σπόρον.

οη΄ Διὰ τί μὴ σφόδρα καθάπτεται τοῦ νομίζοντος ἀσχημονεῖν ἐπὶ τὴν αὐτοῦ παρθένον.

1. «Εἰ δέ τις», φησίν, «ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει, γαμείτωσαν». Τί λέγεις, ὃ θέλει ποιείτω; Καὶ οὐ διορθοῖς τὴν ἐσφαλμένην γνώμην ἀλλ' ἐπιτρέπεις γαμεῖν; Διὰ τί γὰρ οὐκ εἶπες, εἰ δὲ ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἄθλιός ἐστι καὶ ταλαίπωρος, πρᾶγμα οὕτω θαυμαστὸν ἐπονείδιστον εἶναι νομίζων; Διὰ τί μὴ συνεβούλευσας ταύτης ἀπαλλαγέντα τῆς ὑποψίας,

62. Α΄ Κορ. 7, 36.

ρὸν τῶν παρθένων. Διότι δὲν ἀρκεῖ νὰ τὴν κάνῃ παρθένον τὸ νὰ μείνῃ ἄγαμος, ἀλλὰ χρειάζεται καὶ τῆς ψυχῆς ἡ ἁγνότης, καὶ ἁγνότητα ὀνομάζω ὄχι μόνον τὸ νὰ εἶναι ἀπηλλαγμένη ἀπὸ τὰς πονηρὰς καὶ αἰσχρὰς ἐπιθυμίας καὶ ἀπὸ τοὺς καλλωπισμοὺς καὶ τὴν περιέργειαν, ἀλλὰ καὶ νὰ εἶναι καθαρὰ ἀπὸ τὴν κοσμικὴν φροντίδα. Ἂν ὅμως δὲν συμβαίνῃ αὐτό, ποῖον τὸ ὄφελος τότε τῆς σωματικῆς καθαρότητος; Διότι, ὅπως ἀκριβῶς δὲν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ τίποτε αἰσχρότερον ἀπὸ τὸν στρατιώτην ἐκεῖνον πού, ἀφοῦ ἔρριψε τὰ ὅπλα, περνᾷ τὴν ὥραν του εἰς τὰ καπηλεῖα, ἔτσι δὲν ὑπάρχει πιὸ ἀπρεπέστερον πρᾶγμα ἀπὸ τὰς παρθένους ἐκείνας ποὺ εἶναι δεμέναι μὲ κοσμικὰς φροντίδας. Καθ' ὅσον αἱ πέντε ἐκεῖναι παρθέναι καὶ λαμπάδες εἶχον καὶ παρθενίαν ἤσκησαν, καὶ ὅμως δὲν ὠφελήθησαν εἰς τίποτε ἀπὸ αὐτό, ἀλλ' ἀφοῦ ἔκλεισαν αἱ θῦραι, ἔμεινον ἔξω καὶ ἐχάθησαν. Καθ' ὅτι ἡ παρθενία διὰ τοῦτο εἶναι καλὸν πρᾶγμα, διότι ἀποκόπτει κάθε ἀφορμὴν περιττῆς φροντίδος καὶ ἀναθέτει κάθε ἀσχολίαν της εἰς τὰ ἔργα τοῦ Θεοῦ, διότι ἐὰν δὲν τὸ ἔχῃ αὐτό, γίνεται καὶ πάλιν πολὺ πιὸ κατωτέρα ἀπὸ τὴν ἔγγαμον, γεμίζουσα τὴν ψυχήν της μὲ ἀκάνθας ποὺ καταπνίγουν τὸν καθαρὸν καὶ οὐράνιον σπόρον.

οη' Διατί δὲν ἐλέγχει μὲ αὐστηρότητα ἐκεῖνον ποὺ θεωρεῖ ἄσχημο πρᾶγμα τὸ νὰ εἶναι ἡ κόρη του παρθένος

1. «Ἐὰν ὅμως κάποιος», λέγει, «νομίζῃ ὅτι εἶναι ἄσχημον πρᾶγμα νὰ εἶναι ἡ κόρη του παρθένος, ἐὰν αὐτὴ εἶναι ὑπερηλικιωμένη καὶ θέλει νὰ τὴν ὑπανδρεύσῃ, ἄς κάνῃ αὐτὸ ποὺ θέλει· δὲν ἁμαρτάνει· ἄς τὴν ὑπανδρεύσῃ»[62]. Τί λέγεις; ἄς κάνῃ αὐτὸ ποὺ θέλει; Δὲν διορθώνεις τὴν ἐσφαλμένην γνώμην, ἀλλ' ἐπιτρέπεις νὰ τὴν ὑπανδρεύσῃ; Καὶ διατί δὲν εἶπες, Ἐὰν ὅμως νομίζῃ ὅτι εἶναι ἄσχημον πρᾶγμα νὰ μένῃ ἡ κόρη του παρθένος, εἶναι ἄθλια καὶ δυστυχής, διότι θεωρεῖ ἀτιμωτικὸν ἕνα πρᾶγμα τόσον ἄξιον θαυμασμοῦ; Διατί δὲν ἐσυμβούλευσες ν' ἀπαλλαγῇ

ἀπαγαγεῖν τοῦ γάμου τὴν αὐτοῦ θυγατέρα; Ὅτι, φησί, τῶν σφόδρα ἀσθενῶν καὶ χαμαὶ συρομένων ἦσαν αἱ τοιαῦται ψυχαί· τὰς δὲ οὕτω διακειμένας οὐκ ἐνῆν ἀθρόον ἀναγαγεῖν ἐπὶ τοὺς ὑπὲρ τῆς παρθενίας λόγους. Ὁ γὰρ οὕτω πρὸς τὰ τοῦ κόσμου πράγματα ἐπτοημένος καὶ τὸν παρόντα βίον θαυμάζων, ὡς καὶ μετὰ τὴν τοσαύτην παραίνεσιν αἰσχύνης ἄξιον εἶναι νομίζειν, ὃ τῶν οὐρανῶν ἄξιόν ἐστι καὶ τῆς ἀγγελικῆς πολιτείας ἐγγύς, πῶς ἂν ἠνέσχετο συμβουλῆς εἰς τοῦτο ἐναγούσης αὐτόν; Καὶ τί θαυμαστὸν εἰ ἐπὶ πράγματος συγκεχωρημένου τοῦτο ὁ Παῦλος ἐποίησεν, ὅπου γε ἐπὶ κεκωλυμένου καὶ παρανόμου τὸ αὐτὸ πάλιν ποιεῖ;

2. Οἷόν τι λέγω· τὸ τῆς τῶν βρωμάτων παρατηρήσεως ἔχεσθαι καὶ τοῦτο μὲν ἐγκρίνειν, ἐκεῖνο δὲ ἐκβάλλειν, Ἰουδαϊκῆς ἀσθενείας ἦν, ἀλλ' ὅμως ἦσαν παρὰ Ρωμαίοις οἱ ταύτην ἔχοντες τὴν ἀσθένειαν, καὶ οὐ μόνον αὐτῶν οὐ κατηγόρησε μετὰ σφοδρότητος, ἀλλὰ καὶ ἕτερόν τι τούτου πλέον ποιεῖ. Τοὺς γὰρ ἁμαρτάνοντας ἀφεὶς τοῖς ἐπιχειροῦσι κωλύειν αὐτοὺς ἐπιτιμᾷ λέγων· «Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου;». Ἀλλ' οὐχ ὅτε Κολοσσαεῦσιν ἐπέστειλε τοῦτο ἐποίησεν, ἀλλὰ μετὰ πολλῆς ἐξουσίας καὶ καθάπτεται αὐτῶν καὶ φιλοσοφεῖ λέγων· «Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει». Καὶ πάλιν· «Εἰ ἀπεθάνετε ἐν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζετε, μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει;».

3. Τί δήποτε οὖν τοῦτο ποιεῖ; Ὅτι ἐκεῖνοι μὲν ἦσαν ἰσχυροί, Ρωμαῖοι δὲ πολλῆς ἔτι τῆς συγκαταβάσεως ἐδέοντο,

---

63. Ρωμ. 14, 10.
64. Κολ. 2, 16.
65. Κολ. 2, 20 - 22.

ἀπὸ αὐτὴν τὴν ὑποψίαν καὶ νὰ τὴν κρατήσῃ τὴν κόρην του μακρυὰ ἀπὸ τὸν γάμον; Διότι, λέγει, αὐταὶ αἱ ψυχαὶ ἦσαν ἀνθρώπων πάρα πολὺ ἀδυνάτων πνευματικὰ καὶ προσηλωμένων εἰς τὰ γήϊνα πράγματα καὶ τὰς ψυχὰς ποὺ εὑρίσκοντο εἰς αὐτὴν τὴν κατάστασιν δὲν ἦτο δυνατὸν νὰ τὰς ὁδηγήσῃ διὰ μιᾶς εἰς τοὺς λόγους διὰ τὴν παρθενίαν. Διότι αὐτὸς ποὺ εἶναι ἔτσι ἀφωσιωμένος εἰς τὰ πράγματα τοῦ κόσμου καὶ θαυμάζει τὴν παροῦσαν ζωήν, ὥστε καὶ μετὰ ἀπὸ μίαν τέτοιαν συμβουλὴν νὰ θεωρῇ τὴν παρθενίαν πρᾶγμα ἄξιον ἐντροπῆς, αὐτὸ ποὺ εἶναι ἄξιον τῶν οὐρανῶν καὶ ἐγγίζει τὸν ἀγγελικὸν τρόπον ζωῆς, πῶς θὰ ἦτο δυνατὸν ν' ἀνεχθῇ συμβουλὴν ποὺ νὰ ὁδηγῇ αὐτὸν πρὸς αὐτό; Καὶ τί τὸ ἄξιον θαυμασμοῦ, ἐὰν αὐτὸ ὁ Παῦλος τὸ ἔκαμε διὰ πρᾶγμα ποὺ ἐπιτρέπεται, τὴν στιγμὴν ποὺ τὸ ἴδιο πρᾶγμα κάμνει καὶ πάλιν διὰ πρᾶγμα ἀπηγορευμένον καὶ παράνομον;

2. Αὐτὸ ποὺ ἐννοῶ εἶναι τὸ ἑξῆς· Τὸ ν' ἀποδεχώμεθα τὰς διακρίσεις διὰ τὰς τροφὰς καὶ ἄλλην μὲν νὰ ἐγκρίνωμεν, ἄλλην δὲ νὰ ἀπορρίπτωμεν, ἦτο ἔργον τῆς ἰουδαϊκῆς ἀδυναμίας, ἀλλ' ὅμως ὑπῆρχον καὶ μεταξὺ τῶν Ρωμαίων ποὺ εἶχον αὐτὴν τὴν ἀδυναμίαν, καὶ ὄχι μόνον δὲν κατηγόρησεν αὐτοὺς μὲ αὐστηρότητα, ἀλλὰ καὶ κάμνει κάτι ἄλλο πολὺ περισσότερον ἀπὸ αὐτό. Διότι, ἀφοῦ ἄφησε τοὺς ἁμαρτάνοντας, ἐπιτιμᾷ αὐτοὺς ποὺ ἐπιχειροῦν νὰ τοὺς ἐμποδίσουν, λέγων· «Σὺ δὲ διατί κατακρίνεις τὸν ἀδελφόν σου;»[63]. Ἀλλ' ὅμως δὲν ἔκαμνε τὸ ἴδιο πρᾶγμα γράφων πρὸς τοὺς Κολοσσαεῖς, ἀλλὰ μετὰ μεγάλης δυνάμεως καὶ ἐλέγχει αὐτοὺς καὶ φιλοσοφεῖ, λέγων· «Ἂς μὴ σᾶς κρίνῃ λοιπὸν κανεὶς διὰ τὰ φαγητὰ καὶ τὰ ποτά»[64]. Καὶ πάλιν· «Ἐφ' ὅσον ἀπεθάνατε μαζὶ μὲ τὸν Χριστὸν ὡς πρὸς τὰ πράγματα τοῦ κόσμου, διατί δίδετε παραγγέλματα ὡσὰν νὰ ζῆτε μέσα εἰς τὸν κόσμον, λέγοντες, μὴ τὸ πιάσῃς, μὴ τὸ γευθῇς, μὴ τὸ ἐγγίσῃς, πράγματα ποὺ μετὰ τὴν χρῆσιν των καταστρέφονται;»[65].

3. Διατί λοιπὸν τέλος πάντων τὸ κάμνει αὐτό; Διότι ἐκεῖνοι μὲν ἦσαν πνευματικὰ ἰσχυροί, ἐνῷ οἱ Ρωμαῖοι

καὶ περιέμεινε πρότερον τὴν πίστιν ἐν ταῖς ἐκείνων παγῆναι ψυχαῖς, δεδοικὼς μὴ πρὸ καιροῦ καὶ τοῦ δέοντος θᾶττον ἐπὶ τὸ τὰ ζιζάνια ἀνασπάσαι ἐλθὼν πρόρριζα μετ' αὐτῶν συναναςπάσῃ καὶ τὰ τῆς ὑγιοῦς διδασκαλίας φυτά. Διὰ τοῦτο οὔτε καθικνεῖται αὐτῶν σφοδρῶς οὔτε ἀνεπιτιμήτους ἀφίησιν ἀλλὰ καθάπτεται μέν, ἀνυπόπτως δὲ καὶ λανθανόντως καὶ ἐν τῇ τῶν ἑτέρων ἐπιτιμήσει. Τὸ γὰρ λέγειν, «Τῷ ἰδίῳ Κυρίῳ στήκει ἢ πίπτει», δοκεῖ μὲν ἐπιστομίζειν τὸν ἐπιπλήττοντα ἐκείνῳ· τὸ δὲ ἀληθὲς τὴν τούτου δάκνει ψυχήν, ἐμφαίνων ὅτι τὸ τὰ τοιαῦτα αἱρεῖσθαι οὐ τῶν βεβαίων οὐδὲ τῶν παγίως ἑστώτων ἐστίν, ἀλλὰ τῶν ἔτι σαλευομένων, τῶν μὴ ἱσταμένων καὶ πεσεῖν κινδυνευόντων.

4. Τὸν αὐτὸν δὴ κἀνταῦθα φυλάττει νόμον διὰ τὴν πολλὴν ἀσθένειαν τοῦ αἰσχυνομένου τῷ πράγματι. Οὐ γὰρ φανερῶς πρὸς αὐτὸν ἀποτείνεται, ἀλλ' ἐν τοῖς ἐπαίνοις τοῦ τὴν ἑαυτοῦ διατηροῦντος παρθένον δίδωσιν αὐτῷ σφοδρὰν τὴν πληγήν. Τί γάρ φησιν; «Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ». Τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν εἴρηται τοῦ εὐκόλως καὶ εὐχερῶς περιφερομένου καὶ οὐδέποτε βέβαια βαδίζειν εἰδότος οὐδὲ ἑστάναι μετὰ πολλῆς τῆς ἀνδρείας. Εἶτα, ἐπειδὴ συνεῖδεν ἱκανὸν ὄντα τὸν λόγον δακεῖν τὴν ἐκείνου ψυχήν, ὅρα πῶς αὐτὸν συνεσκίασε πάλιν αἰτίαν ἐπαγαγὼν οὐ σφόδρα κατηγορίας ἀξίαν. Εἰπὼν γὰρ «Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ», προσέθηκε «Μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχων». Καίτοι ἀκόλουθον ἦν εἰπεῖν· ὃς δὲ ἕστηκεν ἑδραῖος καὶ μὴ νομίζων τὸ πρᾶγμα ἀσχημοσύνην εἶναι· ἀλλὰ τοῦτο πληκτικώτερον ἦν. Διὸ ἕτερον ἀντὶ τούτου προσέθηκε παραμυθούμενος αὐτὸν καὶ διδοὺς μᾶλλον ἐπὶ ταύτην

66. Ρωμ. 14, 4.
67. Α' Κορ. 7, 37.

ἐχρειάζοντο ἀκόμη πολλῆς συγκαταβάσεως, καὶ ἐπερίμενε πρῶτα νὰ σταθεροποιηθῇ ἡ πίστις μέσα εἰς τὰς ψυχάς των, φοβούμενος μήπως, ἐρχόμενος πρὶν ἀπὸ τὴν ὥραν καὶ γρηγορώτερα ἀπὸ ὅ,τι χρειάζεται ν' ἀποκόψῃ τὰ ζιζάνια, ἐκριζώσῃ μαζὶ μὲ αὐτὰ καὶ τὰ ὑγιῆ φυτὰ τῆς διδασκαλίας. Διὰ τοῦτο δὲν ψέγει αὐτοὺς μὲ αὐστηρότητα οὔτε τοὺς ἀφήνει χωρὶς νὰ τοὺς ἐπιτιμήσῃ, ἀλλὰ τοὺς ἐπιτιμᾷ μὲν ἀλλ' ἀνύποπτα καὶ κατὰ τρόπον κεκαλυμμένον καὶ μὲ τὸ ὅτι ἐπιτιμᾷ τοὺς ἄλλους. Διότι τὰ λόγια του, «Διὰ τὸν ἴδιον Κύριον μένει ἢ πίπτει ἀπὸ τὴν πίστιν»[66], φαίνεται μὲν ὅτι ἀποστομώνουν ἐκεῖνον ποὺ ἐπικρίνει αὐτόν, εἰς τὴν πραγματικότητα ὅμως πληγώνουν τὴν ψυχὴν ἐκείνου, δεικνύων, ὅτι τὸ νὰ προτιμᾷ κανεὶς αὐτὰ εἶναι δεῖγμα ὄχι τῶν σταθερῶν καὶ ἀκλονήτων εἰς τὴν πίστιν ἀνθρώπων, ἀλλ' ἐκείνων ποὺ ἀκόμη ταλαντεύονται, ποὺ δὲν στέκονται σταθερὰ καὶ κινδυνεύουν νὰ πέσουν.

4. Τὸν ἴδιον λοιπὸν νόμον τηρεῖ καὶ ἐδῶ, λόγῳ τῆς μεγάλης πνευματικῆς ἀτελείας αὐτοῦ ποὺ αἰσθάνεται ἐντροπὴν διὰ τὴν παρθενίαν. Διότι δὲν ἀπευθύνεται πρὸς αὐτὸν φανερά, ἀλλ', ἐπαινῶν αὐτὸν ποὺ διατηρεῖ τὴν κόρην του παρθένον, τοῦ δίδει ἰσχυρὸν πλῆγμα. Τί λέγει δηλαδή, «Ἐκεῖνος ποὺ ἔχει ἀκλόνητον τὴν πίστιν εἰς τὴν καρδίαν του»[67]. Αὐτὸ ἐλέχθη πρὸς ἀντιδιαστολὴν ἐκείνου ποὺ περιφέρεται μὲ εὐκολίαν καὶ εὐχέρειαν καὶ δὲν γνωρίζει ποτὲ νὰ βαδίζῃ σταθερὰ οὔτε νὰ στέκεται μὲ πολλὴν ἀνδρείαν. Ἔπειτα, ἐπειδὴ εἶδεν ὅτι ὁ λόγος ἦτο ἱκανὸς νὰ πληγώσῃ τὴν ψυχήν του, πρόσεχε πῶς πάλιν ἐπεσκίασεν αὐτόν, προσθέσας αἰτίαν, ἀξίαν ὄχι πολὺ μεγάλης κατηγορίας. Διότι, ἀφοῦ εἶπεν, «Αὐτὸς δὲ ποὺ ἔχει ἀκλόνητον τὴν πίστιν εἰς τὴν καρδίαν του», ἐπρόσθεσε· «Καὶ δὲν ἐξαναγκάζεται ἀπὸ πουθενά, ἀλλ' εἶναι κύριος τῆς θελήσεώς του». Μολονότι βέβαια θὰ ἦτο πιὸ φυσικὸν νὰ εἰπῇ· Αὐτὸς δὲ ποὺ εἶναι ἀκλόνητος καὶ δὲν θεωρεῖ τὸ πρᾶγμα ἄξιον ἐντροπῆς· ἀλλ' αὐτὸ ἔδιδε μεγαλύτερον πλῆγμα. Διὰ τοῦτο ἐπρόσθεσεν ἄλλο ἀντ' αὐτοῦ, παρηγορῶν αὐτὸν καὶ διὰ νὰ τοῦ δώσῃ τὴν ἀφορμὴν νὰ ἔλθῃ πρὸς αὐτὴν τὴν αἰτίαν.

ἐλθεῖν τὴν αἰτίαν. Οὐ γὰρ οὕτω δεινὸν τὸ πρᾶγμα δι' ἀνάγκην κωλύειν ὡς δι' αἰσχύνην. Τοῦτο μὲν γὰρ ψυχῆς ἐστιν ἀνάνδρου καὶ ταλαιπώρου, ἐκεῖνο δὲ καὶ διεστραμμένης καὶ οὐδὲ τὴν τῶν πραγμάτων φύσιν ἐπισταμένης κρίνειν ὀρθῶς.

5. Ἀλλὰ τούτων οὔπω τῶν λόγων ἦν ὁ καιρός, ἐπεὶ ὅτι γε οὐδὲ ἀνάγκης ἐπικειμένης θέμις τὴν προῃρημένην παρθενεύειν κωλύεσθαι, ἀλλὰ πρὸς πάντα ἵστασθαι χρὴ γενναίως τὰ διακόπτοντα τὴν καλὴν ταύτην ὁρμήν, ἄκουσον τί φησιν ὁ Χριστός· «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος». Ὅταν γάρ τι μετίωμεν τῶν τῷ Θεῷ δοκούντων, ἅπας ὁ κωλύων ἐχθρὸς ἔστω καὶ πολέμιος, κἂν πατὴρ ᾖ κἂν μήτηρ κἂν ὁστισοῦν ἕτερος. Ἀλλ' ὁ Παῦλος ἔτι διαβαστάζων τῶν ἀκουόντων τὸ ἀτελὲς ταῦτα ἔγραφε, λέγων· «Ὃς δὲ ἕστηκεν ἑδραῖος μὴ ἔχων ἀνάγκην». Καὶ οὐδὲ μέχρι τούτου τὸν λόγον ἔστησε, καίτοι γε τὸ «Μὴ ἔχων ἀνάγκην» καὶ «Ἐξουσίαν ἔχων» ταὐτόν ἐστιν.

6. Ἀλλὰ τῷ μήκει τοῦ λόγου καὶ τῇ συνεχείᾳ τῶν συγχωρήσεων τὴν εὐτελῆ καὶ μικρὰν παραμυθεῖται διάνοιαν, μετὰ τούτων καὶ ἑτέραν αἰτίαν προσθεὶς τὸ «Ὃς κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ». Οὐ γὰρ ἀρκεῖ τὸ ἐλεύθερον εἶναι οὐδὲ ἀπὸ τούτου μόνον ὑπεύθυνός ἐστιν, ἀλλ' ὅταν ἕληται καὶ κρίνῃ τότε καλῶς ποιεῖ. Εἶτα ἵνα μὴ νομίσῃς διὰ τὴν πολλὴν συγκατάβασιν μηδὲν εἶναι τὸ μέσον, τίθησι πάλιν τὴν διαφορὰν μεθ' ὑποστολῆς μέν, τίθησι δ' ὅμως λέγων· «Ὥστε καὶ ὁ ἐκγαμίζων καλῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ». Ἀλλ' ἐνταῦθα μὲν ὅσον τὸ κρεῖττον οὐκ ἔδειξε διὰ τὴν αὐτὴν πάλιν αἰτίαν, σὺ δὲ εἰ θέλεις μαθεῖν ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «Οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' εἰσὶν

---

68. Ματθ. 10, 37.
69. Α΄ Κορ. 7, 38.

Διότι τὸ πρᾶγμα δὲν εἶναι τόσον φοβερὸν ὅταν κανεὶς τὸ ἐμποδίζῃ ἀπὸ ἀνάγκην, ὅσον εἶναι ὅταν τὸ ἐμποδίζῃ ἀπὸ ἐντροπήν. Καθ' ὅσον αὐτὸ μὲν εἶναι δεῖγμα ψυχῆς ἀνάνδρου καὶ ἀθλίας, ἐκεῖνο δὲ διεστραμμένης καὶ ποὺ δὲν γνωρίζει νὰ κρίνῃ ὀρθῶς τὴν φύσιν τῶν πραγμάτων.

5. Ἀλλὰ δὲν ἦτο ἀκόμη ὁ καιρὸς δι' αὐτὰ τὰ λόγια, καὶ τὸ ὅτι δὲν ἐπιτρέπεται, ἀνάγκης ἐπικειμένης, νὰ ἐμποδίζωμεν αὐτὴν ποὺ ἐπροτίμησε τὴν παρθενίαν, ἀλλὰ πρέπει νὰ ἀνθιστάμεθα μὲ γενναιότητα πρὸς ὅλα ἐκεῖνα ποὺ ἐμποδίζουν αὐτὴν τὴν καλὴν ὁρμήν, ἄκουσε τί λέγει ὁ Χριστός· «Αὐτὸς ποὺ ἀγαπᾷ τὸν πατέρα ἢ τὴν μητέρα του περισσότερον ἀπὸ ἐμένα δὲν εἶναι ἄξιος διὰ μαθητής μου»[68]. Διότι ὅταν πράττωμεν κάτι ἀπὸ τὰ ἀρεστὰ εἰς τὸν Θεόν, πρέπει νὰ θεωρῆται ἐχθρὸς καὶ πολέμιος ὁ καθένας ποὺ μᾶς ἐμποδίζει, εἴτε εἶναι πατέρας εἴτε μητέρα εἴτε ὁποιοσδήποτε ἄλλος. Ἀλλ' ὁ Παῦλος ἀνεχόμενος ἀκόμη τὴν πνευματικὴν ἀτέλειαν τῶν ἀκροατῶν του ἔγραφεν αὐτά, λέγων· «Ἐκεῖνος ποὺ ἔχει ἀκλόνητον τὴν καρδίαν του καὶ δὲν εὑρίσκεται εἰς κατάστασιν ἀνάγκης». Καὶ δὲν ἐσταμάτησε τὸν λόγον ἐδῶ, μολονότι βέβαια τὸ «Μὴ ἔχων ἀνάγκην καὶ τὸ «Ἐξουσίαν ἔχων», σημαίνουν τὸ ἴδιο.

6. Ἀλλὰ μὲ τὸ μῆκος τοῦ λόγου καὶ τὰς συνεχεῖς παραχωρήσεις παρηγορεῖ τὴν εὐτελῆ καὶ χαμηλὴν διάνοιαν, καὶ μαζὶ μὲ αὐτὰ προσθέτει καὶ ἄλλην αἰτίαν· «Ὁ ὁποῖος ἀπεφάσισεν αὐτὸ μέσα εἰς τὴν καρδίαν του». Διότι δὲν ἀρκεῖ νὰ εἶναι κανεὶς ἐλεύθερος, οὔτε μόνον ὅταν εἶναι ἐλεύθερος εἶναι ὑπεύθυνος, ἀλλὰ τότε ἐνεργεῖ καλῶς ὅταν ἐκλέξῃ κάτι ἀφοῦ πρῶτα τὸ ἐξετάσῃ. Ἔπειτα, διὰ νὰ μὴ νομίσῃς ὅτι ἐξ αἰτίας τῆς πολλῆς συγκαταβάσεως δὲν ὑπάρχει καμμία διαφορὰ μεταξὺ αὐτῶν, ἀναφέρει πάλιν τὴν διαφορὰν μὲ κάποιαν ἐπιφύλαξιν μέν, ἀλλ' ὁπωσδήποτε τὴν ἀναφέρει· «Ὥστε καὶ ἐκεῖνος ποὺ τὴν ὑπανδρεύει ἐνεργεῖ καλῶς, ἐνῷ ἐκεῖνος ποὺ δὲν τὴν ὑπανδρεύει ἐνεργεῖ καλύτερα»[69]. Καὶ ἐδῶ μὲν ἔδειξε πόσον καλύτερα ἐνεργεῖ, διὰ τὴν ἰδίαν καὶ πάλιν αἰτίαν, σὺ ὅμως ἐὰν θέλῃς νὰ μάθῃς ἄκουσε τὸν Χριστὸν ποὺ λέγει· «Οὔτε οἱ ἄνδρες

ὡς ἄγγελοι ἐν οὐρανῷ». Εἶδες τὸ μέσον, ποῦ τὸ θνητὸν ἡ παρθενία ἀθρόον αἴρει, ὅταν ὄντως ᾖ παρθενία;

οθ΄ Ὅτι τῶν ἀγγέλων οὐδὲν ἀπεῖχον οἱ περὶ τὸν Ἠλίαν καὶ ὅτι ἡ παρθενία τοιούτους αὐτοὺς ἐποίησεν.

1. Τί γὰρ τῶν ἀγγέλων ἀπεῖχον, εἰπέ μοι, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ Ἰωάννης, οὗτοι οἱ γνήσιοι τῆς παρθενίας ἐρασταί; Οὐδέν, ἀλλ' ἢ ὅσον θνητῇ προσεδέδεντο φύσει. Τὰ δὲ ἄλλα εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐδὲν χεῖρον ἐκείνων εὑρήσει διακειμένους. Καὶ τοῦτο δὲ αὐτὸ τὸ δοκοῦν ἐλάττωμα εἶναι μέγα εἰς ἐγκωμίου λόγον ἐστί. Τὸ γὰρ γῆν οἰκοῦντας καὶ τῇ τῆς θνητῆς φύσεως ὑποκειμένους ἀνάγκῃ δυνηθῆναι φθάσαι πρὸς ἐκείνην τὴν ἀρετήν, ὅρα πόσης ἀνδρείας, πόσης φιλοσοφίας ἦν. Ὅτι δὲ αὐτοὺς ἡ παρθενία τοιούτους ἐποίησε δῆλον ἐκεῖθεν· εἰ γὰρ γυναῖκα εἶχον καὶ παῖδας, οὐκ ἂν εὐκλως τὴν ἐρημίαν ᾤκησαν, οὐκ οἰκίας κατεφρόνησαν, οὐκ ἂν τῆς ἄλλης τοῦ βίου κατασκευῆς. Νῦν δὲ πάντων τούτων ἀπολυθέντες τῶν δεσμῶν ὡς ἐν οὐρανοῖς ὄντες οὕτως διέτριβον ἐπὶ τῆς γῆς. Οὐ τοίχων ἐδέοντο, οὐκ ὀροφῆς, οὐ κλίνης, οὐ τραπέζης, οὐκ ἄλλου τῶν τοιούτων τινός, ἀλλ' ἀντὶ μὲν στέγης εἶχον τὸν οὐρανόν, ἀντὶ δὲ κλίνης τὴν γῆν, ἀντὶ δὲ τραπέζης τὴν ἐρημίαν.

2. Καὶ πρᾶγμα ὃ τοῖς ἄλλοις αἴτιον εἶναι λιμοῦ δοκεῖ τῆς ἐρημίας ἡ ἀκαρπία, τοῦτο τοὺς ἁγίους ἐκείνους ἐν ἀφθονίᾳ καθίστησιν. Οὐ γὰρ ἀμπέλων αὐτοῖς ἐδέησεν οὐδὲ ληνῶν οὐδὲ ληΐων οὐδὲ ἀμητοῦ, ἀλλὰ τὸ μὲν ποτὸν αὐτοῖς ἄφθονον

---

70. Ματθ. 22, 30.

συνάπτουν γάμον, οὔτε αἱ γυναῖκες ὑπανδρεύονται, ἀλλ' ζοῦν ὅπως οἱ ἄγγελοι εἰς τὸν οὐρανόν»[78]. Εἶδες τὴν διαφοράν, ποῦ αὐτόματα ὑψώνει ἡ παρθενία τὸν θνητόν, ὅταν εἶναι πραγματικὴ παρθενία;

οθ' Περὶ τοῦ ὅτι οἱ περὶ τὸν προφήτην Ἠλίαν δὲν διέφερον καθόλου ἀπὸ τοὺς ἀγγέλους καὶ ὅτι τέτοιους τοὺς ἔκαμεν ἡ παρθενία.

1. Εἰπέ μου λοιπόν, εἰς τί διέφερον ἀπὸ τοὺς ἀγγέλους ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ Ἰωάννης, αὐτοὶ οἱ γνήσιοι ἐρασταὶ τῆς παρθενίας; Εἰς τίποτε, παρὰ μόνον ὡς πρὸς τὸ ὅτι ἦσαν ἐνδεδυμένοι μὲ τὴν θνητὴν φύσιν. Ὡς πρὸς δὲ τὰ ἄλλα, ἐὰν κανεὶς τὰ ἐξετάσῃ μὲ ἀκρίβειαν, θὰ εὕρῃ ὅτι ἔζων ὄχι κατώτερα ἀπὸ τοὺς ἀγγέλους. Καὶ αὐτὸ ἀκριβῶς ποὺ φαίνεται ὅτι εἶναι ἐλάττωμα, εἶναι ἄξιον πολλῶν ἐγκωμίων. Τὸ ὅτι δηλαδὴ κατοικοῦντες εἰς τὴν γῆν καὶ εὑρισκόμενοι κάτω ἀπὸ τοὺς νόμους τῆς θνητῆς φύσεως κατώρθωσαν νὰ φθάσουν πρὸς ἐκείνην τὴν ἀρετήν, πρόσεχε πόσης ἀνδρείας ἦτο καὶ πόσης φιλοσοφίας. Τὸ ὅτι δὲ αὐτοὺς τοὺς ἔκαμε τέτοιους ἡ παρθενία, γίνεται φανερὸν ἀπὸ τὸ ἑξῆς· διότι ἐὰν εἶχον γυναῖκα καὶ παιδιά, δὲν θὰ ἠμποροῦσαν εὔκολα νὰ κατοικήσουν εἰς τὴν ἐρημίαν, δὲν θὰ ἐπεριφρονοῦσαν τὴν οἰκίαν των καὶ ὅλα τὰ ἄλλα πράγματα τῆς ζωῆς. Ἐνῷ τώρα, ἀπαλλαγέντες ἀπὸ ὅλα αὐτὰ τὰ δεσμά, ἔτσι ἔζων ἐπάνω εἰς τὴν γῆν, ὡσὰν νὰ ἔζων εἰς τὸν οὐρανόν. Δὲν εἶχον ἀνάγκην ἀπὸ τοίχους, οὔτε ἀπὸ στέγην, οὔτε ἀπὸ κλίνην, οὔτε ἀπὸ τράπεζαν, οὔτε ἀπὸ τίποτε ἄλλο παρόμοιον, ἀλλ' ἀντὶ στέγης εἶχον τὸν οὐρανόν, ἀντὶ δὲ τῆς κλίνης τὴν γῆν, ἀντὶ δὲ τῆς τραπέζης τὴν ἐρημίαν.

2. Καὶ αὐτὸ ποὺ διὰ τοὺς ἄλλους θεωρεῖται αἰτία πείνης, δηλαδὴ ἡ ἀκαρπία τῆς ἐρημίας, αὐτὸ ἔδιδεν εἰς ἐκείνους τοὺς ἁγίους ἀφθονίαν ἀγαθῶν. Διότι αὐτοὶ δὲν ἐχρειάσθησαν ἀμπέλια οὔτε πατητήρια διὰ τὰ σταφύλια, οὔτε ἀγροὺς μὲ σιτάρι, οὔτε συγκομιδὴν καρπῶν, ἀλλὰ τὸ μὲν

παρεῖχον καὶ ἡδὺ πηγαὶ καὶ ποταμοὶ καὶ λίμναι, τράπεζαν δὲ τῷ μὲν ἄγγελος κατεσκεύαζε θαυμαστήν τινα καὶ παράδοξον καὶ μείζονα ἢ κατ' ἀνθρωπίνην συνήθειαν. «Ὁ γὰρ εἷς ἄρτος», φησί, «πρὸς τεσσαράκοντα ἡμερῶν ἀσιτίαν διήρκεσε». Τὸν δὲ ἡ τοῦ πνεύματος χάρις πολλάκις ἔτρεφε θαυματουργοῦντα, καὶ οὐκ αὐτὸν μόνον ἀλλὰ καὶ δι' ἐκείνου ἑτέρους. Ὁ δὲ προφήτου πλέον Ἰωάννης, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, οὐδὲ ἀνθρωπίνης ἐδεήθη τροφῆς· οὐ γὰρ σῖτος καὶ οἶνος καὶ ἔλαιον, ἀλλ' ἀκρίδες καὶ μέλι ἄγριον τὴν τοῦ σώματος αὐτοῦ διεκράτουν ζωήν. Εἶδες ἀγγέλους ἐπὶ τῆς γῆς; Εἶδες παρθενίας ἰσχύν; Τοὺς αἵματι καὶ σαρκὶ συμπεπλεγμένους, τοὺς χαμαὶ ἐρχομένους, τοὺς ἀνάγκῃ φύσεως ὑποκειμένους θνητῆς, ὡς ἀσωμάτους, ὡς τὸν οὐρανὸν ἤδη λαχόντας, ὡς ἀθανασίαν μετειληφότας, οὕτως ἅπαντα ποιεῖν παρεσκεύαζεν.

π' Τί τὸ εὔσχημον καὶ εὐπρόσεδρον.

1. Πάντα γὰρ ἐκείνοις ἦν περιττά, οὐ ταῦτα μόνον τὰ ὄντως ὄντα περιττά, τρυφὴ καὶ πλοῦτος καὶ δυναστεία καὶ δόξα καὶ ὁ λοιπὸς τῶν ὀνείρων τούτων ὁρμαθός, ἀλλὰ καὶ τὰ δοκοῦντα εἶναι ἀναγκαῖα, οἰκίαι καὶ πόλεις καὶ τέχναι. Τοῦτό ἐστιν τὸ «Εὔσχημον καὶ εὐπρόσεδρον» εἶναι, τοῦτο παρθενίας ἀρετή. Θαυμαστὸν μὲν γὰρ καὶ πολλῶν στεφάνων ἄξιον καὶ τὸ τῆς τῶν ἐπιθυμιῶν περιγενέσθαι λύττης καὶ μαινομένην κατέχειν τὴν φύσιν, ἀλλὰ τότε ὄντως γίνεται θαυμαστόν, ὅταν ὁ τοιοῦτος βίος προσῇ, αὐτὸ δὲ καθ' ἑαυτὸ ἀσθενὲς καὶ οὐχ ἱκανὸν σῶσαι τοὺς ἔχοντας. Καὶ μαρτυρήσειαν ἂν ἡμῖν

ποτὸν τοὺς τὸ παρεῖχον ἄφθονον καὶ γλυκὺ αἱ πηγαὶ καὶ οἱ ποταμοὶ καὶ αἱ λίμναι, τράπεζαν δέ, εἰς ἄλλον μὲν προετοίμαζεν ὁ ἄγγελος θαυμαστὴν καὶ παράδοξον καὶ μεγαλυτέρας διαρκείας ἀπὸ ὅ,τι ἀνθρωπίνως συνηθίζεται. Διότι λέγει· «Ὁ ἕνας ἄρτος διήρκει διὰ τροφὴν σαράντα ἡμερῶν». Τὸν ἄλλον πολλὲς φορὲς τὸν ἔτρεφε ἡ χάρις τοῦ πνεύματος κατὰ τρόπον θαυματουργικόν, καὶ ὄχι μόνον αὐτόν, ἀλλὰ δι' ἐκείνου καὶ ἄλλους. Ὁ δὲ Ἰωάννης ποὺ ἦτο περισσότερον ἀπὸ προφήτης, ποὺ μεγαλύτερόν του δὲ ἐγέννησε γυναῖκα, δὲν ἐχρειάσθη ἀνθρωπίνης τροφῆς· διότι ἐκράτουν εἰς τὴν ζωὴν τὸ σῶμα του ὄχι σῖτος καὶ οἶνος καὶ ἔλαιον, ἀλλ' οἱ τρυφεροὶ βλαστοὶ τῶν δένδρων καὶ τὸ ἄγριον μέλι. Εἶδες ἀγγέλους ἐπάνω εἰς τὴν γῆν; εἶδες δύναμιν παρθενίας; Τοὺς περιβεβλημένους ἀπὸ αἷμα καὶ σάρκα, τοὺς ζῶντας ἐπάνω εἰς τὴν γῆν, τοὺς ὑποκειμένους εἰς τοὺς νόμους τῆς θνητῆς φύσεως, ἔτσι τοὺς ἔκαμνε ν' ἀντιμετωπίζουν ὅλα αὐτά, ὡσὰν νὰ ἦσαν ἀσώματοι, ὡσὰν νὰ ἔζων ἤδη εἰς τὸν οὐρανόν, ὡσὰν νὰ εἶχον καταστῇ ἀθάνατοι.

π' Τί εἶναι τὸ εὔσχημον καὶ εὐπρόσεδρον.

1. Ὅλα λοιπὸν εἰς ἐκείνους ἦσαν περιττά, ὄχι μόνον αὐτὰ ποὺ πράγματι εἶναι περιττά, ἡ τρυφή, ὁ πλοῦτος, ἡ ἐξουσία, ἡ δόξα καὶ τὸ ὑπόλοιπον πλῆθος αὐτῶν τῶν ὀνείρων, ἀλλὰ καὶ αὐτὰ ποὺ φαίνονται ὅτι εἶναι ἀναγκαῖα, αἱ οἰκίαι, αἱ πόλεις καὶ αἱ τέχναι. Αὐτὸ εἶναι τὸ «εὔσχημον καὶ εὐπρόσεδρον» κάποιου, αὐτὸ εἶναι ἡ ἀρετὴ τῆς παρθενίας. Διότι εἶναι ἀξιοθαύμαστον καὶ ἄξιον πολλῶν στεφάνων καὶ τὸ νὰ νικᾷ κανεὶς τὴν λύσσαν τῶν ἐπιθυμιῶν καὶ νὰ συγκρατῇ τὴν μαινομένην φύσιν, ἀλλὰ τότε πράγματι γίνεται θαυμαστόν, ὅταν προστεθῇ καὶ αὐτὸς ὁ τρόπος ζωῆς, διότι ἡ παρθενία αὐτὴ καθ' ἑαυτὴν εἶναι πρᾶγμα ἀσθενὲς καὶ δὲν εἶναι ἱκανὴ νὰ σώσῃ αὐτοὺς ποὺ τὴν ἀσκοῦν. Καὶ ἠμποροῦν νὰ μᾶς τὸ ἐπιβεβαιώσουν ὅσαι καὶ

ὅσαι παρθενίαν μὲν ἀσκοῦσι καὶ νῦν, τοσοῦτον δὲ ἀποδέουσιν Ἠλίου καὶ Ἐλισσαίου καὶ Ἰωάννου, ὅσον ἡ γῆ τοῦ οὐρανοῦ.

2. Ὥσπερ γὰρ τὸ εὔσχημον καὶ εὐπρόσεδρον ἂν περιέλῃς, αὐτὰ τὰ νεῦρα τῆς παρθενίας ἐξέκοψας, οὕτως ὅταν αὐτὴν μετὰ πολιτείας ἔχῃς ἀρίστης, τὴν ρίζαν καὶ τὴν ὑπόθεσιν ἔχεις τῶν καλῶν. Καθάπερ γὰρ ρίζαν γῆ λιπαρὰ καὶ γόνιμος, οὕτως οἶδεν ἀρίστη πολιτεία τρέφειν τοὺς τῆς παρθενίας καρπούς, μᾶλλον δὲ καὶ ρίζα καὶ καρπὸς παρθενίας ὁ ἐσταυρωμένος βίος ἐστίν. Αὕτη τοὺς γενναίους ἐκείνους πρὸς τὸν θαυμαστὸν ἤλειψε δρόμον, πάντα μὲν αὐτῶν τὰ δεσμὰ περικόψασα, ποσὶ δὲ εὐλύτοις καὶ κούφοις καθάπερ πτηνοὺς ἀφεῖσα πέτεσθαι πρὸς τὸν οὐρανόν. Ὅπου γὰρ οὔτε γυναικὸς θεραπεία οὔτε παίδων ἐπιμέλεια, πολλὴ τῆς ἀκτημοσύνης ἡ εὐκολία, ἀκτημοσύνη δὲ ἐγγὺς εἶναι ποιεῖ τῶν οὐρανῶν, οὐ φόβων μόνον οὐδὲ φροντίδων οὐδὲ κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης δυσκολίας ἡμᾶς ἀπαλλάττουσα.

πα΄ Πόσον ἡ ἀκτημοσύνη καλόν.

Ὁ γὰρ μηδὲν ἔχων ὡς πάντα κατέχων, οὗτος ἁπάντων καταφρονεῖ καὶ παρρησίᾳ κέχρηται πολλῇ καὶ πρὸς ἄρχοντας καὶ πρὸς δυνάστας καὶ πρὸς αὐτὸν τὸν τὸ διάδημα περικείμενον. Ὁ γὰρ χρημάτων καταφρονῶν ὁδῷ προβαίνων καὶ θανάτου καταφρονήσει ραδίως. Τούτων δὲ γενόμενος ἀνωτέρω, πᾶσι μετὰ παρρησίας διαλέξεται οὐδένα δεδοικὼς οὐδὲ τρέμων. Ὁ δὲ περὶ χρήματα ἠσχολημένος οὐ χρημάτων ἐστὶ μόνον δοῦλος, ἀλλὰ καὶ δόξης καὶ τιμῆς καὶ τῆς παρούσης ζωῆς καὶ πάντων ἁπλῶς εἰπεῖν τῶν βιωτικῶν. Διὰ τοῦτο ρίζαν αὐτὴν τῶν κακῶν πάντων ὁ Παῦλος ἐκάλεσεν. Ἀλλὰ

σήμερον ἀσκοῦν μὲν τὴν παρθενίαν, ἀλλὰ τόσον πολὺ ἀπέχουν ἀπὸ τὸν Ἠλίαν καὶ τὸν Ἐλισσαῖον καὶ τὸν Ἰωάννην, ὅσον ἡ γῆ ἀπὸ τὸν οὐρανόν.

2. Διότι ὅπως ἀκριβῶς ἐὰν ἀφαιρέσῃς τὸ εὔσχημον καὶ εὐπρόσεδρον, κατέκοψες τὰ ἴδια τὰ νεῦρα τῆς παρθενίας, ἔτσι ὅταν τὴν ἀσκῇς αὐτὴν μαζὶ μὲ τὸν ἄριστον τρόπον ζωῆς, ἔχεις τὴν ρίζαν καὶ τὴν πηγὴν τῶν καλῶν. Διότι ὅπως ἀκριβῶς τὴν ρίζαν τὴν τρέφει γῆ λιπαρὰ καὶ γόνιμος, ἔτσι γνωρίζει καὶ ὁ ἄριστος τρόπος ζωῆς νὰ τρέφῃ τοὺς καρποὺς τῆς παρθενίας, μᾶλλον δὲ καὶ ρίζα καὶ καρπὸς τῆς παρθενίας εἶναι ὁ ἐσταυρωμένος βίος. Αὐτὴ ἤσκησε τοὺς γενναίους ἐκείνους πρὸς τὸν θαυμαστὸν δρόμον, ἀποκόψασα ὅλα αὐτὰ τὰ δεσμὰ καὶ ἀφήσασα αὐτοὺς νὰ πετοῦν πρὸς τὸν οὐρανόν, ὡσὰν πτερωτοὶ μὲ πόδια εὐκίνητα καὶ ἀνάλαφρα. Διότι ὅπου δὲν ὑπάρχει οὔτε περιποίησις γυναικός, οὔτε φροντὶς διὰ παιδιά, εἶναι μεγάλη ἡ εὐκολία τῆς ἀκτημοσύνης, ἡ δὲ ἀκτημοσύνη μᾶς κάμνει νὰ εἴμεθα πλησίον τῶν οὐρανῶν, ἀπαλλάττουσα ἡμᾶς ὄχι μόνον ἀπὸ τοὺς φόβους, τὰς φροντίδας καὶ τοὺς κινδύνους, ἀλλὰ καὶ ἀπὸ τὴν ἄλλην δυσκολίαν.

πα΄ Περὶ τοῦ πόσον καλὸν πρᾶγμα εἶναι ἡ ἀκτημοσύνη.

Πράγματι ἐκεῖνος ποὺ δὲν ἔχει τίποτε, ὡσὰν νὰ τὰ ἔχῃ ὅλα, περιφρονεῖ τὰ πάντα καὶ ἐπιδεικνύει μεγάλην παρρησίαν καὶ πρὸς τοὺς ἄρχοντας καὶ πρὸς τοὺς ἀσκοῦντας τὴν ἐξουσίαν καὶ πρὸς αὐτὸν τὸν ἴδιον τὸν βασιλέα. Αὐτὸς δὲ ποὺ περιφρονεῖ τὰ χρήματα προχωρῶν σιγὰ σιγὰ θὰ περιφρονήσῃ εὔκολα καὶ τὸν θάνατον. Ἀφοῦ δὲ θέσῃ τὸν ἑαυτόν του ἐπάνω ἀπὸ αὐτά, θὰ ὁμιλῇ πρὸς ὅλους μὲ παρρησίαν, χωρὶς νὰ φοβῆται καὶ νὰ τρέμῃ κανένα. Ἐνῷ ἐκεῖνος ποὺ ἀσχολεῖται μὲ τὰ χρήματα, ὄχι μόνον εἶναι δοῦλος τῶν χρημάτων, ἀλλὰ καὶ τῆς δόξης καὶ τῆς τιμῆς καὶ τῆς παρούσης ζωῆς καὶ μὲ μίαν λέξιν ὅλων γενικῶς τῶν κοσμικῶν πραγμάτων. Διὰ τοῦτο ὁ Παῦλος ὠνόμασε τὴν φιλαργυρίαν ρίζαν ὅλων τῶν κακῶν. Ἀλλ' αὐτὴν τὴν

ταύτην ἱκανὴ ξηρᾶναι τὴν ῥίζαν ἡ παρθενία καὶ ἑτέραν ἡμῖν ἐνθεῖναι τὴν ἀρίστην, τὴν ἅπαντα βλαστάνουσαν τὰ καλά, ἐλευθερίαν, παρρησίαν, ἀνδρείαν, ζῆλον πεπυρωμένον, ἔρωτα τῶν οὐρανίων θερμόν, ὑπεροψίαν πάντων τῶν ἐπὶ γῆς. Οὕτω «τὸ εὔσχημον καὶ εὐπρόσεδρον» γίνεται.

πβ´ Πρὸς τοὺς λέγοντας ὅτι οἱ παρθενεύσαντες εἰς κόλπους Ἀβραὰμ εὔχονται ἐλθεῖν.

1. Ἀλλὰ τίς ὁ σοφὸς τῶν πολλῶν λόγος; Ὁ πατριάρχης, φησίν, Ἀβραὰμ καὶ γυναῖκα εἶχε καὶ παῖδας καὶ χρήματα καὶ ποίμνια καὶ βουκόλια, καὶ μετὰ πάντα ἐκεῖνα Ἰωάννης ὅ τε βαπτιστὴς ὅ τε εὐαγγελιστής, ἀμφότεροι παρθένοι τυγχάνοντες, καὶ Παῦλος καὶ Πέτρος ἐπὶ τῆς ἐγκρατείας διαλάμψαντες, εἰς τοὺς ἐκείνου κόλπους εὔχονται ἀπελθεῖν. Τίς σοι τοῦτο εἶπεν, ὦ βέλτιστε; ποῖος προφήτης; τίς εὐαγγελιστής; Αὐτός, φησίν, ὁ Χριστός. Τὸν γὰρ ἑκατοντάρχην ἰδὼν πολλὴν ἔχοντα πίστιν, ἔλεγεν· «Ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ». Καὶ ὁ Λάζαρος δὲ μετ' αὐτοῦ τότε ὁρᾶται ὑπὸ τοῦ πλουσίου τρυφῶν. Καὶ τί τοῦτο πρὸς Παῦλον τί δαὶ πρὸς Πέτρον τί δαὶ πρὸς Ἰωάννην; Οὐ γὰρ Λάζαρος Παῦλος καὶ Ἰωάννης, οὐδὲ οἱ πολλοὶ οἱ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ὁ τῶν ἀποστόλων ἦσαν χορός. Ὥστε περιττὸς ὑμῖν οὗτος ὁ λόγος καὶ μάταιος.

2. Εἰ δὲ θέλεις ὅλως ἀκοῦσαι τὰ τῶν ἀποστόλων ἔπαθλα, ἄκουσον τοῦ μέλλοντος αὐτὰ διδόναι λέγοντος· «Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους

---

71. Ματθ. 8, 11.
72. Πρβλ. Λουκᾶ 16, 23.
73. Ματθ. 19, 28.

ρίζαν είναι ικανὴ νὰ τὴν ξηράνη ἡ παρθενία καὶ νὰ θέση μέσα μας ἄλλην, τὴν ἀρίστην, ποὺ βλαστάνει ὅλα τὰ καλά, ἐλευθερίαν, παρρησίαν, ἀνδρείαν, ζῆλον ἔνθερμον, ἔρωτα θερμὸν διὰ τὰ οὐράνια, περιφρόνησιν ὅλων τῶν ἐπιγείων. Ἔτσι γίνεται «τὸ εὔσχημον καὶ εὐπρόσεδρον».

πβ' Πρὸς ἐκείνους ποὺ λέγουν, ὅτι αὐτοὶ ποὺ ἤσκησαν τὴν παρθενίαν εὔχονται νὰ μεταβοῦν εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ.

1. Ἀλλὰ ποῖος εἶναι ὁ σοφὸς λόγος τῶν πολλῶν; Λέγουν, ὅτι ὁ πατριάρχης Ἀβραὰμ καὶ γυναῖκα εἶχε καὶ παιδιὰ καὶ χρήματα καὶ ποίμνια καὶ ἀγέλας ζώων, καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς καὶ ὁ Ἰωάννης ὁ εὐαγγελιστής, ποὺ καὶ οἱ δύο ἦσαν παρθένοι, καὶ ὁ Παῦλος καὶ ὁ Πέτρος ποὺ διέλαμψαν μὲ τὴν ἐγκράτειαν, εὔχονται νὰ μεταβοῦν εἰς τοὺς κόλπους ἐκείνου. Ποῖος σοῦ τὸ εἶπεν αὐτό, ἀγαπητέ μου; ποῖος προφήτης; ποῖος εὐαγγελιστής; Ὁ ἴδιος ὁ Χριστός, λέγει. Διότι, ὅταν εἶδε τὸν ἑκατόνταρχον νὰ ἔχη μεγάλην πίστιν, ἔλεγεν· «Πολλοὶ θὰ ἔλθουν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ θὰ καθήσουν εἰς τὴν τράπεζαν εὐφροσύνης μαζὶ μὲ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ»[71]. Καὶ ὁ Λάζαρος δὲ βλέπεται ἀπὸ τὸν πλούσιον νὰ ἀπολαμβάνη τὴν χαρὰν πλησίον τοῦ Ἀβραάμ[72]. Καὶ ποίαν σχέσιν ἔχει αὐτὸ πρὸς τὸν Παῦλον, ποίαν δὲ πρὸς τὸν Πέτρον καὶ ποίαν πρὸς τὸν Ἰωάννην; Διότι ὁ Λάζαρος δὲν ἦτο Παῦλος καὶ Ἰωάννης, οὔτε οἱ πολλοὶ ποὺ ἦλθον ἀπὸ τὴν ἀνατολὴν καὶ τὴν δύσιν ἦσαν ὁ χορὸς τῶν ἀποστόλων. Ἐπομένως σᾶς εἶναι περιττὸς καὶ μάταιος αὐτὸς ὁ λόγος.

2. Ἐὰν ὅμως θέλῃς ὁπωσδήποτε ν' ἀκούσῃς τὰ ἔπαθλα τῶν ἀποστόλων, ἄκουσε αὐτὸν ποὺ πρόκειται νὰ τὰ δώση ποὺ λέγει· «Σεῖς ποὺ μὲ ἠκολουθήσατε, ὅταν θὰ καθίση ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπάνω εἰς τὸν θρόνον τῆς δόξης του, θὰ καθίσετε καὶ σεῖς ἐπάνω εἰς τοὺς δώδεκα θρόνους καὶ θὰ κρίνετε τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»[73].

κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ». Καὶ οὐδαμοῦ ἐνταῦθα ὁ Ἀβραὰμ οὔτε ὁ τούτου παῖς οὐδὲ ὁ ἐκείνου οὐδὲ ὁ λαχὼν αὐτοὺς κόλπος, ἀλλ' ἀξία πολλῷ μείζων ἐκείνης· τοὺς γὰρ ἐκείνων οὗτοι καθεδοῦνται κρινοῦντες ἐγγόνους. Οὐ ταύτῃ δὲ μόνον ἡ διαφορὰ δήλη, ἀλλ' ὅτι ὧν μὲν ὁ Ἀβραὰμ ἔτυχε πολλοὶ τεύξονται. «Πολλοὶ» γὰρ «ἐλεύσονται», φησίν, «ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ»· τῶν δὲ θρόνων ἐκείνων οὐδεὶς ἕτερος ἐπιλήψεται, ἀλλὰ μόνος ὁ τῶν ἁγίων τούτων χορός.

3. Ἔτ' οὖν, εἰπέ μοι, ποιμνίων μέμνησθε καὶ βουκολίων καὶ γάμων καὶ παίδων; Τί οὖν, φησίν, ὅταν τῶν παρθενευσάντων πολλοὶ μετὰ τοὺς πολλοὺς ἱδρῶτας εὔχωνται χωρῆσαι ἐκεῖ; Ἐγὼ δὲ τούτου μεῖζον ἐρῶ, ὅτι πολλοὶ τῶν παρθενευσάντων οὐδὲν ἐκείνων ἐπιτεύξονται τῶν κόλπων οὐδὲ τῶν ἐλαττόνων, ἀλλ' εἰς τὴν γέενναν αὐτὴν ἀπελεύσονται, καὶ δηλοῦσιν αἱ τοῦ νυμφῶνος ἀποκλεισθεῖσαι παρθένοι. Ἀρ οὖν παρὰ τοῦτο τῆς παρθενίας ἴσος ὁ γάμος ἢ καὶ χείρων; Τὸ γὰρ ὑπόδειγμα τὸ σὸν καὶ χείρονα αὐτὴν ποιεῖ. Εἰ γὰρ ὁ μὲν γεγαμηκὼς Ἀβραὰμ ἐν ἀνέσει καὶ τρυφῇ, οἱ δὲ παρθενεύσαντες ἐν γεέννῃ, τοῦτο ὑπολείπεται κατὰ τὸν ὑμέτερον ὑποπτεῦσαι λόγον. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· οὐ γὰρ μόνον οὐκ ἐλάττων ἀλλὰ καὶ πολλῷ βελτίων ἡ παρθενία τοῦ γάμου. Πῶς; Ὅτι οὔτε τὸν Ἀβραὰμ ὁ γάμος τοιοῦτον ἐποίησεν οὔτε ἡ παρθενία τὰς ἀθλίας ἐκείνας ἀπώλεσεν, ἀλλὰ καὶ τὸν πατριάρχην ἡ λοιπὴ τῆς ψυχῆς ἀρετὴ λαμπρὸν ἀπέδειξε καὶ ταύτας ἡ λοιπὴ κακία τοῦ βίου τῷ πυρὶ παρέδωκεν. Ἐκεῖ-

Καὶ πουθενὰ δὲν ἀναφέρεται ἐδῶ ὁ Ἀβραὰμ οὔτε ὁ υἱὸς ἐκείνου, οὔτε ὁ υἱὸς τοῦ Ἰσαάκ, οὔτε ὁ κόλπος ποὺ ἐκληρώθη δι' αὐτούς, ἀλλ' ἀναφέρεται μία θέσις πολὺ πιὸ μεγαλυτέρας ἀξίας ἀπὸ ἐκείνην· διότι αὐτοὶ θὰ καθίσουν διὰ νὰ κρίνουν τοὺς ἐγγόνους ἐκείνων. Καὶ δὲν γίνεται μὲ αὐτὸ φανερὴ αὐτὴ ἡ διαφορά, ἀλλ' ὅτι πολλοὶ θὰ ἐπιτύχουν τῶν ἐπάθλων ποὺ ἔτυχεν ὁ Ἀβραάμ. Διότι λέγει· «Πολλοὶ θὰ ἔλθουν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ θὰ καθίσουν εἰς τὴν τράπεζαν τῆς χαρᾶς μαζὶ μὲ τὸν Ἀβραάμ, τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ», ἐνῷ τοὺς θρόνους ἐκείνων κανεὶς ἄλλος δὲν θὰ τοὺς καταλάβῃ, ἀλλὰ μόνον ὁ χορὸς αὐτῶν τῶν ἁγίων.

3. Ἀκόμη λοιπόν, εἰπέ μου, θὰ ἀναφέρετε ποίμνια καὶ ἀγέλας ζώων καὶ γάμους καὶ παιδιά; Τί λοιπὸν σημαίνει, λέγει, ὅταν πολλοὶ ἀπὸ αὐτοὺς ποὺ ἤσκησαν τὴν παρθενίαν εὔχωνται μετὰ ἀπὸ τοὺς πολλοὺς αὐτοὺς ἱδρῶτας νὰ μεταβοῦν ἐκεῖ; Ἐγὼ ὅμως θὰ σοῦ εἰπῶ κάτι σπουδαιότερον ἀπὸ αὐτό, ὅτι πολλοὶ ἀπὸ αὐτοὺς ποὺ ἤσκησαν κάτι σπουδαιότερον ἀπὸ αὐτό, ὅτι πολλοὶ ἀπὸ αὐτοὺς ποὺ ἤσκησαν τὴν παρθενίαν ὄχι μόνον δὲν θὰ ἐπιτύχουν ἐκείνους τοὺς κόλπους οὔτε καὶ τοὺς κατωτέρους, ἀλλὰ θὰ ἀπέλθουν εἰς τὴν ἰδίαν τὴν γέενναν, καὶ τὸ φανερώνουν αὐτὸ αἱ παρθένοι ποὺ ἀπεκλείσθησαν ἀπὸ τὸν νυμφῶνα. Μήπως λοιπόν, βάσει αὐτῶν, ὁ γάμος εἶναι ἴσος μὲ τὴν παρθενίαν ἢ εἶναι αὐτὴ χειροτέρα; Καθ' ὅσον τὸ παράδειγμα σου τὴν παρουσιάζει χειροτέραν. Διότι, ἐὰν ὁ μὲν Ἀβραάμ, ποὺ ἦτο ἔγγαμος, ἀπολαμβάνῃ ἄνεσιν καὶ τρυφήν, αὐτοὶ δὲ ποὺ ἤσκησαν τὴν παρθενίαν ρίπτωνται εἰς τὴν γέενναν, αὐτὸ ὑπολείπεται νὰ ὑποθέσωμεν σύμφωνα μὲ τὰ λόγια σας. Ἀλλ' ὅμως δὲν συμβαίνει αὐτό, δὲν συμβαίνει· διότι ὄχι μόνον ἡ παρθενία δὲν εἶναι κατωτέρα τοῦ γάμου, ἀλλὰ καὶ πολὺ πιὸ ἀνωτέρα αὐτοῦ. Πῶς; Διότι οὔτε τὸν Ἀβρὰμ τὸν ἔκαμε τέτοιον ὁ γάμος οὔτε ἡ παρθενία ὡδήγησεν εἰς ἀπώλειαν ἐκείνας τὰς ἀθλίας, ἀλλὰ καὶ τὸν πατριάρχην ἀνέδειξε λαμπρὸν ἡ ὑπόλοιπος ἀρετὴ τῆς ψυχῆς του καὶ αὐτὰς τὰς παρέδωσεν εἰς τὸ πῦρ ἡ ὑπόλοιπη κακία

νος μὲν γὰρ καὶ ἐν γάμῳ ζῶν ἐσπούδασε τὰ τῆς παρθενίας κατορθῶσαι καλά, τὸ εὔσχημον λέγω καὶ εὐπρόσεδρον.

4. Αὗται δὲ καὶ παρθενίαν ἑλόμεναι εἰς τὸν τοῦ βίου κλύδωνα καὶ τὰς ἐν τῷ γάμῳ πραγματείας κατέπεσον. Τί οὖν κωλύει, φησί, καὶ νῦν μετὰ τοῦ γάμου καὶ τῶν παίδων καὶ τῶν χρημάτων καὶ τῶν ἄλλων ἁπάντων τὸ εὐπρόσεδρον διασῶσαι; Πρῶτον μὲν ὅτι οὐδεὶς κατὰ τὸν Ἀβραὰμ νῦν, ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγύς. Καὶ γὰρ τῶν ἀκτημοσύνην ἀσκούντων μᾶλλον ἐκεῖνος χρημάτων κατεφρόνησε πλουτῶν καὶ γυναῖκα ἔχων καὶ ἡδονῆς μᾶλλον τῶν παρθενευόντων ἐκράτει. Οὗτοι μὲν γὰρ καθ' ἑκάστην ὑπὸ τῆς ἐπιθυμίας φλέγονται τὴν ἡμέραν, ἐκεῖνος δὲ οὕτω ταύτην κατεσβέκει τὴν φλόγα καὶ οὐδεμιᾷ συνεδέδετο προσπαθείᾳ, ὡς μὴ μόνον ἀποσχέσθαι τῆς παλλακίδος, ἀλλὰ καὶ ἐκβαλεῖν αὐτὴν τῆς οἰκίας ὑπὲρ τοῦ μάχης καὶ στάσεως πᾶσαν ὑπόθεσιν ἀνελεῖν. Νῦν δὲ οὐ σφόδρα εὔκολον τοῦτο εὑρεῖν.

πγ' Ὅτι οὐ τὸ αὐτὸ τῆς ἀρετῆς μέτρον ἡμῖν καὶ τοῖς ἐν τῇ Παλαιᾷ πρόκειται.

1. Καὶ χωρὶς τούτων δέ, ὅπερ καὶ ἀρχόμενος ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι οὐ τὸ αὐτὸ τῆς ἀρετῆς ἀπαιτούμεθα μέτρον ἡμεῖς τε κἀκεῖνοι. Νῦν μὲν γὰρ οὐκ ἔστι τέλειον εἶναι μὴ πάντα πωλήσαντα, μὴ πᾶσιν ἀποταξάμενον, οὐ χρήμασι λέγω μόνον καὶ οἰκίᾳ, ἀλλὰ καὶ τῇ ψυχῇ τῇ ἑαυτοῦ, τότε δὲ οὔπω τοσαύτης ἀκριβείας ἐπίδειξις ἦν. Τί οὖν; Ἀκριβέστερον ἡμεῖς, φησί, τοῦ πατριάρχου βιοῦμεν νῦν; Ὀφείλομεν μὲν καὶ τοῦτο ἐπιτετάγμεθα, οὐ βιοῦμεν δέ, καὶ διὰ

τῆς ζωῆς των. Καθ' ὅσον ἐκεῖνος μὲν ἂν καὶ ἦτο ἔγγαμος ἐφρόντισε νὰ ἐπιτύχῃ τὰ καλὰ τῆς παρθενίας, ἐννοῶ τὸ εὔσχημον καὶ τὸ εὐπρόσεδρον.

4. Ἐνῷ αὐταὶ ἂν καὶ ἐπροτίμησαν τὴν παρθενίαν κατέπεσον εἰς τὴν τρικυμίαν τοῦ βίου καὶ τὰς ἀσχολίας τοῦ γάμου. Τί λοιπόν, λέγει, ἐμποδίζει καὶ τώρα μαζὶ μὲ τὸν γάμον καὶ τὰ παιδιὰ καὶ τὰ χρήματα καὶ ὅλα τὰ ἄλλα νὰ κατορθώσῃ νὰ ἐπιτύχῃ κανεὶς μίαν καλὴν θέσιν πλησίον τοῦ Κυρίου; Πρῶτον μὲν διότι σήμερον κανεὶς δὲν εἶναι ὡσὰν τὸν Ἀβραάμ, ἀλλὰ οὔτε κἂν παραπλήσιος αὐτοῦ. Καθ' ὅσον ἐκεῖνος ἐπεριφρόνησε τὰ χρήματα, ἂν καὶ ἦτο πλούσιος, περισσότερον ἀπὸ ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀκτημοσύνην, καὶ μολονότι εἶχε γυναῖκα ἦτο κυρίαρχος ἐπὶ τῆς ἡδονῆς περισσότερον ἀπὸ ἐκείνους ποὺ ἀσκοῦν τὴν παρθενίαν. Διότι αὐτοὶ καθημερινῶς κατακαίγονται ἀπὸ τὴν ἐπιθυμίαν, ἐνῷ ἐκεῖνος τόσον πολὺ εἶχε κατασβήσει τὴν φλόγα καὶ δὲν ἦτο δεμένος μὲ καμμίαν τέτοιαν ἐπιθυμίαν, ὥστε ὄχι μόνον ν' ἀπέχῃ ἀπὸ τὴν παλλακίδα, ἀλλὰ καὶ νὰ ἐκδιώξῃ αὐτὴν ἀπὸ τὴν οἰκίαν, ὥστε νὰ ἐξαλείψῃ κάθε ἀφορμὴν διαμάχης καὶ στάσεως εἰς τὴν οἰκίαν. Σήμερα ὅμως δὲν εἶναι πολὺ εὔκολον νὰ τὸ εὕρῃς αὐτό.

πγ' Περὶ τοῦ ὅτι δὲν ὑπάρχει τὸ ἴδιο μέτρον ἀρετῆς δι' ἡμᾶς καὶ διὰ τοὺς ἀνθρώπους τῆς Π. Διαθήκης.

1. Ἐκτὸς τούτων ὅμως, αὐτὸ ποὺ ἔλεγον εἰς τὴν ἀρχήν, αὐτὸ καὶ τώρα θὰ εἰπῶ, ὅτι δηλαδὴ δὲν ζητεῖται τὸ ἴδιον μέτρον ἀρετῆς ἀπὸ ἡμᾶς καὶ ἀπὸ ἐκείνους. Διότι σήμερα δὲν εἶναι δυνατὸν νὰ εἶναι κανεὶς τέτοιος ἐὰν δὲν πωλήσῃ ὅλα τὰ ὑπάρχοντά του, ἐὰν δὲν ἀπαρνηθῇ ὅλα, δὲν ἐννοῶ μόνον τὰ χρήματα καὶ τὴν οἰκίαν, ἀλλὰ καὶ τὴν ζωήν του ἀκόμη, ἐνῷ τότε δὲν ἐχρειάζετο νὰ ἐπιδείξῃ κανεὶς τόσην πληρότητα ἀρετῆς. Τί λοιπόν; Ζῶμεν ἡμεῖς σήμερα, λέγει, μὲ περισσοτέραν ὀρθότητα ἀπὸ τὸν πατριάρχην; Ὠφείλομεν μὲν καὶ αὐτὴν τὴν ἐντολὴν ἐλάβομεν, ἀλλ' ὅμως δὲν ζῶμεν, καὶ διὰ τοῦτο ὑστεροῦμεν πάρα πο-

τοῦτο πολὺ τοῦ δικαίου ἀπολειπόμεθα. Ἐπεὶ ὅτι γε μείζονα ἡμῖν τὰ σκάμματα πρόκειται, παντί που δῆλόν ἐστι. Διὰ τοῦτο καὶ τὸν Νῶε θαυμάζουσα ἡ Γραφὴ οὐχ ἁπλῶς τοῦτο ποιεῖ, ἀλλὰ μετὰ προσθήκης τινός. «Νῶε», γάρ φησι, «δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησεν». Οὐχ ἁπλῶς τέλειος, ἀλλ' ἐν τῷ τότε καιρῷ· πολλοὶ γὰρ τελειότητος τρόποι κατὰ διαφόρους ὡρισμένοι καιρούς, καὶ τοῦ χρόνου προκόπτοντος τὸ τότε τέλειον ἀτελὲς ὕστερον γίνεται.

2. Οἷόν τι λέγω· τέλειον ἦν ποτε τὸ κατὰ τὸν νόμον βιοῦν. «Ὁ ποιήσας γὰρ αὐτά», φησί, «ζήσεται ἐν αὐτοῖς», ἀλλ' ἐλθὼν ὁ Χριστὸς τοῦτο τὸ τέλειον ἔδειξεν ἀτελές. «Ἐὰν» γὰρ «μὴ περισσεύσῃ», φησίν, «ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Τότε φόνος ἐδόκει μόνον εἶναι δεινόν, νῦν δὲ καὶ ὀργὴ καὶ λοιδορία μόνη τῇ γεέννῃ παραπέμψαι δύναιτ' ἄν. Τότε μοιχεία ἐκολάζετο μόνον, νῦν δὲ καὶ τὸ ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα ἰδεῖν οὐκ ἀπήλλακται τιμωρίας. Τότε ἡ ἐπιορκία μόνη ἦν ἐκ τοῦ πονηροῦ, νῦν δὲ καὶ τὸ ὀμόσαι. «Τὸ» γὰρ «περισσόν», φησί, «τούτων ἐκ τοῦ πονηροῦ ἐστιν». Οὐδὲν πλέον ἀπῃτοῦντο οἱ τότε ἢ τὸ τοὺς φιλοῦντας ἀγαπᾶν· νῦν δὲ τὸ μέγα τοῦτο καὶ θαυμαστὸν οὕτως ἐστὶν ἀτελές, ὡς καὶ μετὰ τὴν κατόρθωσιν αὐτοῦ μηδὲν πλέον ἡμᾶς ἔχειν τῶν τελωνῶν.

πδ' Ὅτι εἰκότως τῶν αὐτῶν κατορθωμάτων οὐχ ὁ αὐτὸς κεῖται μισθὸς ἡμῖν καὶ τοῖς ἐν τῇ Παλαιᾷ.

1. Τί δήποτε οὖν τῶν αὐτῶν κατορθωμάτων οὐχ ὁ αὐτὸς κεῖται μισθὸς ἡμῖν καὶ τοῖς ἐν τῇ Παλαιᾷ, ἀλλὰ μείζονα

---

74. Γεν. 6, 9.
75. Ματθ. 5, 20.
76. Ματθ. 5, 37.

λὺ ἀπὸ τὸν δίκαιον. Διότι τὸ ὅτι εἶναι μεγαλύτερα δι' ἡμᾶς τὰ σκάμματα τῶν ἀγώνων, εἶναι βέβαια ὁλοφάνερον. Διὰ τοῦτο καὶ θαυμάζουσα τὸν Νῶε ἡ Γραφὴ δὲν κάμνει ἁπλῶς μόνον αὐτό, ἀλλὰ καὶ προσθέτει κάτι ἐπὶ πλέον. Διότι λέγει· «Ὁ Νῶε ἦτο δίκαιος καὶ τέλειος εἰς τὴν γενεάν του, καὶ διὰ τοῦτο εὐηρέστησε τὸν Θεόν»[74]. Δὲν λέγει ἁπλῶς τέλειος, ἀλλὰ κατὰ τὴν ἐποχὴν ἐκείνην· διότι ὑπάρχουν πολλοὶ τρόποι τελειότητος ὡρισμένοι κατὰ διαφόρους καιρούς, καὶ μὲ τὸ πέρασμα τοῦ χρόνου αὐτὸ ποὺ τότε ἦτο τέλειον, ὕστερα γίνεται ἀτελές.

2. Ὅπως ἐπὶ παραδείγματι· Τέλειον κάποτε ἦτο τὸ νὰ ἔζη κανεὶς σύμφωνα μὲ τὸν νόμον· διότι λέγει· «Αὐτὸς ποὺ τὰ ἐφήρμοσεν αὐτά, θὰ ζήσῃ μὲ αὐτά», ἀλλ' ὅταν ἦλθεν ὁ Χριστὸς ἔδειξεν αὐτὸ ποὺ ἦτο τέλειον ὅτι εἶναι ἀτελές. Διότι λέγει· «Ἐὰν δὲν γίνῃ περισσοτέρα ἡ δικαιοσύνη σας ἀπὸ τὴν δικαιοσύνην τῶν γραμματέων καὶ Φαρισαίων, δὲν θὰ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[75]. Τότε ἐθεωρεῖτο κακὸν μόνον ὁ φόβος, σήμερα ὅμως καὶ μόνη ἡ ὀργὴ καὶ ἡ ὕβρις ἠμπορεῖ νὰ στείλῃ κάποιον εἰς τὴν γέενναν. Τότε ἐτιμωρεῖτο μόνον ἡ μοιχεία, σήμερα ὅμως δὲν εἶναι ἀπηλλαγμένον τιμωρίας καὶ τὸ νὰ ἰδῇ κάποιος μὲ ἀκόλαστα μάτια μίαν γυναῖκα. Τότε μόνον ἡ ἐπιορκία ἦτο ἐκ τοῦ πονηροῦ, σήμερα ὅμως καὶ ὁ ὅρκος. Διότι λέγει· «Τὸ ἐπὶ πλέον ἀπὸ αὐτὰ προέρχεται ἐκ τοῦ πονηροῦ»[76]. Τίποτε ἐπὶ πλέον δὲν ἐζητεῖτο τότε ἀπὸ τοὺς ἀνθρώπους, παρὰ ν' ἀγαποῦν αὐτοὺς ποὺ τοὺς ἀγαποῦν, ἐνῷ σήμερα αὐτὸ τὸ μέγα καὶ θαυμαστὸν τόσον ἀτελὲς εἶναι, ὥστε καὶ ὅταν τὸ κατορθώσωμεν νὰ μὴ ὑπερέχωμεν ὡς πρὸς τίποτε ἀπὸ τοὺς τελώνας.

πδ' Εἶναι φυσικὸν διὰ τὰ ἴδια κατορθώματα νὰ μὴ ἐπιφυλάσσεται ὁ ἴδιος μισθὸς δι' ἡμᾶς καὶ τοὺς ἀνθρώπους τῆς Π. Διαθήκης.

1. Καὶ διατί τέλος πάντων διὰ τὰ ἴδια κατορθώματα δὲν ἐπιφυλλάσσεται ὁ ἴδιος ὁ μισθὸς δι' ἡμᾶς καὶ διὰ τοὺς

ἐπιδείκνυσθαι δεῖ τὴν ἀρετὴν εἰ μέλλοιμεν τῶν αὐτῶν ἐκείνοις τυγχάνειν; Ὅτι πολλὴ ἡ τοῦ Πνεύματος χάρις ἐκκέχυται νῦν καὶ μεγάλη τῆς τοῦ Χριστοῦ παρουσίας ἡ δωρεά· ἄνδρας γὰρ αὕτη τελείους ἀντὶ νηπίων ἐποίησεν. Ὥσπερ οὖν ἡμεῖς τοὺς παῖδας τοὺς ἡμετέρους ὅταν ἡβήσωσι, πολλῷ μείζονα ἀπαιτοῦμεν τὰ κατορθώματα καὶ ἃ ποιοῦντας πρότερον ἐπῃνοῦμεν κατὰ τὴν πρώτην ἡλικίαν, ταῦτα γενομένους ἄνδρας καὶ κατορθοῦντας οὐκέτι ὁμοίως θαυμάζομεν, ἀλλ' ἕτερα πολλῷ μείζονα ἐκείνῳ κελεύομεν ἐπιδείκνυσθαι, οὕτω καὶ τὴν ἀνθρωπίνην φύσιν ὁ Θεὸς ἐν τοῖς πρώτοις χρόνοις οὐ μεγάλα ἀπῄτει τὰ κατορθώματα, ἅτε νηπιωδέστερον διακειμένην. Ἐπειδὴ δὲ προφητῶν ἤκουσεν, ἀποστόλων, καὶ τῆς τοῦ Πνεύματος ἐπέτυχε χάριτος, ἐπέτεινεν αὐτῇ τῶν κατορθωμάτων τὸ μέγεθος - εἰκότως. Καὶ γὰρ μισθοὺς μείζονας ἔθηκε καὶ τὰ ἔπαθλα πολλῷ λαμπρότερα νῦν. Οὐκέτι γὰρ γῆ καὶ τὰ ἐπὶ τῆς γῆς, ἀλλ' οὐρανὸς καὶ τὰ νοῦν ὑπερβαίνοντα ἀγαθὰ τοῖς κατορθοῦσιν ἀπόκειται.

2. *Πῶς οὖν οὐκ ἄτοπον ἐπὶ τῆς αὐτῆς ἔτι μένειν σμικρότητος ἀνδρωθέντας; Τότε μὲν γὰρ ἡ ἀνθρωπίνη καθ' ἑαυτῆς ἐσχίστο φύσις καὶ πόλεμος ἄσπονδος ἦν. Καὶ τοῦτον ὁ Παῦλος διηγούμενος οὑτωσί πώς φησιν· «Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου». Ἀλλὰ νῦν οὐκ ἔστι ταῦτα. «Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί». Καὶ περὶ τούτων*

77. Ρωμ. 7, 23.
78. Ρωμ. 8, 3.

ἀνθρώπους τῆς Π. Διαθήκης, ἀλλὰ χρειάζεται νὰ ἐπιδεικνύωμεν μεγαλυτέραν ἀρετὴν ἐὰν θέλωμεν νὰ ἐπιτύχωμεν τὰ ἴδια μὲ ἐκείνους; Ἐπειδὴ σήμερα εἶναι πολλὴ ἡ χάρις τοῦ Πνεύματος ποὺ ἐξεχύθη καὶ μεγάλη ἡ δωρεὰ τῆς παρουσίας τοῦ Χριστοῦ· διότι αὐτὴ μᾶς ἔκαμεν ἀπὸ νήπια ἄνδρας τελείους. Ὅπως ἀκριβῶς λοιπὸν ἡμεῖς τὰ παιδιά μας ὅταν γίνουν ἔφηβοι, ἀπαιτῶμεν πολὺ πιὸ μεγαλύτερα κατορθώματα καὶ αὐτὰ ποὺ ἔκαμναν κατὰ τὴν προηγουμένην ἡλικίαν καὶ τὰ ἐπαινούσαμεν, αὐτά, τώρα ποὺ ἔγιναν ἄνδρες καὶ τὰ κατορθώνουν, δὲν τὰ θαυμάζομεν ὁμοίως, ἀλλ' ἀπαιτοῦμεν νὰ ἐπιτυγχάνουν ἄλλα πολὺ πιὸ μεγαλύτερα, ἔτσι καὶ ὁ Θεὸς κατὰ τοὺς προηγουμένους χρόνους δὲν ἀπαιτοῦσε μεγάλα κατορθώματα ἀπὸ τὴν ἀνθρωπίνην φύσιν, ἐπειδὴ ἦτο εἰς πιὸ νηπιώδη κατάστασιν. Ὅταν ὅμως ἤκουσε τοὺς προφήτας, τοὺς ἀποστόλους καὶ ἔλαβε τὴν χάριν τοῦ Πνεύματος, ηὔξησε δι' αὐτὴν τὸ μέγεθος τῶν κατορθωμάτων. Καὶ ἦτο πολὺ φυσικόν. Καθ' ὅσον ὥρισε μεγαλυτέρους μισθοὺς καὶ τὰ ἔπαθλα σήμερα εἶναι πολὺ πιὸ λαμπρότερα. Διότι δὲν ἐπιφυλάσσονται πλέον διὰ τοὺς κατορθοῦντας τὴν ἀρετὴν ἡ γῆ καὶ τὰ ἀγαθὰ τῆς γῆς, ἀλλ' ὁ οὐρανὸς καὶ τὰ ἀγαθὰ ποὺ ὑπερβαίνουν τὸν νοῦν τοῦ ἀνθρώπου.

2. Πῶς λοιπὸν δὲν εἶναι παράλογον νὰ μένωμεν ἀκόμη εἰς τὴν ἰδίαν μικρότητα τὴν στιγμὴν ποὺ ἐγίναμεν ἄνδρες; Διότι τότε μὲν ἡ ἀνθρωπίνη φύσις ἠγωνίζετο μὲ πάθος ἐναντίον τοῦ ἑαυτοῦ της καὶ ἐγίνετο ἄσπονδος πόλεμος, καὶ αὐτὸν διηγούμενος ὁ Παῦλος λέγει τὰ ἑξῆς· «Ἀλλὰ βλέπω ἄλλον νόμον εἰς τὰ μέλη μου ποὺ ἀντιστρατεύεται εἰς τὸν νόμον τοῦ νοῦ μου καὶ μὲ αἰχμαλωτίζει μὲ τὸν νόμον τῆς ἁμαρτίας ποὺ ὑπάρχει εἰς τὰ μέλη του»[77]. Σήμερα ὅμως δὲν συμβαίνουν αὐτά. «Διότι αὐτὸ ποὺ δὲν ἠμποροῦσε νὰ κάμῃ ὁ νόμος ἐξ αἰτίας τῆς ἀδυναμίας του ἔναντι τῆς σαρκός, ὁ Θεὸς ἀφοῦ ἀπέστειλε τὸν Υἱόν του μὲ σῶμα ὅμοιον μὲ τὸ ἰδικόν μας ἁμαρτωλὸν σῶμα καὶ ὡς θυσίαν διὰ τὴν ἁμαρτίαν, κατεδίκασε τὴν ἁμαρτίαν μὲ τὴν σάρκα του»[78]. Καὶ εὐχαριστῶν τὸν Θεὸν δι' αὐτὰ ὁ Παῦλος,

εὐχαριστῶν ὁ Παῦλος ἔλεγε· «Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ».

3. Διὰ τοῦτο κολαζόμεθα εἰκότως ὅτι τῶν συμπεποδισμένων ἴσα τρέχειν οὐ βουλόμεθα οἱ λελυμένοι, μᾶλλον δὲ κἂν ἴσα δυνηθῶμεν οὐδὲ οὕτως ἀπηλλάγμεθα τῆς κολάσεως. Τοὺς γὰρ βαθείας ἀπολαύοντας εἰρήνης τῶν σφόδρα βαρυνομένων πολέμῳ πολλῷ μείζονα δεῖ καὶ λαμπρότερα ἱστᾶν τὰ τρόπαια. Εἰ δὲ μέλλοιμεν περὶ χρήματα καὶ τρυφὴν καὶ γυναῖκας καὶ πραγμάτων ἐπιμέλειαν στρέφεσθαι, πότε ἄνδρες ἐσόμεθα, πότε Πνεύματι ζήσομεν, πότε τὰ τοῦ Κυρίου μεριμνήσομεν; Ὅταν ἀποδημήσωμεν ἐντεῦθεν; Ἀλλ' οὐκέτι πόνων οὐδὲ ἀγώνων ὁ καιρός, ἀλλὰ στεφάνων καὶ κολάσεων. Τότε κἂν παρθένος ᾖ τις οὐκ ἔχουσα ἔλαιον ἐν ταῖς λαμπάσιν, οὐ δυνήσεται παρ' ἑτέρων λαβεῖν, ἀλλ' ἔξω μενεῖ· κἂν ῥυπαρά τις ἱμάτια ἐνδεδυμένος παραγένηται, οὐ δυνήσεται ἐξελθὼν ἀμεῖψαι τὴν στολήν, ἀλλ' εἰς τὸ τῆς γεέννης ἀπαχθήσεται πῦρ· κἂν αὐτὸν παρακαλῇ τὸν Ἀβραάμ, οὐδὲν αὐτῷ πλέον ἔσται λοιπόν. Τῆς γὰρ κυρίας παραγενομένης καὶ τοῦ βήματος προτεθέντος καὶ τοῦ δικαστοῦ καθίσαντος, καὶ τοῦ ποταμοῦ συρομένου τῆς φλογὸς καὶ τῆς ἐξετάσεως γινομένης τῶν πεπραγμένων ἡμῖν, οὐκέτι λοιπὸν ἀποδύσασθαι τὰ πλημμελήματα συγχωρούμεθα, ἀλλ' ἐπὶ τὴν ὀφειλομένην ἀπὸ τούτων δίκην καὶ ἑκόντες καὶ ἄκοντες ἑλκόμεθα, οὐ μόνον οὐδενὸς ἡμᾶς ἐξιλάσασθαι δυναμένου τότε, ἀλλὰ κἂν τύχῃ τὴν αὐτὴν τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι παρρησίαν ἔ-

---

79. Ρωμ. 7, 24 - 25.
80. Πρβλ. Ματθ. 25, 8 - 13.
81. Ματθ. 22, 11 - 13.
82. Πρβλ. Λουκᾶ 16, 23 - 26.

ἔλεγε· «Ταλαίπωρος ἐγὼ ἄνθρωπος, ποῖος θὰ μὲ ἐλευθερώσῃ ἀπὸ αὐτὸ τὸ σῶμα τὸ καταδικασμένον εἰς θάνατον; Εὐχαριστῶ τὸν Θεὸν διὰ τοῦ Ἰησοῦ Χριστοῦ»[79].

3. Διὰ τοῦτο φυσικὸν εἶναι νὰ τιμωρούμεθα, ἐπειδὴ δὲν θέλομεν ἡμεῖς ποὺ εἴμεθα λυμένοι νὰ τρέχωμεν ἴσα μὲ ἐκείνους ποὺ τὰ πόδια των ἦσαν δεμένα, μᾶλλον δὲ καὶ ἄν ἀκόμη κατορθώσωμεν νὰ τρέξωμεν ἴσα μὲ αὐτοὺς οὔτε ἔτσι εἴμεθα ἀπηλλαγμένοι ἀπὸ τὴν τιμωρίαν. Διότι αὐτοὶ ποὺ ἀπολαμβάνουν βαθεῖαν εἰρήνην πρέπει νὰ στήνουν τὰ τρόπαια πολὺ πιὸ μεγαλύτερα καὶ λαμπρότερα ἀπὸ ἐκείνους ποὺ καταπιέζονται εἰς πάρα πολὺ μεγάλον βαθμὸν ἀπὸ τὸν πόλεμον. Ἐὰν ὅμως πρόκειται νὰ στρέφωμεν τὴν φροντίδα μας περὶ τὰ χρήματα καὶ τὴν ἀπόλαυσιν καὶ τὰς γυναῖκας καὶ τὰ ἄλλα κοσμικὰ πράγματα, πότε θὰ γίνωμεν ἄνδρες, πότε θὰ ζήσωμεν σύμφωνα μὲ τοὺς νόμους τοῦ Πνεύματος, πότε θὰ φροντίσωμεν διὰ τὰ πράγματα τοῦ Κυρίου; Ὅταν φύγωμεν ἀπὸ αὐτὴν τὴν ζωήν; Ἀλλὰ τότε δὲν εἶναι καιρὸς πλέον διὰ κόπους οὔτε δι' ἀγῶνας, ἀλλὰ στεφάνων καὶ τιμωριῶν. Τοτε καὶ ἄν ἀκόμη κάποια εἶναι παρθένος καὶ δὲν ἔχῃ ἔλαιον εἰς τὰς λαμπάδας της, δὲν θὰ ἠμπορέσῃ νὰ λάβῃ ἀπὸ ἄλλας, ἀλλὰ θὰ μείνῃ ἔξω τοῦ νυμφῶνος[80]. Καὶ ἐὰν ἔλθῃ κάποιος ἐνδεδυμένος μὲ ρυπαρὰ ἐνδύματα, δὲν θὰ ἠμπορέσῃ νὰ βγῇ ἔξω καὶ ν' ἀλλάξῃ τὴν στολήν του, ἀλλὰ θὰ ὁδηγηθῇ εἰς τὸ πῦρ τῆς γεέννης[81]. Καὶ ἄν ἀκόμη παρακαλῇ τὸν ἴδιον τὸν Ἀβραάμ, δὲν θὰ ἠμπορέσῃ τότε πλέον τίποτε νὰ ἐπιτύχῃ[82]. Διότι ὅταν ἔλθῃ ἡ ἡμέρα τῆς κρίσεως καὶ τοποθετηθῇ τὸ βῆμα τοῦ δικαστηρίου καὶ καθίσῃ ὁ δικαστὴς καὶ θὰ ρέῃ ὁ ποταμὸς τὴν ἄσβεστον φλόγα καὶ θὰ ἐξετάζωνται τὰ ὅσα διεπράξαμεν, δὲν ἐπιτρέπεται τότε πλέον νὰ ἀποβάλωμεν τὰ πλημμελήματά μας, ἀλλ' ὁδηγούμεθα εἴτε τὸ θέλομεν εἴτε ὄχι πρὸς τὴν ὀφειλομένην τιμωρίαν, καὶ ὄχι μόνον κανεὶς δὲν ἠμπορεῖ τότε νὰ μᾶς ἐλευθερώσῃ, ἀλλὰ καὶ ἄν ἀκόμη τύχῃ κάποιος νὰ ἔχῃ τὴν ἰδίαν παρρησίαν μὲ τοὺς μεγάλους καὶ θαυμαστοὺς ἐκείνους ἄνδρας, καὶ ἄν ἀκόμη ὁ Νῶε ἢ ὁ Ἰὼβ ἢ ὁ Δανιὴλ παρακαλῇ ὑπὲρ

χων τις, κἂν Νῶε κἂν Ἰὼβ κἂν Δανιὴλ κἂν ὑπὲρ παίδων δηται καὶ θυγατέρων, οὐδὲν ἔσται πλέον.

Ἀλλ' ἀνάγκη λοιπὸν ἀθάνατα κολάζεσθαι τοὺς ἡμαρτηκότας ὥσπερ οὖν καὶ τιμᾶσθαι τοὺς κατωρθωκότας. Ὅτι γὰρ οὔτε τούτων οὔτε ἐκείνων τέλος ἔσται ὁ Χριστὸς ἀπεφήνατο, ὥσπερ τὴν ζωὴν αἰώνιον οὕτω καὶ τὴν κόλασιν αἰώνιον εἶναι λέγων. Ὅτε γὰρ τοὺς μὲν ἐκ δεξιῶν ἀπεδέξατο, τοὺς δὲ ἐξ εὐωνύμων κατεδίκασεν, ἐπήγαγε λέγων· «Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον».

Διὸ χρὴ πάντα ἐνταῦθα πραγματεύεσθαι καὶ τὸν ἔχοντα γυναῖκα ὡς μὴ ἔχοντα εἶναι καὶ τὸν ὄντως οὐκ ἔχοντα μετὰ τῆς παρθενίας καὶ τὴν ἄλλην ἅπασαν ἀσκεῖν ἀρετήν, ἵνα μὴ μετὰ τὴν ἐνθένδε ἀποδημίαν ἀνόνητα ἀποδυρώμεθα.

---

83. Ματθ. 25, 46.

τῶν παίδων καὶ τῶν θυγατέρων, τίποτε πλέον δὲν θὰ ἐπιτύχῃ.

4. Ἀλλ' εἶναι ἀνάγκη πλέον νὰ τιμωροῦνται αἰώνια οἱ ἁμαρτωλοί, ὅπως ἀκριβῶς βέβαια καὶ νὰ τιμῶνται αὐτοὶ ποὺ κατώρθωσαν νὰ ἀσκήσουν τὴν ἀρετήν. Τὸ ὅτι βέβαια δὲν ὑπάρχει τέλος οὔτε δι' αὐτοὺς οὔτε δι' ἐκείνους τὸ εἶπεν ὁ Χριστός, ὀνομάζων ὅπως ἀκριβῶς τὴν ζωὴν αἰώνιον, ἔτσι καὶ τὴν τιμωρίαν αἰώνιον. Διότι ὅταν τοὺς μὲν εἰς τὰ δεξιά του καθημένους ἐπήνεσε, τοὺς δὲ εἰς τὰ ἀριστερὰ κατεδίκασεν, ἐπρόσθεσε καὶ τὰ ἑξῆς· «Καὶ θὰ ἀπέλθουν αὐτοὶ εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον»[83].

Διὰ τοῦτο πρέπει εἰς τὴν ἐδῶ ζωὴν ὁ καθένας νὰ φροντίζῃ καὶ αὐτὸς ποὺ ἔχει γυναῖκα νὰ ζῇ ὡσὰν νὰ μὴ ἔχῃ καὶ αὐτὸς ποὺ πράγματι δὲν ἔχει μαζὶ μὲ τὴν παρθενίαν νὰ ἀσκῇ καὶ ὅλην τὴν ἄλλην τὴν ἀρετήν, ὥστε νὰ μὴ θρηνοῦμεν ἀνώφελα μετὰ τὴν ἀποδημίαν μας ἀπὸ αὐτὴν τὴν ζωήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

Γένεσις

Ἔξοδος

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰν εἰς μὲν τὰ χωρία εἰς τὸ κεφάλαιον, τὸ χωρίον καὶ τὴν σελίδα ποὺ εὑρίσκονται, εἰς δὲ τὰ ὀνόματα εἰς τὴν σελίδα ποὺ εὑρίσκονται.

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Ε

Z

H

Θ

I

Ρ

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ

Α΄ ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος 1ος Ἐπιστολαὶ
» 2ος Ἐπιστολαὶ
» 3ος Ἐπιστολαὶ
» 4ος Ὁμιλίαι εἰς Ἑξαήμερον
» 5ος Ὁμιλίαι εἰς Ψαλμοὺς
» 6ος Ὁμιλίαι ἠθικαὶ καὶ πρακτικαὶ
» 7ος Ὁμιλίαι δογματικαὶ - περιστατικαὶ - ἐγκωμιαστικαὶ παιδαγωγικαὶ
» 8ος Ἀσκητικὰ (Ὅροι κατὰ πλάτος)
» 9ος Ἀσκητικὰ (Ὅροι κατ' ἐπιτομὴν)
» 10ος Δογματικὰ ἔργα

Β΄ ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος 1ος Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐνανθρωπήσεως)
» 2ος Δογματικὰ Α΄ (Λόγοι κατὰ Ἀρειανῶν Α—Β)
» 3ος Δογματικὰ Β΄ (Λόγοι κατὰ Ἀρειανῶν Γ—Δ).
» 4ος Δογματικὰ Γ΄
» 5ος Ἑρμηνευτικὰ Α΄
» 6ος Ἑρμηνευτικὰ Β΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμοὺς)
» 7ος Ἑρμηνευτικὰ Γ΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμοὺς)
» 8ος Ἱστορικοδογματικὰ Α΄
» 9ος Ἱστορικοδογματικὰ Β΄
» 10ος Ἱστορικοδογματικὰ Γ΄
» 11ος Ἀσκητικὰ
» 12ος Διάφορα ἀμφιβαλλόμενα

Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος 1ος Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α΄
» 2ος Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β΄ (ὑπὸ ἔκδοσιν)
» 3ος Ἀπολογητικὰ ἔργα
» 4ος Δογματικὰ
» 5ος Ἑορταστικοὶ - Ἠθικολογικοὶ Λόγοι
» 6ος Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι
» 7ος Ἐπιστολαὶ (ὑπὸ ἔκδοσιν)
» 8ος Ἔπη Δογματικὰ
» 9ος Ἔπη Ἠθικὰ (ὑπὸ ἔκδοσιν)
» 10ος Ἔπη εἰς Ἑαυτὸν (ὑπὸ ἔκδοσιν)
» 11ος Ἔπη εἰς Ἑτέρους (ὑπὸ ἔκδοσιν)

Δ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος Δογματικὰ Α΄ (Ἔκδ. ἀκριβὴς τῆς Ὀρθ. πίστεως)

Ε΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 3ος Ὁμιλίαι εἰς τὴν Γένεσιν (ΚΔ΄ – ΜΑ΄).
» 9ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Α΄ (Ὁμιλίαι Α΄ – Κ΄).
» 10ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Β΄ (Ὁμιλίαι ΚΑ΄ – ΜΗ΄).
» 11ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Γ΄ (Ὁμιλίαι ΜΘ΄ – ΟΕ΄).
» 12ος α) Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Δ΄ (Ὁμιλίαι ΟΣΤ΄ – ϞΑ΄)
β) Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Α΄ – ΙΘ΄)
» 13ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Κ΄ – ΝΔ΄).
» 14ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι ΝΕ΄ – ΠΗ΄) (ὑπὸ ἔκδοσιν).
» 18ος Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Α΄ (Ὁμιλίαι Α΄ – ΚΒ΄).
» 18Α Ὑπόμνημα εἰς τὴν Α΄ πρὸς Κορινθίους (Ὁμιλίαι ΚΒ΄ – ΜΔ΄).
» 20ὸς Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Β΄, (Ὁμιλίαι ΚΕ΄ – Λ΄), εἰς τὴν πρὸς Γαλάτας καὶ εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι Α΄ – ΙΑ΄).
» 21ος Ὑπόμνημα εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι ΙΒ΄ – ΚΔ΄), εἰς τὴν πρὸς Φιλιππησίους (Ὁμιλίαι Α΄ – ΙΒ΄).
» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικὰ Α΄.
» 31ος Κατηχητικαὶ καὶ ἠθικὰ Β΄ - Περιστατικὰ Α΄.
» 32ος Ὁμιλίαι Περιστατικαὶ Β΄.

ΣΤ΄ ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.
» 22ος Νικ. Καβάσιλα, Ἑρμηνεία εἰς τὴν Θ. Λειτουργίαν - Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.

Ζ΄ ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α΄ – Γ΄)
» 2ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ΄ – ΣΤ΄)
» 3ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ΄ – Ι΄).

Η΄ ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

Θ΄ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α΄ (Πῶς τρία πρόσωπα λέγοντες, Κατὰ Εἱμαρμένης, Διάλογος περὶ ψυχῆς καὶ Ἀναστάσεως, Λόγος Κατηχητικὸς μέγας).

Ι΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΠΑΛΑΜΑ

Τόμος 1ος Λόγοι ἀποδεικτικοὶ δύο περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος.

Στοιχειοθεσία, Ἐκτύπωσις:

TYPO EXPRESS

Βελισσαρίου 35 ☎ 841-623

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 205-965